32177

Rose 32.177

ΤΑΔΕ ΕΝΕ-

ΣΤΙΝ ΕΝ ΤΗΔΕ

ΤΗ ΒΙΒΛΩ.

ΠΟΡΦΥΡΙΟΥ ΕΙΣΑΓΩΓΗ.

Αριστοτέλους,

Κατηγοριῶν	Βιβλίον ἕν.
Περὶ ἑρμηνείας	Βιβλίον ἕν.
Αναλυτικῶν προτέρων	Βιβλία δύο.
Αναλυτικῶν ὑστέρων	Βιβλία δύο.
Τοπικῶν	Βιβλία ὀκτώ.
Περὶ σοφιστικῶν ἐλέγχων	Βιβλία δύο.

Hæc insunt in hoc libro.

Porphyrij institutio.

Aristotelis.

Prædicamentorum	Liber unus.
Peri hermenias id est de interpretatione,	Liber unus
Priorum resolutoriorum	Libri duo.
Posteriorum resolutoriorum	Libri duo.
Topicorum	Libri octo.
De sophisticis elenchis	Libri duo.

BIBLIOTHEQUE ROYALE DE BELGIQUE

Louanij apud Theodoricum Martinum Alostensem
Anno M.D.XXIII. Mense Decembri.

ΕΙΣ ΟΡΓΑΝΟΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ΑΝΩΝΥΜΟΝ.

Ηδ' ἡ βίβλος Αριστοτέλους λογικῆς παιδείης.
Οργανον ἣν ἐκάλεσαν σοφίης, εἰ δήμονες ἄνδρες.
Αλλάμιν αἰθομένῳ πυρὶ λαμπετόοντι ἐΐσκω.
Φῶς γὰρ ἀληθείης παρέχει. ψεῦδος πιμπρᾷ δέ.

ΠΟΡΦΥΡΙΟΥ

ΕΙΣΑΓΩΓΗ.

ΟΝΤΟΣ ἀναγκαίου χρυσακόρῑτε καὶ εἰς τὴν τ παρὰ Αριστοτέλει κατηγοριῶν διδασκαλίαν, τ γνῶναι τὶ γένος καὶ τὶ διαφορὰ, τί τε εἶδος, καὶ τὶ ἴδιον, καὶ τὶ συμβεβηκός. εἴσ τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν, καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀποδείξεως χρησίμης οὔσης τῆς τούτων θεωρίας, σώτερμόν σοι παράδοσιν ποιούμενος, πειράσομαι διὰ βραχέων ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ, τὰ παρὰ τοῖς πρεσβυτέροις εἰρημένα. τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων. τῶν δὲ ἁπλουστέρων συμμέτρως τοχαζόμενος. Αὐτίκα περὶ γενῶν τε καὶ εἰδῶν, τὸ μὲν εἴτε ὑφέστηκον, εἴτε καὶ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται, εἴτε καὶ ὑφεστηκότα σώματά ἐστιν, ἢ ἀσώματα· καὶ πότερον χωριστὰ, ἢ ἐν τοῖς αἰσθητοῖς, καὶ περὶ ταῦτα ὑφεστῶτα, παραιτήσομαι λέγειν. βαθυτάτης οὔσης τῆς τοιαύτης πραγματείας, καὶ ἄλλης μείζονος ἀσχολίας ἐξετάσεως. τὸ δ' ὅπως περὶ αὐτῶν τε καὶ τῶν προκειμένων λογικώτερον οἱ παλαιοὶ διέλαβον, καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ περιπάτου, πειράσομαι δεικνύναι.

ΠΕΡΙ ΓΕΝΟΥΣ.

Εοικε δὲ μήτε τὸ γένος, μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι. γένος γὰρ λέγεται, καθ' ἣ τινῶν ἐχόντων πως πρὸς ἕνὶ καὶ πρὸς ἄλληλους ἄθροισις, καθ' ὃ σημαινόμενον, τὸ Ηρακλειδῶν λέγεται γένος, ἐκ τῆς ἀφ' ἑνὸς κτίσεως, λέγω δὴ τοῦ κατὰ Ηρακλέους, καὶ τοῦ πολλοὺς τῶν ἐχόντων πως πρὸς ἀλλήλους τὴν ἀπ' ἐκείνου οἰκειότητα κατὰ ἀποτομὴν τὴν ἀπὸ τῶν ἄλλων γενῶν κεκλημένων. λέγεται

γεται δὲ καὶ ἄλλως πάλιν γένος, ἢ ἑκάστου τῆς γενέσεως ἀρχή. εἴτε ἀπὸ τοῦ τεκόντος, εἴτε ἀπὸ τοῦ τόπου ὧν ἤ τις γέγονεν. οὕτω γὰρ Ὀρέσιμος μὲν ἀπὸ Ταντάλου φησὶν ἔχειν τὸ γένος. Τλόος δὲ ἀφ' Ἡρακλέους. καὶ πάλιν, Πίνδαρον μὲν Θηβαῖον εἶναι τὸ γένος. Πλάτωνα δὲ Ἀθηναῖον. καὶ γὰρ ἡ πατρὶς, ἀρχή τίς ἐστι, τῆς ἑκάστου γενέσεως, ὥσπερ καὶ ὁ πατήρ. τοῦτο δὲ ἔοικε πρόχειρον εἶναι τὸ σημαινόμενον. Ἡρακλεῖδαι γὰρ λέγονται, οἱ ἀπὸ γένους καταγόμενοι Ἡρακλέους· καὶ Κεκροπίδαι οἱ ἀπὸ Κέκροπος. καὶ οἱ Ζούτων ἀγχισεῖς, καὶ πρότερον ὠνομάσθη γένος, ἢ ἑκάστου τῆς γενέσεως ἀρχή. μετὰ δὲ ταῦτα, καὶ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς, οἷον Ἡρακλέους. ὃ ἀφορίζοντες καὶ ἀπὸ τῶν ἄλλων χωρίζοντες, ἔφαμεν τὸ ὅλον ἄθροισμα Ἡρακλειδῶν γένος. Ἀλλως δὲ πάλιν γένος λέγεται, ᾧ ὑποτάσσεται τὸ εἶδος, κατὰ ὁμοιότητα ἴσως τούτων εἰρημένον. καὶ γὰρ ἀρχή τίς ἐστι τὸ τοιοῦτον γένος τῶν ὑφ' αὑτό, καὶ οἷονεὶ τὸ πλῆθος περιέχων πᾶν τὸ ὑφ' αὑτό. Τριχῶς οὖν τοῦ γένους λεγομένου περὶ τοῦ τρίτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, ὃ καὶ ὑπογράφοντες ἀποδεδώκαμεν. γένος εἶναι λέγοντες, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον τὸ ζῷον. Τῶν γὰρ κατηγορουμένων τὰ μὲν κατ' ἑνὸς λέγεται μόνου, ὡς τὰ ἄτομα, οἷον Σωκράτης. καὶ ὁ οὗτος, καὶ τόδε.

Τὰ δὲ κατὰ πλειόνων, ὡς τὰ γένη, καὶ τὰ εἴδη, καὶ αἱ διαφοραί, καὶ τὰ ἴδια, καὶ τὰ συμβεβηκότα κοινῶς, ἀλλὰ μὴ ἰδίως τινί. ἔστι δὲ γένος μὲν, οἷον τὸ ζῷον. εἶδος δὲ, οἷον ὁ ἄνθρωπος. διαφορὰ δὲ, οἷον τὸ λογικόν. ἴδιον δὲ, οἷον τὸ γελαστικόν. συμβεβηκὸς δὲ, οἷον τὸ λευκόν, τὸ μέλαν, τὸ καθέζεσθαι. Τῶν μὲν οὖν καθ' ἑνὸς μόνου κατηγορουμένων, διαφέρει τὰ γένη, τῷ ταῦτα κατὰ πλειόνων κατηγορεῖσθαι. Τῶν δ' αὖ κατὰ πλειόνων, τῶν μὲν εἰδῶν, ὅτι τὰ μὲν εἴδη καὶ κατὰ πλειόνων κατηγορεῖται, ἀλλ' οὐ διαφερόντων τῷ εἴδει, ἀλλὰ

ἀλλὰ τῷ ἀριθμῷ. ὁ γὰρ ἄνθρωπος εἷς ὢν, κατὰ Σωκράτους καὶ Πλάτωνος κατηγορεῖται, οἱ οὐ τῷ εἴδει διαφέρουσιν, ἀλλὰ τῷ ἀριθμῷ. τὸ δὲ ζῷον γένος ὄν, ἀνθρώπου καὶ βοὸς καὶ ἵππου κατηγορεῖται. οἱ διαφέρουσι καὶ τῷ εἴδει ἀλλήλων, ἀλλ' οὐχὶ τῷ ἀριθμῷ μόνον. τῶν δ' αὖ ἰδίων, διαφέρει τὸ γένος. ὅτι τὸ μὲν ἴδιον καθ' ἑνὸς μόνου εἴδους, ὅ ἐστιν ἴδιον κατηγορεῖται καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων. ὡς τὸ γελαστικὸν ἀνθρώπου μόνου, καὶ τῶν κατὰ μέρος ἀνθρώπων. τὸ δὲ γένος, οὐχ ἑνὸς εἴδους κατηγορεῖται, ἀλλὰ πλειόνων τε καὶ διαφερόντων. τῆς δ' αὖ διαφορᾶς καὶ τῶν κοινῶς συμβεβηκότων διαφέρει τὸ γένος, ὅτι εἰ μὴ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγοροῖντο αἱ διαφοραὶ καὶ τὰ κοινῶς συμβεβηκότα, ἀλλ' οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖτο, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστιν. ἐρωτησάντων γάρ τινῶν τί ἐστιν ἐκεῖνο. καθ' ὃ κατηγορεῖται ταῦτα, τὸ γένος ἀποκρινούμεθα. τὰς δὲ διαφορὰς καὶ τὰ συμβεβηκότα, οὐκ ἀποκρινούμεθα. οὐ γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖται τοῦ ὑποκειμένου. ἀλλὰ μᾶλλον ἐν τῷ ὁποῖόν τί ἐστιν. ἐν γὰρ τῷ ἐρωτᾶν ὁποῖόν τί ἐστιν ὁ ἄνθρωπος, φαμὲν ὅτι λογικόν. καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κόραξ, φαμὲν ὅτι μέλαν. ἔστι δὲ τὸ μὲν λογικὸν, διαφορά. τὸ δὲ μέλαν συμβεβηκός. ὅταν γὰρ τί ἐστιν ἄνθρωπος ἐρωτηθῶμεν, ζῷον ἀποκρινόμεθα. ἂν δὲ ἀνθρώπου γένος, τὸ ζῷον. ὥς τε τὸ μὲν κατὰ πλειόνων λέγεσθαι τὸ γένος, διαιρεῖται αὐτὸ, ἀπὸ τῶν καθ' ἑνὸς μόνου τῶν ἀτόμων κατηγορουμένων. τὸ δὲ διαφερόντων τῷ εἴδει διαιρεῖται ἀπὸ τῶν ὡς εἰδῶν κατηγορουμένων, ἢ ὡς ἰδίων. τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, χωρίζει ἀπὸ τῶν διαφορῶν, καὶ τῶν κοινῇ συμβεβηκότων, ἃ οὐκ ἐν τῷ τί ἐστιν, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστιν, ἤπως ἔχον τι ἐστί, κατηγορεῖται, ἕκαστον ὧν κατηγορεῖται. οὐδὲν ἄρα περιττὸν, οὐδὲ ἐλλεῖπον περιέχει ὁ τοῦ γένους ὁρισμὸς ὑπογραφὴ τῆς ἐννοίας.

περὶ

ΠΕΡΙ ΕΙΔΟΥΣ.

Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθ' ὃ εἴρηται, πρῶτον εἶδος ἄξιον τυραννίδος. λέγεται δὲ εἶδος, καὶ τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος. καθ' ὃ εἰώθαμεν λέγειν, ἓν μὲν ἄνθρωπον εἶδος τοῦ ζώου, γένους ὄντος τοῦ ζώου. τὸ δὲ λευκὸν, τοῦ χρώματος εἶδος. τὸ δὲ ξύλινον, τοῦ σχήματος εἶδος. εἰ δὲ καὶ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους ἐμεμνήμεθα, εἰποντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ τὸ εἶδος φαμὲν τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος. εἰδέναι χρή, ὅτι ἐπεὶ καὶ τὸ γένος τινός ἐστι γένος, καὶ τὸ εἶδος τινός ἐστιν εἶδος, ἑκάτερον ἑκατέρου, ἀνάγκη καὶ ἐν τοῖς ἀμφοτέρων λόγοις, μεχρῆσθαι ἀμφοτέροις. ἀποδιδόασιν οὖν τὸ εἶδος, καὶ οὕτως. εἶδός ἐστι, τὸ ταπόμενον ὑπὸ τὸ γένος. καὶ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. ἔτι δὲ καὶ οὕτως. εἶδός ἐστι, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις, τοῦ εἰδικωτάτου ἂν εἴη. καὶ ὃ ἐστι μόνον εἶδος, οὐκέτι δὲ καὶ γένος. αἱ δ' ἄλλαι εἶεν ἂν καὶ τῶν μὴ εἰδικωτάτων. σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον, τοῦτον τὸν τρόπον. καθ' ἑκάστην κατηγορίαν, ἔστι τινὰ γενικώτατα· καὶ πάλιν ἄλλα εἰδικώτατα· καὶ μεταξὺ τῶν γενικωτάτων καὶ τῶν εἰδικωτάτων ἄλλα, ἃ γένη καὶ εἴδη λέγεται τὰ αὐτά. ἔστι δὲ γενικώτατον μὲν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος. εἰδικώτατον δὲ, μεθ' ὃ οὐκ ἂν ἄλλο ὑποβεβηκὸς εἶδος. μεταξὺ δὲ τοῦ γενικωτάτου καὶ εἰδικωτάτου, ἄλλα. ἃ καὶ γένη καὶ εἴδη ἐστὶ τὰ αὐτά. πρὸς ἄλλο μὲν τοι καὶ ἄλλο λαμβανόμενα. γενέσθω δὲ ἐπὶ μιᾶς κατηγορίας σαφὲς τὸ λεγόμενον. ἡ οὐσία, ἔστι μὲν καὶ αὐτὴ γένος. ὑπὸ δὲ ταύτην, ἔστι σῶμα. καὶ ὑπὸ τὸ σῶμα, ἔμψυχον σῶμα. ὑφ' ὃ τὸ ζῷον. ὑπὸ δὲ τὸ ζῷον, λογικὸν ζῷον. ὑφ' ὃ ὁ ἄνθρωπος. ὑπὸ δὲ τὸν ἄνθρωπον, Σωκράτης, καὶ Πλάτων, καὶ οἱ κατὰ μέρος ἄνθρωποι. ἀλλὰ τούτων

Dolfus generius Euripidis in quadam tragedia quæ non extat sed citatur ea Euripide ab athenæo lib. 13.

Species variæ significationes

ὃν

μᾶλλον γὰρ ἂν εἴη τὸ κατηγορούμενον καὶ μᾶλλον ἐδηλοῖτο τῶν.

συγχέουσιν ὁρισμοὺς ὁρισταὶ

Hæc Porphyrius contra Platonicos qui credebant damonas esse animalia rationis expertia

τούτων ἡ μὲν οὐσία, τὸ γενικώτατον. καὶ ὃ μόνον γένος. ὁ δὲ ἄνθρωπος, τὸ εἰδικώτατον καὶ ὃ μόνον εἶδος. τὸ δὲ σῶμα, εἶδος μὲν τῆς οὐσίας, γένος δὲ τοῦ ἐμψύχου σώματος. ἀλλὰ καὶ τὸ ἔμψυχον σῶμα, εἶδος μὲν τοῦ σώματος, γένος δὲ τοῦ ζώου. πάλιν τὸ ζῶον, εἶδος μὲν τοῦ ἐμψύχου σώματος. γένος δὲ τοῦ λογικοῦ ζώου. τὸ δὲ λογικὸν ζῶον, εἶδος μὲν τοῦ ζώου, γένος δὲ τοῦ ἀνθρώπου. ὁ δὲ ἄνθρωπος, εἶδος μὲν τοῦ λογικοῦ ζώου. οὐκέτι δὲ καὶ γένος τῶν κατὰ μέρος ἀνθρώπων, ἀλλὰ μόνον εἶδος. καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων προσιχῶς κατηγορούμενον, εἶδος ἂν εἴη μόνον, οὐκέτι δὲ καὶ γένος. ὥσπερ οὖν ἡ οὐσία ἀνωτάτω οὖσα, τῷ μηδὲν εἶναι πρὸ αὐτῆς γένος ἦν τὸ γενικώτατον, οὕτω καὶ ὁ ἄνθρωπος εἶδος ὢν μεθ' ὃ οὐκ ἔστιν ἄλλο εἶδος, οὐδέτι τῶν τέμνεσθαι δυναμένων εἰς εἴδη, ἀλλὰ τῶν ἀτόμων. ἄτομον γὰρ Σωκράτης, καὶ Πλάτων, καὶ τουτὶ τὸ λευκόν, μόνον ἂν εἴη εἶδος. καὶ τὸ ἔσχατον εἶδος. καὶ ὡς ἔφαμεν τὸ εἰδικώτατον· τὰ δὲ μέσα τῶν μὲν πρὸ αὐτῶν, εἴη ἂν εἴδη. τῶν δὲ μετ' αὐτά, γένη. ὥστε ταῦτα μὲν ἔχει δύο σχέσεις. τήν τε πρὸς τὰ πρὸ αὐτῶν, καθ' ἣν εἴδη αὐτῶν εἶναι λέγεται, τήν τε πρὸς τὰ μετ' αὐτὰ καθ' ἣν γένη αὐτῶν εἶναι λέγεται. τὰ δὲ ἄκρα μίαν ἔχει σχέσιν. τό, τε γὰρ γενικώτατον, τῷ μὲν ὡς πρὸς τὰ ὑφ' αὑτὸ ἔχει σχέσιν, γένος ὂν πάντων τὸ ἀνώτατον. τῷ δὲ ὡς πρὸς τὰ πρὸ αὐτοῦ, οὐκέτι ἔχει, ἀνώτατον ὂν καὶ πρώτη ἀρχή. καὶ ὡς ἔφαμεν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο γένος ἐπαναβεβηκός. τὸ δὲ εἰδικώτατον, μίαν ἔχει καὶ αὐτὸ σχέσιν τῷ μὲν ὡς πρὸς τὰ πρὸ αὐτοῦ ὧν ἔστιν εἶδος. τῷ δὲ ὡς πρὸς τὰ μετ' αὐτὸ, οὐκ ἀλλοίαν ἔχω σχέσιν, ἀλλὰ καὶ τῶν ἀτόμων εἶδος λέγεται. ἀλλ' εἶδος μὲν λέγεται τῶν ἀτόμων, ὡς περιέχον αὐτά. εἶδος δὲ πάλιν τῶν πρὸ αὐτοῦ ὡς περιεχόμενον ὑπ' αὐτῶν. Ἀφοριζόμενοι τοίνυν τὸ μὲν γενικώτατον γένος, οὕτως, ὃ γένος ὢν, οὐκ ἔστιν εἶδος. καὶ πάλιν. ὑπὲρ ὃ οὐκ ἂν

ἔμψυχον

Vetus interpres hæc non legerat & recte quia hoc non est individuum ex iis quæ sunt sub homine.

Genus generalissimum

Species Specialissima.

οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος. τὸ δὲ εἰδικώτατον εἶδος, οὕτως. ὁ εἶδος ὂν οὐκ ἔστι γένος. καὶ ὃ εἶδος ὄν, οὐκ ἂν σπέλοι μεθ' ἕτερα εἰς εἶδη. ἔτι δὲ καὶ ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορεῖται. τὰ δὲ μέσα τῶν ἄκρων, ὑποδιαιρέτα τε καλοῦσιν εἴδη καὶ γένη. καὶ ἕκαστον αὐτῶν εἶδος εἶναι καὶ γένος πίθενται. πρὸς ἄλλο μέν τοι καὶ ἄλλο λαμβανόμενον. τὰ γὰρ πρὸ τῶν εἰδικωτάτων ἄχρι τοῦ γενικωτάτου ἀνιόντα, γένη τε λέγεται καὶ εἴδη ὑποδιαιρέτα, ὡς ὁ Αγαμέμνων, ἀξιέδης καὶ πελοπιάδης, καὶ ταντα λίδης. καὶ τὸ τελευταῖον δὲ ὁ ἀλλ' ἐπὶ μὲν τῶν γενεαλογιῶν, εἰς ἕνα ἀνάγουσι. φέρε εἰπεῖν τὸν δία τιὸν ἀρχὴν ὡς ἐπὶ τὸ πολύ. ἐπὶ δὲ τῶν γενῶντε καὶ εἰδῶν, οὐχ οὕτως ἔχει. οὐ γάρ ἐστι κοινὸν γένος πάντων τὸ ὄν. οὐδὲ πάντα ὁμογενῆ κατ' ἐν τὸ ἀνωτάτω γένος ὥς φησιν Αριστοτέλης. ἀλλὰ κείσθω ὥσπερ ἐν ταῖς κατηγορίαις τὰ πρῶτα δέκα γένη. οἷον ἀρχαὶ δέκα πρῶτοι. κἂν δή πάντα τις ὄντα καλῇ, ὁμωνύμως φησὶ καλέσει, ἀλλ' οὐ συνωνύμως. εἰ μὲν γὰρ ἓν κοινὸν ἦν γένος πάντων τὸ ὄν, συνωνύμως ἂν πάντα ὄντα ἐλέγετο. δέκα δὲ ὄντων τῶν πρώτων, ἡ κοινωνία κατὰ τοὔνομα μόνον, οὐ μὴν καὶ κατὰ τὸν λόγον, τὸν κατὰ τοὔνομα. δέκα μὲν δὴ τὰ γενικώτατα. τὰ δὲ εἰδικώτατα, ἐν ἀριθμῷ μέν τινί εἰσιν· οὐ μὴν ἄπειρά γε. τὰ δὲ ἄδιαιρετα ἄπειρά ἐστι τὰ μετὰ τὰ εἰδικώτατα, ἄπειρα. διὸ μέχρι τῶν εἰδικωτάτων ἀπὸ τῶν γενικωτάτων κατιόντας, παρεκελεύετο ὁ Πλάτων πάνυ δεῖν. κατιέναι δέ, διὰ τῶν διὰ μέσου διαιροῦντας ταῖς εἰδοποιοῖς διαφοραῖς. τὰ δὲ ἄπειρά φησιν ἐᾶν. μὴ δὲ γὰρ ἂν γενέσθαι τὸν ἐπιστήμην κατιόντας μέχρι οὗ εἰς τὰ εἰδικώτατα, ἀνάγκη διαιροῦντας διὰ πλήθους ἰέναι. ἀνιόντας δὲ εἰς τὰ γενικώτατα, ἀνάγκη συναιρεῖν τὸ πλῆθος εἰς ἕν. συναγωγὸν γὰρ τῶν πολλῶν εἰς μίαν φύσιν τὸ εἶδος καὶ ἔτι μᾶλλον τὸ γένος. τὰ δὲ κατὰ μέρος καὶ καθ' ἕκαστα, τοὐναντίον, εἰς πλῆθος ἀεὶ διαιρεῖ τὸ ἕν. τῇ μὲν γὰρ τοῦ εἴδους με-

τουσίᾳ

In quibusdam Codicibus legitur ἀριθμῷ sed hac praetior. legit Lefe.

α non re ipsa sed numero et vocabulorum ideo ex eorum sententia qui mundum aeternum putarunt.

β hic locus perfunctorie pertractatur in de quibus in philebo sed etiam in phaedro et aliis multis locis dicitur.

γ id pertinet ad id quod est apud platonem in phaedro vbi de modo dividendi agitur nam in sophista

τουσία, οἱ πολλοὶ ἄνθρωποι εἶς. τοῖς δὲ κατὰ μέρος καὶ καθ' ἕκαστα, ὁ εἷς καὶ κοινὸς πλείους. διαιρετικὸν μὲν γὰρ τὸ καθ' ἕκαστον, συλλητικὸν δὲ καὶ ἑνοποιὸν τὸ κοινόν. ἀποδιδομένου δὲ τοῦ γένους καὶ τοῦ εἴδους, τί ἐστιν ἑκάτερον αὐτῶν. καὶ τοῦ μὲν γένους ἑνὸς ὄντος, τῶν δὲ εἰδῶν πλειόνων, ἀεὶ γὰρ εἰς πλείω εἴδη ἡ τομὴ τοῦ γένους, τὸ μὲν γένος, ἀεὶ τοῦ εἴδους κατηγορεῖται. καὶ πάντα τὰ ἐπάνω, τῶν ὑποκάτω. τὸ δὲ εἶδος, οὔτε τοῦ προσεχῶς αὐτοῦ γένους, οὔτε τῶν ἐπάνω. οὐ δὲ γὰρ ἀντιδιαφέρει. διαιρεῖ γὰρ ἢ τὰ ἴσα τῶν ἴσων κατηγορεῖται ὡς τὸ χρεμετιστικὸν τοῦ ἵππου ἢ τὰ μείζω τῶν ἐλαττόνων. ὡς τὸ ζῷον τοῦ ἀνθρώπου. τὰ δὲ ἐλάττω τῶν μειζόνων, οὐκέτι. οὐκέτι γὰρ τὸ ζῷον εἴποις ἂν εἶναι ἄνθρωπον, ὥσπερ ἂν ἄνθρωπον εἴποις ἂν εἶναι ζῷον. καθ' ὧν δ' ἂν τὸ εἶδος κατηγορεῖται, κατ' ἐκείνων καὶ τὸ τοῦ εἴδους γένος ἐξ ἀνάγκης κατηγορηθήσεται. καὶ τὸ τοῦ γένους γένος, ἄχρι τοῦ γενικωτάτου. εἰ γὰρ ἀληθὲς τὸ, τὸν Σωκράτην εἶναι ἄνθρωπον, τὸν δὲ ἄνθρωπον ζῷον, τὸ δὲ ζῷον οὐσίαν, ἀληθὲς καὶ τὸν Σωκράτην ζῷον εἶναι καὶ οὐσίαν. ἀεὶ γὰρ τῶν ἐπάνω κατηγορουμένων τῶν ὑποκάτω, τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορηθήσεται. τὸ δὲ γένος, καὶ κατὰ τοῦ εἴδους, καὶ κατὰ τοῦ ἀτόμου. τὸ δὲ γενικώτατον, καὶ κατὰ τοῦ γένους, ἢ τῶν γενῶν. εἰ πλείω εἴη τὰ μέσα καὶ ὑποδιαλλήλα, καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου. λέγεται γὰρ τὸ μὲν γενικώτατον, κατὰ πάντων τῶν ὑφ' αὑτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων. τὸ δὲ γένος τὸ πρὸ τοῦ εἰδικωτάτου, κατὰ πάντων τῶν εἰδικωτάτων καὶ ἀτόμων. τὸ δὲ μόνον εἶδος, κατὰ πάντων τῶν ἀτόμων. τὸ δὲ ἄτομον, ἐφ' ἑνὸς μόνου τῶν κατὰ μέρος. ἄτομον δὲ λέγεται ὁ Σωκράτης. καὶ τοῦτο τὸ λευκόν. καὶ οὗτος ὁ παρὼν Σωφρονίσκου υἱός, εἰ μόνος αὐτῷ εἴη Σωκράτης υἱός. ἄθροισμα δὲ λέγεται τὰ τοιαῦτα, ὅτι ἐξ εἰδικοτήτων συνέστηκεν ἕκαστον. ὧν τὸ ἄθροισμα, οὐκ ἂν ἐπ' ἄλλου ποτὲ τὸ αὐτὸ γένοιτο. αἱ γὰρ Σωκράτους ἰδι-

* Stoici species non numero ac in Platonis sententiam incidamus.

3 gr. διδικώτατον

γ' non recipimfit ut species dicipiat de genere.

Nomina proprietatibus intelligi debent ea omnia quæ quoquo modo vere enuntiantur de altero

ὁτιπερ, οὐκ ἂν ἐπ' ἄλλου τινὸς τῶν κατὰ μέρος γένοιντ' ἂν αἱ αὐταί. αἱ μὲν τοι τοῦ ἀνθρώπου, λέγω δὴ τοῦ κοινοῦ, ἰδιότητες, γένοιντ' ἂν αἱ αὐταὶ ἐπὶ τελείων. μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθὸ ἄνθρωποι. Περιέχεται οὖν τὸ μὲν ἄτομον, ὑπὸ τοῦ εἴδους. τὸ δὲ εἶδος ὑπὸ τοῦ γένους· ὅλον γάρ τι τὸ γένος, τὸ δὲ ἄτομον, μέρος. τὸ δὲ εἶδος, καὶ ὅλον, καὶ μέρος. ἀλλὰ μέρος μὲν ἄλλου. ὅλον δὲ, οὐκ ἄλλου, ἀλλ' ἐν ἄλλοις. ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον. περὶ μὲν οὖν γένους καὶ εἴδους. καὶ τί τὸ γενικώτατον, καὶ τί τὸ εἰδικώτατον, καὶ τίνα γένη τὰ τοιαῦτα καὶ εἴδη, τίνα τε ἄτομα, καὶ πόσα χῶς τὸ γένος καὶ τὸ εἶδος, εἴρηται. ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ.

Ἡ διαφορὰ δέ, κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω. κοινῶς μὲν γὰρ διαφέρειν ἕτερον ἑτέρου λέγεται. τὸ, ἑτερότητι διαλάτ τον ὁπωσοῦν, ἢ πρὸς ἑαυτὸ, ἢ πρὸς ἄλλο. διαφέρει γὰρ Σωκράτης Πλά τωνος, τῇ ἑτερότητι, καὶ αὐτὸς ἑαυτοῦ παιδός τε ὄντος καὶ ἀνδρωθέν τος, καὶ ἐνεργοῦντός τι, ἢ πασχόντος. καὶ ἀεί γε ἐν ταῖς τοῦ πως ἔχειν ἑτερότησι θεωρεῖται. ἰδίως δὲ διαφέρειν ἕτερον ἑτέρου λέγε ται, ὅταν ἀχωρίστῳ συμβεβηκότι τὸ ἕτερον τοῦ ἑτέρου διαφέρῃ. ἀχώρισον δὲ συμβεβηκός, οἷον γλαυκότης, ἢ γρυπότης, ἢ οὐλὴ ἐκ παιδὸς μάζως ἐνσκιῤῥωθεῖσα. Ἰδιαίτατα δὲ διαφέρειν ἕτερον ἑτέρου λέ γεται, ὅταν εἰδοποιῷ διαφορᾷ διαλλάττῃ, ὥσπερ ἄνθρωπος ἵππου εἰδοποιῷ διαφορᾷ διανήνοχε τῇ τοῦ λογικοῦ ποιότητι. καθόλου μὲν οὖν πᾶσα διαφορὰ προσγινομένη τινὶ, ἑτεροῖον ποιεῖ. Ἀλλ' αἱ μὲν κοινῶς τε καὶ ἰδίως, ἀλλοῖον ποιοῦσιν. αἱ δὲ ἄλλο. αἱ μὲν οὖν ποι ἕσαι ἄλλο, εἰδοποιοὶ κέκλωνται. αἱ δὲ ἀλλοῖον, ἁπλῶς διαφοραί. τῷ γὰρ ζώῳ προστεθοῦσα ἡ τοῦ λογικοῦ διαφορὰ, ἄλλο ἐποίησεν. ἡ δὲ τοῦ κινεῖσθαι, ἀλλοῖον μόνον παρὰ τὸ ἠρεμοῦν ἐποίησεν. ὥστε ἡ μὲν ἄλ λο, ἡ δὲ, ἀλλοῖον μόνον ἐποίησε. κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας διαφορὰς

ἰδιότητες
a nobis dehomine dicuntur ut res est non autem ut est notio. Itaq; quod oportet tamen ejus homo species sit formatem ejus speciem.

ἡ ἰδιαίτατα
a. Graecus explicat ἰδίως disparser distincte multotiens quadam et vel quidam at ἄλλο illud dicit esse quod est plane et omnino aliud.

φορὰς, ἄιτε διαιρέσεις τῶν γενῶν γίνονται εἰς τὰ εἴδη. ὅιτε ὅροι ἀποδίδονται ἐκ γένους ὄντες καὶ τῶν ζώιων διαφορῶν. κατὰ δὲ τὰς μόνον ἄλλοῖον ποιούσας, αἱ ἑτερότητες μόνον σωίζονται, καὶ αἱ τοῦ πως ἔχοντος μεταβολαί. Ἀνωθεν οὖν πάλιν ἀρχομαίφ, ζητέον. τῶν διαφορῶν, τὰς μὲν χωριστὰς εἶναι, τὰς δὲ ἀχωρίστους. τὸ μὲν γὰρ κινεῖσθαι καὶ τὸ ἠρεμεῖν καὶ τὸ νοσεῖν, καὶ τὸ ὑγιαίνειν, καὶ ὅσα τούτοις παραπλήσια, χωριστά εἰσι. τὸ δὲ γρυπὸν εἶναι ἢ σιμόν, ἢ λογικόν, ἢ ἄλογον, ἀχώριστα. τῶν δὲ ἀχωρίστων, αἱ μὲν ὑπάρχουσι καθ' αὑτὸ, αἱ δὲ κατὰ συμβεβηκός. τὸ μὲν λογικόν, καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καὶ τὸ θνητὸν, καὶ τὸ ἐπιστήμης εἶναι δεκτικόν. τὸ δὲ γρυπὸν εἶναι, ἢ σιμόν, κατὰ συμβεβηκός. καὶ οὐ καθ' αὑτό. αἱ μὲν οὖν καθ' αὑτὸ τὸ προσοῦσαι, ἐν τῷ τῆς οὐσίας λόγῳ, λαμβάνονται, καὶ ποιοῦσιν ἄλλο. αἱ δὲ κατὰ συμβεβηκὸς, οὔτε ἐν τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται, οὔτε ποιοῦσιν ἄλλο, ἀλλὰ ἀλλοῖον, καὶ αἱ μὲν καθ' αὑτὸ, οὐκ ἐποιὸν ἔχουσι τὸ μᾶλλον καὶ ἧττον. αἱ δὲ κατὰ συμβεβηκὸς, κἂν ἀχώριστοι ὦσιν, ἐποῖόν τι σημαίνουσιν καὶ ἄνεσιν λαμβάνουσιν. οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται ἐν ἑνὶ εἴη γένος, οὔτε αἱ τοῦ γένους διαφοραὶ, καθ' ἃς διαιρεῖται. αὗται μὲν γὰρ εἰσιν αἱ τὸν ἑκάστου λόγον συμπληροῦσαι. τὸ δὲ εἶναι ἑκάστῳ ἓν καὶ τὸ αὐτὸ, οὔτε ἄνεσιν, οὔτε ἐπίτασιν ἐποιὸν ἐχόμενόν ἐστι. τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι, ἢ κεχρῶσθαί πως, καὶ ἐπιτείνεται καὶ ἀνίεται.

Τριῶν οὖν εἰδῶν τῆς διαφορᾶς ἀκουομένων. καὶ τῶν μὲν οὐσῶν χωριστῶν. τῶν δὲ ἀχωρίστων. καὶ πάλιν τῶν ἀχωρίστων, τῶν μὲν οὐσῶν καθ' αὑτὰς, τῶν δὲ κατὰ συμβεβηκός. πάλιν τῶν καθ' αὑτὰς διαφορῶν, αἱ μὲν εἰσι καθ' ἃς διαιροῦμεν τὰ γένη εἰς τὰ εἴδη. αἱ δὲ καθ' ἃς τὰ διαιρεθέντα εἰδοποιεῖται. οἷον τῶν καθ' αὑτὸ διαφορῶν πασῶν τῶν τοιούτων τοῦ ζώου οὐσῶν, ἔμψυχον τε καὶ αἰσθητικοῦ, λογικοῦ τε καὶ ἀλόγου. θνητὸ

a quia quatuor erant removenda in duo.

2 his nominibus comprehendit omnes omnium rerum mutationes.

3 Est in maxima parte subiectorum quibus inest non in omnibus. movetur enim in vacuo at quiescere in terra non sunt separabilia.

y καθ' αὑτὸ hoc loco ὑπάρχειν est in subiectis inesse nec separari in re definienda necessario attendi & sunt συμπληρωτικὰ τῆς ὑποκειμένης οὐσίας. vt aiunt homines.

2 non tamen omnes sed vt plurimum.

b οὐσία fuit olim in quo consistit essentia rei. vel sua cuique essentia adeo vt una & eadem vt nullam admittat contrarietatem aut remissionem.

c Alia non secundum rationem sed secundum

Mal. καὶ fuit delet. ex sen. Gruchij.

x in Hermanni exemplari additum est τινι

Sc. h. in oratione suggestiam explicate definitiones non autem descriptiones.

+ multa excipularia addunt τὸ ζῶιον ἐν τοῖς εἴδεσι sed parum bene.

Hermanni Gruchius Lombardus multique alii

Definitio animalis.

τοτε καὶ ἀθανάτου. ἢ μὲν τοῦ ἐμψύχου καὶ αἰσθητικοῦ διαφορὰ, συστατικὴ ἐστι τῆς τοῦ ζώου οὐσίας. ἔστι γὰρ τὸ ζῶον, οὐσία ἔμψυχος αἰσθητικὴ. ἡ δὲ τοῦ θνητοῦ καὶ ἀθανάτου διαφορὰ καὶ ἡ τοῦ λογικοῦ τε καὶ ἀλόγου, διαιρετικαί εἰσι τοῦ ζώου διαφοραὶ, διὰ αὐτῶν γὰρ τὰ γένη, εἰς τὰ εἴδη διαιρούμεθα. ἀλλ' αὗται αἱ διαιρετικαὶ διαφοραὶ τῶν γενῶν, συμπληρωτικαὶ γίνονται καὶ συστατικαὶ τῶν εἰδῶν. τέμνεται γὰρ τὸ ζῶον τῇ τε τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου διαφορᾷ. Καὶ πάλιν τῇ τε τοῦ θνητοῦ καὶ ἀθανάτου διαφορᾷ. ἀλλ' αἱ μὲν τοῦ λογικοῦ καὶ τοῦ θνητοῦ διαφοραὶ, συστατικαὶ γίνονται τοῦ ἀνθρώπου. αἱ δὲ τοῦ λογικοῦ καὶ ἀθανάτου, τοῦ θεοῦ. αἱ δὲ τοῦ θνητοῦ καὶ ἀλόγου, τῶν ἀλόγων ζώων. οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας διαιρετικῶν οὐσῶν τῆς τε ἐμψύχου καὶ ἀψύχου διαφορᾶς. καὶ τῆς αἰσθητικῆς τε καὶ ἀναισθήτου, ἡ μὲν ἔμψυχος καὶ αἰσθητικὴ προσληφθεῖσα τῇ οὐσίᾳ, ἀπετέλεσεν τὸ ζῶον. ἡ δὲ ἔμψυχος καὶ ἀναίσθητος, ἀπετέλεσεν τὸ φυτόν. ἐπεὶ οὖν αἱ αὐταὶ πως μὲν ληφθεῖσαι γίνονται συστατικαί. πως δὲ διαιρετικαὶ, εἰ δυνατὸν ἁπάσας κεκλῖσθαι. τούτων με μάλιστα χρεία, εἴ τε τὰς διαιρέσεις τῶν γενῶν καὶ εἰς τοὺς ὁρισμούς. ἀλλ' οὐ τῶν κατὰ συμβεβηκὸς ἀχωρίστων. οὐδ' ἔτι μᾶλλον τῶν χωριστῶν. ἃς δὴ καὶ ὁριζόμενοι, φασὶ διαφορά ἐστιν, ᾗ περιαιρεῖται τὸ εἶδος τοῦ γένους. ὁ γὰρ ἄνθρωπος, πλέον ἔχει τοῦ ζώου τὸ λογικὸν, καὶ τὸ θνητόν. τὸ γὰρ ζῶον, οὔτε οὐδὲν τούτων ἐστὶν, ἐπεὶ πόθεν ἂν τὰ εἴδη χοίη τὰς διαφοράς, οὔτε δὲ πάσας τὰς ἀντικειμένας ἔχει. ἐπεὶτ' αὖ τὸ ἅμα ἕξει τὰ ἀντικείμενα εἴδη; ἀλλ' ὡς ἀξιοῦσι, μιᾷ μὲν πάσας ἔχει τὰς τῶν ὑφ' αὑτὸ διαφοράς. ἀνυπαρξίᾳ δὲ, οὐδὲ μίαν. καὶ οὕτως οὔτε ἐξ οὐκ ὄντων τι γίνεται, οὔτε τὰ ἀντικείμενα ἔσται πεφυκότα αὐτὸ ἔσται. ὁρίζονται δὲ αὐτῶν, καὶ οὕτως. διαφορά ἐστιν τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ ὁποῖόν τί ἐστι κατη

a quia species habet differentia alia genus autem habet alias tantum potestate

haec descriptio ait sumpta expropriete tate rei naturam consequente

B sed ὁ ἐκ τοῦ τοιούτου.

γ. sed si in genere nullo modo repe rent hae differentiae

δ. sed adhibetur haec definitio tempore posteriore actus.

ε haec definitio non approbatur hic vt vera sed vt quia ita fuit traditia a quadam philosopho. et satis conuenit communibus differentijs

ση κατηγορούμενον. τὸ γὰρ λογικὸν καὶ τὸ θνητὸν, τοῦ ἀνθρώπου κατηγορούμενον, ἐν τῷ ὁποῖόν τί ἐστιν ὁ ἄνθρωπος λέγεται, ἀλλ' οὐκ ἐν τῷ τί ἐστι. τί μὲν γάρ ἐστιν ὁ ἄνθρωπος ἐρωτωμένων ἡμῶν, οἰκεῖον εἰπεῖν ζῷον. ὁποῖον δὲ ζῷον εἰπωθωμένων, ὅτι λογικὸν καὶ θνητὸν οἰκείως ἀποδώσομεν. τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων ἡ ἀνάλογον τε ὕλη καὶ εἶδος τὴν σύστασιν ἐχόντων, ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ, εἴδους δὲ τοῦ σχήματος, οὕτω καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ εἰδικὸς ἐξ ὕλης μὲν ἀναλόγου συνέστηκε τοῦ γένους. ἐκ μορφῆς δὲ, τῆς διαφορᾶς. τὸ δὲ ὅλον τοῦτο ζῷον λογικὸν θνητὸν, ὁ ἄνθρωπος. ὡς ἐκεῖ ὁ ἀνδριάς. ὑπογράφουσι δὲ καὶ οὕτω. διαφορά ἐστι τὸ χωρίζειν τὰ ὑπὸ τὸ αὐτὸ γένος. τὸ λογικὸν γὰρ καὶ τὸ ἄλογον τὸν ἄνθρωπον καὶ τὸν ἵππον ὄντα ὑπὸ τὸ αὐτὸ γένος τὸ ζῷον χωρίζει. ἀποδιδόασι δὲ καὶ οὕτω. διαφορά ἐστιν, ὅτῳ διαφέρει ἕκαστον. ὁ μὲν ἄνθρωπος καὶ ὁ ἵππος, κατὰ μὲν τὸ γένος, οὐδὲν διενήνοχε. ζῷα γὰρ καὶ ἡμεῖς καὶ οἱ ἵπποι. ἀλλὰ τὸ λογικὸν προστεθὲν, διέκρινεν ἡμᾶς ἀπ' ἐκείνων. καὶ λογικοὶ ἐσμὲν καὶ ἡμεῖς καὶ οἱ ἄγγελοι. ἀλλὰ τὸ θνητὸν προστεθὲν, διέκρινεν ἡμᾶς ἀπ' ἐκείνων. προστεξεργαζόμενοι δὲ τὰ περὶ τῆς διαφορᾶς, μὴ τὸ τυχὸν φασι τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος εἶναι τὴν διαφοράν. ἀλλ' ὅπερ εἰς τὸ εἶναι συμβάλλεται. καὶ τὸ τί ἦν εἶναι. καὶ ὃ ζῷ πράγματός ἐστι μέρος. οὐ γὰρ τὸ πεφυκέναι πολεῖν διαφορά ἐστιν ἀνθρώπου, εἰ καὶ ἴδιον ἀνθρώπου. εἴποιμι γὰρ ἂν τὸ ζῷον, τὰ μὲν πολεῖν πεφυκέναι. τὰ δὲ μή. χωρίζοντες τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων. ἀλλὰ τὸ πεφυκέναι πολεῖν, οὐκ ἦν συμπληρωτικὸν τῆς οὐσίας. οὐ δὲ μέρος αὐτῆς. ἀλλ' ἐπιτηδειότης μόνον αὐτῆς, διὰ τὸ μὴ εἶναι διαφοράν, ἴδια αἱ εἰδοποιοὶ λεγόμενα διαφοραί. ἴδιον οὖν ἂν εἰδοποιοῦ διαφοραί, ὅσαι ἕτερον εἶδος ποιοῦσι, καὶ ὅσαι ἐν τῷ τί ἦν εἶναι παραλαμβάνονται. καὶ περὶ μὲν διαφορᾶς, ἀρκεῖ τοσαῦτα.

Περὶ

ἕτερος γένος μορφή.

ἀλλοίωσις ἐστὶ κατὰ ποιότητα ἐν ᾗ ἡ ὕλη quod refert materiam simulachrum.

ΠΕΡΙ ΙΔΙΟΥ.

Τὸ δὲ ἴδιον διαιρῶσι τετραχῶς. καὶ γὰρ ὃ μόνῳ τινὶ εἴδει συμβέβηκεν εἶναι καὶ μὴ παντὶ, ὡς ἀνθρώπῳ τὸ ἰατρεύειν, ἢ τὸ γραμματικῷ εἶναι· καὶ ὃ παντὶ συμβέβηκε τῷ εἴδει εἶναι καὶ μὴ μόνῳ, ὡς τῷ ἀνθρώπῳ τὸ ζῷον εἶναι δίπουν· καὶ τὸ, μόνῳ καὶ παντὶ καὶ ποτὲ, ὡς ἀνθρώπῳ παντὶ τὸ ἐν γήρᾳ πολιοῦσθαι. τέταρτον δὲ, ἐφ' οὗ σωωλεσοάμηκε καὶ τὸ, μόνῳ, καὶ παντὶ, καὶ ἀεί· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. κἂν γὰρ μὴ γελᾷ ἀεί, ἀλλὰ γελαστικὸν λέγεται, οὐ τῷ γελᾶν ἀεί, ἀλλὰ τῷ ἀεὶ πεφυκέναι. τοῦτο δὲ, ἀεὶ αὐτῷ σύμφυτον ὑπάρχει. ὡς καὶ τῷ ἵππῳ τὸ χρεμετιστικόν. ταῦτα δὲ καὶ κινεῖσθαι ἰδιά φασιν. ὅτι καὶ ἀντιστρέφει εἴ τι γὰρ ἵππος, χρεμετιστικόν. καὶ εἴτι χρεμετιστικόν, ἵππος.

ΠΕΡΙ ΣΥΜΒΕΒΗΚΟΤΟΣ.

Συμβεβηκὸς δέ ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. διαιρεῖται δὲ εἰς δύο. τὸ μὲν γὰρ αὐτοῦ, χωριστόν ἐστι. τὸ δὲ, ἀχώριστον. τὸ μὲν οἷον κωθεύειν, χωριστόν ἐστι συμβεβηκός. τὸ δὲ μέλαν εἶναι, ἀχωρίστως τῷ κόρακι καὶ τῷ αἰθίοπι συμβέβηκε. δύναται γὰρ ἐπινοηθῆναι καὶ κόραξ λευκὸς, καὶ αἰθίοψ ἀποβαλὼν τὸ χρῶμα, χωρὶς τῆς φθορᾶς τοῦ ὑποκειμένου. ὁρίζονται δὲ αὐτοὶ καὶ οὕτως. συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν. καὶ ὃ οὔτε γένος ἐστὶν, οὔτε διαφορὰ, οὔτε εἶδος, οὔτε ἴδιον. ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφισάμενον. ἀφορισθέντων δὲ πάντων τῶν προτεθέντων, λέγω δὴ γένους, εἴδους, διαφορᾶς, ἰδίου, συμβεβηκότος, ζητέον τίνα τε κοινὰ πρὸς ἄυτοῖς. καὶ τίνα ἴδια.

ΠΕΡΙ Κοινωνιῶν καὶ διαφορῶν τῶν πέντε φωνῶν.

Κοινὸν μὲν οὖν ἁπάντων, τὸ κατὰ πλειόνων κατηγορεῖσθαι ὡς ἔστηται. ἀλλὰ τὸ μὲν γένος, τῶν ὑπ' ἀυτὸ εἰδῶν καὶ ἀτόμων. καὶ ἡ διαφορὰ, ὡσαύτως. τὸ δὲ εἶδος, τῶν ὑπ' ἀυτὸ ἀτόμων. τὸ δὲ ἴδιον, τοῦτε εἴδους,

---

Porphyrius distinguunt significationes vocabuli.

non omnibus eadem inesse quæ ostenduntur subesse, sed

Quod species in definitione accipitur non satis est ad formarum talium inde sua quadam esse propria non etiam genera existimavit enim Porphyrius quod de specie dixit facile esse pariter ad genera transferri.

Eandem definitionem tradit Lib. 1. physic. cap. 3.

Alexinus integres videtur lagina ἀπολαδαν, sed minus bene.

Intelligere fuit athiopi abiicere nigredinem porphyrius vult ejusmodi rem posse manere affectionis cum re conjunctionis, quod enim est accidens rei per se subsistentia eiusdem alium rei sumptæ cum accidente hominis nigredinem esse accidens est at hominis nigro nigrum esse, est essentiale.

Scilla in quibus emittiones de contingenti sunt vere et propositiones necessarie falsæ dicuntur accidentia. nam in quibus necessarie propositiones vere sunt ea ad proprietates referuntur sed non est.

accidens non posse esse in rerum natura quin sit in aliquo subiecto.

λους, οὗ ἐστιν ἴδιον. καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων. τὸ δὲ συμβεβηκός, καὶ εἰδῶν καὶ ἀτόμων. τό, τε γὰρ ζῷον, ἵππουτε καὶ βοὸς κατηγορεῖται εἰδῶν ὄντων. καὶ τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ βοός, ἀτόμων ὄντων. τὸ δὲ ἄλογον, ἵππου καὶ βοὸς κατηγορεῖται καὶ τῶν κατὰ μέρος. τὸ μὲν τοι εἶδος οἷον ὁ ἄνθρωπος, τῶν κατὰ μέρος μόνων κατηγορεῖται. τὸ δὲ ἴδιον, τοῦτε εἴδους οὗ ἐστιν ἴδιον, καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων. ἔστιν τὸ γελαστικὸν τοῦ ἀνθρώπου, καὶ τῶν κατὰ μέρος. τὸ δὲ μέλαν, τοῦτε εἴδους τῶν κοράκων, καὶ τῶν κατὰ μέρος, συμβεβηκὸς ὂν ἀχώριστον. καὶ τὸ κινεῖσθαι ἀνθρώπου τε καὶ ἵππου χωριστὸν ὂν συμβεβηκός. ἀλλὰ προηγουμένως μὲν τῶν ἀτόμων κατὰ δεύτερον δὲ λόγον, καὶ τῶν περιεχόντων τὰ ἄτομα.

ΠΕΡΙ κοινωνιῶν γένους καὶ διαφορᾶς.

Κοινὸν δὲ γένους καὶ διαφορᾶς, τὸ περιεκτικὸν τῶν εἰδῶν. περιέχει γὰρ ἡ διαφορὰ εἴδη, εἰ καὶ μὴ πάντα ὅσα τὰ γένη. τὸ γὰρ λογικὸν, εἰ καὶ μὴ περιέχει τὰ ἄλογα ὥσπερ τὸ ζῷον, ἀλλὰ περιέχει ἄγγελον καὶ ἄνθρωπον, ἅπερ ἐστὶν εἴδη. ὅσα τε κατηγορεῖται τοῦ γένους ὡς γένους, καὶ τῶν ὑπ' αὐτὸ εἰδῶν κατηγορεῖται, ὅσα τε τῆς διαφορᾶς ὡς διαφορᾶς, καὶ τοῦ ἐξ αὐτῆς εἴδους κατηγορηθήσεται. γένους τε γὰρ ὄντος τοῦ ζώου, ὡς γένους κατηγορεῖται ἡ οὐσία. καὶ τὸ ἔμψυχον. καὶ τὸ αἰσθητικόν. ἀλλὰ καὶ τῶν ὑπὸ τὸ ζῷον εἰδῶν ὄντων κατηγορεῖται ταῦτα, ἄχρι καὶ τῶν ἀτόμων. διαφορᾶς τε οὔσης τὸ λογικὸν, κατηγορεῖται ὡς διαφορᾶς τὸ λόγῳ χρῆσθαι. οὐ μόνον δὲ τοῦ λογικοῦ, ἀλλὰ καὶ τῶν ὑπὸ τὸ λογικὸν εἰδῶν κατηγορηθήσεται τὸ λόγῳ χρῆσθαι. κοινὸν δὲ καὶ τὸ ἀναιρεθέντος τοῦ γένους ἢ τῆς διαφορᾶς, συναναιρεῖσθαι καὶ τὰ ὑπ' αὐτά. ὡς τοῦ μὴ ὄντος ζώου οὐκ ἔστιν ἵππος, οὐδ' ἄνθρωπος. οὕτω μὴ ὄντος λογικοῦ οὐδὲν ἔσται ζῷον τὸ λόγῳ χρώμενον. περὶ διαφορᾶς γένους καὶ διαφορᾶς.

Ἴδιον δὲ τοῦ γένους, τὸ ἐπὶ πλείόνων κατηγορεῖσθαι, ἅπερ ἡ διαφορά, καὶ τὸ εἶδος, καὶ τὸ ἴδιον, καὶ τὸ συμβεβηκός. τὸ μὲν γὰρ ζῷον, ἐπ' ἀν-

a) Quæramus diligenter de re quæ genus aut differentia est vera et omnino aliter de specie etiam dicenda est.

b) Intelligendum non autem relationis et de differentiis constituentibus species aut genus non autem de dividentibus.

c) Intelligendum est de accidenti quatenus est in individuis simul cum reliquis, quæ subsistunt, genus formis.

ἐπ' ἀνθρώπου καὶ ἵππου, καὶ ὀρνέου, καὶ ὄφεως. τὸ δὲ πετρῶδες, ἐπὶ μόνων τῶν τέτταρας πόδας ἐχόντων. ὁ δὲ ἄνθρωπος ἐπὶ μόνων τῶν ἀτόμων. καὶ τὸ χειμετιστικὸν ἐπὶ τοῦ ἵππου μόνου καὶ τῶν κατὰ μέρος. καὶ τὸ συμβεβηκὸς, ὁμοίως ἐπ' ἐλαττόνων. λείπει δὲ διαφορὰς λαμβάνειν, αἳς τέμνεται τὸ γένος. οὐ τὰς συμπληρωτικὰς τῆς οὐσίας τοῦ γένους. ἀλλὰ τὰς διαιρετικάς. ἔτι τὸ γένος, περιέχει τὴν διαφορὰν, δυνάμει. τὸ γὰρ ζῶον, τὸ μὲν λογικὸν. τὸ δὲ ἄλογον. αἱ δὲ διαφοραὶ, οὐ περιέχουσι τὰ γένη. ἔτι τὰ μὲν γένη, πρότερα τῶν ὑπ' αὐτὰ διαφορῶν. διὸ συναναιρεῖ μὲν αὐτὰς, οὐ συναναιρεῖται δὲ ὑπ' αὐτῶν. ἀναιρεθέντος γὰρ τοῦ ζώου, συναναιρεῖται τὸ λογικὸν. καὶ τὸ ἄλογον. αἱ δὲ διαφοραὶ, οὐκέτι συναναιροῦσι τὸ γένος. κἂν γὰρ πᾶσαι ἀναιρεθῶσιν, οὐσία ἔμψυχος αἰσθητικὴ ἐπινοεῖται, ἥτις ἦν τὸ ζῶον. ἔτι τὸ μὲν γένος, ἐν τῷ τί ἐστιν, ἡ δὲ διαφορὰ, ἐν τῷ ὁποῖόν τί ἐστι· ὡς εἴρηται κατηγορεῖται. ἔτι γένος μὲν ἓν, καθ' ἕκαστον εἶδος. οἷον ἀνθρώπου γένος, τὸ ζῶον. διαφοραὶ δὲ πλείους. οἷον λογικὸν. θνητὸν νῷ καὶ ἐπιστήμης δεκτικόν. αἷς τῶν ἄλλων ζώων διαφέρει. καὶ τὸ μὲν γένος, ἔοικεν ὕλῃ· μορφῇ δὲ, ἡ διαφορά. προσόντων δὲ καὶ ἄλλων κοινῶντε καὶ ἰδίαν τῷ γένει καὶ τῇ διαφορᾷ ἀρκεῖ τοσαῦτα.

ΠΕΡΙ ΚΟΙΝΩΝΙΑΣ ΓΕΝΟΥΣ ΚΑΙ ΕΙΔΟΥΣ.

Γένος ἢ καὶ εἶδος, κοινὸν μὲν ἔχουσι, τὸ κατὰ πλείόνων ὡς εἴρηται κατηγορεῖσθαι. ἐπιφέρει δὲ τὸ εἶδος, ὡς εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ ὡς γένος. ἅπερ ἦν τὸ αὐτό, καὶ εἶδος καὶ γένος. κοινὸν ἦν αὐτοῖς, καὶ τὸ πρότερα εἶναι ὧν κατηγορεῖται. καὶ τὸ ὅλον τι εἶναι ἑκάτερον.

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΑΥΤΩΝ.

Διαφέρει δ', ὅτι τὸ μὲν γένος περιέχει τὰ εἴδη, τὰ δὲ εἴδη, περιέχεται οὐ περιέχει τὰ γένη. ἐπὶ πλεῖον γὰρ τὸ γένος τῶν εἰδῶν κατηγορεῖται. ἔτι τὰ γένη, προϋποκεῖσθαι δεῖ, ἃ καὶ διαμορφωθέντα ταῖς εἰδοποιοῖς διαφοραῖς, ἀποτελεῖν τὰ εἴδη. ὅθεν καὶ πρότερα τῇ φύσει τὰ γένη. καὶ συνα-

Dicunt enim naturalia quæ hæc sublata, alia tolluntur necessario, sed vt aliqua sublatis ipsa tollantur.

Non sine causa Porphyrius illo verbo vsus est, ἐπινοεῖται, quia reuera non potest genus esse sublatis omnibus differentijs. Sed quod ad intelligentiam rerum essentias differentem & abstrahentem attinet, verum est, differentijs nihil planè fingere, vel totam rationem generis animo concipientem

γ. aliqui idem cum scripsisse arbitrantur.

δ. Verba retinere & continuari hic significationis cumulatio complecti. vt non ad (καὶ) ἀφελεῖσθαι sed ad vim verborum referantur.

σωαναιρῶντα, ἀλλ' οὐ σωαναιρόμενα. γένους μὲν γὰρ ὄντος, πάντως ἐστὶ καὶ εἴδους. γένους δὲ μὴ ὄντος, οὐ πάντως ἐστὶν εἶδος. καὶ τὰ μὲν γένη, σωνωνύμως κατηγορεῖται τῶν ὑφ' αὐτὰ εἰδῶν. τὰ δὲ εἴδη τῶν γενῶν, οὐκέτι. ἔτι τὰ μὲν γένη, πλεονάζει τῇ τῶν ὑπ' αὐτὰ εἰδῶν περιοχῇ. τὰ δὲ εἴδη τῶν γενῶν πλεονάζει ταῖς οἰκείαις διαφοραῖς. ἔτι οὔτε τὸ εἶδος γένοιτ' ἂν γενικώτατον, οὔτε τὸ γένος εἰδικώτατον.

ΠΕΡΙ κοινωνιῶν γένους καὶ ἰδίου.

Γένους καὶ ἰδίου κοινὸν μέν, τὸ ἕπεσθαι τοῖς εἴδεσιν. εἴτι γὰρ ἄνθρωπος ζῶον. καὶ εἴτι ἄνθρωπος, γελαστικόν. καὶ τὸ ἐπίσης κατηγορεῖσθαι τὸ γένος τῶν εἰδῶν. καὶ τὸ ἴδιον τῶν αὐτοῦ μετεχόντων ἀτόμων. ἐπίσης γὰρ ὁ ἄνθρωπος καὶ Θεός, ζῶον. καὶ Ανυτος καὶ Μέλιτος γελαστικόν. κοινὸν δὲ τὸ σωνωνύμως κατηγορεῖσθαι τὸ γένος τῶν οἰκείων εἰδῶν. καὶ τὸ ἴδιον ὧν ἂν εἴη ἴδιον.

ΠΕΡΙ διαφορᾶς γένους καὶ ἰδίου.

Διαφέρει δὲ, ὅτι τὸ μὲν γένος πρότερον. ὕστερον δὲ τὸ ἴδιον. δεῖ γὰρ εἶναι ζῶον. εἶτα διαιρεῖσθαι διαφοραῖς καὶ ἰδίοις. καὶ τὸ μὲν γένος, κατὰ πλειόνων εἰδῶν κατηγορεῖται. τὸ δὲ ἴδιον, ἑνὸς εἴδους τινός ὅυ ἐστιν ἴδιον. ἔτι τὸ μὲν ἴδιον ἀντικατηγορεῖται ὅυ ἐστιν ἴδιον. τὸ δὲ γένος, οὐδενὸς ἀντικατηγορεῖται. οὔτε γὰρ εἴτι ζῶον ἄνθρωπος, οὔτε εἴτι ζῶον γελαστικόν. ὁ γὰρ ἄνθρωπος, γελαστικόν. οὐκ ἔμπαλιν. ἔτι τὸ μὲν ἴδιον, πάντῃ τῷ εἴδει ὑπάρχει ὅυ ἐστιν ἴδιον οὐ μόνῳ καὶ ἀεί. τὸ δὲ γένος, πάντῃ μὲν τῷ εἴδει ὅυ ἂν ᾖ γένος καὶ ἀεί. οὐ μέντοι οὐ μόνῳ. ἔτι τὰ μὲν ἴδια ἀναιρόμενα, οὐ σωναναιρεῖ τὰ γένη. τὰ δὲ γένη ἀναιρόμενα, σωναναιρεῖ τὰ εἴδη. ὧν ἐστιν ἴδια. ὥστε οὐ ὧν ἐστιν ἴδια ἀναιρεμένων, οὐ πάντα σωναναιρεῖται.

ΠΕΡΙ κοινωνίας γένους καὶ συμβεβηκότος.

Γένος δὲ καὶ συμβεβηκότος κοινόν, τὸ κατὰ πλειόνων ὡς εἰρηται κατηγορεῖσθαι, ἄντε τῶν χωριστῶν ᾖ, ἄντε τῶν ἀχωρίστων. οὐ μὴν οὐ τὸ κινεῖσθαι, κατὰ

ἴδους a quia gña secundum sunt tollunt species non autem tollitur genus ab illis remotis omnes quidem sublata sunt.

b Porphyrius hic accipitur pro priorem agit de de pluribus dicit quod tamen non secundum intellegi debet sed secundum animi cogitationem potest enim totum genus ratiocinando abstrahi contra fieri non potest. ut illum & speciei rationem intelligas abstrahi.

c forsan scr. de gñe et in sequ. communicatione quinque. v. sequ.

κατὰ πλήθονων, καὶ τὸ μέλαν, κατὰ κοράκων, καὶ αἰθιόπων, καὶ λίνων ἀφ' ὧν ἔχων.

Περὶ διαφορᾶς γένους καὶ συμβεβηκότος.

Διαφέρει δὲ τὸ γένος τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν γένος, πρὸ τῶν εἰδῶν. τὰ δὲ συμβεβηκότα, τῶν εἰδῶν ὕστερα. κἂν δ' ἀχώριστον λαμβάνηται συμβεβηκός, ἀλλ' οὖν πρότερόν ἐστι τὸ ᾧ συμβέβηκε τοῦ συμβεβηκότος, καὶ τοῦ μὲν γένους, ἐστίσης τὰ μετέχοντα μετέχει. τοῦ δὲ συμβεβηκότος, οὐκ ἐστίσης. ἐστίτασιν γὰρ καὶ ἄνεσιν ἐπιδέχεται τῶν συμβεβηκότων μέθεξις. ἡ δὲ τῶν γενῶν, οὐκέτι. καὶ τὰ μὲν συμβεβηκότα, ἐστὶ τῶν ἀτόμων πρηγουμένως ὑφίσταται. τὰ δὲ γένη καὶ τὰ εἴδη, φύσει πρότερα τῶν ἀτόμων οὐσιῶν. καὶ τὰ μὲν γένη, ἐν τῷ τί ἐστι κατηγορεῖται τῶν ὑπ' αὐτά. τὰ δὲ συμβεβηκότα, ἐν τῷ ὁποῖόν τί ἐστιν, ἤπως ἔχον ἕκαστον. ὁποῖος γὰρ αἰθίοψ ἐρωτηθείς, ἐρεῖς ὅτι μέλας. ἤπως ἔχει Σωκράτης, ἐρεῖς ὅτι νοσεῖ, ἢ ὑγιαίνει. τὸ μὲν οὖν γένος ἦν τῶν ἄλλων τεττάρων διαφέρει, εἴρηται. συμβέβηκε δὲ καὶ τῶν ἄλλων ἕκαστον διαφέρειν τῶν τεττάρων. ὥστε πέντε μὲν ὄντων. ἑνὸς δὲ ἑκάστου τῶν τεττάρων διαφέροντος, τεττάρας τὰ πέντε, εἴκοσι γίνεσθαι διαφορὰς τὰς πάσας. ἀλλ' οὐχ οὕτως ἔχει. ἀλλ' ἀεὶ τῶν ἐφεξῆς καταριθμουμένων, καὶ τῶν μὲν δύο μιᾷ λειπομένων διαφορᾷ διὰ τὸ ἤδη εἰλῆφθαι. τῶν δὲ τριῶν δυσί. τῶν δὲ τεττάρων τρισί. τῶν δὲ πέντε τέτταρσι, δέκα αἱ πᾶσαι γίνονται διαφοραί. τέτταρες, τρεῖς, δύο, μία, τὸ μὲν γὰρ γένος ἡ διαφέρει τῆς διαφορᾶς, καὶ τοῦ εἴδους, καὶ τοῦ ἰδίου, καὶ τοῦ συμβεβηκότος, εἴρηται. τέσσαρες οὖν αἱ διαφοραί. ἡ διαφορὰ δὲ τῷ μὲν διανήνοχε τοῦ γένους, εἴρηται ὅτε τῷ διαφέρει τὸ γένος αὐτῆς ἐξῄρεθη. λοιπὸν δὲ τῷ διαφέρει τοῦ εἴδους καὶ τοῦ ἰδίου, καὶ τοῦ συμβεβηκότος ἐνθήσεται, καὶ γίνονται τρεῖς. πάλιν δὲ τὸ εἶδος τῷ μὲν διαφέρει τῆς διαφορᾶς, ἐξῄρεθη ὅτε τῷ διαφέρει ἡ διαφορὰ τοῦ εἴδους ἐλέγετο. τῷ δὲ διαφέρει τὸ εἶδος τοῦ γένους, ἐξῄρεθη ὅτε τῷ διαφέρει τὸ

διαφέρει τὸ

a Omnia quæ æquabiliter dicuntur de suis, seriebus & individuis. Accidentia vero non quæ æquabiliter participantur a suis subiectis, fallit tamen nisi habeatur subiectorum ratio, &c.

b Hoc differunt quæ abundantibus, quod quæ priora sunt patrita individuis, accidentia vero fantina absunt vt sint priora ante individuis, vt quæ primo loco in ijsdem inhæreant & consistant posteriora ea quæ ijs individuis efficere nata sint.

c Numerum dummodo agebam duo & sex dantaxat.

d Nomen differentiæ dicitur hic actiue, pro tota eorum vocabulorum vocis ratione non pro singulis literarum ijs, quæ ponuntur inter singulas voces.

φέρει τὸ γένος τοῦ εἴδους ἐλέγετο. λοιπὸν οὖν τῇ διαφέρει τὸ εἶδος τοῦ ἰδίου, καὶ τοῦ συμβεβηκότος ξηθήσεται. δύο οὖν καὶ αὗται αἱ διαφοραί. τὸ δὲ ἴδιον τῇ διαφέρει τοῦ συμβεβηκότος καταλειφθήσεται. τῇ γὰρ τοῦ εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους διαφέρει, πρόσφυμον ἐστὶν ἐν τῇ ἐκείνων πρὸς αὐτὰ διαφορᾷ. τεσσάρων οὖν λαμβανομένων τοῦ γένους πρὸς τὰ ἄλλα διαφορῶν. τριῶν δὲ τῆς διαφορᾶς. δύο δὲ τοῦ εἴδους. μιᾶς δὲ τοῦ ἰδίου πρὸς τὸ συμβεβηκός, δέκα ἔσονται αἱ πᾶσαι. ὧν τὰς τέσσαρας αἱ ἴσαι τοῦ γένους πρὸς τὰ ἄλλα φθάσαντες ἀπελείξαμεν.

Περὶ κοινωνίας καὶ διαφορᾶς, εἴδους καὶ διαφορᾶς.

Κοινὸν δέ ἐστιν τῆς διαφορᾶς καὶ τοῦ εἴδους, τὸ ἐπίσης μετέχεσθαι. ἀνθρώπου τε γὰρ ἐπίσης μετέχουσιν οἱ κατὰ μέρος ἄνθρωποι, καὶ τῆς τοῦ λογικοῦ διαφορᾶς. κοινὸν δέ, καὶ τὸ ἀεὶ παρεῖναι τοῖς μετέχουσιν. ἀεὶ γὰρ Σωκράτης λογικός. καὶ ἀεὶ Σωκράτης ἄνθρωπος.

Ἴδιον δὲ διαφορᾶς μέν, τὸ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖσθαι. εἴδους δὲ τὸ ἐν τῷ τί ἐστι. κἂν γὰρ ὁ ἄνθρωπος ὡς ποιόντι λαμβάνηται οὐχ ἁπλῶς ἂν εἴη ποιόν. ἀλλὰ καθὸ τῷ γένει προστεθοῦσαι αἱ διαφοραὶ ὑπέστησαν αὐτόν. ἔτι ἡ μὲν διαφορὰ, ἐπὶ πλειόνων πολλάκις εἰδῶν θεωρεῖται, ὡς τὸ τετράπουν ἐπὶ πλείστων ζώων διαφερόντων τῷ εἴδει. τὸ δὲ εἶδος, ἐπὶ μόνων τῶν ὑπὸ τὸ εἶδος ἀτόμων ἐστίν. ἔτι ἡ μὲν διαφορὰ, πρότερα τοῦ κατ' αὐτὴν εἴδους. συναναιρεῖ γὰρ τὸ λογικὸν ἀναιρεθὲν, τὸν ἄνθρωπον. ὁ δὲ ἄνθρωπος ἀναιρεθεὶς, οὐκ ἀνῄρηκε τὸ λογικόν, ὄντος ἀγγέλου. ἔτι διαφορὰ μέν, σωτηθεῖσα μετ' ἄλλης διαφορᾶς. λογικὸν γὰρ ἡ θνητὸν σωσεταθεῖσα ὑπόστασιν ἀνθρώπου. εἶδος δὲ εἴδει, οὐ σωτηθεῖσα ὥστε ἀποτελέσαι ἄλλό τι εἶδος. τὸ μὲν γὰρ ἵππος, τινὶ ὄνῳ σωθεῖσι εἰς ἡμίονον γέννησιν. ἵππος δὲ ἁπλῶς ὄνῳ σωτεθεὶς, οὐκ ἂν ἀποτελέσειεν ἡμίονον.

ἀνθρώπου.

a[l]l non tamen simplicitatem qualitatem significat sed eam tantum significat rationem differentiae quam includit

Περὶ

Sub ratione speciei

Quod attinet ad rationem qua tota in individuum resolvitur, utrum ex individuorum communione procreatur alterum quidam species individuum: atque ita formarum quadam velut germinatio non quidem fiat sed ratio

Περὶ κοινωνίας καὶ διαφορᾶς, ἰδίου καὶ διαφορᾶς,

Διαφορὰ ἢ καὶ ἴδιον, κοινὸν μὲν ἔχουσι, τὸ ἐπίσης μετέχεσθαι ὑπὸ τῶν μετεχόντων. ἐπίσης γὰρ τὰ λογικὰ, λογικά. καὶ τὰ γελαστικὰ, γελαστικά. καὶ τὸ ἀεὶ καὶ πᾶσι παρεῖναι, κοινὸν ἀμφοῖν. κἂν γὰρ κολοβωθῇ ὁ λίπους, ἀλλὰ πρὸς τὸ πεφυκέναι τὸ ἀεὶ λέγεται. ἐπεὶ καὶ τὸ γελαστικὸν τῷ πεφυκέναι, ἔχει τὸ ἀεί, ἀλλ' οὐχὶ τῷ γελᾶν ἀεί. Ἴδιον δὲ διαφορᾶς, ὅτι αὕτη μὲν ἐπὶ πλειόνων εἰδῶν λέγεται πολλάκις, οἷον τὸ λογικὸν, ἐπὶ ἀγγέλου καὶ ἐπὶ ἀνθρώπου. τὸ δὲ ἴδιον, ἐφ' ἑνὸς εἴδους ἐστὶν ἴδιον. καὶ ἡ μὲν διαφορὰ ἕπεται ἐκείνοις ὧν ἐστὶ διαφορά. οὐ μὴν καὶ ἀντιστρέφει. τὰ δὲ ἴδια, ἀντικατηγορεῖται ὧν ἂν ἴδια διὰ τὸ ἀντιστρέφειν.

Περὶ κοινωνίας καὶ διαφορᾶς συμβεβηκότος καὶ διαφορᾶς.

Διαφορᾶς δὲ καὶ συμβεβηκότι κοινὸν μὲν τὸ ἐπὶ πλειόνων λέγεσθαι. κοινὸν δὲ καὶ πρὸς τὰ ἀχώριστα συμβεβηκότα, τὸ ἀεὶ καὶ πᾶσι προσεῖναι. τό, τε γὰρ λίπους, ἀεὶ πρόσεστι τῷ ἀνθρώπῳ, καὶ πᾶσι κόραξι, καὶ τὸ μέλανα εἶναι ὁμοίως. Διαφέρει δὲ, ὅτι ἡ μὲν διαφορὰ περιέχει τὰ εἴδη, οὐ περιέχεται δέ. περιέχει δὲ τὸ λογικὸν, τὸν ἄγγελον καὶ τὸν ἄνθρωπον. τὰ δὲ συμβεβηκότα, ὅπου μέν τινα, περιέχει τῷ ἐν πλείοσιν εἶναι. ὅπου δέ τινα περιέχεται, τῷ μὴ ἑνὸς συμβεβηκότος εἶναι λεκτικὰ τὰ ὑποκείμενα, ἀλλὰ πλειόνων. καὶ ἡ μὲν διαφορὰ ἀνεπίταγός τε καὶ ἀνάνετος. τὰ δὲ συμβεβηκότα, τὰ μᾶλλον καὶ ἧττον ἐπιδέχοντα, καὶ ἀμιγῆ μὲν ἀλλήλαις ἐναντίαι διαφοραί. μιγείη δ' ἄν ποτε τὰ ἐναντία συμβεβηκότα. διαφέρουσι μὲν αἱ κοινότητες καὶ ἰδιότητες τῆς διαφορᾶς, καὶ τῶν ἄλλων. τὸ δὲ εἶδος πῇ μὲν διαφέρει γένους καὶ διαφορᾶς εἴρηται, ἐν ᾧ ἐλέγομεν πῇ τὸ γένος διαφέρει τῶν ἄλλων, καὶ πῇ ἡ διαφορὰ διαφέρει τῶν ἄλλων. λοιπὸν πῇ διαφέρει τοῦ ἰδίου

1 Melius illud quod natura insitum est. Vtpote si quando sæpenumerò præterinatu ram sit.

2 Scito plurima non omnia.

3 Quod dicit Porphyr. accidentia quædam modo rotinen & quædam modo rotinari non posse, est aliter vertendum, nisi vt diuerso modo verbum rotinandi accipiatur. Nam sic dicuntur accidentia rotinare, quia ambitus sua significationis non ad vnum modo subiectum pertinent sed ad alia permultæ. Quod verò, rotinari accidens a subiecto dicitur id non sam ad significationem pertinet vocabuli, sed ad id quod est velut multorum accidentium receptaculum vnum ideoq; subiectum, in quo continentis similitudinem refert.

4 Intelliga de differentia maxime progria.

5 Id verum est in plurimis accidentibus non in omnibus.

6 Intelliga de differentiis subalternarum, nam in accidentibus regari nō potest quin differentiæ contrariarum formarum in medio constitutæ permisceantur aeq; ipsæ formæ contrariæ velut in pallido tam rotinet est congregatim & segregatim vsus permisceri quàm album & nigrum.

Et proprie est et speciei distinctio sic intelligenda est ut dicatur eo differre species a proprio quod species aliqua esse potest quae comparata ad res sibi subiectas nomen speciei amittat ut iam genus dicatur, At nullum proprium est quod comparatum ad inferiora illius formae cuius est proprium aliud nomen accipiat quam proprii. Cum enim proprium de inferioribus formis dicitur non amittit proprii

Εἰσαγωγή. 11

ἰδίου καὶ τοῦ συμβεβηκότος ῥηθήσεται.

Περὶ κοινωνίας καὶ διαφορᾶς εἴδους καὶ ἰδίου.

Εἴδους δὲ καὶ ἰδίου, κοινὸν μὲν, τὸ ἀλλήλων ἀντικατηγορεῖσθαι. εἴ τι δὲ ἄνθρωπος, γελαστικόν. καὶ εἴ τι γελαστικὸν, ἄνθρωπος. τὸ δὲ γελαστικὸν ὅτι κατὰ τὸ πεφυκέναι γελᾶν ληπτέον, πολλάκις εἴρηται. κοινὸν δὲ καὶ τὸ ἐπίσης εἶναι. ἐπίσης τε γὰρ πάρεστι τὰ εἴδη τοῖς μετέχουσι, καὶ τὰ ἴδια ὧν ἐστιν ἴδια Διαφέρει δὲ τὸ εἶδος τοῦ ἰδίου, ὅτι τὸ μὲν εἶδος, δύνατο ἄλλων γένος εἶναι. τὸ δὲ ἴδιον ἄλλων εἶναι ἴδιον, ἀδύνατον. καὶ τὸ μὲν εἶδος, προϋφέστηκε τοῦ ἰδίου. τὸ δὲ ἴδιον, ἐπιγίνεται τῷ εἴδει. δεῖ δὲ ἄνθρωπον εἶναι ἵνα γελαστικὸν ᾖ. ἔτι τὸ μὲν εἶδος, ἀεὶ ἐνεργείᾳ πάρεστι τῷ ὑποκειμένῳ. τὸ δὲ ἴδιον, ποτὲ καὶ δυνάμει. ἄνθρωπος μὲν γὰρ ἀεὶ ἐνεργείᾳ ὁ Σωκράτης ἐστί. γελᾷ δὲ οὐκ ἀεί. καίπερ ἀεὶ πεφυκὼς εἶναι γελαστικός. ἔτι ὧν οἱ ὅροι διάφοροι, καὶ αὐτὰ διάφορα. ἔστι δὲ εἴδους μὲν, τὸ ὑπὸ τὸ γένος εἶναι· καὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον εἶναι. καὶ ὅσα τοιαῦτα. ἰδίου δὲ, τὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ προσεῖναι.

Περὶ κοινωνίας καὶ διαφορᾶς εἴδους καὶ συμβεβηκότος.

Εἴδους δὲ καὶ συμβεβηκότος κοινὸν μὲν, τὸ ἐπὶ πλειόνων κατηγορεῖσθαι. πάνιοι δὲ αἱ ἄλλαι κοινότητες, διὰ τὸ πλεῖστον ἀλλήλων διεστάναι, τό, τε συμβεβηκὸς, καὶ τὸ, ᾧ συμβέβηκεν. Ἰδία δὲ ἑκατέρου, τοῦ μὲν εἴδους, τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ὧν ἐστιν εἶδος. τοῦ δὲ συμβεβηκότος, τὸ ἐν τῷ ὁποῖόν τί ἐστιν ἤπως ἔχον ἐστί. καὶ τὸ ἑκάστην οὐσίαν ἑνὸς μὲν εἴδους μετέχειν. συμβεβηκότων δὲ, πλειόνων τῶν τε χωριστῶν καὶ τῶν ἀχωρίστων. καὶ τὰ μὲν εἴδη, προεπινοεῖται τῶν συμβεβηκότων κἂν ἀχώριστα ᾖ. δεῖ δὲ εἶναι τὸ ὑποκείμενον, ἵνα ἐκείνῳ τὶ συμβῇ. τὰ δὲ συμβεβηκότα, ὑστερογενῆ εἶναι πέφυκε καὶ ἐπουσιώδη τὴν φύσιν ἔχει. καὶ τοῦ μὲν εἴδους ἡ μετοχὴ ἐπίσης. τοῦ δὲ συμβεβηκότος κἂν ἀχώ

quod dicit de mutua attributione proprii et speciei est tantum referendum ad enuntiationis veritatem non ad modum attributionis. quia proprie enuntiatur de specie proprium contra autem proprie species de proprio.

quod conveniant aequabiliter iis quibus conveniunt.

species potest aliud esse quam species: At proprium non potest aliorum esse proprium quam eorum quorum est proprium.

individuo cuius species est

non semper actu

Quia aliae tradi possunt speciei definiones.

ε ὑπίστασθαι proprie pertinet ad verum existentiam exprimendam. quae si spectetur non verum est speciem ante in rerum natura esse quam proprium. at Porphyr. hoc loco vult hoc vocabulum ad ad essentiam potius pertinere quam ad ὑπόστασιν. nam certum est animi cogitatione esse etiam speciei ante esse concipiendam quam intelligere possemus aliquam ei proprietatem advenisse.

Tametsi authore Porphyr. accidentia in individuis primo loco consistant in hac tamen comparatione speciei cum accidente pro subiecto accidentis speciem accepit potius quam individuum quia scientiis et artibus accommodatum subiectum semper species est nunquam individua.

non omnino sed ut plurimum.

κἂν ἀχώριστον ᾖ, οὐκ ἐστὶ σης· ἡ γὰρ αἰθιοπὶς αἰθίοπος ἔχει ἂν τὴν χροιὰν ἢ ἀνεμπλήκτως, ἢ ἐπιτεταμένην κατὰ μελανίαν. λείπεται ἢ περὶ ἰδίου ἢ συμβεβηκότες εἶναι. τῶν δὲ ἰδίων τὰ μὲν εἴδους καὶ τῆς διαφορᾶς, καὶ τὰ γένους διενήνοχεν, εἴρηται.

ΠΕΡΙ Κοινωνίας καὶ διαφορᾶς ἰδίᾳ καὶ συμβεβηκότες.

Κοινὸν δὴ τῷ ἰδίῳ καὶ τῷ ἀχωρίστῳ συμβεβηκότι, τὸ ἄνδι αὐτῶν μὴ ὑπος ῆναι ἐκεῖνα, ἐφ' ὧν θεωρεῖται. ὡς γὰρ ἄνδι τοῦ μελανικοῦ οὐχ ὑφίσταται ἄνθρωπος, οὕτως οὐδὲ ἄνδι τοῦ μέλανος ὑποκείη ἂν αἰθιοπὶς. καὶ ὥσπερ τὸ σαπὴ μὴ ἀεὶ πάρεστι τῷ ἰδίῳ, οὕτω μὴ τῷ ἀχώριστον συμβεβηκός.

Περὶ διαφορᾶς τῶν αὐτῶν.

Διενήνοχε δὲ, ὅτι τὸ μὲν ἴδιον, ἑνὶ μόνῳ πάρεστιν εἴδει, ὡς τὸ μελανικὸν ἀνθρώπῳ. τὸ δὲ ἀχώριστον συμβεβηκὸς, οἷον τὸ μέλαν, οὐκ αἰθιόπων μόνον, ἀλλὰ καὶ κόραξι πρόσεστι καὶ ἄνθραξι. καὶ ἐβένῳ, καὶ ἄλλοις τισίν. ἔτι τὸ μὲν ἴδιον ἀντικατηγορεῖται οὗ ἐστιν ἴδιον. καὶ ἔστιν ἐστὶ σης. τὸ δὲ ἀχώριστον συμβεβηκὸς, οὐκ ἀντικατηγορεῖται. καὶ τῶν μὲν ἰδίων, ἐστὶ σης ἢ μετοχή· τῶν δὲ συμβεβηκότων, ἡ μὲν, μᾶλλον. ἡ δὲ, ἧττον. εἰσὶ μὲν οὖν καὶ ἄλλα κοινότητές τε καὶ ἰδιότητες τῶν εἰρημένων. ἀλλ' ἐξαρκοῦσιν καὶ αὗται εἰς διάκρισίν τε αὐτῶν, καὶ τῆς κοινωνίας παρά σαν.

ΤΕΛΟΣ ΤΩΝ Ε ΦΩΝΩΝ
ΤΟΥ ΠΟΡΦΥΡΙΟΥ.

ΕΡΑΙΝΟΣ ΤΙΜΗ ΚΑΙ ΔΟΞΑ ΧΡΩ
ΙΗΣΟΥ, ΤΩ ΛΥΤΡΩΤΗ
ΗΜΩΝ.

Χριστο

a hoc verbum hic incipit accipitur nec considerat ullo modo ἐνδέχεται ἢ ὑπάρχειν, seu παρεῖναι, quæ est actus substantiales desiderans.

Quod dicunt Interpretes Aristotelem in prima & posteriorum huius operis de quibusdam rebus agere quæ ne essarie erant ad explicationem κατηγοριῶν. id non plane videtur sustinere ei qui reputabit secum ad categorias earum explicationem alia etiam multa sunt necessaria de his solis egerit, reliqua æque necessaria omiserit. Nam si verum est quod ait Porphyr. necessariam esse quinque vocum cognitionem ad κατηγορίας Aristot. intelligendas: nulla videtur ista ratio reddi posse cur non pariter de his quinque vocibus ante prædicamenta aut certe in posteriorum prædicamentis egerit atque de aliis quæ ab ipso explicata sunt. Sui enim magis dubium esse potest magis necessariam esse quinque vocum cognitionem ad categorias quam formarum motus distinctionem. In prima itaque parte huius libelli explicantur ea quæ habent velut principiorum rationem ad categoriarum tractationem. nec potuit Aristot. suo more & ordine de categoriis agere quin ante explicata essent ea quæ erant principia huius tractationis quæque maxima prædicamenta. In posteriore vero parte Aristot. suo more explicavit ea quæ erant velut communia & quasi dispositiones de categoriis ea quæ velut maximæ communitates. quinque vocum autem cognitio licet sit necessaria ad categorias non tamen est ita necessaria ut prægressa sit.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΙ.

ΠΕΡΙ ΟΜΩΝΥΜΩΝ.

ΟΜΩΝΥΜΑ λέγεται, ὧν ὄνομα μόνον κοινόν. ὁ δὲ κατὰ τὸ ὄνομα λόγος τῆς οὐσίας ἕτερος, οἷον ζῷον, ὅ, τε ἄνθρωπος, καὶ ὁ γεγραμμένον· τούτων γὰρ ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. ἐὰν γὰρ ἀποδιδῶτις τί ἐστιν ἑκατέρῳ, τῷ ζῴῳ εἶναι, ἴδιον ἑκατέρου λόγον ἀποδώσει.

ΠΕΡΙ ΣΥΝΩΝΥΜΩΝ.

Συνώνυμα δὲ λέγεται, ὧν τό, τε ὄνομα κοινόν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός, οἷον ζῷον, ὅ, τε ἄνθρωπος, καὶ ὁ βοῦς. τούτων γὰρ ἑκάτερον κοινῷ ὀνόματι προσαγορεύεται ζῷον, καὶ ὁ λόγος δὲ τῆς οὐσίας ὁ αὐτός. ἐὰν γὰρ ἀποδιδῶτις, ἓν ἑκατέρου λόγον, τί ἐστιν ἑκατέρῳ αὐτῶν, τῷ ζῴῳ εἶναι, ἓν ἀνὸν ἀποδώσει λόγον.

ΠΕΡΙ ΠΑΡΩΝΥΜΩΝ.

Παρώνυμα δὲ λέγεται, ὅσα ἀπὸ τίνος διαφέροντα τῇ πτώσει τοῦ κατὰ τοὔνομα προσηγορίαν ἔχει, οἷον ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός. καὶ ἀπὸ τῆς ἀνδρίας, ὁ ἀνδρεῖος.

ΠΕΡΙ ΤΩΝ ΛΕΓΟΜΕΝΩΝ.

Τῶν λεγομένων, τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκήν, οἷον ἄνθρωπος τρέχει, ἄνθρωπος νικᾷ. τὰ δὲ ἄνευ συμπλοκῆς, οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ.

περὶ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΠΕΡΙ ΤΩΝ ΟΝΤΩΝ.

Τῶν ὄντων, τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν, οἷον ἄνθρωπος, καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινος ἀνθρώπου, οὐ ὑποκειμένῳ δὲ οὐδενί ἐστι. τὰ δὲ ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐδενός λέγεται. ἐν ὑποκειμένῳ δὲ λέγω ὃ ἔντιν ἀμὴ ὡς μέρος ὑπάρχον, ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν, οἷον ἡ τῆς γραμματικῆς ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ, καθ' ὑποκειμένου δὲ οὐδενός λέγεται. καὶ τουτὶ τὸ λευκὸν, ἐν ὑποκειμένῳ μέν ἐστι τῷ σώματι, ἅπαν γὰρ χρῶμα ἐν σώματι, καθ' ὑποκειμένου δὲ οὐδενός λέγεται. τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται, καὶ ἐν ὑποκειμένῳ ἐστὶν, οἷον ἡ ἐπιστήμη, ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ, καθ' ὑποκειμένου δὲ λέγεται τῆς γραμματικῆς. τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν, οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται, οἷον ὁ τὶς ἄνθρωπος, ἢ ὁ τὶς ἵππος. οὐδὲν δὴ τῶν τοιούτων, οὔτε ἐν ὑποκειμένῳ ἐστὶν, οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται. ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ κατ' οὐδενός μὲν ὑποκειμένου λέγεται, ἐν ὑποκειμένῳ δὲ ἔνια οὐδὲν κωλύει εἶναι. ἡ γὰρ τις γραμματικὴ, τῶν ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐδενός λέγεται. ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ἐρεθήσεται, οἷον ὁ ἄνθρωπος, κατὰ τοῦ τινος ἀνθρώπου κατηγορεῖται, τὸ δὲ ζῷον κατὰ τοῦ ἀνθρώπου. οὐκοῦν καὶ κατὰ τινὸς ἀνθρώπου τὸ ζῷον κατηγορηθήσεται. ὁ γάρ τις ἄνθρωπος, καὶ ἄνθρωπός ἐστι καὶ ζῷον. Τῶν ἑτεροζυγῶν, καὶ μὴ ὑπαλλήλα τεταγμένων ἕτερα τῷ εἴδει καὶ αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης. ζῴου μὲν γὰρ διαφοραί, τό, τε πεζὸν, καὶ τὸ πτηνὸν, καὶ τὸ ἔνυδρον, ἐπιστήμης δὲ οὐ δεμία τούτων. οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ πίστιν εἶναι. Τῶν δὲ ὑπαλλήλα γενῶν, οὐδὲν κωλύει τὰς αὐτὰς

Eorum gnum quorum alia sub aliis posita sunt dicit Arist. non vetare easdem esse differentias quia non verum sit dividentes superioris gnis differentias gnis etiam inferioris differentias esse. tametsi enim verum sit quae sunt superiorum gnum constituentes easdem etiam inferioribus convenire tamen in dividentibus non fere plusquam una ex dividentibus potest in inferiore gne reperiri.

Κατηγορίαι.

αὐτὰς διαφορὰς εἶναι. τὰ γὰρ ἐπάνω, τῶν ὑπ' αὐτὰ γενῶν κατηγορεῖται. ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται. Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, ἕκαστον ἤτοι οὐσίαν σημαίνει, ἢ ποσὸν, ἢ ποιὸν, ἢ πρός τι, ἢ ποῦ, ἢ ποτὲ, ἢ κεῖσθαι, ἢ ἔχειν, ἢ ποιεῖν, ἢ πάσχειν. ἔστι δὲ οὐσία μὲν ὡς ἐν τύπῳ εἰπεῖν, οἷον ἄνθρωπος, ἵππος. ποσὸν δὲ, οἷον δίπηχυ, τρίπηχυ. ποιὸν δὲ, οἷον λευκὸν, γραμματικόν. πρός τι δὲ, οἷον διπλάσιον, ἥμισυ, μεῖζον. ποῦ δὲ, οἷον ἐν ἀγορᾷ, ἐν λυκείῳ. ποτὲ δὲ, οἷον χθὲς, πέρυσι. κεῖσθαι δὲ, οἷον ἀνάκειται, κάθηται. ἔχειν δὲ, οἷον ὑποδεδέσθαι, ὡπλίσθαι. ποιεῖν δὲ, οἷον τέμνειν, καίειν. πάσχειν δὲ, οἷον τέμνεσθαι, καίεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων, ἀπὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται, ἢ ἀποφάσει. τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίνεται, ἅπασα γὰρ κατάφασις ἢ ἀπόφασις δοκεῖ, ἤ τοι ἀληθὴς ἢ ψευδὴς εἶναι. τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, οὐδὲν οὔτε ἀληθὲς, οὔτε ψεῦδός ἐστιν. οἷον ἄνθρωπος, λευκὸν, τρέχει, νικᾷ.

ΠΕΡΙ ΟΥΣΙΑΣ.

Οὐσία δέ ἐστιν, ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος, καὶ ὁ τὶς ἵππος. δεύτεραι δὲ οὐσίαι λέγονται, ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσιν. ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη. οἷον ὁ τὶς ἄνθρωπος, ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ. γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῶον. δεύτεραι οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ, τε ἄνθρωπος καὶ τὸ ζῶον. Φανερὸν δὲ ἐκ τῶν εἰρημένων, ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων, ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου. οἷον ὁ ἄνθρωπος καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου. κατηγορεῖταί γε καὶ τοὔνομα. τὸν γὰρ ἄνθρωπον κατὰ τοῦ τινὸς ἀν-

θρώπου

θρώπου κατηγορήσεις, καὶ ὁ λόγος δὲ ὁ τοῦ ἀνθρώπου κατὰ τοῦ τινὸς ἀν
θρώπου κατηγορηθήσεται. ὁ γάρ τις ἄνθρωπος καὶ ἀνθρωπός ἐστι, καὶ
ζῶον. ὥστε, καὶ τοὔνομα, καὶ ὁ λόγος, κατὰ τοῦ ὑποκειμένου κατηγορη-
θήσεται. Τῶν δὲ ἐν ὑποκειμένῳ ὄντων, ἐστὶ μὲν τῶν ἀπείρων,
οὔτε τοὔνομα, οὔτε ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου. ἔστι δ' ἐνίων δὲ
ζοὔνομα μὲν οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ ὑποκειμένου, ὁ δὲ
λόγον ἀναγκαῖον, οἷον τὸ λευκὸν ἐν ὑποκειμένῳ ὂν τῷ σώματι κατη-
γορεῖται τοῦ ὑποκειμένου. λευκὸν γὰρ σῶμα λέγεται. ὁ δὲ λόγος ὁ τοῦ
λευκοῦ, οὐδαμοῦ ποτε κατὰ σώματος κατηγορηθήσεται. Τὰ δὲ ἄλλα πάν-
τα ἤτοι καθ' ὑποκειμένου λέγεται τῶν πρώτων οὐσιῶν, ἢ ἐν ὑπο-
κειμένῳ αὐταῖς ἐστι. φανερὸν δὲ τοῦτο, ἐκ τῶν καθέκαστα προχειρίζο-
μένων, οἷον τὸ ζῶον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται, οὐκοῦν καὶ κα-
τὰ τοῦ τινος ἀνθρώπου κατηγορηθήσεται. εἰ γὰρ κατὰ μηδενὸς τῶν
τινῶν ἀνθρώπων, οὐδὲ κατὰ τοῦ ἀνθρώπου ὅλως. πάλιν τὸ χρῶμα τοῦ
σώματι, οὐκοῦν καὶ ἔν τινι σώματι. εἰ γὰρ μὴ ἔνεστί τινι τῶν καθέκα-
στα, οὐδὲ ἐν σώματι ὅλως. ὥστε τὰ ἄλλα πάντα, ἤτοι καθ' ὑποκει-
μένου τῶν πρώτων οὐσιῶν λέγεται, ἢ ἐν ὑποκειμένῳ αὐταῖς ἐστιν.
μὴ οὐσῶν οὔτε τῶν πρώτων οὐσιῶν, ἀδύνατον τῶν ἄλλων τι εἶναι.

Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους ἐστίν.
ἔγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀποδιδῶτις τὴν πρώ
την οὐσίαν τί ἐστι. γνωριμώτερον ἂν καὶ οἰκειότερον ἀποδοίη τὸ εἶ-
δος μᾶλλον, ἢ τὸ γένος ἀποδιδούς, οἷον τὸν τινὰ ἄνθρωπον γνωριμώ-
τερον ἂν ἀποδοίη, ἄνθρωπον ἀποδιδοὺς ἢ ζῶον. τὸ μὲν γὰρ ἴδιον μᾶλ
λον τοῦ τινὸς ἀνθρώπου. τὸ δὲ κοινότερον, καὶ τὸ τί πλέονος ἀπο-
διδούς, γνωριμώτερον ἀποδώσει πλέονος ἀποδιδούς, ἢ φυτόν.
Ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι, καὶ
πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι, ἢ ἐν αὐταῖς εἶναι διὰ τοῦτο μά-

Tametsi differentiae [illegible] substantias fias comparatio secundum dignitatem ac perfectionem formarum, dubium non est quin aliae aliis dicantur maxime substantiae: [illegible] est quod sibi vult Arist. lib. 1. de cr. et inter. quando inter substantias ortui obnoxias dicit alias esse magis substantias aliis: atque aliam magis significare substantiae rationem quam aliam. At si in communi substantiae ratione conferantur, quae in vina attribuendi forma consistit, tunc certum est in hac logica ratione omnes ex aequo esse substantias.

κατηγορίαι.

τοιτο μάλιστα, οὐσίαι, πρῶται λέγονται. ὡς δέγε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα ἔχουσιν, οὕτω καὶ τὸ εἶδος πρὸς τὸ γένος ἔχει. ὑπόκειται γὰρ τὸ εἶδος τῷ γένει. τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει. ὥστε καὶ ἐκ τούτων, τὸ εἶδος τοι γένους μᾶλλον οὐσία. Αυτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν. οὐδὲν γὰρ οἰκειότερον ἀποδώσει κατὰ τοι τινὸς ἀνθρώπου τὸν ἄνθρωπον ἀποδιδοὺς, ἢ κατὰ τοι τινὸς ἵππου τὸν ἵππον, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν. οὐδὲ γὰρ μᾶλλον ὁ τὶς ἄνθρωπος οὐσία ἐστὶν, ἢ ὁ τὶς βοῦς. εἰκότως δὲ μετὰ τὰς πρώτας οὐσίας, μόνα τῶν ἄλλων τὰ εἴδη καὶ τὰ γένη δεύτεραι οὐσίαι λέγονται. μόνα γὰρ δηλοῖ τὴν πρώτην οὐσίαν τῶν κατηγορουμένων. τὸν γάρ τινα ἄνθρωπον, ἐὰν ἀποδιδῶ τις τί ἐστι, τὸ μὲν εἶδος ἢ τὸ γένος ἀποδιδοὺς, οἰκείως ἀποδώσει, καὶ γνωριμώτερον ποιήσει ἄνθρωπον, ἢ ζῶον ἀποδιδούς. τῶν δὲ ἄλλων πάντων, ὅτι ἂν ἀποδιδῶ τις ἀλλοτρίως ἔσται ἀποδεδωκὼς, οἷον λευκὸν, ἢ τρέχει, ἢ ἄλλο ὁτιοῦν τοιούτων ἀποδιδούς. ὥστε εἰκότως ταῦτα μόνα τῶν ἄλλων οὐσίαι λέγονται. Ετι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι, καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι, ἢ ἐν αὐταῖς εἶναι, κυριώταται οὐσίαι λέγονται. ὡς δέγε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, οὕτω καὶ τὰ γένη καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν, πρὸς τὰ λοιπὰ πάντα ἔχει. κατὰ τούτων γὰρ πάντα τὰ λοιπὰ κατηγορεῖται. τὸν γάρ τινα ἄνθρωπον ἐρεῖς γραμματικὸν, οὐκοῦν καὶ ἄνθρωπον καὶ ζῶον γραμματικὸν ἐρεῖς. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Κοινὸν δὲ κατὰ πάσης οὐσίας, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἡ μὲν δὲ πρώτη οὐσία οὔτε ἐν ὑποκειμένῳ ἐστὶν, οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται. Τῶν δὲ δευτέρων οὐσιῶν. φανερὸν μὲν καὶ οὕτως, ὅτι οὐκ ἐν

d ii

Tametsi differentiae ad constituendam primarum substantiarum essentiam necessariae sunt, quia tamen non quid sit sed quale quid sit significant propterea non possunt ad categoriam substantiae pertinere. Est enim communis ratio substantiae significare rem quae praeconomine τι ἁπλῶς [illegible] simpliciter et absolute ens significat.

Posterior Arist. ratio ad hunc modum est intelligenda. Illa sola merito secundae substantiae appellari potuerunt, quibus secundo loco convenit illa ratio propter quam primae substantiae primum et maxime appellatae sunt substantiae. Atqui huiusmodi sunt genera et species, cum sola sint genera et species quae praeter primas substantias significant rem quae per se ipsa constat. Merito post primas substantias illa sola erunt, quae subiectorum rationem habere possunt. At subiecti rationem habere, est causam propter quam primae substantiae primae sunt, maximae, et principales substantiae. Reliquum ergo est ut merito secundae substantiae ea appellentur, quibus secundo loco convenit subiecta esse. Neque enim verum est quod ait Averroës, universales substantias esse universalium accidentium subiecta, eodem modo quo singulares substantiae singularium accidentium. Nullum enim singulare universale est res aliqua praeter sua singularia. Quod ergo est primum subiectum singularium accidentium, idem necessario erit subiectum universalium accidentium. Ut omittam si universalis substantia esset subiectum primum universalis accidentis, sequeretur oporteret in totam speciem cadere quodvis universale accidens quod in specie inesset. Veluti si homo ut universale aliquod esset primum subiectum grammaticae necessario oporteret in totam speciem hominis cadere grammaticam, ideoque oporteret omnem hominem grammaticum esse.

Ex multarum proprietatum coniunctione natura rei ita adumbrari solet, ut ex intellectu ipsarum res, quarum sunt proprietates intelligantur. Quae tamen est cur Arist. non fuerit contentus divisione categoriarum, sed proprietates etiam multas in singulis explicandis proposuerit.

Cum Aristoteles negat soli substantiae convenire non esse in subiecto, quia differentiis convenit non esse in subiecto, aperte indicat ad categoriam substantiae differentiam pertinere non posse, neque enim de substantia ab Aristotele alio modo verum est, quam qua ratione primam entis categoriam constituit. Cum enim illi institutum sit de categoriis agere, si in singularum tractatione non agit de illis ut categoriae sunt, hoc est summa ac prima entis genera, necessario fatendum erit Aristotelem ab instituto suo destitisse, quod vel velle

ἀριστοτέλους

σὶν ἐν ὑποκειμένῳ. ὁ δ' ἄνθρωπος καθ' ὑποκειμένου μὲν τοῦ τινὸς ἀνθρώ-
που λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν. οὐδὲ γὰρ ἐν τῷ τινὶ ἀνθρώπῳ
ὁ ἄνθρωπός ἐστιν. ὡσαύτως δὲ καὶ τὸ ζῷον, καθ' ὑποκειμένου μὲν λέγεται
τινὸς ἀνθρώπου. οὐκ ἔστι δὲ τὸ ζῷον ἐν τῷ τινὶ ἀνθρώπῳ. ἔτι τῶν ἐν ὑ-
ποκειμένῳ ὄντων. τὸ μὲν ὄνομα οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ
ὑποκειμένου. τὸν δὲ λόγον, ἀδιώατον. τῶν δὲ λοιπῶν οὐσιῶν κατη-
γορεῖται καὶ ὁ λόγος τοῦ ὑποκειμένου, καὶ ζῦνομα. τὸν δὲ τοῦ ἀνθρώπου
λόγον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις, καὶ τὸν τοῦ ζώου δὲ, ὡσαύ-
τως. ὥστε οὐκ ἂν εἴη ἡ οὐσία τῶν ἐν ὑποκειμένῳ. οὐκ ἴσιον δὲ οὐσίας
εἶναι, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐσί. τὸ μὲ πεζὸν, καὶ
τὸ λίπουσα καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου. ἐν ὑποκει-
μένῳ δὲ οὐκ ἔστι. οὐδὲ δὲ ἐν τῷ ἀνθρώπῳ ἐσὶ τὸ λίπουσα, οὐδὲ τὸ πεζόν.
καὶ ὁ λόγος δὲ κατηγορεῖται ὁ τῆς διαφορᾶς, καθ' οὗ ἂν λέγηται ἡ δι-
αφορὰ, ἴσιον εἶ τὸ πεζὸν κατὰ τοῦ ἀνθρώπου λέγεται. καὶ ὁ λόγος ὁ τοῦ
πεζοῦ κατηγορηθήσεται τοῦ ἀνθρώπου. πεζὸν γάρ ἐσιν ὁ ἄνθρωπος.

Μὴ ταραπέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα
τοῖς ὅλοις. μήποτε ἀναγκαθῶμεν οὐκ οὐσίας αὐτὰ φάσκειν εἶναι. οὐ γὰρ
οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο, τὰ ὡς μέρη ὑπάρχοντα ἑνί τινι.

Ὑπάρχει δὲ ταῖς οὐσίαις, καὶ ταῖς διαφοραῖς, τὸ πάντα σωωνύμως
ἀπ' αὐτῶν λέγεσθαι. πᾶσαι γὰρ αἱ ἀπὸ τούτων κατηγορίαι, ἤτοι κα-
τὰ τῶν ἀτόμων κατηγοροῦσιν ἢ κατὰ τῶν εἰδῶν. ἀπὸ μὲν γὰρ τῆς
πρώτης οὐσίας, οὐδεμία κατηγορία ἐσί. κατ' οὐδενὸς γὰρ ὑποκειμένου
λέγεται. Τῶν δὲ δευτέρων οὐσιῶν, τὸ μὲν εἶδος, κατὰ τὸ ἀτό-
μου κατηγορεῖται, τὸ δὲ γένος, καὶ κατὰ τοῦ εἴδους, καὶ κατὰ ζῦ ἀτό-
μ. ὡσαύτως δ' καὶ αἱ διαφοραὶ, καὶ κατὰ τῶν εἰδῶν, καὶ κατὰ τῶν
ἀτόμων κατηγοροῦσι, καὶ τὸν λόγον δὲ ἐπιδέχονται αἱ πρῶται οὐ
σίαι τῶν εἰδῶν, καὶ τῶν τῶν γενῶν, καὶ τὸ εἶδος δὲ τὸν τοῦ γένους,
ὅσα γὰρ

diuersi, itemq; quantitatem, ad aliquid, et qualitatem. Cum ergo reiectis cæteris categoriis concludit in tribus tantum esse motum, necessario efficitur qualitatem ab eo sic esse sumptam quatenus est prædicatum a cæteris diuersum. Cum ergo illic in qualitate reponat differentias, necessario efficitur, illud illum ad categoriam qualitatis pertinere sensisse. Nam si existimasset ad categoriam substantiæ pertinere, postquam probauerat non esse in substantia motum, demonstrauerat quoq; ne in differentijs quidem esse motum: quare frustra cum de qualitate conclusisset in differentijs motum non esse admonuisset. Alia ratio ad hunc modum concludi potest, ex omnium recentiorum doctrina. Omnia illa vocabula seriem, vt vocant, prædicamentalem constituunt, quæ habent inter se superiorum ad inferiora affectionem, ita vt alia gnã, alia species dici possint. Atqui differentiæ substantiales sic sunt affectæ inter se, vt aliæ gnum aliæ formarum speciem inter se habeant, vt Ares scribit lib. 6. 1 philos. cap. 12. et cap. 3. lib. 1. de part. animal. Relinquitur ergo seriem prædicamentalem inter differentias substantiales reperiri posse. At non posset esse illa series prædicati substantiæ; siquidem compositas tantum substantias hanc seriem constituere dicunt. Consequens igitur est vt vel vndecima categoria constituatur, vel dicatur differentiæ directe in alia categoria reponi. At nulla reperiri potest præter qualitatem. Ex quo apparet inanem esse recentiorum ~~laborem~~ doctrinam: qui aut reductiue, aut lateraliter, vt loquuntur, differentias dicunt ad substantiam referri. Postrema ratio hæc erit Omne vocabulum ad eam categoriam referendum est, quam principali suo significato significat, et non ad prædicamentum rei quam adsignificat. Velut pater cum substantiam ~~significat~~ adsignificet, non potest tamen ad categoriam substantiæ referri: quia non est eius formale, vt loquuntur, significatum sed adsignificatum tantum. Eodemq; modo omnia accidentia concreta cum subiectum adsignificent, non referuntur tamen ad eam categoriam in qua subiectum est. Cum ergo proprium differentiæ significatum sit, vt qualitatem significet, cum gnis adsignificatione. vt Ares docet 4. et 6. τοπικ. Cum inquit omnem differentiam suum genus inferre. Non poterit ergo ad gnis categoriam referri differentia, sed ad categoriam qualitatis quam formaliter significat. Superest vt rationes dissoluamus quibus persuasi esse videntur græci et latini interpretes vt differentias ad categoriam substantiæ reuocarent. Omne ens, inquiunt, aut est substantia aut accidens. differentia autem non est accidens, siquidem Ares negat eam in subiecto esse. Relinquitur ergo differentiam substantiam esse. Huic obiectioni sic occurrendum est. Cum hæc diuisio apud Arem reperitur in substantiam et accidens, substantiam non categoriam substantiæ significare, sed communi appellatione complecti omne attributum essentiale, sicut nomine Accidentis continetur omne attributum quod extra rei essentiam. At cum in hac significatione sumitur substantia pro omni attributo essentiali. nos fatemur differentias in hac significatione substantias esse. idq; authore Are 14. cap. 1. lib. de demonst. Itemq; in 2°. de demonst. 7. topic. vbi differentiam inter attributa collocat, quæ in quæstione quid est dicuntur. At cum ita sumitur substantia, longe alia significatione sumitur, quam dum primam entis categoriam constituit. substantia enim cum primum genus inter categorias statuitur, significat id tantum quod habet subiecti rationem, atq; adeo subiecti per se cohærentis quodq; significat τι ἁπλῶς non τι ἐν τινι, vt græci loquuntur. In quo authores habemus ipsos etiam recentiores philosophos. Concedunt enim etiam ipsi cum fit diuisio entis in substantiam et accidens, non accipi substantiam pro prædicato substantiæ: siquidem deum et intelligentias in prædicato substantiæ esse negant, nec tamen in accidentium numero reponunt, sed, vt ipsi loquuntur, substantiæ nomen transcendenter

sumitur. vel, ut alij loquuntur, in secunda intentione in quo verum dicunt
cum substantiam et accidens in illa divisione dicunt esse secundae impositionis
verba non primae; ex quo oritur, ut non sit incommodum quod uni substantia est
alteri accidens esse, vicissimque quod uni est accidens alteri substantiam esse
haud secus quam in relationibus idem qui est pater uni et alteri filius, quod
uni simplum est, est alteri duplum eodemque modo in alijs permultis. Ex quo
etiam intelligitur primam entis divisionem, non esse eam quae fit in substantia
et accidens, nisi cum secundae intentiones in ente considerantur, primaque
divisio entis in prima, ut loquuntur, intentione sumpti ea est quae fit in decem
categorias. Quod vero id differentijs accidat quod diximus, ut ad species et
individua comparatae sint substantiae comparatae vero ad quae sint accidentia
utrumque ex Arte doceri potest, substantias quidem esse cum ad species et
individua comparantur hi loci demonstrant quos paulo ante citavimus
ex libris de demonst. et τοπικ. Easdem autem cum quibus collatas acci-
entia esse sic demonstrari potest. omne attributum quod per se inest alicui
secundo modo est eius accidens cui attribuitur, ut scribit Arte cap. 3. lib. 1. physic.
et ult. cap. lib. 5. pr. philos. Atqui certum est ex eodem Arte differentias divi-
dentes quum ex numero eorum esse quae per se secundo modo insunt.
Quod enim est par et impar ad numerum, hoc idem sunt primae animalis
differentiae ad animal. Par autem et impar secundo modo per se inesse
numero nominatim Artes scribit. Reliquum igitur est ut differentiae ad quae
comparatae accidentia sint. Alia ratio qua nituntur et quae urgere magis
videtur est huiusmodi. Omnes substantiarum partes sunt substantiae.
Omnes autem differentiae substantiales sunt partes substantiae. Omnes ergo
differentiae illae substantiae sunt. Utraque propositio artis est et conclusionem
ergo ex Artis sententia esse necesse est. Huic rationi sic nobis occurrendum
est ut concedamus omnes quidem partes substantiae substantias esse
modo id de partibus, ut vulgo vocant, integrantibus intelligatur. At in ijs
quae rationis partes verius quam partes essentiae dicuntur, non est verum
illas substantias esse in ea quidem significatione qua substantia ipsam tantum
categoriam substantiae significat. id quod ex Artis doctrina perspici poterit
ac primum verius partes rationis appellari genus et differentiam, quam partes
essentiae ipse Arte scribit et 5° pr. philos. et septimo. cumque certum sit nihil
tam individuum esse quam suam cuiusque essentiam facile est intelligere
definitionis explicantis essentiam partes esse aliquas, ipsam essentiam partium
esse expertem. Quod vero partes rationis essentiae non sit necesse substantiam significare
ex eo intelligi potest, quod formarum tantum est sua cuique essentiae ratio.
Ipsas autem species Arte non existimat significare hoc aliquid sed tantum
quale aliquid: quae summa est inter illum et Plat. dissensio. Cum vero species
talem essentiam significet quae non τὸ δέτι sed τοῖον δέτι significet
necesse est orationem qua illa essentia explicetur, partem unam continere
quae quid sit significet, alteram quae qualitatem. At si species significaret
substantiam quandam quae esset τὸ δέτι, quemadmodum et Parmenides
et Plato volebant, non dubium esset quin partes illius essentiae hoc
aliquid significarent. atque adeo ideae quaedam essent, sicuti et ipsa
species. Quemadmodum Artes passim cum adversus Plat. disputat, recte
adversus illum concludit. Ex ijs facile est solvere obiectionem quae ducitur
ex 3. cap. lib. 1. physic. ubi Arte concludit, si eius significet substantiam nihilominus
tamen fieri posse ut multa sint entia non unum eius. quia illius essentiae partes
etiam substantiae essent veluti hominis partes animal et bipes. Perspicuum
enim est illo in loco Arte adversus Parmenid disputare. propterea quod subst-
antiam illo loco accipere quae ideae rationem haberet: talem enim substantiam
ponebat Parmenid. sed adversus Peripateticum nullam vim haberet illa ratio.

H Quia substantiam quae definitur non sumitur a nobis disputatum est id de differentiis substantiarum intelligi nisi quod sola differentia, in definitione accipiendum est id cum quo aliquam comparatur velut

cum videaturPhiles. ea quæ κατὰ παρονυμίαν dicuntur negare. Sed συνωνύμως dici certum
Cautem est differentias κατὰ συνωνύμως dici siquidem in abstracto sumptæ nullam possunt rem
enuntiationem efficere. Sed tantum cum in concreto sumuntur: non iniuria hoc loco quæri
potest cur differentias inter ea reposuerit Aristo, quæ συνωνύμως dicuntur. Cui dubitatio
fabitst. si duo quia esse dicamus eorum quæ κατὰ παρονυμίαν dicuntur. ita ut alia sint quæ
κατὰ παρονυμίαν tantum, alia quæ & κατὰ παρονυμίαν & συνωνύμως dicantur. Concreta
accidentium κατὰ παρονυμίαν tantum dicuntur: at differentiarum concreta sic κατὰ παρονυ-
μίαν dicuntur, ut συνωνύμως etiam dicantur. quia differentiarum ratio est in ratione
essentiæ formarum. Apud Aristem autem ratione dicit hoc loco significat rationem attributi esse
in ratione subiecti. huius autem diversitatis ratio in eo posita est, quod accidentium concreta
ita adsignificant subiectum, præter ipsum accidens, ut ex utrisque non possit constitui
una substantia per se, sed tantum ex accidenti: at concreta differentiarum præter
qualitatem adsignificant genus, quæ qualitas ut substantialis est ita rerum generi coniuncta
unam propriæ ac per se essentiam constituit.

H

Individua accidentium non proprie dicuntur significare unam rem numero, nisi ratione rei
subiecta. negat enim unitatem hypostaticam habent per se, sed a subiecto in quo insunt. Signi-
ficare igitur hoc aliquid non potest primo & per se alteri conuenire, quam primæ substan-
tiæ: hæc unitas illa hypostatica tantum conuenit compositis ex materia & forma
substantiis, sed etiam simplicibus, & corporis expertibus substantiis, quarum una quæque suam
habet hypostasin: per quam verum est hanc non esse illam: sed aliam unitatem habere
constituit, quam illa. Tametsi verum sit in illis rem a rei essentia non distingui. Quod
autem secunda substantiæ negantur significare hoc aliquid, id aduersus idearum authores
dicitur: qui universales substantias dixerunt, multo magis unum esse numero quam
individua ipsarum idearum. Quod autem dicuntur significare tale aliquid ita intelligi
debet, quia cum substantiæ significant ipsas sese, res singulas: nullam tamen designatæ
rerum singularum significant, sed significatur similitudo substantialis una notione
conuicta: quam similitudinem habent inter se res singulæ. Verum in hoc differentia
est, cum adsignificare qualitatem rerum sit, quænam tandem sit illa qualitas,
quæ adsignificetur. Græcorum interpretum sententia est, qualitatem illam
esse substantialem qualitatem, quæ per differentias designatur. Ita ut species
& quæ media præter differentiam qua complentur illorum ratio, dicantur tale
aliquid significare, Genus summum ratione differentiarum, quas potestate in prima
diuisione complectitur. Alia est recentiorum Philosophorum sententia: dicunt
enim qualitatem, quæ adsignificatur a secunda substantia, esse facultatem
quandam, & ut loquuntur, habilitatem, per quam possint multa communicari.
in quo mea quidem sententia falluntur. quam enim quæque substantia
qualitatem per adsignificat, ea specialis verbi significato designari debet. Ita ut quæ
qualitas ab homine adsignificatur, non sit ea quæ adsignificatur verbo arboris aut
auis. Atqui illa habilitas, quam fingunt communis est omnibus universalibus: nec
est specialis quædam qualitas, quæ proprio vocabuli significato contineatur.
Non est igitur illa qualitas, quam Aristas hoc loco significari voluit. Deinde vniuer-
salitas illa relatio est non qualitas. Postremo si illa vniuersalitas est qualitas
quæ a secunda substantia significatur: necesse est singularitatem esse qualita-
tem, quæ a prima significetur. ex quo efficietur primam substantiam non minus
tale aliquid significare quam secundam.

Appellationis figura consistit in eo quod vocabula quibus appellantur secunda substantiæ, perinde in singulari numero enunciantur atque primarum substantiarum vocabula.

quis ēr grec̄ dicto

Non negat Aristo. album & hujus generis concreta accidentia præter accidens adsignificare subiectum; sed dum spectatur principale significatum & ut vulgo loquuntur formale, verum est quod ait Aristo. album nihil significare præter qualitatem ex quo facile intelligitur discrimen quod est inter concreta accidentia, differentias & secundas substantias. Est enim formale significatum differentiæ ut qualitatem significet, cum adsignificatione tamen quis. Eodem quoque modo qualis accidens, concretum cum principaliter accidens significet rem subiectam adsignificat. At secunda substantia proprie suo arbitrio significato substantiam significat, cum adsignificatione tamen qualitatis. Est autem semper cum quaritur ad quam categoriam sit quodque vocabulum referendum, spectandum principale significatum. non autem id quod adsignificatur.

x

Si quando aduersarium reperiatur substantiæ substantiam esse contrariam veluti ignem aquæ aduersari; id referendum est ad differentias & qualitates substantiarum: non autem ita accipiendum quasi substantia substantiæ per se aduersetur.

λ

Si diuersæ substantiæ inter se comparentur, potest usu venire ut alia magis alia minus dicantur, quia possunt alia aliis esse propinquiores ei quod maxime tale est in suo genere: at si quæque substantia per se spectetur, propterea dicitur non susceptare magis & minus, quia omnibus quibus attribuitur ex æquo conuenire spectatur nec uno tempore magis, altero minus. Quod in accidentibus non fit. quia multa accidentia sint rebus subiectis attributuntur ut non ex æquo omnibus conueniant.

ч

Interdum a substantiis deducuntur vocabula quæ concreta appellantur veluti: a ligno ligneus, a lapide lapideus, a vino vinosus aut vinarius: quæ verba duplicem habent significationem. Interdum enim non substantiam sed qualitatem significant. Vt cum vinosum appellas nullam vim substantiæ intelligis sed qualitatem tantum quæ ex specie aut colore, aut sapore vini deducta hanc appellationem habuit. Quæ autem qualitatem significant talia vocabula; ea magis aut minus recipere comperiuntur. neque tamen substantia magis & minus susceptare proptera dicenda est. At cum talia vocabula materiam significant tum magis & minus proprie non recipiunt: veluti cum dicitur domus domus esse magis lignea altera, aliud nihil significatur, quam vnam domum magis ex materia ligni constare, quam alteram: aut maiorem numerum illius materiæ esse in vna quam in altera. hoc vero non est magis & minus proprie recipere, quia non recipitur intentio aut remissio formæ in re subiecta. quo in loco animaduertendum etiam est illud magis interdum idem significare quod potius, aut dignius aut præstantius: ea qua significatione non est incommodum vnam substantiam dicere magis esse substantiam altera. vt cum stoici in libris de ortu et interitu dicit ignem esse magis substantiam quam aquam: significat enim si forma præstantia spectetur maiorem esse in igne quam in aqua.

ὅσα γὰρ κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑ=
ποκειμένου ξυνήσεται, ὡσαύτως δὲ, καὶ ἐν τῶν διαφορῶν λόγον ἐ=
πιδέχονται τάτε εἴδη καὶ τὰ ἄτομα. συνώνυμα δέ γε ἐστιν, ὧν τό, τε
ὄνομα κοινόν, καὶ ὁ λόγος ὁ αὐτός. ὥστε πάντα τὰ ἀπὸ τῶν οὐσιῶν,
καὶ τῶν διαφορῶν συνωνύμως λέγεται.

Πᾶσα δὲ οὐσία δοκεῖ τὸ δέτι σημαίνειν. ἐπὶ μὲν οὖν τῶν πρώτων οὐ
σιῶν ἀναμφισβήτητον καὶ ἀληθές ἐστιν, ὅτι τὸ δέτι σημαίνει. ἄτομον
γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν. ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν
φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας, τὸ δέτι σημαίνειν.
ὅταν εἴπῃ ἄνθρωπος ἢ ζῷον, οὐ μήν γε ἀληθὲς, ἀλλὰ μᾶλλον ποιόν τι ση
μαίνει. οὐ γὰρ ἕν ἐστι τὸ ὑποκείμενον. ὥσπερ ἡ πρώτη οὐσία, ἀλλὰ κα=
τὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῷον. οὐκ ἀπλῶς δὲ ποιόν τι
σημαίνει. ὥσπερ τὸ λευκόν, οὐδὲν γὰρ ἄλλο σημαίνει τὸ λευκόν, ἀλλ' ἢ ποιό
όν. τὸ δὲ εἶδος, καὶ τὸ γένος περὶ οὐσίαν τὸ ποιόν, ἀφορίζει. ποιὰν γὰρ
τινα οὐσίαν σημαίνει. ἐπὶ πλέον δὲ τῷ γένει ἢ τῷ εἴδει τὸν ἀφορισμὸν
ποιεῖται. ὁ γὰρ ζῷον εἰπών, ἐπὶ πλέον περιλαμβάνει ἢ ὁ τὸν ἄνθρω
πον.

Ὑπάρχει δὲ ταῖς οὐσίαις, καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον
εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώ=
πῳ, ἢ τῷ τινὶ ζῴῳ. οὐδὲν γάρ ἐστιν ἐναντίον, οὐδέ γε τῷ ἀνθρώπῳ, ἢ τῷ
ζῴῳ οὐδέν. οὐκ ἴδιον δὲ τῆς οὐσίας τοῦτό ἐστιν, ἀλλὰ καὶ ἐπ' ἄλλων
πολλῶν, οἷον ἐπὶ τοῦ ποσοῦ. τῷ γὰρ διπήχει ἢ τῷ τριπήχει οὐδέν
ἐστιν ἐναντίον, οὐδέ γε τοῖς δέκα, οὐδὲ τῶν τοιούτων οὐδενί. εἰ μή
τις τὸ πολὺ τῷ ὀλίγῳ φαίη ἐναντίον εἶναι, ἢ τὸ μέγα τῷ μικρῷ. τῶν
δὲ ἀφωρισμένων ποσῶν, οὐδέν ἐστιν ἐναντίον οὐδενί.

Δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον, καὶ τὸ ἧττον. λέγω
δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον καὶ ἧττον οὐσία. τοῦτο μὲν
γὰρ εἴρηται ὅτι ἔστιν, ἀλλ' ὅτι ἑκάστη οὐσία τοῦθ' ὅπερ ἐστὶν, οὐ λέγε

[illegible] lib. 3. physic. ubi postquam conclusit in rebus naturalibus [illegible]

[illegible] differentiis, nihil [illegible]

τοῦ μᾶλλον καὶ ἧττον. οἷον εἰ ἔστιν ἡ αὐτὴ οὐσία ἄνθρωπος, οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος. οὔτε ἄρα ἑαυτοῦ, οὔτε ἑτέρου. οὐ γὰρ ἔστιν ἕτερος ἑτέρου μᾶλλον ἄνθρωπος. ὥσπερ τὸ λευκόν ἐστιν ἕτερον ἑτέρου μᾶλλον καὶ ἧττον λευκόν. καὶ καλὸν ἕτερον ἑτέρου μᾶλλον καὶ ἧττον καλόν. καὶ ἄρα δὴ ἑαυτοῦ μᾶλλον καὶ ἧττον λέγεται. οἷον τὸ σῶμα λευκὸν ὄν, μᾶλλον λευκὸν λέγεται νῦν ἢ πρότερον. καὶ θερμὸν ὄν, μᾶλλον θερμὸν καὶ ἧττον λέγεται. ἡ δέ γε οὐσία, οὐδὲν μᾶλλον οὐσία λέγεται, οὐδὲ ἧττον. οὐ γὰρ ὁ ἄνθρωπος, μᾶλλον νῦν ἄνθρωπος ἢ πρότερον λέγεται, οὐδὲ τῶν ἄλλων οὐδὲν ὅσα ἐστὶν οὐσία. ὥστε οὐκ ἂν ἐπιδέχοιτο ἡ οὐσία τὸ μᾶλλον καὶ τὸ ἧττον.

Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν. ἐπὶ μὲν οὖν τῶν ἄλλων οὐδὲν ἔστιν ὃ ἔχοι τὸ τοιοῦτον προσεγκεῖν ὅσα μή ἐστιν οὐσία. ὃ ἓν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν. οἷον τὸ χρῶμα, ὃ ἐστιν ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, οὐ λέγεται λευκὸν καὶ μέλαν. οὐδὲ ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ φαύλη καὶ σπουδαία. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μή ἐστιν οὐσία. ἡ δέ γε οὐσία ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὄν, δεκτικὴ τῶν ἐναντίων ἐστίν. οἷον ὁ τὶς ἄνθρωπος εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκός, ὁτὲ δὲ μέλας γίνεται, καὶ θερμός, καὶ ψυχρός, καὶ φαῦλος, καὶ σπουδαῖος. ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται τοιοῦτον. εἰ μὴ ἄρα τὶς ἐνίσταιτο τὸν λόγον, καὶ τὴν δόξαν φάσκων τῶν ἐναντίων εἶναι δεκτικά. ὁ γὰρ αὐτὸς λόγος, ἀληθὴς τε καὶ ψευδὴς δοκεῖ εἶναι. οἷον εἰ ἀληθὴς εἴη ὁ λόγος τοῦ καθῆσθαί τινα, ἀνάγκη αὐτὸν, ὃν αὐτὸς οὗτος λόγος ψευδὴς ἔσται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης. ἂν γάρ τὶς ἀληθὲς δοξάζῃ τὸ καθῆσθαί τινα, ἀνάγκη αὐτὸν ψευδῆ δοξάζειν τὴν αὐτὴν περὶ αὐτοῦ δόξαν ἔχων. εἰ δέ τις καὶ τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει. τὰ μὲν γὰρ ἐπὶ τῶν οὐσιῶν, αὐτὰ μεταβάλλ

Quod Aristoteles dicit sextam esse proprietatem substantiae propriam substantiae, id non ita accipiendum est quasi velit omnem substantiam numero esse unam. Omnis enim substantia videtur esse aliquid unum numero, sed non in omnem substantiam cadit quod proprium est substantiae, ut una sit substantia numero eadem et alia. Quare non fiat substantiae contrariorum recipiendorum capax, ut alia et alia hoc tempore quae non fiat substantia. Verum est quandam substantiam permanere ut eandem numero, quae tamen in medio suscipiat contraria. Quae quidem proprietas proprietatem non tam bene videtur propriam substantiae nominare quam hanc positionem quae proprietatem substantiae est, atque adeo substantiae quoddam quod rem perficit contrariarum formarum susceptibilem: substratum est. Dicitur ergo maxime proprium non medio quod soli conveniat: sed etiam quod maxime proprie conveniat, in quo etiam medio subiecto contrariorum susceptibilium substratum est. Dicitur ergo maxime proprium non medio quod soli conveniat: sed etiam quod maxime proprie conveniat, in quo etiam medio subiecto contrariorum susceptibilium substratum est.

Ἡ δὲ τῶν ἐναντίων ἕξις δεκτικά.

Atque dicitur una eadem numero superficies numero posse contraria colores suscipere, cum hoc non esset hoc solius substratum proprium. Sed superficies ut ante dictum est medium subiectum, non primum ac principale subiectum, aut ut simplici appellatione dicam, non

ταβάλλοντα τῶν ἐναντίων λεκτικά ἐισι. ψυχρὸν γὰρ ἐκ θερμοῦ γε-
νόμενον, μεταβάλλει. ἠλλοίωται γὰρ καὶ μέλαν ἐκ λευκοῦ, καὶ σκυ-
θρωπὸν ἐκ φαύλου. Ωσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕκαστον αὐτῶν με-
ταβολὴν δεχόμενον. τῶν, ἐναντίων λεκτικόν ἐστιν. ὁ δὲ μὲν λόγος καὶ
ἡ δόξα αὐτῶν μὴν ἀκίνητα πάντα διαμένει. τὸ δὲ πράγματος κινου-
μένου, τὰ ἐναντία περὶ αὐτὰ γίνεται. ὁ μὲν γὰρ λόγος διαμένει ὁ αὐτὸς
τοῦ κεῖσθαί τινα. τοῦ δὲ πράγματος κινηθέντος, ὅτε μὲν ἀληθὴς, ὅτε
δὲ ψευδὴς λέγεται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης. ὥστε τῷ μὲ πρό-
σωπῳ ἴδιον ἂν εἴη τῆς οὐσίας, τὸ κατὰ τὴν αὐτῆς μεταβολὴν, δεκτι-
κὴν τῶν ἐναντίων εἶναι. ἐι δέ τις καὶ ταῦτα παραλέχοιτο τὸν λόγον
καὶ τὴν δόξαν δεκτικὰ τῶν ἐναντίων εἶναι, οὐκ ἔστιν ἀληθὲς τοῦτο. εἰ
γὰρ λόγος καὶ ἡ δόξα, οὐ τῷ αὐτὰ δεδέχθαί τι, τῶν ἐναντίων εἶναι
δεκτικὰ λέγεται. ἀλλὰ τῷ περὶ ἕτερόν τι τὸ πάθος γεγενῆθαι. τῷ γὰρ
τὸ πρᾶγμα εἶναι ἢ μὴ εἶναι, τούτῳ καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι
λέγεται. οὐ τῷ αὐτὸς δεκτικὸς εἶναι τῶν ἐναντίων. ἁπλῶς γὰρ ὑπ'
οὐδενός, οὔτε ὁ λόγος κινεῖται, οὔτε ἡ δόξα. ὥστε οὐκ ἂν εἴη δεκτικὰ
τῶν ἐναντίων, μηδενὸς ἐναντίου ἐν αὐτοῖς γινομένου πάθους. ἡ δὲ μὲ
οὐσία, τῷ αὐτὴν τὰ ἐναντία δέχεσθαι, τούτῳ δεκτικὴ τῶν ἐναντίων
εἶναι λέγεται. νόσον γὰρ καὶ ὑγείαν δέχεται, καὶ λευκότητα, καὶ με-
λανίαν, καὶ ἕκαστον τῶν τοιούτων αὐτὴ δεχομένη, τῶν ἐναντίων εἶ-
ναι δεκτικὴ λέγεται. ὥστε ἴδιον ἂν οὐσίας εἴη τὸ ταὐτὸν, καὶ ἓν ἀριθμῷ
ὄν, κατὰ τὴν ἑαυτῆς μεταβολὴν δεκτικὸν τῶν ἐναντίων εἶναι. περὶ μὲν
οὖν οὐσίας τοσαῦτα εἰρήσθω.

ΠΕΡΙ ΠΟΣΟΥ. Τοῦ δὲ ποσοῦ τὸ μὲν ἔ-
στι διωρισμένων, τὸ δὲ συνεχές. καὶ τὸ μὲν ἐκ, θέσιν ἐχόντων πρὸς ἄλλα
τὰ ἐν αὐτοῖς μορίων συνέστηκε. τὰ δὲ ἐξ οὐκ ἐχόντων θέσιν. ἔστι δὲ διω-
ρισμένον μὲν, οἷον ἀριθμὸς, καὶ λόγος. συνεχὲς δὲ, οἷον γραμμὴ, ἐπιφάνεια,
σῶμα,

Quæ unitas continua Linea, superficies, corpus, locus & tempus.

σῶμα. ἔτι δὲ παρὰ ταῦτα, τόπος καὶ χρόνος. τῶν μὲν γὰρ τοῦ ἀριθμοῦ μορίων οὐδείς ἐστι κοινὸς ὅρος, πρὸς ὃν σωνάπτει τὰ μόρια αὐτοῦ. οἷον τὰ πέντε ἐστὶ τῶν δέκα μόριον, πρὸς οὐδένα κοινὸν ὅρον σωνάπτει, τὰ πέντε καὶ τὰ πέντε. ἀλλὰ διώρισται, ἢ τὰ τρία καὶ τὰ ἑπτὰ πρὸς οὐδένα κοινὸν ὅρον σωνάπτει. οὐ δ' ὅλως ἂν ἔχοις ἐπ' ἀριθμοῦ κοινὸν ὅρον λαβεῖν τῶν μορίων, ἀλλὰ διώρισται. ὥστε, ὁ μὲν ἀριθμὸς τῶν διωρισμένων ἐστίν. ὡσαύτως δὲ καὶ ὁ λόγος. ὅτι μὲν γάρ ἐστι ποσόν ὁ λόγος, φανερόν. καταμετρεῖται γὰρ συμμαβῇ βραχεῖα καὶ μακρᾷ. λέγω δὲ ἐν μετὰ φωνῆς λόγον γινόμενον. πρὸς οὐδένα γὰρ κοινὸν ὅρον ἄυτου τὰ μόρια σωνάπτει. οὐ γάρ ἐστι κοινὸς ὅρος πρὸς ὃν αἱ συμμαβαὶ σωνάπτουσιν. ἀλλ' ἑκάστη διώρισται αὐτὴ καθ' αὐτήν. ἡ δὲ γραμμὴ σωνεχής ἐστιν. ἔστι γὰρ κοινὸν ὅρον λαβεῖν σιγμήν, πρὸς ὃν τὰ μόρια αὐτῆς σωνάπτει. καὶ τῆς ἐπιφανείας γραμμήν. τὰ γὰρ τοῦ ἐπιπέδου μόρια πρός τινα κοινὸν ὅρον σωνάπτει. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ σώματος ἔχοις ἂν λαβεῖν κοινὸν ὅρον, γραμμήν, ἢ ἐπιφάνειαν, πρὸς ἣν τὰ τοῦ σώματος μόρια συνάπτει. ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων. ὁ γὰρ νῦν, χρόνος συνάπτει πρός τε τὸν παρεληλυθότα καὶ πρὸς τὸν μέλλοντα. πάλιν ὁ τόπος τῶν σωνεχῶν ἐστι, τόπον γάρ τινα τὰ τοῦ σώματος μόρια κατέχει, ἃ πρός τινα κοινὸν ὅρον σωνάπτει. οὐκοῦν καὶ τὰ τοῦ τόπου μόρια ἃ κατέχει ἕκαστον τῶν τοῦ σώματος μορίων, πρὸς τὸν αὐτὸν ὅρον συνάπτει, πρὸς ὃν καὶ τὰ τοῦ σώματος μόρια. ὥστε συνεχὲς ἂν εἴη καὶ ὁ τόπος. πρὸς γὰρ ἕνα κοινὸν ὅρον ἄυτου τὰ μόρια συνάπτει.

Secunda quæ habitum dicitur Similes quæ habent situm partium in figuris.

ἔτι τὰ μὲν ἐκ, θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων, συνέστηκε. τὰ δ' ἐξ οὐκ ἐχόντων θέσιν. οἷον τὰ μὲν τῆς γραμμῆς μόρια, θέσιν ἔχει πρὸς ἄλληλα. ἕκαστον γὰρ αὐτῶν κεῖται πού. καὶ ἔχοις ἂν διαλαβεῖν καὶ ἀποδεῖξαι ποῦ ἕκαστον κεῖται ἐν τῷ ἐπιπέδῳ. καὶ πρός ποιον μόριον τῶν λοιπῶν συνάπτει. ὡσαύτως δὲ καὶ τὰ τοῦ ἐπιπέδου μόρια,

θέσιν.

θέσιν ἔχει τινά. ὁμοίως γὰρ ἂν ἀποδοθείη ἕκαστον τοῦτο κεῖται, καὶ ποῖα σωμάτων πρὸς ἄλληλα, καὶ τὰ τοῦ χρεοῦ δὲ ὡσαύτως. καὶ τὰ τοῦ τόπου. ἐπὶ δέ γε τοῦ ἀριθμοῦ οὐκ ἂν ἔχοι τις ἀποδεῖξαι ὡς τὰ μόρια αὐτοῦ θέσιν τινὰ ἔχει πρὸς ἄλληλα, ἢ κεῖται ποῦ. ἢ ποῖά γε πρὸς ἄλληλα σωμάτων τῶν μορίων. οὐδὲ τὰ τοῦ χρόνου. ὑπομένει γὰρ οὐδὲν τῶν τοῦ χρόνου μορίων. ὃ δὲ μὴ ἔστιν ὑπομένον, τοῦτο θέσιν τινὰ ἔχοι. ἀλλὰ μᾶλλον τάξίν τινα εἴποις ἂν ἔχειν, τῷ τὸ μὲν πρότερον εἶναι τοῦ χρόνου. τὸ δὲ ὕστερον. καὶ ἐπὶ τοῦ ἀριθμοῦ δὲ ὁμοίως τὸ μὲν πρότερον ἀριθμεῖσθαι τῶν δύο, καὶ τὰ δύο τῶν τριῶν, καὶ οὕτω τάξίν τινα ἂν ἔχοι. θέσιν δὲ οὐ πάνυ λάβοις ἄν. καὶ ὁ λόγος δὲ ὡσαύτως. οὐδὲν γὰρ ὑπομένει τῶν μορίων. ἀλλ' ἕρηται τε, καὶ οὐκ ἔστιν ἔτι τοῦτο λαβεῖν. ὥστε οὐκ ἂν εἴη θέσις τῶν μορίων αὐτοῦ, εἴγε μηδὲν ὑπομένει. τὰ μὲν δή, ἓξ, θέσιν ἐχόντων, σωρός ἐστι τῶν μορίων. τὰ δή, ἓξ οὐκ ἐχόντων θέσιν. Κυρίως δὲ ποσὰ, ταῦτα λέγεται μόνα τὰ εἰρημένα. τὰ δὲ ἄλλα πάντα κατὰ συμβεβηκός. εἰς ταῦτα γὰρ ἀποβλέποντες, καὶ τὰ ἄλλα ποσὰ λέγομεν, οἷον τὸ μακρὸν λέγειν, τῷ γε πολὺ ἐπιφάνειαν πολλὴν εἶναι. καὶ ἡ πρᾶξις μακρὰ, τῷ γε τὸν χρόνον πολὺν εἶναι, καὶ ἡ κίνησις πολλή. οὐδὲ καθ' αὑτὸ ἕκαστον τούτων ποσόν λέγεται, οἷον ἐὰν ἀποδιδῶται πόσον πῆχυς ἡ πρᾶξίς ἐστι, τῷ χρόνῳ ὁρίζειν. ἐνιαυσιαίαν ἢ οὕτω πως ἀποδιδούς, καὶ τὸ μακρὸν, ποσόν τι ἀποδιδούς, τῇ ἐπιφανείᾳ ὁρίζει, ὅσον δὲ ἂν ἡ ἐπιφάνεια ᾖ, τοσοῦτον καὶ τὸ μακρὸν φήσειν εἶναι. ὥστε μόνα κυρίως ποσὰ καθ' αὑτὰ λέγεται τὰ εἰρημένα. τῶν δὲ ἄλλων οὐδὲν αὐτὸ καθ' αὑτὸ, ἀλλ' ἢ ἄρα κατὰ συμβεβηκός.

Numerus et tempus non habent situm sed ordinem.

Tertia quantitatum divisio in quantitates per se et per accidens.

Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον. ἐπὶ μὲν γὰρ τῶν ἀφωρισμένων φανερὸν ὅτι οὐδέν ἐστιν ἐναντίον. οἷον τῷ μακρῷ ἔχει, ἢ τῷ βραχεῖ ἔχει, ἢ τῇ ἐπιφανείᾳ, ἢ τῶν ἄλλων τινί. οὐδὲν γὰρ ἐστιν αὐτῶν ἐναντίον, εἰ μὴ ἄρα τὸ πολὺ τῷ ὀλίγῳ φαίη τις εἶναι ἐναντίον, ἢ τὸ μέγα τῷ μικρῷ. τούτων δὲ οὐδέν ἐστι ποσόν, ἀλλὰ μᾶλλον τῶν πρός τι. οὐδὲν γὰρ

Quantitati nihil contrarium.

Magnum et parvum, Multa et pauca non sunt contraria sed relata

αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν, ἀλλὰ τῷ πρὸς ἕτερον ἀναφέρε
σθαι, οἷον ὄρος μὲν μικρὸν λέγεται, κέγχρος δὲ μεγάλη, τῷ τὸ μὲν
τῶν ὁμογενῶν μείζονα εἶναι. τὸ δὲ ἔλαττον τῶν ὁμογενῶν. οὐκοῦν πρὸς
ἕτερον ἡ ἀναφορά, ἐπεὶ εἰ ἦν καθ' αὑτὸ μικρὸν ἢ μέγα λέγοιτο. οὐκ ἄν
ποτε τὸ μὲν ὄρος μικρὸν ἐλέγετο, ἡ δὲ κέγχρος μεγάλη. πάλιν τὸ μὲν
τῇ κώμῃ φαμὲν, πολλοὺς ἀνθρώπους εἶναι, τὸν Ἀθήναις δὲ ὀλίγους, πολ
λαπλασίους αὐτῶν ὄντας, ἢ τὸν μὲν τῇ οἰκίᾳ πολλοὺς, τὸν δὲ τῷ θεάτρῳ
ὀλίγους, πολλῷ πλείους αὐτῶν ὄντας. ἔτι τὸ μὲν λίθινον ἢ ξύλινον ἢ ἕ
καστον τῶν τοιούτων, ποσόν σημαίνει. τὸ δὲ μέγα ἢ μικρόν, οὐ σημαίνει πο
σόν, ἀλλὰ μᾶλλον πρός τι. πρὸς γὰρ ἕτερον θεωρεῖται καὶ τὸ μέγα, καὶ
τὸ μικρόν. ὥστε φανερὸν ὅτι αὐτὰ τῶν πρός τί ἐστιν. ἔτι ἐάντε τιθῇ
τις ποσὰ εἶναι τὰ τοιαῦτα, ἐάντε μὴ τιθῇ, οὐκ ἔστιν ὧν αὐτοῖς ἐναντίον
οὐδέν. ὁ γὰρ μή ἐστιν αὐτὸ καθ' αὑτὸ λαβεῖν, ἀλλὰ πρὸς ἕτερον ἀναφέ
ρεται, πῶς ἂν εἴη τούτῳ τι ἐναντίον. ἔτι εἰ ἔστι τὸ μέγα καὶ τὸ μικρὸν
ἐναντία, συμβήσεται τὸν αὐτὸν ἅμα τὰ ἐναντία ἐπιλέχεσθαι, καὶ αὐτὰ
ἑαυτοῖς εἶναι ἐναντία. συμβαίνει γὰρ τὸ αὐτὸ ἅμα μέγα τε καὶ μι
κρὸν εἶναι. ἔστι γὰρ πρὸς μὲν τοῦτο μικρόν, πρὸς ἕτερον δέ τι τὸ αὐτὸ
τοῦτο μέγα. ὥστε τὸ αὐτὸ καὶ μικρὸν, καὶ μέγα κατὰ τὸν αὐτὸν χρόνον
εἶναι συμβαίνει. ὥστε ἅμα τὰ ἐναντία ἐπιλέχεσθαι, ἀλλ' οὐδὲν δοκεῖ
ἅμα τὰ ἐναντία ἐπιλέχεσθαι, οἷον ἐπὶ τῆς οὐσίας. διεξιὸν μὲν γὰρ
τῶν ἐναντίων δοκεῖ εἶναι. ἀλλ' οὔτις ἅμα νοσεῖ καὶ ὑγιαίνει. οὐδὲ λευ
κὸν καὶ μέλαν ἐστὶν ἅμα οὐδὲ τῶν ἄλλων οὐδέν, ὃ ἅμα τὰ ἐναντία ἐπι
πλέκεται. καὶ αὐτὰ δὲ ἑαυτοῖς συμβαίνει ἐναντία εἶναι. εἰ γάρ ἐ
στι τὸ μέγα τῷ μικρῷ ἐναντίον, τὸ αὐτό ἐστιν ἅμα καὶ μέγα, καὶ μικρόν.
καὶ αὐτὸ ἑαυτῷ ἂν εἴη ἐναντίον. ἀλλὰ τῶν ἀδιωρίστων ἐστὶν αὐτὸ ἑαυ
τῷ τι εἶναι ἐναντίον. οὐκ ἔστιν ἄρα τὸ μέγα τῷ μικρῷ ἐναντίον. οὐδὲ
τὸ πολὺ τῷ ὀλίγῳ. ὥστε εἰ μὴ καὶ τῶν πρός τι ταῦτά τις ἐρεῖ, ἀλλὰ

τοῦ ποσοῦ

κατηγορίαι.

τοῦ ποσοῦ, οὐδὲν ἐναντίον ἕξει. μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ, περὶ τὸν τόπον δοκεῖ ὑπάρχειν. τὸ γὰρ ἄνω τῷ κάτω ἐναντίον τιθέασιν, τὴν πρὸς τὸ μέσον χώραν κάτω λέγοντες, διὰ τὸ πλείστην διάστασιν τοῦ μέσου πρὸς τὰ πέρατα τοῦ κόσμου εἶναι. ἐοίκασι δὲ καὶ τῶν ἄλλων ἐναντίων ὁρισμὸν ἀπὸ τούτων ἐπιφέρειν. τὰ γὰρ πλεῖστον ἐπὶ ἀλλήλων διεστηκότα τῶν ἐν τῷ αὐτῷ γένει, ἐναντία ὁρίζονται.

Contrarietas quantitatum est secundum locum.

Contraria quae.

Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον, καὶ τὸ ἧττον, οἷον τὸ δίπηχυ. οὐ γὰρ ἐστιν ἕτερον ἑτέρου μᾶλλον δίπηχυ. οὐδ' ἐπὶ τοῦ ἀριθμοῦ, οἷον τὰ τρία τῶν πέντε οὐδὲν μᾶλλον πέντε ἢ τρία λέγεται. οὐδὲ τὰ πέντε τῶν τριῶν. οὐδέγε ὁ χρόνος ἕτερος ἑτέρου μᾶλλον χρόνος λέγεται. οὐδὲ ἐπὶ τῶν εἰρημένων ὅλως οὐδενὸς τὸ μᾶλλον καὶ τὸ ἧττον λέγεται. ὥστε τὸ ποσὸν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον, καὶ τὸ ἧττον.

Quantitas non recipit magis vel minus.

Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ, τὸ ἴσόν τε καὶ ἄνισον λέγεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων ποσῶν, ἴσόν τε καὶ ἄνισον λέγεται, οἷον σῶμα, ἴσόν τε καὶ ἄνισον λέγεται, καὶ ἀριθμὸς καὶ χρόνος ἴσος καὶ ἄνισος λέγεται. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ῥηθέντων ἕκαστον, ἴσόν τε καὶ ἄνισον λέγεται. τῶν δὲ λοιπῶν ὅσα μή ἐστι ποσὰ, οὐ πάνυ ἂν δόξαιεν ἴσόν τι καὶ ἄνισον λέγεσθαι, οἷον ἡ διάθεσις ἴση τε καὶ ἄνισος οὐ πάνυ λέγεται, ἀλλὰ μᾶλλον ὁμοία καὶ ἀνομοία, καὶ τὸ λευκὸν ἴσόν τε καὶ ἄνισον οὐ πάνυ, ἀλλ' ὅμοιον ἢ ἀνόμοιον. ὥστε τῶν ποσοῦ μάλιστα ἂν εἴη ἴδιον τὸ ἴσόν τε καὶ ἄνισον λέγεσθαι.

Quantitas dicitur aequalis aut inaequalis, qualitas vero similis aut dissimilis.

Περὶ τῶν πρόστι.

Πρόστι δὲ τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστιν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον, οἷον τὸ μεῖζον, τοῦθ' ὅπερ ἐστιν ἑτέρου λέγεται. τινὸς δὲ μεῖζον λέγεται. καὶ τὸ διπλάσιον τοῦθ' ὅπερ ἐστιν ἑτέρου λέγεται. τινὸς δὲ διπλάσιον λέγεται. ὡσαύτως δὲ καὶ ὅσα ἄλλα τοιαῦτα. ἔστι δὲ καὶ τὰ τοιάδε τῶν πρόστι, οἷον ἕξις, διάθεσις, ἐπιστήμη, θέσις. πάντα γὰρ τὰ εἰρημένα αὐτὰ, ἅπερ ἐστιν ἑτέρων

εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρός ἕτερον, καὶ οὐκ ἄλλο τι. ἡ γὰρ ἕξις, τινὸς ἕξις εἶναι λέγεται. καὶ ἡ ἐπιστήμη, τινὸς ἐπιστήμη. καὶ ἡ θέσις, τινὸς θέσις. καὶ τἄλλα δὲ ὡσαύτως. πρός τι οὖν ἐστιν, ὅσα αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρός ἕτερον. οἷον ὅρος μέγα λέγεται πρός ἕτερον. πρός τι γὰρ μέγα λέγεται τὸ ὅρος, καὶ τὸ ὅμοιον τινὶ ὅμοιον λέγεται, καὶ τἄλλα ἃ τὰ τοιαῦτα, ὡσαύτως πρός τι λέγεται. Ἔστι δὲ καὶ ἡ ἀνάκλισις, καὶ ἡ κάθισις, καὶ ἡ κατάκλισις, θέσεις τινές. αἱ δὲ θέσεις τῶν πρός τι. τὸ δὲ ἀνακεῖσθαι ἢ ἑστάναι, ἢ κατακεῖσθαι, αὐτὰ μὲν οὐκ εἰσὶ θέσεις. παρωνύμως δὲ ἀπὸ τῶν εἰρημένων θέσεων λέγονται. ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι, οἷον ἀρετὴ κακίᾳ ἐναντίον, ἑκάτερον ὂν τῶν πρός τι. καὶ ἐπιστήμη ἀγνοίᾳ. οὐ πᾶσι δὲ τοῖς πρός τι ὑπάρχει τὰ ἐναντία. τῷ γὰρ διπλασίῳ, οὐδέν ἐστιν ἐναντίον. οὐ δὲ τῷ διπλασίῳ, οὐδὲ τῶν τοιούτων οὐδενί. δύναται δὲ καὶ τὸ μᾶλλον, καὶ τὸ ἧττον ἐπιδέχεσθαι τὰ πρός τι. ὅμοιον γὰρ καὶ ἀνόμοιον μᾶλλον καὶ ἧττον λέγεται, καὶ ἴσον, καὶ ἄνισον μᾶλλον καὶ ἧττον λέγεται, ἑκάτερον αὐτῶν πρός τι ὄν. τό, τε δὴ ὅμοιον, τινὶ ὅμοιον λέγεται, καὶ τὸ ἄνισον, τινὶ ἄνισον. οὐ πάντα δὲ τὰ πρός τι ἐπιδέχεται τὸ μᾶλλον, καὶ τὸ ἧττον. τὸ γὰρ διπλάσιον, οὐ λέγεται μᾶλλον καὶ ἧττον διπλάσιον, οὐδὲ τῶν τοιούτων οὐδενί. Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, οἷον ὁ δεσπότης δεσπότου δεσπότης, καὶ ὁ δεσπότου δεσπότης, δεσπότου δεσποτής λέγεται εἶναι. καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον, καὶ τὸ ἥμισυ διπλασίου ἥμισυ. καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον, καὶ τὸ ἔλαττον μείζονος ἔλαττον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πλὴν τῇ πτώσει, ἐνίοτε διαφέρει κατὰ τὴν λέξιν. οἷον ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη λέγεται. καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν, καὶ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις, καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν. οὐ μήν, ἀλλ' ἐνίοτε οὐ δόξει ἀντιστρέφειν. ἐὰν μὴ οἰκείως πρὸς ὃ λέγεται ἀποδοθῇ, ἀλλὰ διαμάρτῃ ὁ ἀποδιδ

ἀποδιδοῦς. οἷον τὸ πτερὸν ἐὰν ἀποδοθῇ ὄρνιθος, οὐκ ἀντιστρέφει ὄρνις πτε-
ρῷ. οὐ δὲ οἰκείως τὸ πρῶτον ἀποδίδοτι πτερὸν ὄρνιθος. οὐ μὴ ἦ ὄρνις, ταύ-
τη τὸ πτερὸν αὐτῆς λέγετι, ἀλλ' ἦ πτερωτόν ἐστιν. πολλῶν δὲ καὶ ἄλλων
πτερά ἐστιν, ἃ οὐκ εἰσὶν ὄρνιθες, ὥστε ἂν ἀποδοθῇ οἰκείως καὶ ἀντιστρέ-
φει. οἷον τὸ πτερὸν πτερωτοῦ πτερόν, καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν.
Ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον, ἐὰν μὴ κείμενον εἴη ὄνομα,
πρὸς ὃ οἰκείως ἀποδοθείη. οἷον τὸ πηδάλιον τῶν πλοίου ἐὰν ἀποδοθῇ, οὐκ
οἰκεία ἡ ἀπόδοσις γίνετι. οὐ δὲ ἦ πλοῖον, ταύτη αὐτοῦ τὸ πηδάλιον λέ-
γετι. ἔστι μὲν πλοῖα, ὧν οὐκ ἔστι πηδάλια. διὸ οὐκ ἀντιστρέφει. τὸ δὲ πλοῖ-
ον οὐ λέγετι πηδαλίου πλοῖον, ἀλλ' ἴσως οἰκειοτέρα ἂν εἴη ἀπόδοσις.
εἰ οὕτω πῶς ἀποδοθείη τὸ πηδάλιον, πηδαλιωτοῦ πηδάλιον, ἢ ὁπω-
σοῦν ἄλλως. ὄνομα δὲ οὐ κεῖτι, καὶ ἀντιστρέφει γε, ἐὰν οἰκείως ἀποδοθῇ.
τὸ δὲ πηδαλιωτὸν πηδαλίῳ πηδαλιωτόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλ-
λων, οἷον ἡ κεφαλὴ, οἰκειοτέρως ἂν ἀποδοθείη κεφαλωτοῦ κεφαλὴ, ἢ
ζώου ἀποδιδομένη. οὐ μὲν ἦ ζῶον, κεφαλὴν ἔχει. πολλὰ μὲν τῶν ζώων κεφα-
λὴν οὐκ ἔχει. οὕτω δὲ ῥᾷστα ἂν ἴσως τις λάβοι οἷς μὴ κεῖται ὀνόματα, εἰ
ἀπὸ τῶν πρώτων, καὶ τοῖς πρὸς αὐτὰ ἀντιστρέφουσι τιθείη τὰ ὀνόμα-
τα. ὥσπερ ἐπὶ τῶν προειρημένων, ἀπὸ τοῦ πτερῷ, τὸ πτερωτόν. καὶ ἀ-
πὸ τοῦ πηδαλίου τὸ πηδαλιωτόν. πάντα οὖν τὰ πρόστι ἐάνπερ οἰκεί-
ως ἀποδίδωτι, πρὸς ἀντιστρέφοντα λέγετι, ἐπεὶ ἐάν γε πρὸς τὸ τυχὸν
ἀποδιδῶτι, καὶ μὴ πρὸς αὐτὸ ὃ λέγετι, οὐκ ἀντιστρέφει. λέγω δὲ ὅτι οὐδὲ
τῶν ὁμολογουμένως πρὸς ἀντιστρέφοντα λεγομένων, καὶ ὀνομάτων αὐτοῖς
κειμένων οὐδὲν ἀντιστρέφει, ἐὰν πρόστι τῶν συμβεβηκότων ἀποδιδῶτι, καὶ
μὴ πρὸς αὐτὸ ὃ λέγετι, οἷον ὁ δοῦλος, ἐὰν μὴ δεσπότου ἀποδοθῇ, ἀλλὰ ἀν-
θρώπου ἢ δίποδος, ἢ ὁτουοῦν τῶν τοιούτων, οὐκ ἀντιστρέφει. οὐδὲ μὲν δυνα-
τὸν λέγειν ὁ ἄνθρωπος δούλου ἄνθρωπος. οὐ δὲ οἰκεία ἡ ἀπόδοσις ἐστιν. ἐὰν
μέντοι οἰκείως ἀποδεδομένων ἢ πρὸς ὃ λέγετι, πάντων περιαιρουμέ- ἀποδεδομένον
νων τῶν

νων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστί. καταλιπομένου δὲ τούτου μόνου πρὸς ὃ ἀπεδόθη, οἰκείως ἀεὶ πρὸς αὐτὸ ζηθήσεται. οἷον ὁ δοῦλος, ἐὰν πρὸς τὸν δεσπότην λέγητε, περιαιρουμένων τῶν ἄλλων ἁπάντων ὅσα συμβεβηκότα ἐστὶ τῷ δεσπότῃ, οἷον τὸ δίποδι εἶναι, καὶ τὸ ἐπιστήμης δεκτικῷ, καὶ τῷ ἀνθρώπῳ. καταλιπομένου δὲ μόνου τοῦ δεσπότην εἶναι ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸ ζηθήσεται. ὁ μὲν δοῦλος δεσπότου δοῦλος λέγεται. ἐὰν δέ γε μὴ οἰκείως ἀποδοθῇ πρὸς ὁ πότερον λέγεται, περιαιρουμένων μὲν τῶν ἄλλων, καταλιπομένου δὲ μόνου τοῦ πρὸς ὃ ἀπεδόθη, οὐ ζηθήσεται πρὸς αὐτό. ἀποδεδόσθω δὲ ὁ δοῦλος ἀνθρώπου, καὶ τὸ πτερὸν ὄρνιθος. καὶ περιηρήσθω τῶν ἀνθρώπου τὸ δεσπότην αὐτὸν εἶναι. οὐ μὲν ἔτι δοῦλος πρὸς ἄνθρωπον ζηθήσεται. μὴ μὲν ὄντος δεσπότου, οὐ δὲ δοῦλός ἐστιν, ὡσαύτως καὶ τῶν ὄρνιθος, περιηρήσθω τὸ πτερωτῷ εἶναι. οὐ μὲν ἔτι ἔσται τὸ πτερὸν τῶν πρός τι. μὴ γὰρ ὄντος πτερωτοῦ, οὐ δὲ πτερὸν ἔσται τινός. ὥστε δεῖ μὲν ἀποδοῦναι πρὸς ὅποτε οἰκείως λέγεται. κἂν μὲν ὄνομα ᾖ κείμενον, ῥᾳδία ἡ ἀπόδοσις γίνεται. μὴ ὄντος δὲ, ἀναγκαῖον ἴσως ὀνοματοποιεῖν. οὕτω δὲ ἀποδεδομένων, φανερὸν ὅτι πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται.

Δοκεῖ δὲ τὰ πρός τι, ἅμα τῇ φύσει εἶναι, καὶ ἐπὶ μὲν τῶν πλείστων ἀληθές ἐστιν, ἐπ' ἐνίων δὲ, οὐκ ἀληθές. ἅμα μὲν διπλάσιόν τέ ἐστι καὶ ἥμισυ. καὶ ἡμίσεος ὄντος, διπλάσιόν ἐστι, καὶ δεσπότου ὄντος, δοῦλός ἐστι, καὶ δούλου ὄντος δεσπότης ἐστίν. ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα. καὶ συναναιρεῖται δὲ ταῦτα ἄλληλα. μὴ μὲν ὄντος διπλασίου, οὐκ ἔσται ἥμισυ. καὶ ἡμίσεος μὴ ὄντος, οὐκ ἔσται διπλάσιον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὅσα τοιαῦτα. οὐκ ἐπὶ πάντων δὲ τῶν πρός τι ἀληθὲς δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι. τὸ μὲν ἐπιστητὸν πρότερον ἂν δόξειε τῆς ἐπιστήμης εἶναι. ὡς μὲν ἐπὶ τὸ πολὺ, προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν. ἐπ' ὀλίγων μὲν ἂν ἢ ἐπ' οὐδενὸς ἴδοι τὶς ἄν, ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γενομένην. ἔτι τὸ μὲν ἐπιστητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν ἐπιστήμην. ἡ δὲ ἐπιστήμη ἐπιστητὸν

οὐ συ=

οὐ συναναιρεῖ. ἐπιστητὸν γὰρ μὴ ὄντος οὐκ ἔσται ἐπιστήμη. οὐσίαι γὰρ ἔσται ἐπιστήμη· ἐπιστήμης δὲ μὴ οὔσης, οὐδὲν κωλύει ἐπιστητὸν εἶναι. οἷον τὸ τοῦ κύκλου τετράγωνισμός. εἰ γὰρ ἔστιν ἐπιστητόν, ἐπιστήμη μὲν ἀναιρεθέντος οὐκ ἔστιν οὐ γὰρ βλέπω, αὐτὸς δὲ ἐπιστητόν ἐστιν· ἔτι χώρου μὲν ἀναιρεθέντος, οὐκ ἔσται ἐπιστήμη. τῶν δὲ ἐπιστητῶν πολλὰ συμβέβηκεν εἶναι. ὁμοίως δὲ τούτοις καὶ τὰ ἐπὶ τῆς αἰσθήσεως ἔχει. τὸ γὰρ αἰσθητὸν πρότερόν τῆς αἰσθήσεως δοκεῖ εἶναι. τὸ μὲν γὰρ αἰσθητὸν ἀναιρεθέν· συναναιρεῖ τὴν αἴσθησιν, ἡ δὲ αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ. αἱ γὰρ αἰσθήσεις περὶ σῶμα, καὶ ἐν σώματί εἰσιν. αἰσθητὸν δὲ ἀναιρεθέντος, ἀναιρεῖται καὶ τὸ σῶμα, τῶν γὰρ αἰσθητῶν τὸ σῶμα. σώματος δὲ μὴ ὄντος ἀναιρεῖται καὶ ἡ αἴσθησις. ὥστε συναναιρεῖ τὸ αἰσθητὸν τὴν αἴσθησιν. ἡ δέ γε αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ. ζώου γὰρ ἀναιρεθέντος, αἴσθησις μὲν ἀναιρεῖται. αἰσθητὸν δὲ ἔσται σῶμα. οἷον θερμόν, γλυκύ, πικρόν, καὶ τἄλλα πάντα ὅσα ἐστὶν αἰσθητά. ἔτι ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ γίνεται. ἅμα δὲ τῷ ζώῳ γίνεται καὶ ἡ αἴσθησις, τὸ δέ γε αἰσθητόν ἐστι καὶ πρὸ τοῦ ζῷον ἢ αἴσθησιν εἶναι. πῦρ γὰρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα ἐξ ὧν καὶ τὸ ζῷον συνίσταται. ἔστι καὶ πρὸ τοῦ ζῷον ὕλως ἢ αἴσθησιν εἶναι. ὥστε πρότερον ἂν τῆς αἰσθήσεως, τὸ αἰσθητὸν εἶναι δόξειεν.

Ἔχει δὲ ἀπορίαν, πότερον οὐσιῶν οὐσία τῶν πρός τι λέγεται καθάπερ δοκεῖ, εἰ τοῦτο συμβέβηκε κατά τινας τῶν δευτέρων οὐσιῶν. ἐπὶ μὲν γὰρ τῶν πρώτων οὐσιῶν ἀληθές ἐστιν. οὔτε γὰρ τὰ ὅλα οὔτε τὰ μέρη τῶν πρώτων οὐσιῶν πρός τι λέγεται. ὁ γὰρ τὶς ἄνθρωπος, οὐ λέγεται τινὸς τὶς ἄνθρωπος· οὐδὲ ὁ τὶς βοῦς, τινὸς τὶς βοῦς. ὡσαύτως δὲ καὶ τὰ μέρη. ἡ μὲν τὶς χείρ, οὐ λέγεται τινὸς τὶς χείρ, ἀλλὰ τινὸς χείρ. καὶ ἡ τὶς κεφαλὴ οὐ λέγεται τινὸς τὶς κεφαλή, ἀλλὰ τινὸς κεφαλή. ὡσαύτως καὶ ἐπὶ τῶν δευτέρων οὐσιῶν. ἐπί γε τῶν πλείστων. οἷον ἄνθρωπος, οὐ λέγεται τινὸς ἄνθρωπος. οὐδὲ ὁ βοῦς,

τινὸς

τινὸς βοῦς. οὐ δὲ τὸ ξύλον, τινὸς ξύλον, ἀλλὰ τινὸς κτῆμα λέγεται. ἐπὶ μὲν τῶν τοιούτων φανερὸν, ὅτι οὐκ ἔστι τῶν πρός τι. ἐπ' ἐνίων δὲ τῶν δευτέρων οὐσιῶν ἔχει ἀμφισβήτησιν, οἷον ἡ κεφαλὴ τινὸς λέγεται κεφαλὴ, καὶ ἡ χεὶρ, τινὸς λέγεται χεὶρ. καὶ ἕκαστον τῶν τοιούτων. ὥστε ταῦτα τῶν πρός τι δόξειεν ἂν εἶναι. Εἰ μὲν οὖν ἱκανῶς ὁ τῶν πρός τι ὁρισμὸς ἀποδέδοται, ἢ τῶν πάνυ χαλεπῶν, ἢ τῶν ἀδυνάτων ἐστὶ τὸ δεῖξαι. ὡς οὐδεμία οὐσία τῶν πρός τι λέγεται. εἰ δὲ μὴ ἱκανῶς, ἀλλ' ἔστι τὰ πρός τι, οἷς τὸ εἶναι ταυτόν ἐστι τῷ πρός τι πῶς ἔχειν, ἴσως ἂν ῥηθείη τὶ πρὸς ταῦτα. ὁ δὲ πρότερος ὁρισμὸς παρακολουθεῖ μὲν πᾶσι τοῖς πρός τι. οὐ μήν γε ταυτόν ἐστι, τῷ πρός τι αὐτοῖς εἶναι, τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι. ἐκ δὲ τούτων, δῆλόν ἐστι ὅτι ἐάν τις εἰδῇ ὡρισμένως τῶν πρός τι, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται. φανερὸν οὖν καὶ ἐξ αὐτῶν ἐστίν. εἰ γὰρ οἶδέ τις τὸ δέ τι, ὅτι ἐστὶ τῶν πρός τι. ἔστι δὲ τὸ εἶναι τοῖς πρός τι ταυτὸν τῷ πρός τι πῶς ἔχειν, κἀκεῖνο οἶδε πρὸς ὃ τοῦτο πῶς ἔχει. εἰ γὰρ μὴ οἶδεν ὅλως πρὸς ὃ τοῦτο πῶς ἔχει, οὐδ' εἰ πρός τι τὸ πῶς ἔχει εἴσεται. καὶ ἐπὶ τῶν καθέκαστα δὲ δῆλον τὸ τοιοῦτον. οἷον τὸ δέ τι εἰ οἶδέ τις ἀφωρισμένως ὅτι ἐστὶ διπλάσιον καὶ ὅτου διπλάσιον ἐστὶν, εὐθὺς ἀφωρισμένως οἶδεν. εἰ γὰρ μηδενὸς τῶν ἀφωρισμένων οἶδεν αὐτὸ διπλάσιον, οὐδ' εἰ διπλάσιόν ἐστιν ὅλως οἶδεν, ὡσαύτως δὲ καὶ τὸ δέ τι. εἰ οἶδεν ὅτι κάλλιόν ἐστι καὶ ὅτου κάλλιόν ἐστιν εὐθὺς ἀφωρισμένως ἀναγκαῖον εἰδέναι. διὰ ταῦτα, οὐκ ἀορίστως δὲ τοῦτο εἴσεται. ὅτι τοῦτό ἐστι χείρονος κάλλιον. ὑπόληψις γὰρ τὸ τοιοῦτον γίνεται, οὐκ ἐπιστήμη. οὐ γὰρ ἔτι εἴσεται ἀκριβῶς ὅτι ἐστὶ χείρονος κάλλιον. εἰ γὰρ οὕτως ἔτυχεν, οὐδέν ἐστι χεῖρον αὐτοῦ. ὥστε φανερὸν ὅτι ἀναγκαῖόν ἐστιν ἃ ἂν εἰδῇ τις τῶν πρός τι ἀφωρισμένως, κἀκεῖνο πρὸς ὃ λέγεται ἀφωρισμένως ~~ἀναγκαῖον~~ εἰδέναι. τὴν δέ γε κεφαλὴν καὶ τὴν χεῖρα, καὶ ἕκαστον τῶν τοιούτων, ἅ εἰσιν οὐσίαι, αὐτὰ μὲν ἅπερ

εἰδέναι

ἐστιν

ἐστιν ὡρισμένως εἰδέναι, πρὸς ὃ δὲ λέγεται οὐκ ἀναγκαῖον. τίνος γὰρ αὕτη ἡ κεφαλή. καὶ τίνος ἡ χεὶρ, οὐκ ἔστιν εἰδέναι ὡρισμένως. ὥστε οὐκ ἂν εἴη ταῦτα τῶν πρός τι· εἰ δὲ μή ἐστι ταῦτα τῶν πρός τι, ἀληθὲς ἂν εἴη λέγειν, ὅτι οὐδεμία οὐσία τῶν πρός τι ἐστίν. ἴσως δὲ χαλεπὸν καὶ ὑπὲρ τῶν τοιούτων σφοδρῶς ἀποφαίνεσθαι μὴ πολλάκις ἐπεσκεμμένον. τὸ μέντοι διηπορηκέναι περὶ ἑκάστου αὐτῶν οὐκ ἄχρηστόν ἐστιν.

ΠΕΡΙ ποιοῦ καὶ ποιότητος.

Ποιότητα δὲ λέγω, καθ' ἣν ποιοί τινες εἶναι λέγονται. ἔστι δὲ ἡ ποιότης πλεοναχῶς λεγομένων. ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν. διαφέρει δὲ ἕξις διαθέσεως, τῷ χρονιώτερον εἶναι καὶ μονιμώτερον. τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι, καὶ αἱ ἀρεταί· ἥ τε δὲ ἐπιστήμη δοκεῖ τῶν παραμονιμωτέρων εἶναι, καὶ χρονιωτέρων. ἐὰν καὶ μεθίως ἐπιστήμην τις λάβῃ. ἐάν περ μὴ μεγάλη μεταβολὴ γένηται ὑπὸ νόσου, ἢ ἄλλου τινὸς τοιούτου. ὡσαύτως δὲ καὶ ἡ ἀρετή. οἷον ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη. καὶ ἕκαστον τῶν τοιούτων, οὐκ εὐκίνητα δοκεῖ εἶναι, οὐδ' εὐμετάβλητα. διαθέσεις δὲ λέγοντες ἅ ἐστιν εὐκίνητα, καὶ ταχὺ μεταβάλλοντα. οἷον θερμότης, καὶ κατάψυξις, καὶ νόσος, καὶ ὑγεία, καὶ ὅσα ἄλλα τοιαῦτα. διάκειται μὲν γὰρ πως κατὰ ταύτας ὁ ἄνθρωπος. ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ ψυχρὸς γενόμενος. καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ μή τις καὶ αὐτῶν τούτων τυγχάνει διαχρόνου πλῆθος ἤδη συμπεφυομένη, καὶ ἀκίνητος, ἢ πάνυ δυσκίνητος οὖσα, ἣν ἄντις ὡς ἕξιν ἤδη προσαγορεύσει. φανερὸν δὲ ὅτι ταῦτα βούλονται ἕξεις λέγειν ἅ ἐστι πολυχρονιώτερα καὶ δυσκινητότερα. τοὺς μὲν δὲ τῶν ἐπιστημῶν μὴ πάνυ τι κατέχοντας, ἀλλ' εὐκινήτους ὄντας οὔφασιν ἕξιν ἔχειν. καί τι διάκειν ταί γέ πως κατὰ τὴν ἐπιστήμην, ἢ χεῖρον, ἢ βέλτιον. ὥστε διαφέρει ἕξις διαθέσεως, τῷ τὴν μὲν εὐκίνητον εἶναι. τὴν δὲ πολυχρονιωτέραν. καὶ δυσκινητοτέραν. εἰσὶ δὲ αἱ μὲν ἕξεις καὶ διαθέσεις, αἱ δὲ διαθέσεις οὐκ ἐξ ἀνάγκης

ἕξεις. οἱ μὲν δὲ ἕξεις ἔχοντες, καὶ διάκεινταί γε κατ' αὐτάς. οἱ δὲ διακεί
μενοι, οὐ πάντως καὶ ἕξιν ἔχουσιν. Ετερον δὲ γένος ποιότητος, κα
θὸ πυκτικοὺς ἢ δρομικοὺς, ἢ ὑγιεινοὺς, ἢ νοσώδεις λέγομεν. καὶ ἁπλῶς,
ὅσα κατὰ δύναμιν φυσικὴν, ἢ ἀδυναμίαν λέγεται. οὐ μὴ τῷ διακεῖ=
σθαί πως ἕκαστον τῶν τοιούτων λέγετε ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν
ἢ ἀδυναμίαν, τοῦ ποιῆσαί τι ῥᾳδίως ἢ μηδὲν πάσχειν, οἷον πυκτικοὶ
ἢ δρομικοὶ λέγοντες, οὐ τῷ διακεῖσθαί πως, ἀλλὰ τῷ δύναμιν ἔχειν φυ
σικὴν, ἢ ἀδυναμίαν τοῦ ποιῆσαί τι ῥᾳδίως. ὑγιεινοὶ δὲ λέγοντες τῷ δυνά
μιν ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως. νοσώδεις
δὲ τῷ ἀδυναμίαν ἔχειν φυσικὴν, τοῦ μηδὲν πάσχειν ῥᾳδίως ὑπὸ τῶν
τυχόντων. ὁμοίως δὲ τούτοις, καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν ἔχει. τὸ μὲν
δὲ σκληρὸν λέγεται, τῷ δύναμιν ἔχειν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι. τὸ
δὲ μαλακὸν τῷ ἀδυναμίαν ἔχειν τοῦ αὐτοῦ τούτου. Τρίτον δὲ γέ
νος ποιότητος, παθητικαὶ ποιότητες, καὶ πάθη. ἔστι δὲ τοιαῦτα, οἷον
γλυκύτης τε καὶ πικρότης, καὶ στρυφνότης, καὶ πάντα τὰ τούτοις συγ
γενῆ. ἔτι δὲ, καὶ θερμότης, καὶ ψυχρότης, καὶ λευκότης, καὶ μελανία.
ὅτι μὲν οὖν αὗται παθητικαὶ ποιότητες εἰσὶ φανερόν. τὰ δὲ δεδεγ=
μένα αὐτὰ ποιὰ λέγεται κατὰ αὐτάς. οἷον τὸ μέλι τῷ γλυκύτητα δε
δέχθαι, λέγετε, γλυκύ. καὶ τὸ σῶμα λευκὸν, τῷ λευκότητα δεδέχθαι.
ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Παθητικαὶ δὲ ποιότητες λέγον
ται, οὐ τῷ αὐτὰ τὰ δεδεγμένα τὰς ποιότητας, πεπονθέναι τί. οὔτε μὴ
τὸ μέλι τῷ πεπονθέναι τι λέγεται γλυκύ, οὔτε τῶν ἄλλων τῶν τοιού=
των οὐδέν. ὁμοίως δὲ τούτοις καὶ ἡ θερμότης, καὶ ἡ ψυχρότης παθη
τικαὶ ποιότητες λέγοντες. οὐ τῷ αὐτὰ τὰ δεδεγμένα πεπονθέναι τι.
τῷ δὲ κατὰ τὰς αἰσθήσεις ἑκάστην τῶν εἰρημένων ποιοτήτων, πάθους
εἶναι ποιητικὴν, παθητικαὶ ποιότητες λέγοντες. ἥτε δὲ γλυκύτης πάθος
τι κατὰ τὴν γεῦσιν ἐμποιεῖ, καὶ ἡ θερμότης κατὰ τὴν ἁφήν. ὁμοίως
δὲ καὶ

δὲ καὶ αἱ ἄλλαι. λυπότης δὲ καὶ μελαγχολία, καὶ αἱ ἄλλαι χρόαι, οὐ τὸν αὐτὸν τόπον τοῖς εἰρημένοις παθητικαὶ ποιότητες λέγονται, ἀλλὰ τῷ αὐτὰς ὑπὸ πάθους γεγονέναι. ὅτι μὲν γίνονται διὰ πάθος πολλαὶ μεταβολαὶ χρωμάτων δῆλον. αἰχμωθεὶς γὰρ γις, ἐρυθρὸς ἐγένετο, καὶ φοβηθεὶς ὠχρὸς, καὶ ἕκαστον τῶν τοιούτων. ὥστε καὶ εἴτις φύσει τῶν τοιούτων τὶ συμπτωμάτων, ἢ παθῶν πέπονθε, τῷ ὁμοίαν χρόαν εἰκὸς αὐτὴν ἔχειν ἐσίν. ἥτις μὲν νῦν ἐν τῷ αἰχμωθῆναι διάθεσις ἢ περὶ τὸ σῶμα ἐγένετο, καὶ κατὰ φυσικὴν σύστασιν ἣ αὐτὴ γένοιτ' ἂν διάθεσις. ὥστε φύσει καὶ τῷ χρόαν ὁμοίαν γενέσθαι. ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων ἀποτινων παθῶν δυσκινήτων καὶ παραμονίμων τῷ ἀρχὴν εἴληφε, παθητικαὶ ποιότητες λέγονται. εἴτε δὲ ἐν τῇ κατὰ φύσιν συστάσει ὠχρότης, ἢ μελαγχολία γένηται, ποιότης λέγεται. ποιοὶ μὲν κατὰ ταύτας λεγόμεθα, εἴτε διὰ νόσον μακρὰν, ἢ διὰ κακῦμα τῷ αὐτῷ συμβέβηκεν ὠχρότης, ἢ μελαγχολία, μὴ μὴν ξαδίως ἀποκαθίστανται, ἢ μὴ διὰ βίου παραμένουσι παθητικαὶ ποιότητες μὴ αὐταὶ λέγονται. ὁμοίως δὲ ποιοὶ κατὰ ταύτας λεγόμεθα. ὅσα ἢ ἀπὸ ξαδίως διαλυομένων, μὴ ταχὺ ἀποκαθισταμένων γίνεται, πάθη λέγονται. ποιότητες δὲ, οὔ. οὐ δὲ λέγονται ποιοί τινες κατ' αὐτάς. οὔτε δὲ ὁ ἐρυθριῶν διὰ τὸ αἰχμώεσθαι λέγεται ἐρυθρίας, οὔτε ὁ ὠχριῶν διὰ τὸ φοβεῖσθαι ὠχρίας, ἀλλὰ μᾶλλον τῷ πεπονθέναι τι. ὥστε πάθη μὲν τὰ τοιαῦτα λέγονται. ποιότητες δὲ, οὔ. ὁμοίως δὲ τὸ τοῖς καὶ κατὰ ψυχὴν παθητικαὶ ποιότητες, μὴ πάθη λέγονται. ὅσα τε δὲ ἐν τῇ γενέσει εὐθὺς ἀποτινων παθῶν δυσκινήτων γεγένηται, ποιότητες λέγονται μὴ αὐταί. οἷον ἥτε μανικὴ ἕξασις, μὴ ἡ ὀργὴ, καὶ τὰ τοιαῦτα. ποιοὶ δὲ κατ' αὐτὰς λέγονται ὀργίλοι τε καὶ μανικοί. ὁμοίως δὲ καὶ ὅσαι ἕξασεις μὴ φυσικαὶ, ἀλλ' ἀποτινων ἄλλων συμπτωμάτων γεγένηνται, ἢ καὶ ὅλως δυσκίνητοι ποιότητες, καὶ τὰ τοιαῦτα. ποιοὶ δὲ κατ' αὐτὰς λέγονται. ὅσα ἢ ἀπὸ ξαδίως καὶ ταχὺ καθι-

σκληρὸν γίνεται, πάθη λέγονται. οἷον εἰ λυπηρὸν ἡ ὀργιλότης, ὀργιλώτερος γίνεται. οὐδὲ ὃ λέγεται ὀργίλος, ὃ ἐν τῷ τοιούτῳ πάθει ὀργιλώτερος ὤν, ἀλλὰ μᾶλλον τῷ πεπονθέναι τι, ὥστε πάθη μὲν λέγονται τὰ ζῳα τὰ ποιότητες δὲ, οὔ. Τέταρτον δὲ γένος ποιότητος σχῆμά τε, καὶ τὸ περὶ ἕκαστον ὑπάρχουσα μορφή. ἔτι δὲ πρὸς τούτοις, εὐθύτης, καὶ καμπυλότης, καὶ εἴτι ἄλλο τούτοις ὅμοιόν ἐστι. καθ' ἕκαστον δὲ τούτων ποιόντι λέγεται. τὸ γὰρ τρίγωνον ἢ τετράγωνον εἶναι ποιόντι λέγεται, καὶ τὸ εὐθὺ ἢ καμπύλον. καὶ κατὰ τὴν μορφὴν δὲ ἕκαστον ποιὸν λέγεται. τὸ δὲ μανὸν καὶ πυκνὸν, καὶ τραχὺ, καὶ λεῖον μᾶλλον ἂν ποιόν τι σημαίνειν, ἔοικε δὲ ἀλλότρια τὰ τοιαῦτα τῆς περὶ τὸ ποιὸν διαθέσεως. θέσιν γάρ τινα μᾶλλον φαίνεται τῶν μορίων ἑκάτερον δηλοῦν. πυκνὸν μὲν γὰρ λέγεται τῷ τὰ μόρια σύνεγγυς εἶναι ἀλλήλοις. μανὸν δὲ τῷ διεστάναι πως ἀπ' ἀλλήλων. καὶ λεῖον μὲν τῷ ἐπ' εὐθείας πως τὰ μόρια κεῖσθαι. τραχὺ δὲ τῷ τὸ μὲν ὑπερέχειν, τὸ δὲ ἐλλείπειν. Ἴσως μὲν οὖν καὶ ἄλλος ἄν τις φανείη τρόπος ποιότητος, ἀλλ' οἵγε μάλιστα κεχλὸν λεγόμενοι τοσοῦτοί εἰσιν. ποιότητες μὲν οὖν εἰσὶν αἱ εἰρημέναι. ποιὰ δὲ τὰ κατ' αὐτὰς παρωνύμως λεγόμενα, ἢ ὁπωσοῦν ἀπ' αὐτῶν. ἐπὶ μὲν οὖν τῶν πλείστων, καὶ κεχλὸν ἐπὶ πάντων παρωνύμως λέγεται. οἷον ἀπὸ τῆς λευκότητος, ὁ λευκὸς, καὶ ἀπὸ τῆς γραμματικῆς, ὁ γραμματικὸς, καὶ ἀπὸ τῆς δικαιοσύνης, ὁ δίκαιος. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπ' ἐνίων δὲ, διὰ τὸ μὴ κεῖσθαι τῇ ποιότητι ὀνόματα, οὐκ ἐνδέχεται τὰ λεγόμενα παρωνύμως ἀπ' αὐτῶν λέγεσθαι. οἷον ὁ σφρομικὸς, ἢ ὁ πυκτικὸς, ὁ κατὰ δύναμιν φυσικὴν λεγόμενος ἀπ' οὐδεμιᾶς ποιότητος παρωνύμως λέγεται. οὐ γὰρ κεῖται ὀνόματα τοῖς δυναμένοις, καθ' ἃς οὗτοι ποιοὶ λέγονται, ὥσπερ τοῖς ἐπιστήμοις, καθ' ἃς πυκτικοὶ ἢ παλαιστικοὶ κατὰ διάθεσιν λέγονται. πυκτικὴ γὰρ ἐπιστήμη λέγεται, καὶ παλαιστική. ποιοὶ δ' ἀπὸ τούτων

τούτων παρωνύμως οἱ διακείμενοι λέγονται. ἐνίοτε δὲ καὶ ὀνόματος κειμένου, οὐ λέγεται παρωνύμως τὸ κατ' αὐτὴν ποιὸν λεγόμενον, οἷον ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος. τῷ γὰρ ἀρετὴν ἔχειν, σπουδαῖος λέγεται, ἀλλ' οὐ παρωνύμως ἀπὸ τῆς ἀρετῆς. οὐκ ἐπὶ πολλῶν δὲ τὸ τοιοῦτον ἐστίν. ποιὰ οὖν λέγεται τὰ παρωνύμως ἀπὸ τῶν εἰρημένων ποιοτήτων λεγόμενα, ἢ ὁπωσοῦν ἄλλως. ὑπάρχει δὲ καὶ ἐναντιότης κατὰ τὸ ποιὸν, οἷον ἡ δικαιοσύνη ἀδικίᾳ ἐναντίον, καὶ λευκότης, μελανίᾳ, καὶ τἄλλα. ὡσαύτως καὶ τὰ κατ' αὐτὰς ποιὰ λεγόμενα, οἷον τὸ ἄδικον τῷ δικαίῳ, καὶ τὸ λευκὸν τῷ μέλανι. οὐκ ἐπὶ πάντων δὲ τὸ τοιοῦτον συμβαίνει. τῷ γὰρ πυῤῥῷ ἢ ὠχρῷ ἢ ταῖς τοιαύταις χροιαῖς, οὐδέν ἐστιν ἐναντίον ποιοῖς οὖσιν. Ετι ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιὸν, καὶ τὸ λοιπὸν ἔσται ποιόν. τοῦτο δὲ δῆλον ἐκ τῶν καθέκαστα προχειριζομένῳ τὰς ἄλλας κατηγορίας, οἷον εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον. ποιὸν δὲ ἡ δικαιοσύνη, ποιὸν ἄρα καὶ ἡ ἀδικία. οὐδεμία γὰρ τῶν ἄλλων κατηγοριῶν ἐφαρμόζει τῇ ἀδικίᾳ, οὔτε ποσὸν, οὔτε πρός τι, οὔτε ποῦ, οὔθ' ὅλως τι τῶν τοιούτων οὐδὲν, ἀλλ' ἢ ποιόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸ ποιὸν ἐναντίων. Επιδέχεται δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά. λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται, καὶ δίκαιον ἕτερον ἑτέρου, μᾶλλον καὶ ἧττον, καὶ αὐτὰ δὲ ἐπίδοσιν λαμβάνει. λευκὸν γὰρ ὂν ἔτι ἐνδέχεται λευκότερον γίνεσθαι, οὐ πάντα δὲ, ἀλλὰ τὰ πλεῖστα. δικαιοσύνη γὰρ δικαιοσύνης εἰ λέγοιτο μᾶλλον καὶ ἧττον, ἀπορήσειεν ἄν τις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων διαθέσεων. ἔνιοι γὰρ ἀμφισβητοῦσι περὶ τῶν τοιούτων. δικαιοσύνη μὲν γὰρ δικαιοσύνης οὐ πάνυ φασὶ μᾶλλον καὶ ἧττον οὐ δεῖν λέγεσθαι. οὐδὲ ὑγίειαν ὑγιείας. ἧττον μέν τοι ἔχειν ἕτερον ἑτέρου ὑγίειαν φασὶ, καὶ δικαιοσύνην ἕτερον ἑτέρου ἧττον ἔχειν. ὡσαύτως δὲ καὶ γραμματικὴν, καὶ τὰς ἄλλας διαθέσεις. ἀλλ' οὖν

τάχε

τὰ γε κατ' αὐτὰς λεγόμενα, ἀναμφισβητήτως ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. γραμματικώτερος γὰρ ἕτερος ἑτέρου λέγεται καὶ ὑγιεινότερος καὶ δικαιότερος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τρίγωνον δὲ καὶ τετράγωνον, οὐ δοκεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι. οὐ δὲ τῶν ἄλλων σχημάτων οὐδέν. τὰ μὲν γὰρ ἐπιδεχόμενα τὸν τριγώνου λόγον, καὶ τὸν κύκλου, πάντ' ὁμοίως τρίγωνα ἢ κύκλοι εἰσίν. τῶν δὲ μὴ ἐπιδεχομένων τὸν αὐτὸν λόγον, οὐδὲν ἕτερον ἑτέρα ξηθήσεται μᾶλλον. οὐδὲν γὰρ μᾶλλον τὸ τετράγωνον τοῦ ἑτερομήκους κύκλος ἐστίν. οὐδ' ἕτερον γὰρ ἐπιδέχεται τὸν τοῦ κύκλου λόγον. ἁπλῶς δὲ, ἐὰν μὴ ἐπιδέχηται ἀμφότερα τὸν τοῦ προκειμένου λόγον, οὐ ξηθήσεται τὸ ἕτερον τοῦ ἑτέρου μᾶλλον. οὐ πάντα δὴ ἐπιδέχεται τὰ ποιὰ τὸ μᾶλλον καὶ τὸ ἧττον.

Τῶν μὲν δὴ εἰρημένων οὐδὲν ἴδιον ποιότητος. ὅμοια δὲ καὶ ἀνόμοια κατὰ μόνας τὰς ποιότητας λέγεται. ὅμοιον γὰρ ἕτερον ἑτέρῳ οὐκ ἔστι κατ' ἄλλο οὐδέν, ἢ καθὸ ποιόν ἐστιν. ὥστε ἴδιον ἂν εἴη ποιότητος, τὸ ὅμοιον ἢ ἀνόμοιον λέγεσθαι κατ' αὐτήν. οὐδὲ δὲ παραπέπεσθαι μή τις ἡμᾶς φήσῃ ὑπὲρ ποιότητος τὴν πρόθεσιν ποιησαμένους, πολλὰ τῶν πρός τι συγκαταριθμεῖσθαι. τὰς γὰρ ἕξεις καὶ τὰς διαθέσεις τῶν πρός τι ἐλέγομεν εἶναι. σχεδὸν γὰρ ἐπὶ πασῶν τῶν ποιοτήτων τὰ γένη τῶν πρός τι λέγεται. τῶν δὲ καθ' ἕκαστον οὐδέν. ἡ μὲν γὰρ ἐπιστήμη γένος οὖσα, αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται. τινὸς γὰρ ἐπιστήμη λέγεται. τῶν δὲ καθ' ἕκαστον, οὐδὲν αὐτὸ ὅπερ ἐστὶν ἑτέρᾳ λέγεται, οἷον ἡ γραμματικὴ οὐ λέγεται τινὸς γραμματική, οὐδὲ ἡ μουσική, τινὸς μουσική· ἀλλ' ἢ ἄρα κατὰ τὸ γένος καὶ αὐτοῦ τῶν πρός τι λέγοντος, οἷον ἡ γραμματικὴ λέγεται τινὸς ἐπιστήμη, οὐ τινὸς γραμματική. καὶ ἡ μουσικὴ τινὸς ἐπιστήμη, οὐ τινὸς μουσική. ὥστε αἱ καθ' ἕκαστα, οὐκ εἰσὶ τῶν πρός τι. λεγόμεθα δὲ ποιοὶ ταῖς καθ' ἕκαστα. ταύτας γὰρ καὶ ἕξομεν

ἔχομεν. ἐπὶ σκόμενος γὰρ λεγόμεθα τῷ ἔχειν τῶν καθ' ἕκαστα ἐπιστημῶν τινας. ὥστε αὗται ἂν καὶ ποιότητες εἶεν αἱ καθ' ἕκαστα καθ' ἃς ποιοί τε καὶ ποιοὶ λεγόμεθα. αὗται δὲ οὐκ εἰσὶ τῶν πρός τι. ἔτι εἰ τυγχάνει τὸ ἀνὴρ καὶ ποιόν καὶ πρός τι ὄν, οὐδὲν ἄτοπον ἐν ἀμφοτέροις ἀνὴρ τοῖς γένεσι καταριθμεῖσθαι.

ΠΕΡΙ τοῦ ποιεῖν καὶ πάσχειν, καὶ λοιπῶν κατηγοριῶν.

Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντιότητα. καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ γὰρ θερμαίνειν τῷ ψύχειν ἐναντίον. καὶ τὸ θερμαίνεσθαι τῷ ψύχεσθαι. καὶ τὸ ἄδεσθαι τῷ λυπεῖσθαι. ὥστε ἐπιδέχονται ἐναντιότητα, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. θερμαίνειν γὰρ μᾶλλον καὶ ἧττόν ἐστι. καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον, καὶ λυπεῖσθαι μᾶλλον καὶ ἧττον. ἐπιδέχεται οὖν τὸ μᾶλλον καὶ ἧττον τὸ ποιεῖν καὶ τὸ πάσχειν. ὑπὲρ μὲν οὖν τούτων τοσαῦτα λέγεται. Εἴρηται καὶ ὑπὲρ τοῦ κεῖσθαι ἐν τοῖς πρός τι, ὅτι παρωνύμως ἀπὸ τῶν θέσεων λέγεται. ὑπὲρ δὲ τῶν λοιπῶν τοῦ τε πότε, καὶ τοῦ ποῦ, καὶ τοῦ ἔχειν ὀλίγα τὰ προφανῆ εἶναι, οὐδὲν ὑπὲρ αὐτῶν ἄλλο λέγεται, ἢ ὅσα ἐν ἀρχῇ ἐρρέθη, ὅτι τὸ ἔχειν μὲν σημαίνει τὸ ὑποδεδέσθαι, τὸ ὑποδεῖσθαι. τὸ δὲ ποῦ, οἷον ἐν Λυκείῳ, ἐν ἀγορᾷ. καὶ τὰ ἄλλα δὲ ὅσα ὑπὲρ αὐτῶν ἐρρέθη. ὑπὲρ μὲν οὖν τῶν προτεθέντων γενῶν ἱκανὰ τὰ εἰρημένα.

ΠΕΡΙ τῶν ἀντικειμένων.

Περὶ δὲ τῶν ἀντικειμένων ποσαχῶς ἔνιοθεν ἀντικεῖσθαι ζητέον. λέγεται γὰρ ἕτερον ἑτέρῳ ἀντικεῖσθαι τετραχῶς, ἢ ὡς τὰ πρός τι, ἢ ὡς τὰ ἐναντία, ἢ ὡς στέρησις καὶ ἕξις, ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ἀντίκειται δὲ ἕκαστον τῶν τοιούτων, ὡς τύπῳ εἰπεῖν. ὡς μὲν τὰ πρός τι, οἷον τὸ διπλάσιον τῷ ἡμίσει. ὡς δὲ τὰ ἐναντία οἷον τὸ κακὸν τῷ ἀγαθῷ. ὡς δὲ κατὰ στέρησιν καὶ ἕξιν, οἷον τυφλότης καὶ ὄψις. ὡς δὲ κατὰ

κατάφασις καὶ ἀπόφασις, ὅιον κάθηται, οὐ κάθηται. ὅσα μὲν οὖν ὡς τὰ πρός τι ἀντίκειται, αὐτὰ ἅπερ ἐστί, τῶν ἀντικειμένων λέγονται, ἢ ὅπως οὖν ἄλλως πρὸς αὐτά. ὅιον τὸ διπλάσιον τοῦ ἡμίσεος, αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται. τινὸς γὰρ διπλάσιον. καὶ ἡ ἐπιστήμη τῷ ἐπιστητῷ, ὡς τὰ πρός τι ἀντίκειται, καὶ λέγεταί γε ἡ ἐπιστήμη, αὐτὸ ὅπερ ἐστὶ τοῦ ἐπιστητοῦ, καὶ τὸ ἐπιστητὸν δέ, αὐτὸ ὅπερ ἐστὶ πρὸς τὸ ἀντικείμενον λέγεται τινὶ τῷ ἐπιστήμῃ. τὸ γὰρ ἐπιστητὸν, τινὶ λέγεται ἐπιστητὸν τῇ ἐπιστήμῃ. ὅσα οὖν ἀντίκειται ὡς τὰ πρός τι, αὐτὰ ἅπερ ἐστὶ τῶν ἀντικειμένων, ἢ ὅπως δήποτε πρὸς ἄλληλα λέγεται. τὰ δὲ ὡς ἐναντία, αὐτὰ ἅπερ ἐστὶν, οὐ διχῶς πρὸς ἄλληλα, λέγεται. ἐναντία μὲν τοι ἀλλήλων λέγεται. οὔτε γὰρ τὸ ἀγαθὸν τοῦ κακοῦ λέγεται ἀγαθὸν, ἀλλ' ἐναντίον. ὥστε διαφέρουσιν αὗται αἱ ἀντιθέσεις ἀλλήλων.

Ὅσα δὲ τῶν ἐναντίων τοιαῦτά ἐστιν, ὥστε ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται ἀναγκαῖον αὐτῶν θάτερον ὑπάρχειν. τούτων οὐδέν ἐστιν ἀνὰ μέσον. ὧν δὲ μὴ ἀναγκαῖον θάτερον ὑπάρχειν, τούτων ἀνὰ μέσον ἐσί τι πάντως. ὅιον νόσος καὶ ὑγίεια ἐν σώματι ζώου πέφυκε γίνεσθαι. καὶ ἀναγκαῖόν γε θάτερον αὐτῶν ὑπάρχειν τῷ τοῦ ζώου σώματι, ἢ νόσον ἢ ὑγίειαν, καὶ περιττὸν δὲ καὶ ἄρτιον ἀριθμῷ κατηγορεῖται. καὶ ἀναγκαῖόν γε θάτερον τῷ ἀριθμῷ ὑπάρχειν, ἢ περιττὸν ἢ ἄρτιον. καὶ οὐκ ἔστι τούτων οὐδὲν ἀνὰ μέσον. οὔτε νόσου καὶ ὑγιείας, οὔτε περιττοῦ οὔτε ἀρτίου. ὧν δέ γε μὴ ἀναγκαῖον θάτερον ὑπάρχειν, τούτων ἐσί τι ἀνὰ μέσον. ὅιον μέλαν καὶ λευκὸν ἐν σώματι ζώου πέφυκε γίνεσθαι. καὶ οὐκ ἀναγκαῖον θάτερον αὐτῶν ὑπάρχειν τῷ σώματι. οὐ γὰρ πᾶν σῶμα ἤτοι λευκὸν ἢ μέλαν ἐστίν, καὶ φαῦλον δὲ καὶ σπουδαῖον. κατηγορεῖται μὲν καὶ τὰ ἀνθρώπου, καὶ κατὰ ἄλλων πολλῶν. οὐκ ἀναγκαῖον δὲ θάτερον αὐτῶν ὑπάρχειν ἐκείνοις ὧν κατηγορεῖται. οὐ γὰρ πάντα ἤτοι φαῦλα ἢ σπουδαῖά ἐισι. καὶ ἔσι γέ τι τούτων ἀνὰ μέσον, ὅιον τοῦ μὲν λευκοῦ καὶ μέλανος, τὸ

νος, ⸗ φαιὸν ἢ ὠχρὸν, καὶ ὅσα ἄλλα χρώματα. τοῦ δὲ φαύλου καὶ σπου δαίου ⸗ οὔτε φαῦλον οὔτε σπουδαῖον. ἐπ' ἐνίων μὲν οὖν ὀνόματα κεῖται τοῖς ἀνὰ μέσον, οἷον λοιπὸν καὶ μέλανος ⸗ φαιὸν καὶ ὠχρόν. καὶ ὅσα ἄλλα τοιαῦτα χρώματα. ἐπ' ἐνίων μὲν οὖν ὀνόματα κεῖται τῆς ἀνὰ μέσον οἷον φαιὸν καὶ ὠχρὸν λοιποῦ καὶ μέλανος. ἐπ' ἐνίων δὲ ὀνόματι μὲν οὐκ εὔπεσον ⸗ ἀνὰ μέσον ἀποδοῦναι. τῇ δ' ἑκατέρᾳ τῶν ἄκρων ἀποφάσει ⸗ ἀνὰ μέσον ὀρίζεται. οἷον ⸗ οὔτε ἀγαθὸν, οὔτε κακὸν, οὔτε δίκαιον, οὔτε ἄδικον.

Στέρησις δὲ καὶ ἕξις λέγεται μὲν περὶ ταυτόν τι, οἷον ἡ ὄψις καὶ ἡ τυφλότης περὶ ὀφθαλμόν. καθόλου δὲ εἰπεῖν ἐν ᾧ ἂν πέφυκεν ἡ ἕξις γίνεσθαι, περὶ τοῦτο λέγεται ἑκάτερον αὐτῶν γίνεσθαι. ἐστερῆσθαι δὲ τότε λέγομεν ἕκαστον τῶν τῆς ἕξεως δεκτικῶν, ὅταν ἐν ᾧ πέφυκεν ὑπάρχειν ἢ ὅτε πέφυκεν ἔχειν μηδαμῶς ὑπάρχῃ. καθόλου γὰρ λέγομεν, οὐ τὸ μὴ ἔχειν ὀδόντας, καὶ τυφλὸν, οὐ ⸗ μὴ ἔχειν ὄψιν, ἀλλὰ τὸ μὴ ἔχειν, ὅτε πέφυκεν ἔχειν. ἔνια γὰρ ἐκ γενετῆς, οὔτε ὄψιν οὔτε ὀδόντας ἔχει. ἀλλ' οὐ λέγεται καθόλου, οὐδὲ τυφλά. ⸗ δὲ ἐστερῆσθαι, καὶ ⸗ ἔχειν πώποτε ἕξιν, οὐκ ἔστι στέρησις καὶ ἕξις. ἕξις μὲν γάρ ἐστιν ἡ ὄψις. στέρησις δὲ ἡ τυφλότης. τὸ δὲ ἔχειν πώποτε ὄψιν, οὐκ ἔστιν ὄψις. οὐδὲ τὸ τυφλὸν εἶναι τυφλότης. στέρησις γάρ τις ἡ τυφλότης ἐστίν. ⸗ δὲ τυφλὸν εἶναι, ἐστερῆσθαί ἐστιν, οὐ στέρησις. ἔτι εἰ μὲν ἡ τυφλότης τὸ τυφλὸν εἶναι, καὶ κατηγορεῖτο ἂν ἀμφότερα κατὰ τοῦ αὐτοῦ. ἀλλὰ τυφλὸς μὲν ὁ ἄνθρωπος λέγεται. τυφλότης δὲ ὁ ἄνθρωπος οὐδαμῶς λέγεται. ἀντικεῖσθαι δὲ καὶ ταῦτα δοκεῖ, ⸗ ἐστερῆσθαι καὶ ⸗ πώποτε ἔχειν, ὡς στέρησις καὶ ἕξις. ὁ γὰρ τόπος τῆς ἀντιθέσεως, ὁ αὐτός. ὡς δ' ἡ τυφλότης τῇ ὄψει ἀντίκειται, οὕτω καὶ ⸗ τυφλὸν εἶναι τῷ ὄψιν ἔχειν ἀντίκειται. οὐκ ἔστι δὲ οὐδὲ ⸗ ὑπὸ πώποτε κατάφασιν καὶ ἀπόφασιν κατάφασις, καὶ ἀπόφασις. ἡ μὲν γὰρ κατάφασις λόγος ἐστὶ καταφατικός. ἡ δὲ ἀπόφασις,

λόγος ἀποφατικός. τὸ δὲ ὑπὸ τὴν κατάφασιν ἢ ἀπόφασιν, οὐδεὶς ἐστὶ λόγος, ἀλλὰ πρᾶγμα. λέγεται δὲ ταῦτα ἀντικεῖσθαι ἀλλήλοις ὡς κατάφασις, καὶ ἀπόφασις. καὶ γὰρ καὶ ἐπὶ τούτων, ὁ τρόπος τῆς ἀντιθέσεως ὁ αὐτός. ὡς γάρ ποτε ἡ κατάφασις πρὸς τὴν ἀπόφασιν ἀντίκειται, οἷον τὸ κάθηται πρὸς τὸ οὐ κάθηται, οὕτω καὶ τὸ ὑφ' ἑκάτερον πρᾶγμα ἀντίκειται, τὸ καθῆσθαί τινα πρὸς τὸ μὴ καθῆσθαι.

Ὅτι δὲ ἡ σέρησις καὶ ἡ ἕξις, οὐκ ἀντίκειται ὡς τὰ πρός τι φανερόν. οὐ γὰρ λέγεται αὐτὸ ὅπερ ἐστὶ τοῦ ἀντικειμένου. ἡ γὰρ ὄψις, οὐκ ἔστι τυφλότητος ὄψις, οὐδ' ἄλλως οὐδαμῶς πρὸς αὐτὸ λέγεται. ὡσαύτως δὲ, οὐδὲ ἡ τυφλότης λέγοιτ' ἂν τυφλότης ὄψεως, ἀλλὰ σέρησις μὲν ὄψεως ἡ τυφλότης λέγεται. τυφλότης δὲ ὄψεως οὐ λέγεται, οὐδ' ἡ ὄψις τυφλότητος. ἔτι τὰ πρός τι πάντα πρὸς ἀντισφέροντα λέγεται, ὥστε καὶ ἡ τυφλότης εἴπερ ἦν τῶν πρός τι ἀντέσφερεν ἂν κἀκεῖνο, πρὸς ὃ λέγεται. ἀλλ' οὐκ ἀντισφέρει. οὐ γὰρ λέγεται ἡ ὄψις, τυφλότητος ὄψις. ὅτι δὲ οὐδ' ὡς τὰ ἐναντία ἀντίκειται τὰ κατὰ σέρησιν καὶ ἕξιν λεγόμενα, ἐκ τῶνδε δῆλον. τῶν μὲν γὰρ ἐναντίων, ὧν οὐδέν ἐστιν ἀνὰ μέσον, ἀναγκαῖον ἐν οἷς πέφυκε γίνεσθαι, ἢ ὧν κατηγορεῖται, θάτερον αὐτῶν ὑπάρχειν ἀεί. τούτων γὰρ οὐδὲν ἦν ἀνὰ μέσον, ὧν θάτερον ἀναγκαῖον ἦν τῷ διεκτικῷ ὑπάρχειν. οἷον ἐπὶ νόσου, καὶ ὑγιείας, καὶ περιττοῦ καὶ ἀρτίου. ὧν δέ ἐστί τι ἀνὰ μέσον, οὐδέ ποτε ἀνάγκη παντὶ ὑπάρχειν θάτερον. οὔτε γὰρ λευκόν, ἢ μέλαν ἀνάγκη πᾶν εἶναι τὸ διεκτικόν, οὔτε θερμόν, ἢ ψυχρόν. τούτων γὰρ ἀνὰ μέσον τι οὐδὲν κωλύει ὑπάρχειν. ἔτι δὲ καὶ τούτων ἦν τι ἀνὰ μέσον, ὧν μὴ ἀναγκαῖον ἦν θάτερον ὑπάρχειν τῷ διεκτικῷ, εἰ μὴ δὶς φύσει τὸ ἓν ὑπάρχει. οἷον τῷ πυρὶ θερμῷ εἶναι, καὶ τῇ χιόνι λευκῇ. ἐπὶ γὰρ τούτων, ἀφωρισμένως ἀναγκαῖον θάτερον ὑπάρχειν, καὶ οὐχ ὁπότερον ἔτυχεν. οὐ δὲ γὰρ ἐνδέχεται

τὸ πῦρ

τὸ πῦρ ψυχρὸν εἶναι, οὐδὲ πίττα χιόνα μέλαιναν. ὥστε παντὶ μᾶλλον οὐκ ἀνάγκη τῷ ἀληκτικῷ θάτερον αὐτῶν ὑπάρχειν, ἀλλὰ μόνοις οἷς φύσει τὸ ἓν ὑπάρχει, καὶ τούτοις ἀφωρισμένως τὸ ἓν καὶ οὐχ' ὁπότερον ἔτυχεν. ἐπὶ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως, οὐδέτερον τῶν εἰρημένων ἀληθές. οὐ γὰρ ἀεὶ θάτερον αὐτῶν ἀναγκαῖον τῷ ἀληκτικῷ ὑπάρχειν. τὸ γὰρ μήπω πεφυκὸς ὄψιν ἔχειν, οὔτε τυφλόν, οὔτε ὄψιν ἔχειν λέγεται. ὥστε οὐκ ἂν εἴη ταῦτα τῶν τοιούτων ἐναντίων, ὧν οὐδέν ἐστιν ἀνὰ μέσον. ἀλλ' οὐδὲ ὧν τὶ ἀνὰ μέσον ἐστίν. ἀναγκαῖον γάρ ποτε παντὶ τῷ ἀληκτικῷ θάτερον αὐτῶν ὑπάρχειν. ὅταν γὰρ ἤδη πεφυκὸς ᾖ ὄψιν ἔχειν, τότε ἢ τυφλόν, ἢ ὄψιν ἔχον ξηθήσεται. καὶ τούτων, οὐκ ἀφωρισμένως θάτερον, ἀλλ' ὁπότερον ἔτυχεν. οὐ γὰρ ἀναγκαῖον, ἢ τυφλόν, ἢ ὄψιν ἔχον εἶναι, ἀλλ' ὁπότερον ἔτυχεν. ἐπὶ δέ τῶν ἐναντίων ὧν ἐστί τι ἀνὰ μέσον. οὐδέ ποτε ἀναγκαῖον ἦν παντὶ θάτερον ὑπάρχειν, ἀλλά τισί. καὶ τούτοις ἀφωρισμένως τὸ ἓν καὶ οὐχ ὁπότερον ἔτυχεν. ὥστε δῆλον ὅτι κατ' οὐδέτερον τῶν τρόπων, ὡς τὰ ἐναντία, ἀντίκειται τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα.

Ἔτι ἐπὶ μὲν τῶν ἐναντίων ὑπάρχοντος τοῦ ἀληκτικοῦ, δυνατὸν εἰς ἄλληλα μεταβολὴν γενέσθαι. εἰ μή τινι φύσει τὸ ἓν ὑπάρχει, οἷον τῷ πυρὶ θερμῷ εἶναι, καὶ γὰρ καὶ τὸ ὑγιαῖνον δυνατὸν νοσῆσαι, καὶ τὸ λευκὸν μέλαν γενέσθαι. καὶ τὸ ψυχρὸν θερμόν, καὶ ἐκ τοῦ δικαίου φαῦλον, καὶ ἐκ φαύλου τοῦ δικαίου δυνατὸν γενέσθαι. ὁ γὰρ φαῦλος εἰς βελτίους διαζιβὰς ἀπαγορεύσας καὶ λόγους, κἂν μικρὸν ἔτι ἐπιδῷ εἰς τὸ βελτίων εἶναι. ἐὰν δὲ ἅπαξ κἂν μικρὰν ἐπίδοσιν λάβῃ, φανερὸν ὅτι ἢ τελείως ἂν μεταβάλοι, ἢ πάνυ πολλὴν ἂν ἐπίδοσιν λάβοι. ἀεὶ γὰρ εὐκινητότερος πρὸς ἀρετὴν γίνεται, κἂν ἥντινα οὖν ἐπίδοσιν

 εἴλη-

εἰλικρῶς, ἐξ ἀρχῆς ἢ. ὥστε εἰκὸς καὶ πλείω ἐστὶ δύσιν αὐτὴν λαμβάνειν. καὶ τοῦτο ἀεὶ γινόμενον, τελείως εἰς τὴν φαυτίαν ἔξιν ἀποκαθίσησιν, ἐάνπερ μὴ χρόνῳ ἐξείργηται. ἐστὶ δὲ λέγειν τῆς στερήσεως καὶ τῆς ἕξεως ἀδιαίρετον εἰς ἄμικλα μεταβολὴν γενέσθαι. ἀπὸ μὲν οὖν τῆς ἕξεως ἐστὶ τὴν στέρησιν γίνεται μεταβολή. ἀπὸ δὲ τῆς στερήσεως, ἐστὶ τὴν ἕξιν ἀδιαίρετον. οὔτε δὲ τυφλὸς γενόμενός τις πάλιν ἀνέβλεψεν, οὔτε φαλακρὸς ὢν πάλιν κομήτης ἐγένετο, οὔτε νοσῶν ὢν, πάλιν ὑγιάντας ἔφυσεν. ὅσα δὲ ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται, φανερὸν ὅτι κατὰ συλλογισμὸν τῶν εἰρημένων τρόπων ἀντίκειται. ἐστὶ μόνων οὖν τούτων ἀναγκαῖον ἀεὶ τὸ μὲν ἀληθὲς, τὸ ἢ ψεῦδος αὐτῶν εἶναι. οὔτε γὰρ ἐπὶ τῶν φαυτίων ἀναγκαῖον ἀεὶ θάτερον ἀληθὲς εἶναι, θάτερον δὲ ψεῦδος. οὔτε ἐπὶ τῶν πρός τι, οὔτε ἐπὶ τῆς ἕξεως καὶ στερήσεως, οἷον ὑγίεια καὶ νόσος φαυτία τίνα, καὶ συλλογισμόν γε, οὔτε ἀληθὲς, οὔτε ψεῦδος ἐστιν. ὡσαύτως δὲ καὶ τὸ διαλλάσσειν καὶ τὸ ἥμισυ, ὡς τὰ πρός τι ἀντίκειται, καὶ οὐκ ἔστιν αὐτῶν συλλογισμόν, οὔτε ἀληθὲς, οὔτε ψεῦδος. συλλέγε τὰ κατὰ στέρησιν, καὶ ἔξιν λεγόμενα, οἷον ἡ ὄψις καὶ ἡ τυφλότης. ὅλως ἢ, τῶν κατὰ μὴ μερικὴν συμπλοκὴν λεγομένων οὐδέν, οὔτε ἀληθές ἐστιν, οὔτε ψεῦδος. πάντα δὲ τὰ εἰρημένα ἄνευ συμπλοκῆς λέγεται. οὐμὴν, ἀλλὰ μάλιστα ἂν δόξειε τὸ ζητούμενον συμβαίνειν, ἐπὶ τῶν κατὰ συμπλοκὴν φαυτίων λεγομένων. τὸ δὲ ὑγιαίνειν Σωκράτη, τῷ νοσεῖν Σωκράτη, ἐναντίον ἐστίν. ἀλλ' οὐδὲ ἐπὶ τούτων ἀναγκαῖον ἀεὶ θάτερον μὲν ἀληθὲς, θάτερον ἢ ψεῦδος εἶναι. ὄντος μὲν τοῦ Σωκράτους, τὸ μὲν ἕτερον ἀληθὲς, τὸ δὲ ψεῦδος. μὴ ὄντος δὲ, ἀμφότερα ψεῦδη. οὔτε γὰρ τὸ νοσεῖν Σωκράτη, οὔτε τὸ ὑγιαίνειν ἀληθὲς αὐτὸν μὴ ὄντος ὅλως τοῦ Σωκράτους. ἐπὶ δὲ τῆς στερήσεως, καὶ τῆς ἕξεως μὴ ὄντός γε ὅλως, οὐδέτερον ἀληθές. ὄντος δὲ οὐκ ἀεὶ θάτερον μὲν ἀληθὲς, θάτερον δὲ ψεῦδος. τὸ γὰρ ὄφιν ἔχειν Σωκράτη, τῷ τυφλὸν εἶναι Σωκράτη ἀντίκειται, ὡς στέρησις. καὶ ἔξις, καὶ

ὄντος

ὄντος γε, οὐκ ἀναγκαῖον θάτερον ἀληθὲς εἶναι ἢ ψευδές. ὅτε γὰρ μὴ πω πέφυκεν ἔχειν, ἀμφότερα ψευδῆ. μὴ ὄντος δὲ ὅλως τοῦ Σωκράτους, καὶ οὕτω ψευδῆ ἀμφότερα, καὶ τὸ ὕφιν αὐτὸν ἔχειν, καὶ τὸ τυφλὸν εἶναι. ἐπὶ μέν τῆς κατα φάσεως, καὶ τῆς ἀποφάσεως, ἀεί. ἐάντε ᾖ, ἐάντε μὴ ᾖ. τὸ μὲν ἕτερον ἔσται ψευδές, τὸ δὲ ἕτερον ἀληθές. τὸ γὰρ νοσεῖν Σωκράτη, καὶ τὸ μὴ νοσεῖν, ὄντος αὐτοῦ, φανερὸν ὅτι τὸ ἕτερον αὐτῶν ἀληθὲς, τὸ δὲ ἕτερον ψευδές ἐστιν. καὶ μὴ ὄντος, ὁμοίως. τὸ μὲν γὰρ νοσεῖν μὴ ὄντος, ψευδές. τὸ δὲ μὴ νοσεῖν, ἀληθές. ὥστε ἐπὶ μόνων τούτων εἴη ἂν ἴδιον τὸ ἀεὶ θάτερον αὐτῶν ἀληθὲς ἢ ψευδὲς εἶναι, ὅσα ὡς κατάφασις, καὶ ἀπόφασις ἀντίκειται.

ΠΕΡΙ τῶν ἐναντίων.

Ἐναντίον δέ ἐστιν, ἀγαθῷ μὲν ἐξ ἀνάγκης κακόν. τοῦτο δὲ δῆλον τῇ καθ' ἕκαστον ἐπαγωγῇ, οἷον ὑγίεια, νόσος, καὶ τῇ δικαιοσύνῃ, ἀδικία, καὶ τῇ ἀνδρίᾳ, δειλία. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. κακῷ δὲ ὁτὲ μὲν ἀγαθόν ἐστιν ἐναντίον, ὁτὲ δὲ κακόν. τῇ γὰρ ἐνδεία κακῷ ὄντι, ἡ ὑπερβολὴ ἐναντίον, κακὸν ὄν. ὁμοίως δὲ καὶ ἡ μεσότης ἐναντία ἑκατέρᾳ οὖσα, ἀγαθόν ἐστιν. ἐπ' ὀλίγων δ' ἂν τοιοῦτον ἴδοι τις. ἐπὶ δὲ τῶν πλείστων, ἀεὶ τῷ κακῷ τὸ ἀγαθὸν ἐναντίον ἐστίν. ἔτι τῶν ἐναντίων οὐκ ἀναγκαῖον ἂν θάτερον ᾖ, καὶ τὸ λοιπὸν εἶναι. ὑγιαινόντων γὰρ ἁπάντων, ὑγίεια μὲν ἔσται. νόσος δὲ, οὔ. ὁμοίως δὲ καὶ λευκῶν ὄντων ἁπάντων λευκότης μὲν ἔσται, μελανία δὲ, οὔ. ἔτι, εἰ τῷ Σωκράτει ὑγιαίνειν τὸ Σωκράτει νοσεῖν ἐναντίον ὄζει, μὴ ἐνδέχεται δὲ ἅμα ἀμφότερα τῷ αὐτῷ ὑπάρχειν. οὐκ ἂν ἐνδέχοιτο τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος, καὶ τὸ λοιπὸν εἶναι. ὄντος γὰρ τοῦ Σωκράτει ὑγιαίνειν, οὐκ ἂν εἴη τὸ νοσεῖν Σωκράτη. δῆλον δ', ὅτι καὶ περὶ τὸ αὐτὸ ἡ εἶδει ἢ γένει πέφυκε γίνεσθαι τὰ ἐναντία. νόσος μὲν γὰρ καὶ ὑγίεια, ἐν σώματι ζώου πέφυκε γίνεσθαι. λευκότης δὲ καὶ μελανία, ἁπλῶς ἐν

σώματι

σώματι. δικαιοσύνη δὲ καὶ ἀδικία, ἐν ψυχῇ ἀνθρώπου. ἀνάγκη δὲ πάντα τὰ ἐναντία, ἢ ἐν τῷ αὐτῷ γένει εἶναι, ἢ ἐν τοῖς ἐναντίοις γένεσιν, ἢ αὐτὰ γένη εἶναι. λευκὸν μὲν γὰρ καὶ μέλαν ἐν τῷ αὐτῷ γένει. χρῶμα γὰρ αὐτῶν τὸ γένος. δικαιοσύνη δὲ καὶ ἀδικία, ἐν τοῖς ἐναντίοις γένεσιν. τοῦ μὲν γὰρ ἀρετὴ τὸ γένος. τοῦ δὲ, κακία. ἀγαθὸν δὲ καὶ κακὸν, οὐκ ἔστιν ἐν γένει. ἀλλ' αὐτὰ τυγχάνει γένη τινῶν ὄντα.

ΠΕΡΙ ΠΡΟΤΕΡΟΥ.

Πρότερον ἕτερον ἑτέρου λέγεται τετραχῶς· πρῶτον μὲν καὶ κυριώτατον κατὰ τὸν χρόνον, καθ' ὃ πρεσβύτερον ἕτερον ἑτέρου, καὶ παλαιότερον λέγεται. τῷ γὰρ τὸν χρόνον πλείω εἶναι, καὶ παλαιότερον καὶ πρεσβύτερον λέγεται. δεύτερον δὲ τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οἷον τὸ ἓν τῶν δύο πρότερον. δυοῖν μὲν γὰρ ὄντοιν ἀκολουθεῖ εὐθὺς τὸ ἓν εἶναι. ἑνὸς δὲ ὄντος ἓν, οὐκ ἀναγκαῖον δύο εἶναι. ὥστε οὐκ ἀντιστρέφει ἀπὸ τοῦ ἑνὸς ἡ ἀκολούθησις τοῦ εἶναι τὸ λοιπόν. πρότερον δὲ δοκεῖ τὸ τοιοῦτον εἶναι, ἀφ' οὗ μὴ ἀντιστρέφει ἡ τοῦ εἶναι ἀκολούθησις. Τρίτον δὲ κατά τινα τάξιν πρότερον λέγεται, καθάπερ ἐπὶ τῶν ἐπιστημῶν καὶ τῶν λόγων. ἐάντε γὰρ ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις, ὑπάρχει τὸ πρότερον καὶ τὸ ὕστερον τῇ τάξει. τὰ γὰρ στοιχεῖα πρότερα τῶν διὰ γραμμάτων τῇ τάξει. καὶ ἐπὶ τῆς γραμματικῆς τὰ στοιχεῖα πρότερα τῶν συλλαβῶν. ἐπί τε τῶν λόγων ὁμοίως. τὸ γὰρ προοίμιον τῆς διηγήσεως πρότερον τῇ τάξει ἐστίν. ἔτι παρὰ τὰ εἰρημένα, τὸ βέλτιον καὶ τιμιώτερον, πρότερον τῇ φύσει δοκεῖ. εἰώθασι δὲ καὶ οἱ πολλοὶ τοὺς ἐντιμοτέρους, καὶ μᾶλλον ἀγαπωμένους ὑπ' αὐτῶν, προτέρους παρ' αὐτοῖς φάσκειν εἶναι. ἔστι μὲν δὴ καὶ σχεδὸν ἀλλοτριώτατος τῶν τρόπων οὗτος. οἱ μὲν οὖν λεγόμενοι τρόποι τοῦ προτέρου, σχεδὸν τοσοῦτοί εἰσι, δόξειε δ' ἂν καὶ παρὰ τοὺς εἰρημένους, ἕτερος

εἶν

εἶναι προτέρου τρόπος. τῶν γὰρ ἀντιστρεφόντων κατὰ τὸ τοῦ εἶ-
ναι ἀκολούθησιν, τὸ αἴτιον ὁπωσοῦν θατέρῳ τοῦ εἶναι. πρότερον εἰκό-
τως τῇ φύσει λέγοιτ' ἄν. ὅτι δέ ἐστί τινα τοιαῦτα, δῆλον. τὸ γὰρ
εἶναι ἄνθρωπον ἀντιστρέφει κατὰ τὸ τοῦ εἶναι ἀκολούθησιν, πρὸς
τὸν ἀληθῆ περὶ αὐτοῦ λόγον. εἰ γάρ ἐστιν ἄνθρωπος, ἀληθὴς, ὁ λόγος
ᾧ λέγομεν ὅτι ἔστιν ἄνθρωπος. καὶ ἀντιστρέφει. εἰ γὰρ ἀληθὴς ὁ λό-
γος ᾧ λέγομεν ὅτι ἔστιν ἄνθρωπος, ἔστιν ἄνθρωπος. ἔστι δὲ ὁ μὲν ἀλη-
θὴς λόγος οὐδαμῶς αἴτιος τοῦ εἶναι τὸ πρᾶγμα. τὸ μέν τοι πρᾶγμα φαί-
νεταί πως αἴτιον τοῦ ἀληθῆ εἶναι λόγον. τῷ γὰρ εἶναι τὸ πρᾶγμα ἢ
μὴ, ἀληθὴς ὁ λόγος, ἢ ψευδὴς λέγεται. ὥστε κατὰ πέντε τρόπους, ἕτε-
ρον ἑτέρου πρότερον λέγοι τ' ἄν.

ΠΕΡΙ ΤΟΥ ΑΜΑ.

Ἅμα δὲ λέγεται, ἁπλῶς μὲν καὶ κυριώτατα, ὧν ἡ γένεσις ἐν τῷ αὐ-
τῷ χρόνῳ. οὐδέτερον γὰρ τῶν τοιούτων πρότερόν ἐστιν, οὐ δὲ ὕστερον.
ἅμα δὲ κατὰ τὸν χρόνον ταῦτα λέγεται. φύσει δὲ ἅμα ὅσα ἀντιστρέφει
μὲν κατὰ τὸ τοῦ εἶναι ἀκολούθησιν. μηδαμῶς δὲ αἴτιον θάτερον θατέ-
ρῳ τοῦ εἶναί ἐστιν. οἷον ἐπὶ τοῦ διπλασίου καὶ τοῦ ἡμίσεος. ἀντιστρέφει μὲν γὰρ
ταῦτα. διπλασίου μέν ὄντος, ἡμισύ ἐστι. καὶ ἡμίσεος ὄντος, διπλάσιόν ἐστιν.
οὐδέτερον δὲ, οὐδετέρῳ τοῦ εἶναί ἐστιν αἴτιον. καὶ γὰρ ἐκ τοῦ αὐτοῦ γένους ἀντε-
διαιροῦνται ἀλλήλοις, ἅμα τῇ φύσει λέγεσθαι. ἀντιδιαιρεῖται δὲ λέγεσθαι ἀλλή-
λοις, τὰ καθ' ἑαυτὴν αὐτὴν διαίρεσιν, οἷον τὸ πλατὺ τῷ περιττῷ καὶ τῷ ἐνύδρῳ.
ταῦτα δὲ ἀλλήλοις ἀντιδιαιρεῖται ἐκ τοῦ αὐτοῦ γένους ὄντα. τὸ μὲν ζῷον δι-
αιρεῖται εἰς ταῦτα. τὸ πλατύ, τὸ περιττὸν, καὶ τὸ ἔνυδρον. καὶ οὐδέν μᾶλ-
λον τῶν πρότερον ἢ ὕστερόν ἐστιν. ἀλλ' ἅμα τῇ φύσει τὰ τοιαῦτα δοκεῖ εἶναι. δι-
αιρεθείη δ' ἂν καὶ τούτων ἕκαστον εἰς εἴδη πάλιν. οἷον τὸ πλατύ, τὸ
περιττὸν, καὶ τὸ ἔνυδρον. ἔσται δὴ κἀκεῖνα ἅμα τῇ φύσει, ὅσα ἐκ τοῦ αὐτοῦ γέ-
νους κατὰ τὴν αὐτὴν διαίρεσιν ἐστίν. τὰ δὲ γένη τῶν εἰδῶν ἀεὶ πρότε-
ρα. οὐ

ρα. οὐ μὴν ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οἷον ἐνύδρου μὲν ὄν-
τος, ἔστι ζῷον. ζώου δὲ ὄντος, οὐκ ἀνάγκη ἔνυδρον εἶναι. ἅμα δὲ τῇ φύσει λέ-
γεται, ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, μηδαμῶς δὲ ἕ-
τερον ἑτέρῳ αἴτιον τοῦ εἶναί ἐστι. καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιηρη-
μένα ἀλλήλοις. ἁπλῶς δὲ ἅμα, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ.

ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ.

Κινήσεως δέ ἐστιν εἴδη ἕξ. γένεσις, φθορὰ, αὔξησις, μείωσις, ἀλλοίω-
σις, καὶ ἡ κατὰ τόπον μεταβολή. αἱ μὲν οὖν ἄλλαι κινήσεις, φανερὸν ὅτι
ἕτεραι ἀλλήλων εἰσίν. οὐ γὰρ ἐστιν ἡ γένεσις φθορά οὐδέ γε ἡ αὔξησις,
μείωσις, οὐδὲ ἡ κατὰ τόπον μεταβολή. ὡσαύτως δὲ καὶ αἱ ἄλλαι. ἐπὶ
δὲ τῆς ἀλλοιώσεως, ἔχει τινὰ ἀπορίαν. μή ποτε ἀναγκαῖον ᾖ, τὸ ἀλλοιού-
μενον κατά τινα τῶν λοιπῶν κινήσεων ἀλλοιοῦσθαι. τοῦτο δὲ οὐκ ἀληθές
ἐστι. σχεδὸν μὲν κατὰ πάντα τὰ πάθη ἢ τά γε πλεῖστα συμβέβηκεν ἀλ-
λοιοῦσθαι ἡμᾶς. οὐδεμιᾶς τῶν ἄλλων κινήσεων κοινωνούσης. οὔτε δὲ αὔξε-
σθαι ἀναγκαῖον τὸ κατὰ πάθος κινούμενον, οὔτε μειοῦσθαι. ὡσαύτως δὲ καὶ
ἐπὶ τῶν ἄλλων. ὥσθ' ἑτέρα ἂν εἴη, παρὰ τὰς ἄλλας κινήσεις, ἡ ἀλλοίω-
σις. εἰ μὲν ἦν ἡ αὐτὴ, ἔδει τὸ ἀλλοιούμενον εὐθὺς καὶ αὔξεσθαι, ἢ μειοῦσθαι, ἢ τι-
νὰ τῶν ἄλλων ἀκολουθεῖν κινήσεων, ἀλλ' οὐκ ἀνάγκη. ὡσαύτως δὲ καὶ τὸ
αὐξανόμενον, ἢ τινὰ ἄλλην κίνησιν κινούμενον, ἔδει ἀλλοιοῦσθαι. ἀλλ' ἔστι τι-
νὰ αὐξανόμενα, ἃ οὐκ ἀλλοιοῦται, οἷον τὸ τετράγωνον γνώμονος περιτεθέν-
τος. ἤυξηται μὲν, ἀλλοιότερον δὲ οὐδὲν γεγένηται. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν
ἄλλων τῶν τοιούτων. ὥσθ' ἕτεραι ἂν εἴησαν αἱ κινήσεις ἀλλήλων. ἔστι δὲ ἁ-
πλῶς, τῇ μὲν κινήσει ἠρεμία ἐναντίον. ταῖς δὲ καθ' ἕκαστα, αἱ καθ' ἕκα-
στα. γενέσει μὲν φθορὰ ἐναντίον. αὐξήσει δὲ μείωσις. τῇ δὲ κατὰ τόπον
μεταβολῇ, ἡ κατὰ τόπον ἠρεμία. μάλιστα δὲ ἔοικεν ἀντικεῖσθαι ἡ εἰς τὸν
ναντίον τόπον μεταβολὴ, οἷον τῇ κάτωθεν, ἡ ἄνω. τῇ ἄνωθεν, ἡ κάτω.
τῇ δὲ λοιπῇ τῶν ἀποδοθεισῶν κινήσεων, οὐ ῥᾴδιον ἀποδοῦναί τί ποτέ ἐστιν
ἐναντίον

ἐναντίον. ἔοικε δὲ οὐδὲν εἶναι αὐτῇ ἐναντίον· εἰ μή τις καὶ ἐπὶ ταύτης τὴν κατὰ τὸ ποιὸν ἠρεμίαν ἀντιτιθείη, τῇ εἰς τὸ ἐναντίον τοῦ ποιοῦ μεταβολῇ, καθέπερ καὶ ἐπὶ τῆς κατὰ τόπον μεταβολῆς, τὴν κατὰ τόπον ἠρεμίαν. ἢ τὴν εἰς τὸν ἐναντίον τόπον μεταβολήν. ἔστι γὰρ καὶ ἡ ἀλλοίωσις μεταβολὴ κατὰ τὸ ποιόν· ὥστε ἀντίκειται τῇ κατὰ τὸ ποιὸν κινήσει, ἡ κατὰ τὸ ποιὸν ἠρεμία, ἢ εἰς τὸ ἐναντίον τοῦ ποιοῦ μεταβολή. οἷον τὸ λευκὸν γίνεσθαι, τὸ μέλαν γίνεσθαι. ἀλλοιοῦται γὰρ εἰς τὰ ἐναντία τοῦ ποιοῦ μεταβολῆς γινομένης.

ἢ τὴν μεταβολὴν

ΠΕΡΙ τοῦ ἔχειν.

Τὸ ἔχειν, κατὰ πλείονας τρόπους λέγεται. ἢ γὰρ ὡς ἕξιν καὶ διάθεσιν, ἢ ἄλλην τινὰ ποιότητα. λεγόμεθα γὰρ ἐπιστήμην τινὰ ἔχειν καὶ ἀρετήν. ἢ ὡς τὸ ποσόν. οἷον ὃ τυγχάνει τὶς ἔχων μέγεθος. λέγεται γὰρ τρίπηχυ μέγεθος ἔχειν ἢ τετράπηχυ. ἢ ὡς τὰ περὶ τὸ σῶμα, οἷον ἱμάτιον ἢ χιτῶνα. ἐν μορίῳ, οἷον ἐν χειρὶ δακτύλιον. ἢ ὡς μέρος, οἷον χεῖρα ἢ πόδα· ἢ ὡς ἐν ἀγγείῳ, οἷον ὁ μέδιμνος τοὺς πυροὺς· ἢ τὸ κεράμιον τὸν οἶνον. οἶνον γὰρ ἔχειν λέγεται τὸ κεράμιον, καὶ ὁ μέδιμνος πυροὺς. ταῦτ' οὖν γὰρ πάντα ὡς ἐν ἀγγείῳ ἔχειν λέγεται. ἢ ὡς κτῆμα. ἔχειν γὰρ οἰκίαν ἢ ἀγρὸν λεγόμεθα. λέγεται δὲ καὶ ὁ ἀνὴρ γυναῖκα ἔχειν, καὶ ἡ γυνὴ ἄνδρα. ἔοικε δὲ ἀλλοτριώτατος ὁ νῦν ῥηθεὶς τρόπος τοῦ ἔχειν εἶναι. οὐδὲν γὰρ ἄλλο τῷ ἔχειν γυναῖκα σημαίνομεν, ἢ ὅτι συνοικεῖν. ἴσως δὲ ἂν καὶ ἄλλοί τινες φανείησαν τοῦ ἔχειν τρόποι. οἱ δὲ εἰωθότες λέγεσθαι, σχεδὸν ἅπαντες κατηρίθμηντας.

ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΑΡΙΣΤΟ-
ΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΩΝ.

ΔΟΞΑ ΠΑΤΡΙ, ΚΑΙ ΥΙΩΙ, ΚΑΙ ΑΓΙΩ
ΠΝΕΥΜΑΤΙ, ΑΜΗΝ.

ΑΡΙΣΤΟΤΕ=

ΛΟΥΣ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.



ΡΩΤΟΝ δεῖ θέσθαι τὶ ὄνομα καὶ τὶ ῥῆμα. ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις, καὶ ἀπόφανσις, καὶ λόγος. ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ, τῶν δὲ ἐν τῇ ψυχῇ παθημάτων, σύμβολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ, καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι ταὐτά. οὐδὲ φωναὶ αἱ αὐταί. ὧν μέντοι ταῦτα σημεῖα πρώτως ταὐτὰ πᾶσι παθήματα τῆς ψυχῆς, καὶ ὧν ταῦτα ὁμοιώματα, πράγματα ἤδη ταὐτά. περὶ μὲν οὖν τούτων, εἴρηται ἐν τοῖς περὶ ψυχῆς. ἄλλης γὰρ ταῦτα πραγματείας. ἔστι δ' ὥσπερ ἐν τῇ ψυχῇ ὁτὲ μὲν, νόημα ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδεσθαι. ὁτὲ δὲ, ἤδη ᾧ ἀνάγκη τούτων ὑπάρχειν θάτερον, οὕτω καὶ ἐν τῇ φωνῇ. περὶ γὰρ σύνθεσιν καὶ διαίρεσιν ἐστὶ τὸ ψεῦδος καὶ τὸ ἀληθές. τὰ μὲν οὖν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα, ἔοικε τῇ ἄνευ συνθέσεως καὶ διαιρέσεως νοήματι, οἷον τὸ ἄνθρωπος ἢ τὸ λευκόν, ὅταν μὴ προστεθῇ τι. οὔτε δὲ ψεῦδος, οὔτε ἀληθές πω. σημεῖον δέ ἐστι τοῦδε. καὶ γὰρ ὁ τραγέλαφος σημαίνει μέν τι. οὕπω δὲ ἀληθές τι ἢ ψεῦδος, ἂν μὴ, τὸ εἶναι, ἢ τὸ μὴ εἶναι προστεθῇ, ἢ ἁπλῶς, ἢ κατὰ χρόνον.

τοῦ ὀνόματος ὁρισμός.

ΠΕΡΙ ὀνόματος.

Ονομα μὲν οὖν ἐστι φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ᾗ σημαντικόν ἐστιν, κεχωρισμένον. ἐν γὰρ τῷ καλλιπάτωρ ὁ πάτωρ οὐδὲν αὐτὸ καθ' ἑαυτὸ σημαίνει. ὥσπερ ἐν τῷ λόγῳ τῷ καλὸς πάτωρ. οὐ μὴν οὐδ' ὥσπερ ἐν τοῖς ἁπλοῖς ὀνόμασιν, οὕτως ἔχει καὶ ἐν τοῖς πεπλεγμένοις. ἐν ἐκείνοις μὲν γὰρ, οὐδαμῶς τὸ μέρος ᾗ σημαντικόν.

τικόν. ἐν δὲ τούτοις, βούλεται μὲν, ἀλλ' οὐδενὸς κεχωρισμένον. οἷον ἐν τῷ ἐπακτροκέλης, τὸ κέλης. οὐδέν τι σημαίνει καθ' ἑαυτό. τὸ δὲ κατὰ συνθήκην, ὅτι φύσει τῶν ὀνομάτων, οὐδέν ἐστιν· ἀλλ' ὅταν γένηται σύμβολον. ἔτι δὲ καὶ ὅσοι γέ τοι καὶ οἱ ἀγράμματοι φόφοι. οἷον θηρίων. ὧν οὐδέν ἐστιν ὄνομα. τὸ δ' οὐκ ἄνθρωπος, οὐκ ὄνομα, οὐ μὴν οὐδὲ κεῖται μέν ὄνομα. ὅ, τι δὲ κληθῆναι αὐτό. οὔτε γὰρ λόγος, οὔτε ἀπόφασίς ἐστιν. ἀλλ' ἔστω ὄνομα ἀόριστον. ὅτι ὁμοίως ἐφ' ὁτουοῦν ὑπάρχει καὶ ὄντος καὶ μὴ ὄντος. τὸ δὲ φίλωνος ἢ φίλωνι, καὶ ὅσα τοιαῦτα, οὐκ ὀνόματα ἀλλὰ πτώσεις ὀνόματος. λόγος δέ ἐστιν αὐτοῦ, τὰ μὲν ἄλλα, κατὰ τὰ αὐτά. ὅτι δὲ μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται, οὐκ ἀληθεύει ἢ ψεύδεται. τὸ δὲ ὄνομα ἀεί. οἷον φίλωνός ἐστιν ἢ οὐκ ἔστιν. οὐδὲν γὰρ πω οὔτε ἀληθεύει, οὔτε ψεύδεται.

περὶ ῥήματος.

ῥῆμα δέ ἐστι, τὸ προσσημαῖνον χρόνον, οὗ μέρος, οὐθὲν σημαίνει χωρίς. καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων, σημεῖον. λέγω δ' ὅτι προσσημαίνει χρόνον, οἷον ὑγίεια μὲν, ὄνομα· τὸ δὲ ὑγιαίνει, ῥῆμα. προσσημαίνει γὰρ τὸ νῦν ὑπάρχειν, καὶ ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον ἐστίν. οἷον τῶν καθ' ὑποκειμένου, ἢ ἐν ὑποκειμένῳ ὄντων. τὸ δὲ οὐχ ὑγιαίνει, καὶ τὸ οὐ κάμνει, οὐ ῥῆμα λέγω. προσσημαίνει μὲν τὸν χρόνον, καὶ ἀεὶ κατά τινος ὑπάρχει. τῇ δὲ διαφορᾷ ὄνομα οὐ κεῖται, ἀλλ' ἔστω ἀόριστον ῥῆμα. ὅτι ὁμοίως ἐφ' ὁτουοῦν ὑπάρχει καὶ ὄντος καὶ μὴ ὄντος. ὁμοίως δὲ καὶ τὸ ὑγιανεῖ, καὶ ὑγίανον, οὐ ῥῆμα, ἀλλὰ πτώσεις ῥήματος. διαφέρει δὲ τοῦ ῥήματος, ὅτι τὸ μὲν τὸν παρόντα προσσημαίνει χρόνον. τὰ δὲ, τὸν περιεξ. αὐτὰ μὲν οὖν καθ' αὑτὰ λεγόμενα τὰ ῥήματα, ὀνόματά τέ ἐστι καὶ σημαίνει τί. ἵστησι δὲ ὁ λέγων τὴν διάνοιαν. καὶ ὁ ἀκούσας ἠρέμησεν. ἀλλ' εἰ ἔστιν ἢ μή, οὔπω σημαίνει. οὐδὲ δὴ τὸ εἶναι ἢ μὴ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος. οὐ γὰρ ἐὰν τὸ ὂν εἴπῃς αὐτὸ φιλόν. αὐτὸ μὲν δὴ οὐδέν ἐστι, προσσημαίνει δέ, σύνθεσίν τινα, ἣν ἄνευ τῶν συγκειμένων, οὐκ ἔστι νοῆσαι.

τοῦ ῥήματος ὁρισμός.

τοῦ λόγου ὁρισμος.

ΓΕΡΙ ΛΟΓΟΥ.

Λόγος δέ ἐστι φωνὴ σημαντικὴ, ἧς τῶν μερῶν τι σημαντικόν ἐστι κεχωρισμένον, ὡς φάσις, ἀλλ' οὐχ ὡς κατάφασις, οἷον ἄνθρωπος, σημαίνει μέν τι, ἀλλ' οὐχ ὅτι ἔστιν, ἢ οὐκ ἔστιν· ἀλλ' ἔσται κατάφασις ἢ ἀπόφασις, ἐὰν προστεθῇ τί. ἀλλ' οὐχ ἡ τοῦ ἀνθρώπου συλλαβὴ μία. οὐδὲ ἐν τῷ μῦς τὸ υς σημαντικόν, ἀλλὰ φωνὴ ἐστι νεκρὸν μόνον. ἐν δὲ τοῖς σύνθετοις σημαίνει μέν τι, ἀλλ' οὐ καθ' αὑτὸ ὥσπερ εἴρηται. ἔστι δὲ λόγος μὲν ἅπας σημαντικός, οὐχ ὡς ὄργανον δέ, ἀλλ' ὥσπερ εἴρηται κατὰ συνθήκην. ἀποφαντικὸς δὲ οὐ πᾶς, ἀλλ' ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. οὐκ ἐν ἅπασι δὲ ὑπάρχει, οἷον ἡ εὐχὴ λόγος μέν, ἀλλ' οὔτε ἀληθὴς, οὔτε ψευδής. οἱ μὲν οὖν ἄλλοι ἀφείθωσαν· ῥητορικῆς γὰρ ἢ ποιητικῆς, οἱ κειμένου ἡ σκέψις. ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας. ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικός, κατάφασις, εἶτα ἀπόφασις, οἱ δ' ἄλλοι πάντες συνδέσμῳ εἷς. ἀνάγκη δὲ πάντα λόγον ἀποφαντικὸν, ἐκ ῥήματος εἶναι, ἢ ἐκ πτώσεως ῥήματος. καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος ἐὰν μὴ τὸ, ἔστιν, ἢ ἦν, ἢ ἔσται, ἢ τι τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός. διότι ἔν τί ἐστιν, ἀλλ' οὐ πολλὰ, τὸ ζῷον, πεζὸν, δίπουν. οὐ γὰρ δὴ τῷ συνεγγυς εἰρῆσθαι, ἕν ἐστιν ἔσται. ἔστι δὲ ἄλυσις τοῦτο πραγματεύεσθαι εἶναι. ἔστι δὲ εἷς λόγος ἀποφαντικός, ἢ ὁ ἑνὸς, ἢ ὁ συνδέσμῳ εἷς. πολλοὶ δέ, οἱ πολλὰ καὶ μὴ ἕν, ἢ οἱ ἀσύνδετοι. τὸ μὲν οὖν ὄνομα ἢ τὸ ῥῆμα, φάσις ἔστω μόνον. ἐπεὶ οὐκ ἔστιν εἰπεῖν οὕτω δηλοῦντά τι τῇ φωνῇ. ὥστε ἀποφαίνεσθαι ἢ ἐρωτῶντός τινος, ἢ μή, ἀλλ' αὐτὸν προαιρούμενον. τούτων δὲ ἡ μὲν ἁπλῆ ἐστιν ἀπόφανσις, οἷον τὶ κατατίνος, ἢ τὶ ἀποτίνος. ἡ δέ, ἐκ τούτων συγκειμένη. οἷον λόγος τις ἡ δὴ σύνθετος. ἔστι γὰρ ἁπλῆ ἀπόφανσις φωνὴ σημαντικὴ περὶ τοῦ ὑπάρχειν τι ἢ μὴ ὑπάρχειν ὡς οἱ χρόνοι διήρωται.

Περὶ καταφάσεως καὶ ἀποφάσεως.

Κατὰ

περὶ ἑρμηνείας.

Κατάφασις δέ ἐστιν, ἀπόφασίς τινος κατά τινος. ἀπόφασις δέ ἐστιν, ἀπόφασίς τινος ἀπό τινός. ἐπεὶ δέ ἐστι καὶ τὸ ὑπάρχον ἀποφαίνεσθαι ὡς μὴ ὑπάρχον, καὶ τὸ μὴ ὑπάρχον ὡς ὑπάρχον. καὶ τὸ ὑπάρχον ὡς ὑπάρχον. καὶ τὸ μὴ ὑπάρχον, ὡς μὴ ὑπάρχον. καὶ περὶ ζώων ἑκάστου τοῦ νῦν χρόνους ὡσαύτως, ἅπαν ἂν γένοιτο ἢ ὁ κατέφησέ τις ἀποφῆσαι, καὶ ὁ ἀπέφησε, καταφῆσαι. ὥστε δῆλον ὅτι πᾶσα κατάφασις ἔσται ἀπόφασις ἀντικειμένη, καὶ πᾶσα ἀπόφασις, κατάφασις. καὶ ἔστω τοῦτο ἀντίφασις, κατάφασις, καὶ ἀπόφασις αἱ ἀντικείμεναι. λέγω δὲ ἀντικεῖσθαι τοῦτο τοῦτῳ, κατὰ τὸ αὐτό, μὴ ὁμωνύμως δέ. καὶ ὅσα ἄλλα τοιοῦτον, προσδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις.

τὰς καταφάσεως καὶ ἀποφάσεως ὁρισμοί

προσδιοριζόμεθα

Τμῆμα δεύτερον.

Περὶ τῶν ὑποκειμένων, καὶ κατηγορουμένων πρωτάσεων.

Ἐπεὶ δ' ἔστι τὰ μὲν, καθόλου τῶν πραγμάτων. τὰ δέ, καθέκαστον. λέγω δὲ καθόλου μὲν, ὃ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι. καθέκαστον δέ, ὃ μή. οἷον ἄνθρωπος μὲν τῶν καθόλου. Καλλίας δὲ τῶν καθέκαστον. ἀνάγκη δὲ ἀποφαίνεσθαι ὡς ὑπάρχει τι ἢ μή, ὁτὲ μὲν τῶν καθόλου τινί, ὁτὲ δὲ τῶν καθέκαστον. ἐὰν μὲν οὖν καθόλου ἀποφαίνηταί τις ἐπὶ τοῦ καθόλου ὅτι ὑπάρχει ἢ μή, ἔσονται ἐναντίαι αἱ ἀποφάνσεις. λέγω δ' ἐπὶ τοῦ καθόλου ἀποφαίνεσθαι καθόλου, οἷον πᾶς ἄνθρωπος λευκός. οὐδεὶς ἄνθρωπος λευκός. ὅταν δ' ἐπὶ τοῦ καθόλου μὲν, μὴ καθόλου δέ, οὐκ εἰσὶν ἐναντίαι. τὰ μὲν τοι δηλούμενα, ἔστιν εἶναι ποτε ἐναντία. λέγω δὲ τὸ μὴ καθόλου ἀποφαίνεσθαι ἐπὶ τῶν καθόλου. οἷον ἔστι λευκὸς ἄνθρωπος, οὐκ ἔστι λευκὸς ἄνθρωπος. καθόλου δ' ὄντος τοῦ ἀνθρώπου, οὐχ ὡς καθόλου κέχρηται τῇ ἀποφάνσει. τὸ δὲ πᾶς οὐ τὸ καθόλου σημαίνει. ἀλλ' ὅτι καθόλου. ἐπὶ δὲ τοῦ κατηγορουμένου καθόλου, τὸ καθόλου κατηγορεῖν, οὐκ ἔστιν ἀληθές. οὐδεμία δὲ κατάφασις ἀληθὴς ἔσται, ἐν ᾗ τοῦ κατηγορουμένου καθόλου, τὸ καθόλου κατηγορεῖται. οἷον ἐστὶ πᾶς ἄνθρωπος, πᾶν ἔδον

πράγματα καθόλου

πράγματα καθέκαστον

ἀντικεῖσθαι

ἀντικεῖσθαι μὲν οὖν κατάφασιν ἀποφάσει λέγω, ἀντιφατικῶς, τὴν τὸ καθόλου σημαίνουσαν τῇ αὐτῇ ὅτι οὐ καθόλου. οἷον πᾶς ἄνθρωπος λευκός, οὐ πᾶς ἄνθρωπος λευκός. οὐδεὶς ἄνθρωπος λευκός. ἔστι τις ἄνθρωπος λευκός. ἐναντίως δέ, τὴν τοῦ καθόλου κατάφασιν, καὶ τὴν τοῦ καθόλου ἀπόφασιν. οἷον πᾶς ἄνθρωπος δίκαιος, οὐδεὶς ἄνθρωπος δίκαιος. διὸ ταύτας μὲν, οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι. τὰς δὲ ἀντικειμένως ταύτους, ἐνδέχεται ποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. οἷον οὐ πᾶς ἄνθρωπος λευκός. καὶ ἔστι τις ἄνθρωπος λευκός. ὅσαι μὲν οὖν ἀντιφάσεις τῶν καθόλου εἰσὶ καθόλου, ἀνάγκη τὴν ἑτέραν ἀληθῆ εἶναι ἢ ψευδῆ. καὶ ὅσαι ἐπὶ τῶν καθέκαστα. οἷον, ἔστι Σωκράτης λευκός. ὅσαι δὲ ἐπὶ τῶν καθόλου μὲν, μὴ καθόλου δὲ, οὐκ ἀεὶ ἡ μὲν ἀληθής, ἡ δὲ, ψευδής. ἅμα γὰρ ἀληθές ἐστιν εἰπεῖν, ὅτι ἔστιν ἄνθρωπος λευκός. καὶ ὅτι οὐκ ἔστιν, ἄνθρωπος λευκός. καὶ ἔστιν ἄνθρωπος καλός. καὶ οὐκ ἔστιν ἄνθρωπος καλός. εἰ γὰρ αἰσχρός, τῷ οὐ καλός. καὶ εἰ γίνεταί τι, τῷ οὐκ ἔστι. δόξειε δ' ἂν ἐξαίφνης ἄτοπον εἶναι. διὰ τὸ φαίνεσθαι σημαίνειν τὸ, οὐκ ἔστιν ἄνθρωπος λευκός, ἅμα καὶ τὸ, οὐδεὶς ἄνθρωπος λευκός. τὸ δὲ, οὔτε ταυτὸν σημαίνει, οὔθ' ἅμα ἐξ ἀνάγκης. φανερὸν δὲ ὅτι καὶ μία ἀποφάσις, μιᾶς καταφάσεώς ἐστι. τὸ γὰρ αὐτὸ δεῖ ἀποφῆσαι τὴν ἀπόφασιν, ὅπερ κατέφησεν ἡ κατάφασις. καὶ ἀπὸ τοῦ αὐτοῦ, ἢ τῶν καθέκαστά τινος, ἢ ἀπὸ τῶν καθόλου τινός, ὡς καθόλου, ἢ ὡς μὴ καθόλου. λέγω δὲ οἷον, ἔστι Σωκράτης λευκός. οὐκ ἔστι Σωκράτης λευκός. ἐὰν δὲ ἄλλό τι ἀπὸ τοῦ αὐτοῦ ἢ ἀπ' ἄλλου τὸ αὐτὸ οὐχ ἡ ἀντικειμένη, ἀλλ' ἔστω ἐκείνης ἑτέρα. τῇ δὲ πᾶς ἄνθρωπος λευκός, ἡ οὐ πᾶς ἄνθρωπος λευκός. τῇ δὲ τις ἄνθρωπος λευκός, ἡ οὐδεὶς ἄνθρωπος λευκός. τῇ δὲ, ἔστιν ἄνθρωπος λευκός, ἡ οὐκ ἔστιν ἄνθρωπος λευκός. ὅτι μὲν οὖν μία κατάφασις, μιᾷ ἀποφάσει ἀντίκειται ἀντιφατικῶς. καὶ τίνες εἰσὶν αὗται, εἴρηται. καὶ ὅτι αἱ ἐναντίαι ἄλλαι. καὶ τίνες εἰσὶν αὗται εἴρηται. καὶ ὅτι οὐ πᾶς

hoc intelligendum est in materia contingenti. Nam in materia necessaria semper affirmatio est vera sicut in materia remota aut impossibili negatio.

Si affirmatio est una negatio una, negatio erit una.

οὐ πᾶσα ἀληθὴς, ἢ ψευδὴς ἀντίφασις· καὶ διατὶ καὶ πότε ἀληθὴς ἢ ψευδὴς. μία δέ ἐστι κατάφασις καὶ ἀπόφασις, ἡ ἑνὶ καθ' ἑνὸς σημαίνουσα. ἢ καθόλου ὄντος ὡς καθόλου, ἢ μὴ ὁμοίως. οἷον πᾶς ἄνθρωπος λευκός ἐστιν. οὐ πᾶς ἄνθρωπος λευκός ἐστιν. ἔστιν ἄνθρωπος λευκός, οὐκ ἔστιν ἄνθρωπος λευκός. οὐδεὶς ἄνθρωπος λευκός. τὶς ἄνθρωπος λευκός. εἰ γὰρ λευκὸν ἓν σημαίνει. εἰ δὲ πολλοῖν, ἓν ὄνομα κεῖται ἐξ ὧν μία ἐστὶν ἓν, οὐ μία κατάφασις. οὐ δὲ ἀπόφασις. οἷον εἴτις θεῖτο ὄνομα ἱμάτιον ἵππῳ καὶ ἀνθρώπῳ. ὅτι ἐστὶν ἱμάτιον λευκὸν αὐτῶν οὐ μία κατάφασις οὐ δὲ ἀπόφασις μία. οὐδὲν γὰρ διαφέρει τοῦτο τοῦ εἰπεῖν ὅτι ἔστιν ἄνθρωπος ἵππος λευκός. τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ εἰπεῖν ἐστιν ἄνθρωπος λευκός· καὶ ἔστιν ἵππος λευκός. εἰ οὖν αὐτὰ πολλὰ σημαίνοντα καὶ εἰσὶ πολλαί, δῆλον ὅτι καὶ ἡ πρώτη, ἤτοι πολλὰ ἢ οὐδὲν σημαίνει. οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος. ὥστε οὐ δ' ἐν ταύτοις ἀνάγκη τὴν μὲν ἀληθῆ. τὴν δὲ, ψευδῆ ἀντίφασιν εἶναι. Ἐπὶ μὲν οὖν τῶν ὄντων καὶ γενομένων, ἀνάγκη τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ ἢ ψευδῆ εἶναι. καὶ ἐπὶ μὲν τῶν καθόλου ὡς καθόλου ἀεί, τὴν μὲν ἀληθῆ, τὴν δὲ ψευδῆ εἶναι. καὶ ἐπὶ τῶν καθέκαστα ὥσπερ εἴρηται. ἐπὶ δὲ τῶν καθόλου μὴ καθόλου λεχθέντων, οὐκ ἀνάγκη· εἴρηται δὲ καὶ περὶ τούτων. ἐπὶ δὲ τῶν καθέκαστα καὶ μελλόντων, οὐχ ὁμοίως. εἰ γὰρ πᾶσα κατάφασις ἢ ἀπόφασις ἢ ἀληθὴς ἢ ψευδὴς, καὶ ἅπασαν ἀνάγκη ὑπάρχειν ἢ μὴ ὑπάρχειν. εἰ γὰρ ὁ μὲν, φήσει ἔσεσθαί τι. ὁ δὲ, μὴ φήσει τὸ αὐτὸ τοῦτο, δῆλον ὅτι ἀνάγκη ἀληθεύειν τὸν ἕτερον αὐτῶν, εἰ πᾶσα κατάφασις ἢ ἀπόφασις ἀληθὴς ἢ ψευδὴς, ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τῶν τοιούτων. εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι λευκόν, ἢ ὅτι οὐ λευκόν, ἀνάγκη εἶναι λευκόν, ἢ οὐ λευκόν. καὶ εἰ ἔστι λευκόν ἢ μὴ λευκόν, ἀληθὲς ἦν φάναι ἢ ἀποφάναι. ἢ εἰ μὴ ὑπάρχει, ψεύδεται. ἢ εἰ ψεύδεται οὐχ ὑπάρχει. ὥστε

φήσει

ὥστε ἀνάγκη ἀεὶ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, ἀληθῆ εἶναι ἢ ψευδῆ. οὐδὲν ἄρα οὔτε ἔστιν οὔτε γίνεται· οὔτε ἀπὸ τύχης, οὔθ' ὁπότερ' ἔτυχεν. οὐδὲ ἔσται ἢ οὐκ ἔσται, ἀλλ' ἐξ ἀνάγκης πάντα καὶ οὐχ ὁπότερ' ἔτυχεν. ἢ γὰρ ὁ φὰς ἀληθεύσει, ἢ ὁ ἀποφάς, ὁμοίως γὰρ ἂν ἐγίνετο ἢ οὐκ ἐγίνετο. ᾧ μὴ ὁπότερ' ἔτυχεν, οὐδὲν μᾶλλον οὕτως, ἢ μὴ οὕτως ἔχει ἢ ἔξει. ἔτι εἰ ἔστι λευκὸν νῦν, ἀληθὲς ἦν εἰπεῖν πρότερον ὅτι ἔσται λευκόν. ὥστε ἀεὶ ἀληθὲς ἦν εἰπεῖν ὁτιοῦν τῶν γινομένων ὅτι ἔστιν ἢ ἔσται. εἰ δὲ ἀεὶ ἀληθὲς ἦν εἰπεῖν ὅτι ἔστιν ἢ ἔσται, οὐκ οἷόν τε τοῦτο μὴ εἶναι οὐδὲ μὴ ἔσεσθαι. ὃ δ' οὐκ οἷόν τε μὴ γενέσθαι, ἀδύνατον μὴ γενέσθαι. ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, ἀνάγκη γενέσθαι. ἅπαντα ἄρα τὰ ἐσόμενα ἀναγκαῖον γενέσθαι· οὐδὲν ἄρα ὁπότερ' ἔτυχεν. οὐ γὰρ ἀπὸ τύχης ἔσται· εἰ μὲν ἀπὸ τύχης οὐκ ἐξ ἀνάγκης. ἀλλὰ μὴν οὐδ' ὡς οὐδέτερόν γε ἀληθὲς ἐνδέχεται λέγειν. οἷον ὅτι οὔτε ἔσται, οὔτε οὐκ ἔσται· πρῶτον μὲν γὰρ, οὔσης τῆς καταφάσεως ψευδοῦς, ἡ ἀπόφασις οὐκ ἀληθής. καὶ ταύτης ψευδοῦς οὔσης, συμβαίνει τὴν κατάφασιν ἀληθῆ εἶναι, ᾗ πρὸς τοῦτοις εἰ ἀληθὲς ἦν εἰπεῖν ὅτι λευκὸν ἅμα καὶ μέγα, δεῖ ἄμφω ὑπάρχειν. εἰ δ' ὑπάρξει εἰς αὔριον, ὑπάρξει εἰς αὔριον. εἰ δ' μήτε ἔσται μήτε μὴ ἔσται εἰς αὔριον. οὐκ ἂν εἴη ᾧ ὁπότερ' ἔτυχεν. οἷον ναυμαχίαν, δεήσει ἢ μὴ γενέσθαι ναυμαχίαν μήτε μὴ γενέσθαι. τὰ μὲν δὴ συμβαίνοντα ἄτοπα, ταῦτα, καὶ ἄλλα τοιαῦτα ἕπεται. εἰ περ πάσης καταφάσεως καὶ ἀποφάσεως. ἢ ἐπὶ τῶν καθόλου λεγομένων ὡς καθόλου. ἢ ἐπὶ τῶν καθ' ἕκαστον ἀνάγκη, τῶν ἀντικειμένων ἐστὶν, τὸ μὲν, ἀληθῆ. τὸ δὲ, ψευδῆ. μηδὲν ἄρ' ὁπότερ' ἔτυχεν ἐστὶν, ἐν τοῖς γινομένοις, ἀλλὰ πάντα ἐστὶν καὶ γίνεσθαι ἐξ ἀνάγκης. ὥστε οὔτε βουλεύεσθαι δεήσει ἂν, οὔτε πραγματεύεσθαι. ὡς ἐὰν μὲν τοδὶ, ποιήσωμεν, ἔσται τοδί. ἐὰν δὲ μὴ τοδί, οὐκ ἔσται τοδί. οὐδὲν γὰρ κωλύει καὶ εἰς μυριοστὸν ἔτος. τὸν μὲν, φάναι τοῦτο ἔσεσθαι. τὸν δὲ μὴ φάναι. ὥστε ἐξ ἀνάγκης ἔσεσθαι, ὁπότερον ἦν αὐτῶν ἀληθὲς εἰπεῖν τότε. Ἀλλὰ μὴν οὐ

τοῦτο

τοῦτο διαφέρει, εἴτινες εἶπον τὴν ἀντίφασιν ἢ μὴ εἶπον. δῆλον γὰρ ὅτι οὕτως ἔχει τὰ πράγματα, κἂν μὴ ὁ μὲν κατάφησή τι, ὁ δὲ ἀποφήσῃ. οὐ γὰρ διὰ τὸ κατα φαθῆναι ἢ ἀποφαθῆναι, ἔσται ἢ οὐκ ἔσται. οὐ δὲ εἰς μυριοστὸν ἔτος μᾶλλον, ἢ ἐν ὁποσοφοῦν χρόνῳ. ὥστε εἰ ἐν ἅπαντι τῷ χρόνῳ οὕτως εἶχον, ὥστε τὸ ἕτερον ἀληθεύεσθαι, ἀναγκαῖον ἦν τοῦτο γενέσθαι. καὶ ἕκαστον τῶν γινομένων ἀεὶ οὕτως εἶχεν, ὥστε ἐξ ἀνάγκης γενέσθαι. εἴτε γὰρ ἀληθῶς τις εἶπεν ὅτι ἔσται, οὐκ ὀιόντε μὴ γενέσθαι· καὶ τὸ γενόμενον, ἀληθὲς ἦν εἰπεῖν ἀεὶ ὅτι ἔσται. εἰ δὴ ταῦτα, ἀδύνατα. ὁρῶμεν γὰρ ὅτι ἔστιν ἀρχὴ τῶν ἐσομένων. καὶ ἀπὸ τοῦ βουλεύεσθαι. καὶ ἀπὸ τοῦ πρᾶξαί τι. καὶ ὅτι ὅλως ἐστὶν ἐν τοῖς μὴ ἀεὶ ἐνεργοῦσι, τὸ δυνατὸν εἶναι καὶ μή, εἶναι ὁμοίως. ἐν οἷς ἄμφω ἐνδέχεται καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι. ὥστε καὶ τὸ γενέσθαι, καὶ τὸ μὴ γενέσθαι. καὶ πολλὰ ἡμῖν δῆλά ἐστιν οὕτως ἔχοντα. οἷον ὅτι τεθὲν ἱμάτιον, δυνατόν ἐστι διατμηθῆναι καὶ διατμηθήσεται. ἀλλ' ἔμπροσθεν κατατριβήσεται. ὁμοίως δὲ καὶ τὸ μὴ διατμηθῆναι, δυνατὸν, οὐ γὰρ ἂν ὑπῆρχε τὸ, ἔμπροσθεν κατατριβῆναι αὐτό. εἰ γε μὴ δυνατὸν ἦν, τὸ μὴ διατμηθῆναι. ὥστε καὶ ἐπὶ τῶν ἄλλων γενέσεων, ὅσαι κατὰ δύναμιν λέγονται πρὸς τὸ νῦν λεγόμενον. φανερὸν ἄρα ὅτι οὐκ ἅπαντα ἐξ ἀνάγκης. οὔτε ἔστιν οὔτε γίνεται. ἀλλὰ τὰ μὲν, ὁποτέρᾳ ἔτυχε. καὶ οὐδὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἦν ἀληθὴς ἢ ψευδής. τὰ δὲ, μᾶλλον μὲν, καὶ ὡς ἐπὶ τὸ πολὺ θάτερον. οὐ μὴν ἀλλ' ἐνδέχεται γενέσθαι καὶ θάτερον. θάτερον δὲ, μὴ. τὸ μὲν οὖν εἶναι τὸ ὂν ὅταν ᾖ, καὶ τὸ μὴ ὂν μὴ εἶναι ὅταν μὴ ᾖ, ἀνάγκη. οὐ μήν τοι οὔτε τὸ ὂν ἅπαν ἀνάγκη εἶναι, οὔτε τὸ μὴ ὄν, ἀνάγκη μὴ εἶναι. οὐ πᾶν ταὐτόν ἐστι τὸ ὂν ἅπαν εἶναι ἐξ ἀνάγκης ὅτι ἐστί. καὶ ἁπλῶς εἶναι ἐξ ἀνάγκης. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μὴ ὄντος. καὶ ἐπὶ τῆς ἀντιφάσεως δὲ ὁ αὐτὸς λόγος εἶναι μὲν ἢ μὴ εἶναι ἅπαν, ἀνάγκη. καὶ ἔσεσθαί γε ἢ μή. οὐ μὴν διελόντα εἰπεῖν θάτερον ἀναγκαῖον. λέγω δὲ οἷον ἀνάγκη μὲν ἔσεσθαι ναυ-

μαχίαν αὔριον, ἢ μὴ ἔσεσθαι, οὐ μέντοι γενέσθαί γε αὔριον ναυμαχίαν ἀνάγκη, οὐδὲ μὴ γενέσθαι. γενέσθαι μέντοι ἢ μὴ γενέσθαι ἀναγκαῖον. ὥστ', ἐπεὶ ὁμοίως οἱ λόγοι ἀληθεῖς ὥσπερ τὰ πράγματα, δῆλον ὅτι ὅσα οὕτως ἔχει, ὥστε ὁπότερ' ἔτυχε. καὶ τἀναντία ἐπιδέχεσθαι, ἀνάγκη ὁμοίως ἔχειν καὶ τὴν ἀντίφασιν. ὅπερ συμβαίνει ἐπὶ τοῖς μὴ ἀεὶ οὖσιν, ἢ μὴ ἀεὶ μὴ οὖσι. τούτων γὰρ ἀνάγκη μὲν θάτερον μόριον τῆς ἀντιφάσεως, ἀληθὲς εἶναι ἢ ψευδές. οὐ μέντοι τόδε ἢ τόδε. ἀλλ' ὁπότερ' ἔτυχε. καὶ μᾶλλον μὲν ἀληθῆ τὴν ἑτέραν. οὐ μέντοι ἤδη ἀληθῆ ἢ ψευδῆ. ὥστε δῆλον ὅτι οὐκ ἀνάγκη. πάσης καταφάσεως καὶ ἀποφάσεως τῶν ἀντικειμένων. τὴν μὲν, ἀληθῆ. τὴν δὲ, ψευδῆ εἶναι. οὐ μὴν ὥσπερ ἐπὶ τῶν ὄντων, οὕτως ἔχει καὶ ἐπὶ τῶν μὴ ὄντων μὲν, δυνατὸν δὲ εἶναι, ἢ μὴ εἶναι. ἀλλ' ὥσπερ εἴρηται. ἐπεὶ δέ ἐστί τι κατάτινος ἡ κατάφασις σημαίνουσα, τοῦτο δέ ἐστι ἢ ὄνομα, ἢ τὸ ἀνώνυμον, ἓν δὲ δεῖ εἶναι καὶ καθ' ἑνὸς τὸ ἐν τῇ καταφάσει. τὸ δὲ ὄνομα εἴρητι καὶ τὸ ἀνώνυμον πρότερον. τὸ μὴ οὐκ ἄνθρωπος, ὄνομα μὲν οὐ λέγω ἀλλ' ἀόριστον ὄνομα. ἓν γάρ πως σημαίνει τὸ ἀόριστον ὄνομα. ὥσπερ καὶ τὸ οὐχ ὑγιαίνει οὐ ῥῆμα, ἀλλ' ἀόριστον ῥῆμα. ἔσται ἄρα πᾶσα κατάφασις καὶ ἀπόφασις, ἢ ἐξ ὀνόματος καὶ ῥήματος, ἢ ἐξ ἀορίστου ὀνόματος καὶ ῥήματος. ἄνευ δὲ ῥήματος οὐδὲ μία κατάφασις καὶ ἀπόφασις. τὸ δὲ, ἔστιν, ἢ ἦν, ἢ ἔσται, ἢ γίνεται ἢ ὅσα ἄλλα τοιαῦτα ῥήματα, ἐκ τῶν κειμένων ἐστί. προσσημαίνει δὲ χρόνον. ὥστε πρώτη ἔσται κατάφασις καὶ ἀπόφασις, τὸ, ἔστιν ἄνθρωπος, οὐκ ἔστιν ἄνθρωπος. εἶτα ἔστιν οὐκ ἄνθρωπος, οὐκ ἔστιν οὐκ ἄνθρωπος. πάλιν ἔστι πᾶς ἄνθρωπος. οὐκ ἔστι πᾶς ἄνθρωπος. ἔστι πᾶς οὐκ ἄνθρωπος, οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος, καὶ ἐπὶ τῶν ἐκτὸς δὲ χρόνων, ὁ αὐτὸς λόγος ἐστίν.

Δυνατῶν

Ἡ δὲ hic est intrinsecus. περὶ τῶν ἐξ ἀορίστως ὑποκειμένων [illegible].

hoc intellige quia mente conspicit negatio quaedam unius rei quae aliam omnes res a ratione rei negatae excludit.

Τμῆμα τρίτον.

Οταν δὲ τὸ ἔστι τρίτον προσκατηγορεῖται, ἤδη διχῶς λέγοντι αἱ ἀντιθέσεις. λέγω δὲ, οἷον ἔστι δίκαιος ἄνθρωπος. τὸ ἔστι τρίτον φημὶ συγκεῖσθαι ὄνο

περὶ ἑρμηνείας.

οὔτε ὄνομα ἢ ῥῆμα, οὐ τῇ κατάφάσει. ὥστε διὰ τοῦτο τέτταρα ἔσται ταῦτα, ὧν τὰ μὲν δύο, πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἔξει κατὰ τὸ συνεχῶς ὡς αἱ στερήσεις. τὰ δὲ δύο, οὐ. λέγω δ' ὅτι τὸ ἔστιν, ἢ τὸ οὐκ ἔστιν, ἢ τὸ δικαίῳ προσκείσεται, ἢ τὸ οὐ δικαίῳ. ὥστε καὶ ἡ ἀπόφασις. τέτταρα δὲ ταῦτα ἔσται, νοεῖσθω δὲ τὸ λεγόμενον, ἐκ τῶν ὑποκειμένων. ἔστι δίκαιος ἄνθρωπος. τούτου ἀπόφασις, οὐκ ἔστι δίκαιος ἄνθρωπος. ἔστιν οὐ δίκαιος ἄνθρωπος. τούτου ἀπόφασις οὐκ ἔστιν οὐ δίκαιος ἄνθρωπος. τὸ δ' ἔστιν οὐ ταὐτὸ θατερῳ καὶ τὸ οὐκ ἔστι, τῷ δικαίῳ καὶ τῷ οὐ δικαίῳ προσκείσεται. ταῦτα μὲν δὴ οὕτως ὥσπερ ἐν τοῖς ἀναλυτικοῖς εἴρηται, οὕτω τετάκται. ὁμοίως δὲ ἕξει, κἂν καθόλου τοῦ ὀνόματος ᾖ ἡ κατάφασις, οἷον πᾶς ἐστιν ἄνθρωπος δίκαιος. ἀπόφασις τούτου. οὐ πᾶς ἐστιν ἄνθρωπος δίκαιος. πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος. οὐ πᾶς ἔστιν ἄνθρωπος οὐ δίκαιος. πλὴν οὐχ ὁμοίως τὰς κατὰ μέρος ἐνδέχεται συναληθεύειν. ἐνδέχεται ἤ ποτέ.

Περὶ τῶν ἐξ ἀορίστων ὑποκειμένων προτάσεων.

Αὗται μὲν οὖν δύο ἀντίκεινται ἀλλήλαις. ἄλλαι δὲ δύο πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκείμενόν τι προστεθέν. οἷον ἔστι δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος. ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. πλείους δὲ τούτων οὐκ εἰσὶν ἀντιθέσεις. αὗται ἢ χωρὶς ἐκείνων, αὗται καθ' αὑτὰς ἔσονται, ὡς ὀνόματι τῷ οὐκ ἄνθρωπος προσχρώμεναι. ἐφ' ὅσον δὲ τὸ ἔστι μὴ ἁρμόττει, οἷον ἐπὶ τοῦ ὑγιαίνειν καὶ βαδίζειν, ἐπὶ τούτων δὲ ἀνὴρ ποιεῖ οὕτως τιθέμενον. ὡς ἂν εἰ τὸ ἔστι προσήκετο, οἷον, ὑγιαίνει πᾶς ἄνθρωπος. οὐχ ὑγιαίνει πᾶς ἄνθρωπος. ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος. οὐχ ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος. οὐ γὰρ ἔστι τὸ οὐ πᾶς ἄνθρωπος λεκτέον, ἀλλὰ τὸ οὐ τὴν ἀπόφασιν τῷ ἀνθρώπῳ προσθετέον. τὸ δὲ πᾶς οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου. δῆλον δὲ ἐκ τοῦδε, ὑγιαίνει ἄνθρωπος, οὐχ ὑγιαίνει ἄνθρωπος. ὑγιαίνει οὐκ

hoc non intelligendum est in universum de negatione enuntiationum: sed aut hic significat esse quandam analogiam inter enuntiationes quarum attributa sunt primata & eas quarum attributa sunt negantia infinita, quia tam non album primum quam infinitum removent rationem nominis finiti. vel hic locutus est ad sensum de quibus quarum attributa sunt infinita sed dedit illis duntaxat ea quarum attributa sunt nomina adiecticia. in quibus minime licebat ex vi a negatione finita de affirmationum infinitam.

scilicet diametrum opponuntur enuntiatio vniuersa & quae indefinite respondet vt omnis homo est iustus, & non omnis homo est iustus. quia haec respondet huic aliquis homo est iustus.

[haec sunt duae oppositiones ex parte attributi. postea enim duas alias tradit ex parte subiecti.

hoc non est in universum accipiendum sed duntaxat quando oppositio enuntiationum similiter ex parte subiecti infinitae.

ἄνθρωπος, οὐχ ὑγιαίνει οὐκ ἄνθρωπος. ταῦτα μὲν ἐκείνων διαφέρει τῷ μὴ καθόλου εἶναι. ὥστε τὸ πᾶς ἢ τὸ μηδεὶς, οὐδὲν ἄλλο προσσημαίνει, ἢ ὅτι καθόλου τοῦ ὀνόματος ἢ κατάφασιν ἢ ἀπόφασιν. τὰ οὖν ἄλλα τὰ αὐτὰ δεῖ προστιθέναι. ἐπεὶ δὲ ἐναντία ἀπόφασίς ἐστι τῇ ἅπαν ἐστὶν ζῶον δίκαιον, ἡ σημαίνουσα ὅτι οὐδέν ἐστι ζῶον δίκαιον, αὗται μὲν φανερὸν ὅτι οὐδέποτε ἔσονται ἀληθεῖς ἅμα, οὔτε ἐπὶ τοῦ αὐτοῦ. αἱ δ' ἀντικείμεναι ταύταις, ἔσονταί ποτε, οἷον, οὐ πᾶν ἐστι ζῶον δίκαιον. καὶ ἔστί τι ζῶον δίκαιον. ἀκολουθοῦσι δὲ καὶ αὗται. τῇ μὲν πᾶς ἔστιν ἄνθρωπος οὐ δίκαιος, ἡ οὐδείς ἐστιν ἄνθρωπος δίκαιος. τῇ δὲ ἔστιν οὐ πᾶς ἄνθρωπος οὐ δίκαιος, ἡ ἀντικειμένη ὅτι ἔστι τὶς ἄνθρωπος δίκαιος. ἀνάγκη δὲ εἶναί τινά. φανερὸν δὲ καὶ ὅτι ἐπὶ τῶν καθέκαστα εἰ ἀληθὲς ἐρωτηθέντα ἀποφῆσαι ὅτι καὶ καταφῆσαι ἀληθὲς οἷον ἆρά γε Σωκράτης σοφός; οὔ. Σωκράτης ἄρα οὐ σοφός. ἐπὶ τῶν καθόλου, οὐκ ἀληθὴς ἡ ὁμοίως λεγομένη. ἀληθὴς δὲ ἡ ἀπόφασις, οἷον ἆρά γε πᾶς ἄνθρωπος σοφός; οὔ. πᾶς ἄρα ἄνθρωπος οὐ σοφός. τοῦτο δὲ ψεῦδος. ἀλλὰ τὸ οὐ πᾶς ἄρα ἄνθρωπος σοφός, ἀληθές. αὕτη δέ γέ ἐστιν ἡ ἀντικειμένη. ἐκείνη δὲ ἡ ἐναντία. αἱ δὲ κατὰ τὰ ἀόριστα ἀντικείμεναι ὀνόματα καὶ ῥήματα. οἷον ἐπὶ τοῦ μὴ ἄνθρωπος καὶ μὴ δίκαιος. ὥσπερ ἀποφάσεις ἄνευ ὀνόματος καὶ ῥήματος δόξαιεν ἂν εἶναι, οὐκ εἰσὶ δέ. ἀεὶ γὰρ ἀνάγκη, ἀληθεύειν ἢ ψεύδεσθαι τὴν ἀπόφασιν. ὁ δ' εἰπὼν οὐκ ἄνθρωπος, οὐδὲν μᾶλλον τοῦ εἰπόντος ἄνθρωπος, ἀλλὰ καὶ ἧττον ἠλήθευκεν, ἢ ἔψευσται. ἐὰν μήτι προστεθῇ. σημαίνει δὲ τὸ ἔστι πᾶς οὐκ ἄνθρωπος δίκαιος, οὐδὲ μιᾷ ἐκείνων ταυτόν. οὐδὲ ἡ ἀντικειμένη ταύτῃ, ἡ οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος δίκαιος. τὸ δὲ πᾶς οὐ δίκαιος οὐκ ἄνθρωπος, τῷ οὐδεὶς δίκαιος οὐκ ἄνθρωπος τὸ αὐτὸ σημαίνει. μετατιθέμενα δὲ τὰ ὀνόματα καὶ τὰ ῥήματα, ταυτὸν σημαίνει. οἷόν ἐστι λευκὸς ἄνθρωπος. ἔστιν ἄνθρωπος λευκός. ἡ μὲν μὴ τοῦτό ἐστι, τοῦ αὐτοῦ πλείους ἔσονται ἀποφάσεις, ἀλλὰ δέδεικται ὅτι μία μιᾶς. τοῦ μὲν

hoc intelligendum est si nomina quae spectant rationem attributi non sunt mutata in subiectum.

γὰρ

γραφὴ, ἔστι λευκὸς ἄνθρωπος ἀπόφασις, τὸ, οὐκ ἔστι λευκὸς ἄνθρωπος. τὸ δὲ ἔστιν ἄνθρωπος λευκός, εἰ μὴ ἡ αὐτὴ ἐστὶ τῇ ἐστὶ λευκὸς ἄνθρωπος, ἔσται ἀπόφασις. ἅμα δὲ τὸ οὐκ ἔστιν οὐκ ἄνθρωπος λευκός, ἢ τὸ οὐκ ἔστιν ἄνθρωπος λευκός. ἀλλ' ἡ ἑτέρα μᾶλλόν ἐστιν ἀπόφασις, ἡ οὐκ ἔστιν οὐκ ἄνθρωπος λευκός, τοῦτο, ἔστιν οὐκ ἄνθρωπος λευκός. ἡ ἑτέρα δέ, τοῦτο, ἔστιν λευκὸς ἄνθρωπος. ὥστε ἔσονται δύο μιᾶς. ὅτι μὲν οὖν μετατιθεμένου τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, ἡ αὐτὴ γίνεται κατάφασις, καὶ ἀπόφασις, δῆλον. Τὸ δὲ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνὸς καταφᾶναι καὶ ἀποφᾶναι, ἐὰν μὴ ἕνωσι τὸ ἐκ τῶν πολλῶν διηρθμωμένον, οὐκ ἔστι κατάφασις μία οὐδὲ ἀπόφασις. λέγω δὲ ἕν, οὐκ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, μηδὲ ἕνωσι ἐξ ἐκείνων. οἷον ὁ ἄνθρωπος, ἴσως ἐστὶ καὶ ζῷον ἓν δίπουν καὶ ἥμερον, ἀλλὰ καὶ ἕνωσι γίνεται ἐκ τούτων. ἐκ δὲ τοῦ λευκοῦ καὶ τοῦ ἀνθρώπου, καὶ τοῦ βαδίζειν, οὐχ ἕν. ὥστε οὔτε ἐὰν ἕνωσι καταφήσῃς κατὰ τούτων, οὐ μία κατάφασις, ἀλλὰ φωναὶ μὲν μία. κατάφασεις δὲ πολλαί, οὔτε ἐὰν καθ' ἑνὸς ταῦτα. ἀλλ' ὁμοίως πολλαί. εἰ δὲ ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις, ἢ τῆς προτάσεως, ἢ θατέρου μορίου τῆς ἀντιφάσεως. ἡ δὲ πρότασις ἀντιφάσεώς ἐστι μιᾶς μόριον, οὐκ ἂν εἴη ἀποκρίσις μία πρὸς ταῦτα. οὐδὲ μία ἡ ἐρώτησις μία, οὐδὲ ἐὰν ᾖ ἀληθής. εἴρηται δὲ καὶ ἐν τοῖς τοπικοῖς περὶ αὐτῶν. ἅμα δὲ δῆλον, ὅτι οὐδὲ τί ἐστιν, ἐρώτησίς ἐστι διαλεκτική. δεῖ δὲ διαλαμβάνειν ἐκ τῆς ἐρωτήσεως ἑλέσθαι ὁπότερον βούλεται τῆς ἀντιφάσεως μόριον. ἀλλὰ δεῖ τὸν ἐρωτῶντα προσδιορίσασθαι, πότερον τόδε ἐστὶν ὁ ἄνθρωπος, ἢ οὐ τόδε. ἐπεὶ δὲ τὰ μὲν, κατηγορεῖται σωτιθέμενα ὡς ἓν τὸ πᾶν κατηγόρημα γίνεσθαι, ἅ χωρὶς κατηγορούμενα. τὰ δ' οὔ, τίς ἡ διαφορά, κατὰ δὲ τοῦ ἀνθρώπου ἀληθὲς εἰπεῖν καὶ χωρὶς ζῷον, καὶ χωρὶς δίπουν, καὶ ταῦτα ὡς ἕν, καὶ ἄνθρωπον, καὶ λευκόν, καὶ ταῦθ' ὡς ἕν, ἀλλ' οὐχὶ εἰ σκυτεὺς καὶ ἀγαθὸς, καὶ σκυτεὺς ἀγαθός. εἰ δὲ ὅτι ἑκάτερον ἀληθὲς, εἶναι δεῖ καὶ τὸ συναμφω, πολλὰ καὶ ἄτοπα ἕ-

ται. κατὰ

interrogatio dialectica est quae quaerit de altera parte contradictionis.

hoc intelligendum est quando quaestio quid est quaerit de aliquam in re posita. ubi certam aliquam rationem significat. secus quando quaerimus in hoc definitoalium rei an. quia ea quaestio non est dialectica.

σαι. κατὰ δὲ τοῦ ἀνθρώπου καὶ ὁ ἄνθρωπος ἀληθὲς καὶ ὁ λευκόν. ὥστε καὶ ὁ ἄπαν. πάλιν εἰ ὁ λευκὸν καὶ ὁ ἄπαν. ὥστε ἔσται ἄνθρωπος λευκὸς λευκός. καὶ τοῦτο εἰς ἄπειρον. καὶ πάλιν μουσικὸς λευκὸς βαδίζων. καὶ ταυτὰ πολλάκις πεπλεγμένα εἰς ἄπειρον. ἔτι εἰ ὁ Σωκράτης Σωκράτης καὶ ἄνθρωπος, καὶ Σωκράτης σωκράτης ἄνθρωπος. καὶ εἰ ἄνθρωπος καὶ λίθος. καὶ ἄνθρωπος ἄνθρωπος λίθους: ὅτι μὲν δὴ ἔστιν ἀπλῶς φήσει τὰς συμπλοκὰς γίνεσθαι, πολλὰ συμβαίνει λέγειν ἄτοπα, δῆλον. ὅπως δὲ θέτεον λέγομεν νῦν. τῶν δὴ κατηγορουμένων, καὶ ἐφ' οἷς κατηγορεῖσθαι συμβαίνει, ὅσα μὲν λέγεται κατὰ συμβεβηκός, ἢ κατὰ τὸ αὐτό, ἢ θάτερον κατὰ θατέρου, ταῦτα οὐκ ἔσται ἓν, οἷον ἄνθρωπος λευκός ἐστι καὶ μουσικός. ἀλλ' οὐχ ἓν τὸ λευκὸν καὶ τὸ μουσικόν. συμβεβηκότα γὰρ ἄμφω οὗ δ' ἐστὶ τὸ λευκὸν μουσικὸν ἀληθὲς εἰπεῖν. ὅμως οὐκ ἔσται τὸ μουσικὸν λευκὸν ἕν τι. κατὰ συμβεβηκὸς γὰρ τὸ λευκὸν μουσικόν. ὥστε οὐκ ἔσται τὸ λευκὸν μουσικὸν ἕν τι. διὸ, οὐδ' ὁ σκυτοδὴς ἀγαθὸς ἁπλῶς, ἀλλὰ χῶον δίωουν. οὐδὲ κατὰ συμβεβηκός. ἔτι οὐδ' ὅσα ὑπάρχει ᾧ τῷ ἑτέρῳ. διὸ οὔτε τὸ λευκὸν πολλάκις, οὔτε ὁ ἄνθρωπος, ἄνθρωπος ζῷόν ἐστιν ἢ δίωουν. συνυπάρχει δὲ ἐν τῷ ἀνθρώπῳ τὸ δίωουν καὶ τὸ ζῷον. ἀληθὲς δέ ἐστιν εἰπεῖν κατά τινος, καὶ ἁπλῶς οἷον τὸν τινὰ ἄνθρωπον, ἄνθρωπον. ἢ τὸν τινὰ λευκὸν ἄνθρωπον, ἄνθρωπον λευκόν. οὐκ ἀεὶ δ' ἀλλ' ὅταν μὲν ἐν τῷ προκειμένῳ τὰ ἀντικείμενόν τι ἐνυπάρχῃ, ᾧ ἔπεται ἀντίφασις, οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος. οἷον τὸν τεθνεῶτα ἄνθρωπον, ἄνθρωπον εἰπεῖν. ὅταν δὲ μὴ ἐνυπάρχῃ, ἀληθὲς. ἢ ὅταν μὲν ἐνυπάρχῃ, ἀεὶ οὐκ ἀληθές. ὅταν δὲ μὴ ἐνυπάρχῃ, οὐκ ἀεὶ ἀληθές. ὥσπερ ὅμηρός ἐστί τι. οἷον ποιητής. ἆρα δὲ καὶ ἔστιν ἢ οὔ. κατὰ συμβεβηκὸς μὲν κατηγορεῖται τὸ ἔστι τοῦ Ὁμήρου. ὅτι μὲν ποιητής ἐστιν ἀλλ' οὐ καθ' αὑτὸ κατηγορεῖται κατὰ τοῦ Ὁμήρου τὸ ἔστιν· ὥστε ἐν ὅσοις κατηγορίαις, μήτε ἐναντιότης ἔστι, ἐὰν λόγοι ἀντ' ὀνομάτων λέγωνται· καὶ καθ' αὑτὰ κατηγορῆται καὶ μὴ κατὰ συμβεβηκός, ἐπί τούτων τὸ τί καὶ ἁπλῶς, ἀληθὲς

Regula quæ docet quando liceat argumentari a communibus ad communia intelligendum autem est tum de iis quæ unum ex attributis quadrato inhærentibus tribuit alicui habent communitatem & quod unum illa tenent non sit impertinens ad aliud.

Quando liceat argumentari a communibus ad singula.

ἀληθὲς ἔσται εἰπεῖν. τὸ δὲ μὴ ὄν, ὅτι δοξαστὸν, οὐκ ἀληθὲς εἰπεῖν ὄντι. δόξα
ἢ αὐτοῦ ἐστιν οὐχ ὅτι ἐστίν, ἀλλ' ὅτι οὐκ ἔστιν. Τμῆμα τέταρτον. De Modalibus.

Τούτων δὲ διωρισμένων, σκεπτέον ὅπως ἔχουσιν αἱ ἀποφάσεις καὶ
καταφάσεις πρὸς ἀλλήλας, αἱ τοῦ δυνατὸν εἶναι καὶ μὴ δυνατόν. καὶ
ἐνδεχόμενον καὶ μὴ ἐνδεχόμενον. καὶ περὶ τοῦ ἀδυνάτου τε καὶ ἀναγ=
καίου. ἔχει ἢ ἀπορίας τινάς. εἰ ἢ τῶν συμπλεκομένων, αὗται ἀλλήλαις
ἀντίκειντι αἱ ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τάττοντι. οἷον
τοῦ εἶναι ἄνθρωπον ἀπόφασις, τὸ μὴ εἶν ἄνθρωπον, οὐ τὸ εἶν μὴ ἄνθρω=
πον. καὶ τὸ εἶναι λευκὸν ἄνθρωπον, τὸ μὴ εἶν λευκὸν ἄνθρωπον· ἀλλ' οὐ
τὸ εἶναι μὴ λευκὸν ἄνθρωπον. εἰ δὲ κατὰ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπό
φασις, τὸ ξύλον ἔσται ἀληθὲς εἰπεῖν, μὴ λευκὸν ἄνθρωπον. εἰ δὲ τοῦτο οὕ
τως. καὶ ὅσοις τὸ εἶναι μὴ προστίθετι, τὸ αὐτὸ ποιήσει τὸ ἀντὶ τὸ εἶναι λε=
γόμενον. οἷον τὸ ἄνθρωπος βαδίζει, οὐ τὸ βαδίζει οὐκ ἄνθρωπος ἀπόφα
σις ἔσται. ἀλλὰ τὸ οὐ βαδίζει ἄνθρωπος. οὐδὲν δὲ διαφέρει εἰπεῖν ἄνθρωπον
βαδίζειν, ἢ ἄνθρωπον βαδίζοντα εἶναι. ὥστε εἰ οὕτως πανταχοῦ, καὶ τὸ δυνα
τὸν εἶναι ἀπόφασις ἔσται, οὐ τὸ δυνατὸν μὴ εἶναι. ἀλλὰ τὸ μὴ δυνατὸν εἶν. ~~ἀλλ' οὐ~~
δοκεῖ δὲ τὸ αὐτὸ δύνασθαι καὶ εἶναι καὶ μὴ εἶναι. πᾶν δὲ τὸ δυνατὸν τέμνεσθαι ἢ
βαδίζειν καὶ μὴ τέμνεσθαι καὶ μὴ βαδίζειν δυνατόν. λόγος δὲ ὅτι ἅπαν τὸ
οὕτω δυνατὸν οὐκ ἀεὶ ἐνεργεῖ. ὥστε ὑπάρξει αὐτῷ καὶ ἡ ἀπόφασις. δύνατι
δὲ καὶ μὴ βαδίζειν τὸ βαδιστικὸν καὶ μὴ ὁρᾶσθαι τὸ ὁρατόν· ἀλλὰ μὴν ἀδύνατον
κατὰ τὸ αὐτοῦ ἀληθεύεσθαι τὰς ἀντικειμένας φάσεις καὶ ἀποφάσεις. οὐκ ἄρα
τὸ δυνατὸν εἶναι ἀπόφασίς ἐστι, τὸ δυνατὸν μὴ εἶναι. συμβαίνει δὲ ἐκ τού=
των ἢ τὸ αὐτὸ φᾶναι καὶ ἀποφᾶναι ἅμα κατὰ τὸ αὐτοῦ, ἢ μὴ, κατὰ τὸ εἶναι
καὶ μὴ εἶναι τὰ προστιθέμενα, γίνεσθαι φάσεις καὶ ἀποφάσεις. εἰ δὲν ἐκεῖνο ἀ=
δύνατον, τοῦτ' ἂν εἴη αἱρετόν. ἔστιν ἄρα ἀπόφασις τὸ δυνατὸν εἶναι, τὸ μὴ
δυνατὸν εἶναι. ἀλλ' οὐ τὸ δυνατὸν μὴ εἶναι. ὁ δ' αὐτὸς λόγος καὶ περὶ
τοῦ ἐνδεχόμενον εἶναι. καὶ γὰρ τούτου ἀπόφασις, τὸ μὴ ἐνδεχόμενον
εἶναι

ἐπ' ἐκείνων

εἶν. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοιοτρόπως. οἷον ἀδυνάτου τὲ καὶ ἀναγκαί
ου. γίνεται δὲ ὥσπερ ἐπ' ἐκείνων τὸ εἶν. καὶ τὸ μὴ εἶν, προσθέσεις. τὰ δ' ὑπο
κείμενα πράγματα. τὸ μὲν λευκὸν, τὸ δὲ ἄνθρωπος, οὕτως ἐνταῦθα. τὸ
μὲν εἶν καὶ μὴ εἶν, ὡς ὑποκείμενον γίνεται. τὸ δὲ δύνασθαι, καὶ ἐνδέχε
σθαι προσθέσεις, διοείζουσαι ὥσπερ ἐπ' ἐκείνων τὸ εἶν καὶ τὸ μὴ εἶν, τὸ ἀ
ληθὲς καὶ τὸ ψεῦδος, ὁμοίως αὗται ἐπὶ τοῦ εἶναι δυνατόν. καὶ εἶν μὴ
δυνατόν. τοῦ δὲ δυνατὸν μὴ εἶν ἀπόφασις, οὐ τὸ οὐ δυνατὸν εἶν, ἀλλὰ
τὸ οὐ δυνατὸν μὴ εἶν, καὶ τοῦ δυνατὸν εἶναι, οὐ τὸ δυνατὸν μὴ εἶναι, ἀλλὰ
τὸ μὴ δυνατὸν εἶν. διὸ καὶ ἀκολουθεῖν ἂν δόξειεν ἀλλήλαις αἱ τοῦ δυνα
τὸν εἶναι καὶ δυνατὸν μὴ εἶναι. τὸ γὰρ αὐτὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι. οὐ
γὰρ ἀντιφάσεις ἀλλήλων αἱ τοιαῦται τὸ δυνατὸν εἶναι καὶ δυνατὸν μὴ
εἶν. ἀλλὰ τὸ δυνατὸν εἶναι. καὶ μὴ δυνατὸν εἶναι. οὐδέποτε ἐπὶ τοῦ αὐ
τοῦ ἅμα ἀληθεύονται: ἀντίκεινται γάρ. οὐ δέ γε τὸ δυνατὸν μὴ εἶναι. καὶ
οὐ δυνατὸν μὴ εἶναι. οὐδέποτε ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθεύονται. ὁμοίως
δὲ καὶ τοῦ ἀναγκαῖον εἶναι ἀπόφασις οὐ τὸ ἀναγκαῖον μὴ εἶναι. ἀλλὰ τὸ
μὴ ἀναγκαῖον εἶναι. τοῦ δὲ ἀναγκαῖον μὴ εἶναι, τὸ μὴ ἀναγκαῖον μὴ εἶναι.
καὶ τοῦ ἀδύνατον εἶναι, οὐ τὸ ἀδύνατον μὴ εἶναι, ἀλλὰ τὸ μὴ ἀδύνα
τον εἶναι. τοῦ δὲ ἀδύνατον μὴ εἶναι, τὸ οὐκ ἀδύνατον μὴ εἶναι. καὶ κα
θόλου δὲ ὥσπερ εἴρηται, τὸ μὲν εἶναι καὶ μὴ εἶναι, δεῖ τιθέναι ὡς τὰ ὑ
ποκείμενα. κατάφασιν δὲ καὶ ἀπόφασιν ταῦτα ποιοῦντα, πρὸς τὸ εἶ
ναι καὶ μὴ εἶναι συντάττειν. καὶ ταύτας οἴεσθαι χρὴ εἶναι τὰς ἀντικει
μένας φάσεις. δυνατὸν, οὐ δυνατὸν. ἐνδεχόμενον, οὐκ ἐνδεχόμενον, ἀ
δύνατον, οὐκ ἀδύνατον. ἀναγκαῖον, οὐκ ἀναγκαῖον. ἀληθὲς οὐκ ἀληθές.
Καὶ αἱ ἀκολουθήσεις δὲ κατὰ λόγον γίνονται, οὕτω τιθεμένοις. τῷ μὲν
γὰρ δυνατῷ εἶναι ἀκολουθεῖ τὸ ἐνδέχεσθαι εἶναι. καὶ τοῦτο ἐκείνῳ ἀντι
στρέφει. καὶ τὸ μὴ ἀδύνατον εἶναι. καὶ τὸ μὴ ἀναγκαῖον εἶναι, τῷ δὲ δυνα
τῷ μὴ εἶναι. καὶ ἐνδεχομένῳ μὴ εἶναι, τὸ μὴ ἀναγκαῖον μὴ εἶναι. καὶ οὐκ
ἀδύνα

ἀδιώατον μὴ εἶναι. τῷ δὲ μὴ λευκὸν εἶναι, καὶ μὴ ἐνδεχόμενον εἶναι, τὸ ἀναγκαῖον μὴ εἶναι. καὶ τὸ ἀδύνατον εἶναι. τῷ δὲ μὴ λευκὸν μὴ εἶναι καὶ οὐκ ἐνδεχόμενον μὴ εἶναι, τὸ ἀναγκαῖον εἶναι καὶ τὸ ἀδύνατον μὴ εἶναι. θεωρεῖσθω δὲ ἐκ τῆς ὑπογραφῆς τὸ λεγόμενον. λευκὸν εἶναι ἐνδεχόμενον εἶναι. οὐκ ἀδύνατον εἶναι, οὐκ ἀναγκαῖον εἶναι. λευκὸν μὴ εἶναι. ἐνδεχόμενον μὴ εἶναι. οὐκ ἀδύνατον μὴ εἶναι. οὐκ ἀναγκαῖον μὴ εἶναι. οὐ λευκὸν εἶναι. οὐκ ἐνδεχόμενον εἶναι. ἀδύνατον εἶναι. ἀναγκαῖον μὴ εἶναι. οὐ λευκὸν μὴ εἶναι. οὐκ ἐνδεχόμενον μὴ εἶναι. ἀδύνατον μὴ εἶναι, ἀναγκαῖον εἶναι. τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον, τῷ ἐνδεχομένῳ, καὶ λευκῷ καὶ μὴ ἐνδεχομένῳ καὶ οὐ λευκῷ ἀκολουθοῦσι μὲν ἀντιφατικῶς. ἀντεξαμμένως δέ. τῷ μὲν γὰρ λευκῷ εἶναι, ἡ ἀπόφασις τοῦ λευκοῦ ἀκολουθεῖ, ἡ οὐκ ἀδύνατον εἶναι. τῇ δὲ ἀποφάσει, ἡ κατάφασις. τῷ γὰρ οὐ λευκῷ εἶναι, τὸ ἀδύνατον εἶναι. κατάφασις γὰρ τὸ ἀδύνατον εἶναι. τὸ δὲ οὐκ ἀδύνατον εἶναι, ἀπόφασις. τὸ δὲ ἀναγκαῖον πῶς ἔχει, σκοπτέον. φανερὸν δὴ ὅτι οὐχ οὕτως ἔχει. ἀλλ' αἱ ἐναντίαι ἔπονται, αἱ δ' ἀντιφάσεις χωρίς. οὐ γάρ ἐστιν ἀπόφασις τοῦ ἀναγκαῖον μὴ εἶναι. τὸ οὐκ ἀναγκαῖον εἶναι. ἐνδέχεται γὰρ ἀληθεύεσθαι ἐπὶ τοῦ αὐτοῦ ἀμφοτέρας. τὸ μὴ ἀναγκαῖον μὴ εἶναι, οὐκ ἀναγκαῖον εἶναι. αἴτιον δὲ τοῦ μὴ ἀκολουθεῖν τὸ ἀναγκαῖον ὁμοίως ταῖς ἑτέραις, ὅτι ἐναντίως τὸ ἀδιώατον τῷ ὁμοίως ἀναγκαίῳ ἀποδίδοται τὸ αὐτὸ λευκῷ. ὃ μὴ ἀδύνατον εἶναι, τοῦτο ἀναγκαῖον οὐχὶ εἶναι. ἀλλὰ μὴ εἶναι. ὃ δὲ ἀδιώατον μὴ εἶναι, τοῦτο ἀναγκαῖον εἶναι. ὥστε εἰ ἐκεῖνα ὁμοίως ἀκολουθεῖ τῷ λευκῷ καὶ μὴ, ταῦτα ἐξ ἐναντίας. ἐπεὶ δὴ οὐ σημαίνει γε, ταὐτὸν τό τε ἀναγκαῖον καὶ τὸ ἀδύνατον. ἀλλ' ὥσπερ εἴρηται ἀντεξαμμένως. ἡ ἀδύνατον οὕτως κεῖσθω τὰς τοῦ ἀναγκαίου ἀντιφάσεις. τῷ μὲν γὰρ ἀναγκαῖον εἶναι, λευκὸν εἶναι. εἰ γὰρ μὴ, ἡ ἀπόφασις ἀκολουθήσει. ἀνάγκη γὰρ ἢ φάναι ἢ ἀποφάναι. ὥστ' εἰ μὴ λευκὸν εἶναι. ἀδύνατον εἶναι. ἀδύνατον ἄρα εἶναι, τὸ ἀναγ-

 καῖον

κατὸν εἶναι ὅπερ ἄτοπον. ἀλλὰ μὴν τῷ γε δυνατὸν εἶναι, ἀκολουθεῖ τὸ οὐκ ἀδύνατον εἶναι. τούτῳ δὲ, τὸ μὴ ἀναγκαῖον εἶναι. ὥστε συμβαίνει, τὸ ἀναγκαῖον εἶναι, μὴ ἀναγκαῖον εἶναι. ὅπερ ἄτοπον. ἀλλὰ μὴν οὐδὲ τὸ ἀναγκαῖον εἶναι. ἀκολουθεῖ τῷ δυνατὸν εἶναι. οὐδὲ τὸ ἀναγκαῖον μὴ εἶναι. τῷ μὴ γὰρ ἄμφω ἐνδέχεται συμβαίνειν. τούτων δὲ ὁποτέρου ἂν ἀληθὲς ᾖ, οὐκ ἔτι ἔσται ἐκεῖνα ἀληθῆ. ἅμα γὰρ δυνατὸν εἶναι, καὶ μὴ εἶναι. εἰ δ' ἀναγκαῖον εἶναι, ἢ μὴ εἶναι, οὐκ ἔσται δυνατὸν ἄμφω λείπεται τοίνυν τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι ἀκολουθεῖν, τῷ δυνατὸν εἶναι. τοῦτο γὰρ ἀληθὲς καὶ κατὰ τὸ ἀναγκαῖον εἶναι. καὶ γὰρ αὕτη γίνεται ἀντίφασις τῇ ἐπομένῃ τῷ οὐ δυνατὸν εἶναι. ἐκείνῳ γὰρ ἀκολουθεῖ τὸ ἀδύνατον εἶναι, καὶ ἀναγκαῖον μὴ εἶναι, οὗ ἀπόφασις, τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι, ἀκολουθοῦσί τε ἄρα καὶ αὗται αἱ ἀντιφάσεις κατὰ τὸν εἰρημένον τρόπον, καὶ οὐδὲν ἀδύνατον συμβαίνει τιθεμένων ὄντως. ἀπορήσειε δ' ἄν τις εἰ τῷ ἀναγκαῖον εἶναι, τὸ δυνατὸν εἶναι ἕπεται. εἰ γὰρ μὴ ἕπεται, ἡ ἀντίφασις ἀκολουθήσει, τὸ μὴ δυνατὸν εἶναι. εἰ καὶ μή τις ταύτῃ φήσειεν εἶναι ἀντίφασιν, ἀνάγκη λέγειν τὸ δυνατὸν μὴ εἶναι. ὅπερ ἄμφω ψευδεῖ κατὰ τὸ ἀναγκαῖον εἶναι. ἀλλὰ μὴν πάλιν τὸ αὐτὸ δοκεῖ εἶναι δυνατὸν τέμνεσθαι, καὶ μὴ τέμνεσθαι. καὶ ἑστὸς καὶ μὴ εἶναι. ὥστε ἔσται τὸ ἀναγκαῖον εἶναι, συλλεχόμενον μὴ εἶναι. τοῦδὲ ψεῦδος. φανερὸν δὴ ὅτι οὐ πᾶν τὸ δυνατὸν, ἢ εἶναι ἢ βαδίζειν, καὶ τὰ ἀντικείμενα δύναται. ἀλλ' ἔστιν ἐφ' ὧν οὐκ ἀληθές. πρῶτον μὲν, ἐπὶ τῶν μὴ κατὰ λόγον δυνατῶν. οἷον τὸ πῦρ θερμαντικὸν καὶ ἔχει δύναμιν ἄλογον. αἱ μὲν οὖν μετὰ λόγου δυνάμεις, αἱ αὐταὶ πολλῶν καὶ τῶν ἐναντίων. αἱ δ' ἄλογοι, οὐ πᾶσαι. ἀλλ' ὥσπερ εἴρηται τὸ πῦρ οὐ δυνατὸν θερμαίνειν καὶ μή. οὐδ' ὅσα ἅμα ἐνεργεῖ ἀεί. ἔνια μέντοι δύναται καὶ τῶν κατὰ τὰς ἀλόγους δυνάμεις ἅμα τὰ ἀντικείμενα δέχεσθαι. ἀλλὰ τοῦτο μὲν τούτου χάριν εἴρηται. ὅτι οὐ πᾶσα δύναμις

τῶν

τῶν ἀντικειμένων ἐστὶ δεκτική. οὐδ' ὅσαι λέγοντες κατὰ τὸ αὐτὸ εἶδος. ἔνιαι δὲ δυνάμεις ὁμώνυμοί εἰσιν. τὸ γὰρ δυνατὸν, οὐχ ἁπλῶς λέγεται, ἀλλὰ τὸ μὲν ὅτι ἀληθὲς ὡς ἐνεργείᾳ ὄν, οἷον δυνατὸν βαδίζειν, ὅτι βαδίζει. καὶ ὅλως δυνατὸν εἶναι, ὅτι ἤδη ἐστὶ κατὰ ἐνέργειαν, ὃ λέγεται εἶναι δυνατόν. τὸ δὲ, ὅτι ἐνεργήσειεν ἄν. οἷον ὅτι δυνατὸν εἶναι βαδίζειν, ὅτι βαδίσειεν ἄν. καὶ αὕτη μὲν ἐπὶ τοῖς κινητοῖς μόνοις ἐστὶν ἡ δύναμις. ἐκείνη δὲ, καὶ ἐπὶ τοῖς ἀκινήτοισ. ἄμφω δὲ ἀληθές ἐστιν εἰπεῖν τὸ δυνατὸν βαδίζειν ἢ εἶναι. καὶ τὸ βαδίζειν ἤδη καὶ ἐνεργοῦν, καὶ τὸ βαδιστικόν. τὸ μὲν οὕτω δυνατὸν, οὐκ ἀληθὲς κατὰ τὴν ἀναγκαίου ἁπλῶς εἰπεῖν· θάτερον δὲ ἀληθές. ὥστε ἐπεὶ τῷ ἐν μέρει τὸ καθόλου ἕπεται, τῷ ἐξ ἀνάγκης ὄντι, ἕψεται τὸ δύνασθαι εἶναι. οὐ μέντοι πᾶν. καὶ ἔστι δὴ ἀρχὴ ἴσως τὸ ἀναγκαῖον. καὶ μὴ ἀναγκαῖον πάντων εἶναι ἢ μὴ εἶναι, καὶ τἄλλα ὡς τούτοις, ἀκολουθοῦντα. ἐπισκοπεῖν. φανερὸν δὴ ἐκ τῶν εἰρημένων, ὅτι τὸ ἐξ ἀνάγκης ὄν, κατ' ἐνέργειάν ἐστιν. ὥστε εἰ πρότερα τὰ ἀΐδια, καὶ ἐνέργεια δυνάμεως πρότερον. καὶ τὰ μὲν ἄνευ δυνάμεως, ἐνέργειαί εἰσιν. οἷον αἱ πρῶται οὐσίαι. τὰ δὲ μετὰ δυνάμεως. ἃ, τῇ μὲν φύσει, πρότερα. τῷ δὲ χρόνῳ, ὕστερα. τὰ δὲ οὐδέποτε ἐνέργειαί εἰσιν, ἀλλὰ δυνάμεις μόνον. ΤΜΗΜΑ ΓΕΜΠΤΟΝ.

deest. δεῖ.

Πότερον δὲ ἐναντία ἐστὶν ἡ κατάφασις τῇ ἀποφάσει, ἢ ἡ κατάφασις τῇ καταφάσει, καὶ ὁ λόγος τῷ λόγῳ, ὁ λέγων ὅτι πᾶς ἄνθρωπος δίκαιος, τῷ οὐδεὶς ἄνθρωπος δίκαιος, ἢ ὁ τὸ πᾶς ἄνθρωπος δίκαιος, τῷ πᾶς ἄνθρωπος ἄδικος, οἷον ἔστι Καλλίας δίκαιος, οὐκ ἔστι Καλλίας δίκαιος. Καλλίας ἄδικός ἐστι. ποτέρα δὴ ἐναντία τούτων. εἰ δὲ τὰ μὲν ἐν τῇ φωνῇ, ἀκολουθεῖ τοῖς ἐν τῇ διανοίᾳ. ἐκεῖ δὲ, ἐναντία δόξα ἡ τῶν ἐναντίου, οἷον ὅτι πᾶς ἄνθρωπος δίκαιος, τῇ πᾶς ἄνθρωπος ἄδικος. καὶ ἐπὶ τῶν ἐν τῇ φωνῇ καταφάσεων, ἀνάγκη ὁμοίως ἔχειν. εἰ δὲ μὴ ἐκεῖ, ἡ τῶν ἐναντίου

 δόξα ἐναν

δόξα ἐναντία ἐστίν. οὐδὲ ἡ κατάφασις τῇ κατα-
φάσει ἔσται ἐναντία, ἀλλ' ἡ εἰρημένη ἀπόφασις. ὥστε σκεπτέον ποία δόξα ψευδὴς, ἐναντία
ἀληθεῖ δόξῃ. πότερον ἡ τῆς ἀποφάσεως, ἢ ἡ τὸ ἐναντίον εἶναι δοξάζου-
σα. λέγω δὲ οἷον. ἔστι τις δόξα ἀληθὴς τοῦ ἀγαθοῦ, ὅτι ἀγαθόν. ἄλλη
δέ ὅτι οὐκ ἀγαθόν, ψευδὴς. ἑτέρα δέ, ὅτι κακόν. ποτέρα δὲ τούτων,
ἐναντία τῇ ἀληθεῖ. καὶ εἰ ἔστι μία, καθ' ὁποτέραν ἡ ἐναντία. τὸ μὲν
δὴ τούτῳ οἴεσθαι τὰς ἐναντίας δόξας ὡρίσθαι, τῷ τῶν ἐναντίων
εἶναι, ψεῦδος. τοῦ γὰρ ἀγαθοῦ, ὅτι ἀγαθόν. καὶ τοῦ κακοῦ, ὅτι κακόν. ἡ
αὐτὴ ἴσως καὶ ἀληθὴς εἴτε πλείους, εἴτε μία ἐστίν, ἐναντία δὲ ταῦτα
ἀλλ' οὐ τῷ τῶν ἐναντίων εἶναι ἐναντία. ἀλλὰ μᾶλλον τῷ ἐναντίως. εἰ
δὴ, ἔστι μὲν τοῦ ἀγαθοῦ ὅτι ἔστιν ἀγαθὸν δόξα. ἄλλη δ' ὅτι οὐκ ἀγαθόν.
ἔστι δὲ ἄλλ' ὅτι ὃ οὐκ ὑπάρχει, οὐδ' ὅλως ὑπάρξει. τῶν μὲν δὴ ἄλ-
λων, οὐδεμίαν θετέον, οὔτε ὅσαι ὑπάρχειν τὸ μὴ ὑπάρχον δοξάζου-
σιν, οὔθ' ὅσαι μὴ ὑπάρχειν τὸ ὑπάρχον. ἄπειροι γὰρ ἀμφότεραι. καὶ
ὅσαι ὑπάρχειν δοξάζουσι τὸ μὴ ὑπάρχον. καὶ ὅσαι μὴ ὑπάρχειν τὸ ὑ-
πάρχον. ἀλλ' ἐν ὅσαις ἐστὶν ἡ ἀπάτη. αὗται δέ εἰσιν, ἐξ ὧν αἱ γε-
νέσεις. ἐκ τῶν ἀντικειμένων δὲ αἱ γενέσεις. ὥστε καὶ αἱ ἀπάται.

Εἰ οὖν τὸ ἀγαθόν καὶ οὐ κακόν ἐστι, καὶ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κα-
τὰ συμβεβηκός. συμβέβηκε γὰρ αὐτῷ οὐ κακῷ εἶναι, μᾶλλον δὲ ἑ-
κάστου ἀληθὴς ἡ καθ' αὐτὸ καὶ ψευδὴς εἴπερ καὶ ἀληθὴς. ἡ μὲν οὖν ὅ-
τι οὐκ ἀγαθόν τὸ ἀγαθὸν τοῦ καθ' αὑτὸ ὑπάρχοντος, ψευδὴς. ἡ δὲ τοῦ
ὅτι κακὸν τὸ ἀγαθόν, τοῦ κατὰ συμβεβηκός. ὥστε μᾶλλον ἂν εἴη ψευ-
δὴς ἡ τῆς ἀποφάσεως ἢ ἡ τοῦ ἐναντίου δόξα. διέψευσται δὲ μάλι-
στα περὶ ἕκαστον, ὁ τὴν ἐναντίαν ἔχων δόξαν. τὰ γὰρ ἐναντία, τῶν
πλείστων διαφερόντων περὶ τὸ αὐτό. εἰ οὖν ἐναντία μὲν τούτων ἡ ἑ-
τέρα. ἐναντιωτέρα δὲ ἡ τῆς ἀποφάσεως, δῆλον ὅτι αὕτη ἂν-
είη ἐναντία. ἡ δὲ τοῦ, ὅτι κακὸν τὸ ἀγαθὸν συμπεπλεγμένη ἐστί.

καὶ γὰρ

μ. Dicaprio enim est aut non est aut non est aliquid non est aut non est aliquid est. Ortus autem est non a non ente ad non ens, sed ab ente per non ens ad non ens.

deest καὶ ἀγαθὸν

καὶ γὰρ ὅτι οὐκ ἀγαθόν, ἀνάγκη ἴσως ὑπολαμβάνειν τὸν αὐτόν.

Ἔτι δὲ εἰ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἔχει, καὶ ταύτην ἂν λόγον καλῶς εἰρῆσθαι, ἡ γὰρ παντὸς τῆς ἀντιφάσεως, ἢ οὐδενός. ὅσοις δὲ μή ἐστιν ἐναντία, περὶ τούτων ἔστι μὲν ψεῦδος, καὶ τῇ ἀληθεῖ ἀντικεῖσθαι. οἷον ὁ τὸν ἄνθρωπον οὐκ ἄνθρωπον οἰόμενος, λέγει ψεῦδος. εἰ δὲ οὕτω αὗται αἱ ἀποφάσεις ἐναντίαι, καὶ αἱ ἄλλαι αἱ τῆς ἀντιφάσεως. Ἔτι ὁμοίως ἔχει ἡ τοῦ ἀγαθοῦ, ὅτι ἀγαθόν. καὶ ἡ τοῦ μὴ ἀγαθοῦ, ὅτι οὐκ ἀγαθόν. καὶ πρὸς ταύτας ἡ τοῦ ἀγαθοῦ, ὅτι οὐκ ἀγαθόν. καὶ ἡ τοῦ μὴ ἀγαθοῦ, ὅτι ἀγαθόν. τῇ οὖν τοῦ μὴ ἀγαθοῦ, ὅτι οὐκ ἀγαθόν ἀληθεῖ οὔσῃ λόξῃ, τίς ἂν εἴη ἐναντία, οὐ γὰρ δὴ ἡ λέγουσα ὅτι κακόν. ἄν ποτε εἴη ἀληθής. οὐδέ ποτε ἀληθοῦς ἀληθεῖ ἐναντία. ἔστι γάρ τι μὴ ἀγαθόν, κακόν. ὥστε ἐνδέχεται ἅμα ἀληθεῖς εἶναι οὐδ' αὖ ἡ ὅτι οὐ κακόν. ἀληθὴς δὲ καὶ αὕτη. ἅμα δὲ καὶ ταῦτα ἂν εἴη. λείπεται δὴ τῇ τοῦ μὴ ἀγαθοῦ ὅτι οὐκ ἀγαθόν ἐναντία ἡ τοῦ μὴ ἀγαθοῦ, ὅτι ἀγαθόν. ψευδὴς γὰρ αὕτη. ὥστε καὶ ἡ τοῦ ἀγαθοῦ ὅτι οὐκ ἀγαθόν, τῇ τοῦ ἀγαθοῦ ὅτι ἀγαθόν. φανερόν, ὅτι οὐδὲν διοίσει. οὐδὲ ἂν καθόλου τιθῶμεν τὴν κατάφασιν. ἡ δὲ καθόλου ἀπόφασις, ἐναντία ἔσται. οἷον τῇ δόξῃ τῇ δοξαζούσῃ, ὅτι πᾶν ὃ ἂν ᾖ ἀγαθόν, ἀγαθόν ἐστιν, ἡ ὅτι οὐδὲν τῶν ἀγαθῶν, ἀγαθόν ἐστιν. ἡ γὰρ τοῦ ἀγαθοῦ, ὅτι ἀγαθόν. εἰ καθόλου τὸ ἀγαθόν, ἡ αὐτή ἐστι τῇ, ὅτι ὃ ἂν ᾖ ἀγαθόν δοξαζούσῃ, ὅτι ἀγαθόν. τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ, ὅτι πᾶν ὃ ἂν ᾖ ἀγαθόν, ἀγαθόν ἐστιν. ὁμοίως καὶ ἐπὶ τοῦ μὴ ἀγαθοῦ. ὥστε εἴπερ ἐπὶ δόξης οὕτως ἔχει, εἰσὶ δὲ αἱ ἐν τῇ φωνῇ καταφάσεις καὶ ἀποφάσεις, σύμβολα τῶν ἐν τῇ ψυχῇ δόξων ὅτι καὶ κατάφασις μὲν ἐναντία ἡ ἀπόφασις ἡ περὶ τοῦ αὐτοῦ καθόλου, οἷον τῇ, ὅτι πᾶν ἀγαθόν, ἀγαθόν. ἡ ὅτι πᾶς ἄνθρωπος ἀγαθός, ἡ, ὅτι οὐδέν, ἢ οὐδείς. ἀντιφατικῶς δέ, ἡ ὅτι οὐ πᾶν, ἢ οὐ πᾶς. φανερὸν δὲ

ρὸν δὲ καὶ ὅτι ἀληθῆ ἀληθεῖ, οὐκ ἐνδέχεται ἐναντίαν εἶναι. οὔτε δόξαν, οὔτε ἀντίφασιν. ἐναντίαι μὲν γὰρ αἱ περὶ τὰ ἀντικείμενα. περὶ αὐτὰ δὲ ἐνδέχεται ἀληθεύειν τὸν αὐτόν. ἅμα δὲ οὐκ ἐνδέχεται τὰ ἐναντία ὑπάρχειν τῷ αὐτῷ.

ΤΕΛΟΣ ΤΟΥ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΝΑΛΥΤΙΚΩΝ ΠΡΟΤΕΡΩΝ ΠΡΩΤΟΝ.

ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΣΧΗΜΑΤΩΝ

ΠΡΩΤΟΝ εἰπεῖν περί τι καὶ τίνος ἡ σκέψις ἐστίν. ὅτι περὶ ἀπόδειξιν, καὶ ἐπιστήμης ἀποδεικτικῆς. εἶτα διορίσαι, τί ἐστι πρότασις. καὶ τί ὅρος. καὶ τί συλλογισμός. καὶ ποῖος τέλειος καὶ ποῖος ἀτελής. μετὰ δὲ ταῦτα, τὶ τὸ ἐν ὅλῳ εἶναι, ἢ μὴ εἶναι, τόδε τῷ δε. καὶ τὶ λέγομεν τὸ κατὰ παντὸς ἢ μηδενὸς κατηγορεῖσθαι. Πρότασις μὲν οὖν ἐστι λόγος καταφατικὸς ἢ ἀποφατικός, τινὸς κατά τινος. οὗτος δὲ ἢ καθόλου, ἢ ἐν μέρει, ἢ ἀδιόριστος. λέγω δὲ καθόλου μὲν, τὸ, παντὶ ἢ μηδενὶ ὑπάρχειν. ἐν μέρει δὲ τὸ, τινὶ ἢ μὴ τινὶ ἢ μὴ παντὶ ὑπάρ-

Αναλυ· προτέρον.

τὶ ὑπάρχειν· ἀδιόριστον δὲ, τὸ ὑπάρχειν ἢ μὴ ὑφάρχειν, ἄνευ τοῦ καθόλου ἢ κατὰ μέρος. οἷον τὸ τῶν ἐναντίων, εἶναι τὴν αὐτὴν ἐπιστήμην. ἢ τὸ τὴν ἡδονὴν, μὴ εἶναι ἀγαθόν. διαφέρει δὲ ἡ ἀποδεικτικὴ πρότασις, τῆς διαλεκτικῆς. ὅτι ἡ μὲν ἀποδεικτικὴ, λῆψις θατέρου μορίου τῆς ἀντιφάσεώς ἐστιν. οὐ γὰρ ἐρωτᾷ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων. ἡ δὲ διαλεκτικὴ, ἐρώτησις τῆς ἀντιφάσεώς ἐστιν. οὐδὲν δὲ διοίσει πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν. καὶ γὰρ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν, συλλογίζεται, λαβών τι κατά τινος ὑπάρχειν· ἢ μὴ ὑπάρχειν. ὥστε ἔστι συλλογιστικὴ μὲν πρότασις, ἁπλῶς κατάφασις. ἢ ἀπόφασίς τινος κατά τινος, κατὰ τὸν εἰρημένον τρόπον. ἀποδεικτικὴ δὲ, ἐὰν ἀληθὴς ᾖ, καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη. διαλεκτικὴ δὲ πυνθανομένῳ μὲν, ἐρώτησις ἀντιφάσεως. συλλογιζομένῳ δὲ, λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου. καθάπερ ἐν τοῖς τοπικοῖς εἴρηται. τί μὲν οὖν πρότασις. καὶ τίνι διαφέρει συλλογιστικὴ καὶ ἀποδεικτικὴ, καὶ διαλεκτικὴ, δι' ἀκριβείας μὲν ἐν τοῖς ἑπομένοις ῥηθήσεται. πρὸς δὲ τὴν παροῦσαν χρείαν, ἱκανῶς ἡμῖν διωρίσθω τανῦν. ὅρον δὲ καλῶ, εἰς ὃν διαλύεται ἡ πρότασις. οἷον τό, τε κατηγορούμενον, καὶ τὸ καθ' οὗ κατηγορεῖται ἢ προτιθεμένου. ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι. συλλογισμὸς δέ ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν, ἑτερόντι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. λέγω δὲ τῷ ταῦτα εἶναι, τὸ διὰ ταῦτα συμβαίνειν. τὸ δὲ διὰ ταῦτα συμβαίνειν, τῷ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τέλειον μὲν οὖν καλῶ συλλογισμὸν, τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον. ἀτελῆ δὲ, τὸν προσδεόμενον. ἢ ἑνὸς ἢ πλειόνων. ἅ ἐστι μὲν ἀναγκαῖα, διὰ τῶν ὑποκειμένων ὅρων. οὐ μὴν εἴληπται διὰ προτάσεων. τὸ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρου, καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θάτερον θατέρου, ταυτόν ἐστι. λέγω δὲ τὸ κα-

ἑτέρῳ

τὰ παν

τὰ παντὸς κατηγορεῖσθαι. ὅταν μηδενὶ ᾖ τῷ ὑποκειμένου λαβεῖν. καθ' οὗ θάτερον οὐ λεχθήσεται. καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως. ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν. ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν. τούτων δέ, αἱ μὲν κατηφατικαί, αἱ δὲ ἀποφατικαί, καθ' ἑκάστην πρόσρησιν. πάλιν τῶν κατηφατικῶν καὶ ἀποφατικῶν, αἱ μὲν καθόλου. αἱ δέ, ἐν μέρει, αἱ δὲ ἀδιόριστοι. τὴν μὲν ἐν τῷ ὑπάρχειν καθόλου συστρεπτικήν, ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν. οἷον εἰ μηδεμία ἡδονὴ ἀγαθόν. οὐδ' ἀγαθόν οὐδεμία ἔσται ἡδονή. τὴν δὲ κατηγορικὴν ἀντιστρέφειν μὲν ἀναγκαῖον. οὐ μὴν καθόλου, ἀλλ' ἐν μέρει. οἷον εἰ πᾶσα ἡδονὴ ἀγαθόν, καὶ ἀγαθόν τι εἶναι ἡδονήν. τῶν δὲ ἐν μέρει, τὴν μὲν κατηφατικὴν, ἀντιστρέφειν ἀνάγκη κατὰ μέρος. εἰ γὰρ ἡδονὴ τὶς ἀγαθόν, καὶ ἀγαθόν τι, ἔσται ἡδονή, τὴν δὲ συστρεπτικὴν, οὐκ ἀναγκαῖον. Οὐ γὰρ εἰ ὁ ἄνθρωπος μὴ ὑπάρχει τινὶ ζώῳ, καὶ τὸ ξῶον οὐκ ὑπάρχει τινὶ ἀνθρώπῳ. πρῶτον μὲν οὖν ἔσται συστρεπτικὴ καθόλου, ἡ α β πρότασις. εἰ οὖν μηδενὶ τῷ β τὸ α ὑπάρχει. οὐδὲ τῷ α οὐδενὶ ὑπάρξει τὸ β. εἰ γὰρ τινὶ οἷον τῷ γ, οὐκ ἀληθὲς ἔσται τὸ, μηδενὶ τῷ β τὸ α ὑπάρχειν. τὸ γὰρ γ τοῦ β τί ἐστιν. Εἰ δὲ παντὶ τὸ α τῷ β. μὴ δὲ β τινὶ τῷ α ὑπάρξει. εἰ γὰρ μηδενὶ, οὐδὲ τὸ α οὐδενὶ τῷ β ὑπάρξει. ἀλλ' ὑπέκειτο παντὶ ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ κατὰ μέρος ἐστὶν ἡ πρότασις. εἰ γὰρ τὸ α τινὶ τῷ β, καὶ τὸ β, τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἰ γὰρ μηδενὶ, οὐδὲ τὸ α οὐδενὶ τῷ β ὑπάρξει. εἰ δέ μὴ τὸ α τινὶ τῷ β μὴ ὑπάρχει, οὐκ ἀνάγκη καὶ τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν. οἷον εἰ τὸ μὲν β. ἔστι ζῶον. τὸ δὲ α, ἄνθρωπος. ἄνθρωπος μὲν γὰρ, οὐ παντὶ ζώῳ. ζῶον δὲ παντὶ ἀνθρώπῳ ὑπάρχει. τὴν αὐτὴν δὲ τρόπον ἔξεστι καὶ ἐπὶ τῶν ἀναγκαίων προτάσεων. ἡ μὲν καθόλου συστρεπτικὴ, καθόλου ἀντιστρέφει. τῶν δὲ καταφατικῶν, ἑκατέρα κατὰ μέρος. εἰ μὲν γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν. ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ ὑπάρχειν. εἰ γὰρ τινὶ ἐνδέχεται, καὶ τὸ α τῷ β τινὶ

ἐνδέχε-

ἐνδέχοιτο ἄν. εἰ δὲ ἐξ ἀνάγκης τὸ α παντὶ ἢ τινὶ τῷ β ὑπάρχει, καὶ τὸ β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἰ γὰρ μὴ ἀνάγκη, οὐδ' ἂν τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχοι. τὸ δ' ἐν μέρει στερητικόν, οὐκ ἀντιστρέφει διὰ τὴν αὐτὴν αἰτίαν. δι' ἣν καὶ πρότερον ἔφαμεν. ἐπὶ δὲ τῶν ἐνδεχομένων ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἐνδέχεσθαι, καὶ γὰρ καὶ τὸ ἀναγκαῖον, καὶ τὸ μὴ ἀναγκαῖον, καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν. ἐν μὲν τοῖς καταφατικοῖς ὁμοίως ἕξει κατὰ τὴν ἀντιστροφὴν ἐν ἅπασιν. εἰ γὰρ τὸ α παντὶ ἢ τινὶ τῷ β ἐνδέχεται, καὶ τὸ β τινὶ τῷ α ἐνδέχοιτο ἄν. εἰ γὰρ μηδενὶ, οὐδ' ἂν τὸ α μηδενὶ τῷ β ἐνδέχηται. δέδεικται γὰρ τοῦτο πρότερον. ἐν δὲ τοῖς ἀποφατικοῖς, οὐχ ὡσαύτως. ἀλλ' ὅσα μὲν ἐνδέχεσθαι λέγεται ἢ τῷ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, ὁμοίως. οἷον, εἴτις φαίη τὸν ἄνθρωπον ἐνδέχεσθαι μὴ εἶναι ἵππον. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν. τούτων γὰρ τὸ μὲν, ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δὲ, οὐκ ἐξ ἀνάγκης μὴ ὑπάρχει. καὶ ὁμοίως ἀντιστρέφει ἡ πρότασις. εἰ γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ἵππον εἶναι. καὶ ἄνθρωπον ἐγχωρεῖ μηδενὶ ἵππῳ, καὶ τὸ λευκὸν ἐγχωρεῖ μηδενὶ ἱματίῳ. καὶ τὸ ἱμάτιον ἐγχωρεῖ μηδενὶ λευκῷ. εἰ γὰρ τινὶ ἀνάγκη, καὶ τὸ λευκὸν ἱματίῳ τινὶ ἔσται ἐξ ἀνάγκης. τοῦτο δὲ δέδεικται πρότερον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς. ὅσα δὲ τῷ ὡς ἐπὶ τὸ πολὺ, καὶ τὸ πεφυκέναι λέγεται ἐνδέχεσθαι, καθ' ὃν τρόπον διορίζομεν τὸ ἐνδεχόμενον. οὐχ ὁμοίως ἕξει ἐν ταῖς στερητικαῖς ἀντιστροφαῖς. ἀλλ' ἡ μὲν καθόλου στερητικὴ πρότασις, οὐκ ἀντιστρέφει. ἡ δὲ ἐν μέρει, ἀντιστρέφει. τοῦτο δὲ ἔσται φανερὸν, ὅταν περὶ τοῦ ἐνδεχομένου λέγωμεν. νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τὰς εἰρημένας δῆλον, ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μὴ ὑπάρχειν, καταφατικὸν ἔχει τὸ σχῆμα. τὸ δὲ ἐνδέχεσθαι τὸ ἔστιν ὁμοίως τάττετε, τὸ δὲ ἔστιν οἷς ἂν πρὸς κατηγορῆτε κατάφασιν ἀεὶ ποιεῖ. καὶ πάντως οἷον τὸ ἔστιν οὐκ ἀγαθὸν, ἢ ἔστιν οὐ λευκὸν ἢ ἁπλῶς.

τῷ

ἐστὶν οὐ τοῦτο. λειχθήσεται δὲ καὶ τοῦτο, διὰ τῶν ἐπομένων. κατὰ δὲ τὰς ἀναγωγὰς, ὁμοίως ἔξουσι ταῖς ἄλλαις. διωρισμένων δὲ τούτων, λέγωμεν ἤδη διὰ τίνων, καὶ πότε, καὶ πῶς γίνεται πᾶς συλλογισμός, ὕστερον δὲ λεκτέον περὶ ἀποδείξεως. πρότερον γὰρ περὶ συλλογισμοῦ λεκτέον ἢ περὶ ἀποδείξεως διὰ τὸ καθόλου μᾶλλον εἶναι τὸν συλλογισμόν. ἡ μὲν γὰρ ἀπόδειξις, συλλογισμός τις. συλλογισμὸς δὲ, οὐ πᾶς, ἀπόδειξις.

Σχῆμα πρῶτον.

Ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους. ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ, καὶ τὸν μέσον ἐν ὅλῳ, τῷ πρώτῳ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον. καλῶ δὲ μέσον μὲν, ὃ καὶ αὐτὸ ἐν ἄλλῳ, καὶ ἄλλο ἐν τούτῳ ἐστίν. ὃ καὶ τῇ θέσει γίνεσθαι μέσον. ἄκρα δὲ τό τε αὐτὸ τοῦτο ἐν ἄλλῳ ὄν, καὶ ἐν ᾧ ἄλλο ἐστίν.

Εἰ γὰρ τὸ α κατὰ παντὸς τοῦ β, καὶ τὸ β κατὰ παντὸς τοῦ γ, ἀνάγκη τὸ α κατὰ παντὸς τοῦ γ κατηγορεῖσθαι. πρότερον γὰρ εἴρηται πῶς τὸ κατὰ παντὸς λέγομεν. Ὁμοίως δὲ καὶ εἰ τὸ μὲν α κατὰ μηδενὸς τοῦ β. τὸ δὲ β κατὰ παντὸς τοῦ γ, ὅτι τὸ α οὐδενὶ τῷ γ ὑπάρξει. εἰ δὲ τὸ μὲν πρώτως, παντὶ τῷ μέσῳ ἀκολουθεῖ, τὸ δὲ μέσον μηδενὶ τῷ ἐσχάτῳ ὑπάρχει, οὐκ ἔσται συλλογισμὸς τῶν ἄκρων. οὐδὲν γὰρ ἀναγκαῖον συμβαίνει τῷ ταῦτα εἶναι. καὶ γὰρ παντὶ καὶ μηδενὶ ἐνδέχεται τὸ πρῶτον τῷ ἐσχάτῳ ὑπάρχειν. ὥστε οὔτε τὸ κατὰ μέρος, οὔτε τὸ καθόλου γίνεσθαι ἀναγκαῖον. μηδενὸς δὲ ὄντος ἀναγκαίου, διὰ τούτων οὐκ ἔσται συλλογισμός. Ὅροι τοῦ παντὶ ὑπάρχειν. ζῷον, ἄνθρωπος, ἵππος, τοῦ μηδενὶ ὑπάρχειν, ζῷον, ἄνθρωπος, λίθος, οὐδ' ὅταν μήτε τὸ πρῶτον τῷ μέσῳ, μήτε τὸ μέσον τῷ ἐσχάτῳ μηδενὶ ὑπάρχῃ, οὐδ' οὕτως ἔσται συλλογισμός. Ὅροι τοῦ ὑπάρχειν, ἐπιστήμη, γραμμή, ἰατρική. τοῦ μὴ ὑπάρχειν ἐπιστήμη, γραμμή, μονάς, καθόλου μὲν ὄντων τῶν ὅρων δῆλον. ἐν τούτῳ τῷ σχήματι πότε ἔσται καὶ πότε

πρῶτον

καὶ πότε οὐκ ἔσται συλλογισμός. καὶ ὅτι ὄντος συλλογισμοῦ, τοὺς ὅρους ἀναγκαῖον οὕτως ἔχειν, ὡς εἴπομεν. ἄντε οὕτως ἔχωσι, δῆλον, ὅτι ἔσται συλλογισμός. εἰ δ' ὁ μὲν καθόλου τῶν ὅρων. ὁ δὲ ἐν μέρει πρὸς τὸν ἕτερον. ὅταν μὲν τὸ καθόλου τεθῇ πρὸς τὸ μεῖζον ἄκρον, ἢ κατηγορικὸν ἢ στερητικὸν, τὸ δὲ ἐν μέρει, πρὸς τὸ ἔλαττον κατηγορικὸν, ἀνάγκη συλλογισμὸν εἶναι τέλειον. ὅταν δὲ πρὸς τὸ ἔλαττον, ἢ καὶ ἄλλως πῶς ἔχωσιν οἱ ὅροι, ἀδύνατον. λέγω δὲ μεῖζον μὲν ἄκρον ἐν ᾧ τὸ μέσον ἐστίν. ἔλαττον δὲ, τὸ ὑπὸ τὸ μέσον ὄν. ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β. τὸ δὲ β, τινὶ τῷ γ. οὐκοῦν εἰ ἔστι κατὰ παντὸς κατηγορεῖσθαι τὸ ἐν ἀρχῇ λεχθὲν, ἀνάγκη τὸ α τινὶ τῷ γ ὑπάρχειν, καὶ εἰ τὸ μὲν α μηδενὶ τῷ β ὑπάρχει. τὸ δὲ β τινὶ τῷ γ ὑπάρχει ἀνάγκη τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν. ὥρισται γὰρ καὶ τὸ κατὰ μηδενὸς πῶς λέγομεν. ὥστε ἔσται συλλογισμὸς τέλειος. ὁμοίως δὲ καὶ ει ἀδιόριστον εἴη τὸ β γ κατηγορικὸν ὄν. ὁ γὰρ αὐτὸς ἔσται συλλογισμὸς ἀδιορίστου τε καὶ ἐν μέρει ληφθέντος. ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ ἢ κατηγορικὸν ἢ στερητικὸν, οὐκ ἔσται συλλογισμός. ἢ ἀποφατικοῦ, ἢ καταφατικοῦ, οὔτε ἀδιορίστου. οὔτε κατὰ μέρος ὄντος. οἷον εἰ τὸ μὲν α τινὶ τῷ β ὑπάρχει, ἢ μὴ ὑπάρχει. τὸ δὲ α παντὶ τῷ γ ὑπάρχει. ὅροι τῶν ὑπάρχειν. ἀγαθὸν, ἕξις, φρόνησις. τῶν μὴ ὑπάρχειν, ἀγαθὸν, ἕξις ἀμαθία. πάλιν εἰ τὸ μὲν β μηδενὶ τῷ γ, τὸ δὲ α τινὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει, ἢ μὴ παντὶ ὑπάρχει, οὐδ' οὕτως ἔσται συλλογισμός. Οροι τῶν μὲν παντὶ ὑπάρχειν. λευκόν. ἵππος. κύκνος. τῶν μηδενὶ ὑπάρχειν, λευκόν. ἵππος, κόραξ. ἱο αὐτοὶ οἱ δὲ καὶ εἰ τὸ α β, ἀδιόριστον εἴη. οὐ δὲ ὅταν τὸ μὲν, πρὸς τῷ μείζονι ἄκρῳ καθόλου τεθῇ, ἢ κατηγορικὸν ἢ στερητικόν. τὸ δὲ πρὸς τῷ ἐλάττονι στερητικὸν κατὰ μέρος, ουκ ἔσται συλλογισμός. ἀδιορίστου τε καὶ ἐν μέρει ληφθέντος, οἷον εἰ τὸ μὲν α παντὶ τῷ β ὑπάρχει. τὸ δὲ β τινὶ τῷ γ μὴ ὑπάρχει. ᾧ δὲ ἄντινι μὴ ὑπάρχει τὸ μέσον, τούτῳ καὶ παντὶ καὶ οὐδενὶ ἀκολουθήσει τὸ πρῶτον

ὑποκείσθωσαν γὰρ οἱ ὅροι, ζῷον ἄνθρωπος, λευκόν, εἶτα καὶ ὧν μὴ κατηγορεῖται λευκῶν ὁ ἄνθρωπος, εἰλήφθω. κύκνος, καὶ χιών, οὐκ ὤν. τὸ ζῷον τῶν μὲν κατὰ πάντος κατηγορεῖται. τῷ δὲ οὐδενός, ὥστε οὐκ ἔσται συλλογισμός. πάλιν τὸ μὲν α μηδενὶ τῷ β ὑπαρχέτω. τῷ δὲ β τινὶ τῷ γ μὴ ὑπαρχέτω, καὶ οἱ ὅροι ἔστωσαν. ἄψυχον, ἄνθρωπος, λευκόν. εἶτα εἰλήφθωσαν, ὧν μὴ κατηγορεῖται λευκῶν ὁ ἄνθρωπος, κύκνος, χιών. τὸ γὰρ ἄψυχον, τῶν μὲν πάντος κατηγορεῖται. τῷ δὲ οὐδενός. ἔτι ἐπεὶ ἀδιόριστον τὸ, τινὶ τῷ γ τὸ β μὴ ὑπάρχειν. ἀληθεύει δὲ καὶ εἰ μηδενὶ ὑπάρχει καὶ εἰ μὴ παντὶ, ὅτι τινὶ οὐχ ὑπάρχει. ληφθέντων δὲ τοιούτων ὅρων ὥστε μηδενὶ ὑπάρχειν οὐκ ἔσται συλλογισμός. τοῦτο γὰρ εἴρηται πρότερον. φανερὸν οὖν, ὅτι τὸ οὕτως ἔχειν τοὺς ὅρους, οὐκ ἔσται συλλογισμός. ἢν γὰρ ἂν καὶ ἐπὶ τούτων. ὁμοίως δὲ λεχθήσεται. καὶ εἰ τὸ καθόλου τεθείη σερητικόν, οὐδὲν ἧττον ἐὰν ἄμφω τὰ λαμβάνματα κατὰ μέρος ἢ κατηγορικῶς ἢ σερητικῶς λέγηται, ἢ τὸ μὲν κατηγορικόν, τὸ δὲ σερητικόν, ἢ τὸ μὲν ἀδιόριστον τὸ δὲ διωρισμένον, ἢ ἄμφω ἀδιόριστα, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. Οροι δὲ κοινοὶ πάντων ζῴων, λευκόν, ἵππος, ζῷον, λευκόν, λίθος. φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς ἐὰν ᾖ συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι κατὰ μέρος, ὅτι ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν ὡς εἴπομεν. καὶ ἐὰν οὕτως ἔχωσιν οἱ ὅροι, ἀνάγκη γενέσθαι συλλογισμόν. ἄλλως δὲ ἐχόντων, οὐδαμῶς γίνεται. δῆλον δὲ καὶ ὅτι πάντες οἱ ἐν αὐτῷ συλλογισμοὶ, τέλειοί εἰσι. πάντες γὰρ ἐπιτελοῦνται διὰ τῶν ἐξ ἀρχῆς ληφθέντων. καὶ ὅτι πάντα τὰ προβλήματα, δείκνυται διὰ τούτου τοῦ σχήματος. καὶ γὰρ, καὶ τὸ παντὶ, καὶ τὸ μηδενὶ, καὶ τὸ τινὶ, καὶ τὸ μὴ τινὶ ὑπάρχειν, καὶ καλῶ δὲ τὸ τοιοῦτον σχῆμα, πρῶτον.

Σχῆμα δεύτερον.

Οταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἑκατέρῳ παντὶ

παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ ζητούμενον, καλῶ δὲ εὐθύτερον, μέσον δὲ ᾧ
αὐτῷ λέγω, τὸ κατηγορούμενον ἀμφοῖν. ἄκρα δὲ, καθ' ὧν λέγεται τὸ
μεῖζον δὲ ἄκρον, τὸ πρὸς τῷ μέσῳ κείμενον. ἔλαττον δὲ, τὸ πορρώτερον μέσον τῷ μέσῳ
τοῦ μέσου. τίθεται τὸ μέσον. ἔξω μὲν τῶν ἄκρων. πρῶτον δὲ τῇ θέσει.
τέλειος μὲν οὖν οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς ἐν τούτῳ τῷ σχήματι.
δῆλον δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ἄκρων ὄντων. καὶ
καθόλου μὲν ὄντων τῶν ὅρων, ἔσται συλλογισμὸς, ὅταν τὸ μέσον τῷ μὲν
παντὶ, τῷ δὲ οὐδενὶ ὑπάρχῃ. κἂν πρὸς ὁποτερωοῦν ᾖ τὸ στερητικόν. ἄλ-
λως δὲ οὐδαμῶς. κατηγορείσθω γὰρ τὸ μ τοῦ μὲν ν, μηδενός. τοῦ δὲ ξ,
παντός. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικὸν, οὐδενὶ τῷ μ ὑπάρχει τὸ ν.
τὸ δὲ μ, παντὶ τῷ ξ ὑπῆρχετο. ὥστε τὸ ν, οὐδενὶ τῷ ξ. τοῦτο γὰρ δεῖ
δεῖξαι πρότερον. πάλιν εἰ τὸ μ τῷ μὲν ν παντὶ, τῷ δὲ ξ μηδενὶ, οὐδὲ
τὸ ν, τῷ ξ οὐδενὶ ὑπάρξει. εἰ γὰρ τὸ μ οὐδενὶ τῷ ξ, οὐδὲ τὸ ξ, οὐδενὶ
τῷ μ ὑπάρξει. τὸ δὲ μ, παντὶ τῷ ν ὑπῆρχε. τὸ δὲ ξ οὐδενὶ τῷ ν ὑ-
πάρξει, γεγένηται γὰρ πάλιν τὸ πρῶτον σχῆμα. ἐπεὶ δὲ ἀντιστρέφει
τὸ στερητικόν, οὐδὲ τὸ ν οὐδενὶ τῷ ξ ὑπάρξει. ὥστε ἔσται ὁ αὐτὸς συλλογι- τὸ ν.
σμός. ἔστι δὲ δεικνύναι ταῦτα καὶ εἰς τὸ ἀδύνατον ἀπάγοντας.

Ὅτι μὲν οὖν γίνεται συλλογισμοὶ οὕτως ἐχόντων τῶν ὅρων, φα-
νερόν, ἀλλ' οὐ τέλειος. οὐ γὰρ μόνον ἐκ τῶν ἐξ ἀρχῆς, ἀλλὰ καὶ ἐξ ἄλ-
λων ἔσται τελεῖται. ἐὰν δὲ τὸ μ παντὸς τοῦ ν, καὶ τοῦ ξ κατηγορεῖται, οὐκ
ἔσται συλλογισμός. Ὅροι τοῦ ὑπάρχειν, οὐσία, ζῷον, ἄνθρωπος. τοῦ μὴ
ὑπάρχειν, οὐσία, ζῷον, ἀριθμός. μέσον, οὐσία. οὐδ' ὅταν μήτε τοῦ ν, μήτε λίθος
τοῦ ξ μηδενὸς κατηγορῆται τὸ μ. ὅροι τοῦ ὑπάρχειν. γραμμὴ, ζῷον, ἄν-
θρωπος. τοῦ μὴ ὑπάρχειν, γραμμὴ, ζῷον, λίθος. φανερὸν οὖν ὅτι ἂν ᾖ
συλλογισμὸς καθόλου τῶν ὅρων ὄντων, ἀνάγκη τοὺς ὅρους ἔχειν ὡς ἐν
ἀρχῇ εἴπομεν. ἄλλως γὰρ ἐχόντων οὐ γίνεται συμπέρασμα ἀναγκαῖ-
ον. ὅταν δὲ πρὸς τὸν ἕτερον ᾖ καθόλου τὸ μέσον, ὅταν μὲν πρὸς
τὸν μεί

τὸν μείζω γέννησαι τὸ καθόλου ἢ καθηγορικῶς ἢ σερητικῶς· πρὸς
τὸν ἐλάττονα δὲ κατὰ μέρος τε καὶ ἀντικειμένως τῷ καθόλου. λέ-
γω δὲ τὸ ἀντικειμένως. εἰ μὲν τὸ καθόλου σερητικόν· τὸ ὧν μέρει κα-
ταφατικόν. εἰ δὲ καθηγορικὸν τὸ καθόλου. τὸ ὧν μέρει σερητικόν,
ἀνάγκη γίνεσθαι συλλογισμὸν σερητικὸν κατὰ μέρος. εἰ γὰρ τὸ μ
τῷ μὲν ν μηδενὶ, τῷ δὲ ξ τινὶ ὑπάρχει, ἀνάγκη τὸ ν τινὶ τῷ ξ μὴ
ὑπάρχειν. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ σερητικόν, οὐδενὶ τῷ μ ὑπάρξει
τὸ ν. τὸ δέ μ ὑπέκειτο τινὶ τῷ ξ ὑπάρχειν. ὥστε τὸ ν τινὶ τῷ ξ
οὐχ ὑπάρχει. γίνεται γὰρ συλλογισμὸς διὰ τοῦ πρώτου σχήματος.
πάλιν εἰ τὸ μὲν μ παντὶ τῷ ν· τῷ δὲ ξ τινὶ μὴ ὑπάρξει, ἀνάγκη τὸ
ν τινὶ τῷ ξ μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ ὑπάρχει, κατηγορεῖται δὲ καὶ
τὸ μ παντὸς τοῦ, ἀνάγκη τὸ μ παντὶ τῷ ξ ὑπάρξειν. ὑπέκειτο δὲ
τινὶ μὴ ὑπάρχειν. καὶ εἰ τὸ μ τῷ μὲν ν παντὶ ὑπάρχει, τῷ δὲ ξ μὴ
παντὶ, ἔσται συλλογισμός. ὅτι οὐ παντὶ, τῷ ξ τὸ ν. ἀπόδειξις δὲ ἡ αὐ-
τή· ἐὰν δὲ τὸ μὲν ξ παντὸς τοῦ δὲ ν μὴ παντὸς κατηγορῆται τὸ μ,
οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ζῷον, οὐσία, κόραξ. τοῦ μὴ
ὑπάρχειν, ξῷον, λίθινον, κόραξ. οὐ δὲ ὅταν τοῦ μὲν ξ μηδενός. τοῦ δὲ
λίθος ν, τινός. ὅροι τοῦ ὑπάρχειν, ξῷον, οὐσία, μονάς. τοῦ δὲ μὴ ὑπάρχειν,
ζῷον. οὐσία. ἐπὶ σκήμων. ὅταν μὲν ὅλῳ ἀντικείμενον ᾖ τὸ καθόλου τῷ
κατὰ μέρος, εἴρηται πότε ἔσται, καὶ πότε οὐκ ἔσται συλλογισμός. ὅ-
ταν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις. οἷον ἀμφότεραι σερητι-
καὶ ἢ καταφατικαὶ, οὐδαμῶς ἔσται συλλογισμός. ἔστωσαν γὰρ πρῶ-
τον σερητικαὶ. καὶ τὸ καθόλου κείσθω πρὸς τὸ μεῖζον ἄκρον, οἷον τὸ μ
τῷ μὲν ν. μηδενί· τῷ δὲ ξ τινὶ μὴ ὑπαρχέτω. συλλέγεται δὴ καὶ
παντὶ καὶ μηδενὶ τῷ ξ τὸ ν ὑπάρχειν. ὅροι τοῦ μὲν μηδενὶ ὑπάρχειν,
μέλαν. χιών. ζῷον· τοῦ δὲ παντὶ ὑπάρχειν, οὐκ ἔστι λαβεῖν ὅρους, εἰ τὸ μ
τῷ ξ τινὶ μὲν ὑπάρχει, τινὶ δὲ μή. εἰ γὰρ παντὶ τῷ ξ τὸ ν. τὸ δὲ μ μη-

δενὶ

μηδενὶ τῷ ν, τὸ μὲν γὰρ οὐδενὶ τῷ ξ ὑπάρξει· ἀλλ' ὑπέκειτο τινὶ ὑπάρχειν. οὕτω μὲν οὖν οὐκ ἐγχωρεῖ λαβεῖν ὅρους. ἐκ δὲ τοῦ ἀδιορίστου δεικτέον. ἐπεὶ γὰρ ἀληθεύεται τὸ τινὶ μὴ ὑπάρχειν τὸ μ τῷ ξ, καὶ εἰ μηδενὶ ὑπάρχει, μηδενὶ δὲ ὑπάρχον ζῷον, οὐκ ἂν συλλογισμός. φανερὸν ὅτι οὐδὲ νῦν ἔσται. πάλιν ἔστωσαν κατηγορικαὶ, καὶ τὸ κατὰ μέρος εἰδῶ ὁμοίως. οἷον τὸ μ τῷ μὲν ν παντὶ. τῷ δὲ ξ τινὶ ὑπαρχέτω. συλλέγεται δὲ τὸ ν, τῷ ξ, κατὰ παντὶ τῷ μηδενὶ ὑπάρχειν. ὅροι τοῦ μηδενὶ ὑπάρχειν, λευκὸν, κύκνος, λίθος. τὸ δὲ παντὶ, οὐκ ἔστι λαβεῖν διὰ τὴν αὐτὴν αἰτίαν. ἥνπερ πρότερον ἔφαμεν. ἀλλ' ἐκ τοῦ ἀδιορίστου δεικτέον. εἰ δὲ τὸ κατὰ μέρος πρὸς τὸ ἔλαττον ἄκρον ἐστὶ, καὶ τὸ μ τῷ μὲν ξ μηδενὶ, τῷ δὲ ν τινὶ μὴ ὑπάρχει, συλλέγεται τὸ ν τῷ ξ, καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν. ὅροι τοῦ ὑπάρχειν, λευκὸν, ζῷον, κόραξ. τοῦ μὴ ὑπάρχειν, λευκὸν, λίθος. κόραξ. εἰ δὲ καὶ αἱ κατηγορικαὶ καὶ αἱ προτάσεις, ὅροι τοῦ μὴ ὑπάρχειν, λευκὸν, ζῷον, χιών. τοῦ ὑπάρχειν λευκὸν, ζῷον, κύκνος. φανερὸν δὲ ὅταν ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, καὶ ἢ μὲν καθόλου, ἡ δὲ ἐν μέρει, ὅτι οὐδαμῶς γίνεται συλλογισμός. ἀλλ' οὐδ' εἰ τινὶ ἑκατέρῳ ὑπάρχει ἢ μὴ ὑπάρχει, ἢ τῷ μὲν τινὶ, τῷ δὲ μὴ, ἢ μηδετέρῳ παντὶ, ἢ ἀδιορίστως. ὅροι δὲ κοινοὶ πάντων, λευκὸν, ζῷον ἄνθρωπος. λευκὸν, ζῷον, ἄψυχον, φανερὸν δὲ καὶ ἐκ τῶν εἰρημένων ὅτι ἐάντε οὕτως ἔχωσιν οἱ ὅροι πρὸς ἀλλήλους ὡς ἐλέχθη, γίνεται συλλογισμὸς, ἐξ ἀνάγκης. ἄν τε ᾖ συλλογισμὸς, ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν. δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσιν οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί. πάντες γὰρ ἐπιτελοῦνται πρός τινα λαμβανομένων τινῶν. ἃ ἢ οὐχ ὑπάρχει τοῖς ὅροις ἐξ ἀνάγκης, ἢ τίθενται ὡς ὑποθέσεις. οἷον ὅταν διὰ τοῦ ἀδυνάτου δεικνύωμεν. καὶ ὅτι οὐ γίνεται κατὰ φατικὸς συλλογισμὸς διὰ τούτου τοῦ σχήματος. ἀλλὰ πάντες σερητικοὶ, καὶ οἱ καθόλου, καὶ οἱ κατὰ μέρος.

ΠΕΡΙ τοῦ τρίτου σχήματος.

Οταν

Οταν δὲ τῷ αὐτῷ. τὸ μὲν παντὶ, τὸ δὲ μηδενὶ ὑπάρχει, ἢ ἄμφω παντὶ ἢ μηδενὶ, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ τρίτον. μέσον δ' ἐν αὐτῷ λέγω, καθ' οὗ ἄμφω κατηγορεῖσθαι. ἄκρα δὲ τὰ κατηγορούμενα. μεῖζον δ' ἄκρον, τὸ πρόσκειμενον τοῦ μέσου. ἔλαττον δὲ, τὸ ἐγγύτερον. πίθεται δὲ τὸ μέσον, ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐ γίνεται συλλογισμός. οὐ δὲ ἐν τούτῳ τῷ σχήματι. δῆλον δ' ἔσται καὶ καθόλα, καὶ μὴ καθόλα τῶν ὅρων ὄντων πρὸς τὸ μέσον. καθόλου μὲν οὖν ὄντων τῶν ὅρων, ὅταν καὶ τὸ π καὶ τὸ ρ παντὶ τῷ σ ὑπάρχει, ἔσται συλλογισμός. ὅτι τινὶ τῷ ρ τὸ π ὑπάρξει ἐξ ἀνάγκης. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ καταφατικὸν, ὑπάρξει τὸ σ τινὶ τῷ ρ. ὥστ' ἐπεὶ τῷ μὲν σ παντὶ, τὸ π. τῷ δὲ ρ τινὶ, τὸ σ. ἀνάγκη τὸ π τινὶ τῷ ρ ὑπάρχειν. γίνεται γὰρ συλλογισμὸς διὰ τοῦ πρώτου. ἔτι δὲ καὶ τὰ διὰ τοῦ ἀδυνάτου, καὶ τοῦ ἐκθέσθαι ποιεῖν τιὼ ἀποδείξιν. εἰ γὰρ ἄμφω παντὶ τῷ σ ὑπάρχει. ἂν ληφθῇ τι τῶν σ. οἷον τὸ ν, τούτῳ καὶ τὸ π καὶ τὸ ρ ὑπάρξει. ὥστε τινὶ τῷ ρ, τὸ π ὑπάρξει. καὶ ἂν τὸ μὲν ρ παντὶ τῷ σ, τὸ δὲ π μηδενὶ ὑπάρχῃ, ἔσται συλλογισμός. ὅτι τὸ π τινὶ τῷ ρ οὐχ ὑπάρξει ἐξ ἀνάγκης. ὁ δ' αὐτὸς τρόπος ἔσται τῆς ἀποδείξεως ἀντιστραφείσης τῆς ρ σ προτάσεως. δειχθείη δ' ἂν καὶ διὰ τοῦ ἀδυνάτου, καθάπερ ἐπὶ τῶν προτέρων. ἐὰν δὲ τὸ μὲν ρ μηδενὶ. τὸ δὲ π παντὶ ὑπάρχει τῷ σ, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ζῷον. ἵππος. ἄνθρωπος. τοῦ μὴ ὑπάρχειν. ζῷον. ἄψυχον. ἄνθρωπος. οὐδ' ὅταν ἄμφω κατὰ μηδενὸς τοῦ σ λέγηται οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν ζῷον. ἵππος. ἄψυχον. τοῦ μὴ ὑπάρχειν. ἄνθρωπος. ἵππος. ἄψυχον. μέσον. ἄψυχον. φανερὸν οὖν ὅτι ἐν τούτῳ τῷ σχήματι ποτὲ ἔσται καὶ ποτὲ οὐκ ἔσται συλλογισμός, καθόλα τῶν ὅρων ὄντων. ὅταν μὲν γὰρ ἀμφότεροι οἱ ὅροι τῶν κατηγορικοὶ, ἔσται συλλογισμός. ὅτι τινὶ ὑπάρχει τὸ ἄκρον τῷ ἄκρῳ. ὅταν δὲ στερητικοὶ, οὐκ ἔσται. ὅταν δ' ὁ μὲν ἢ στερητικὸς, ὁ δὲ καταφατικὸς, ἐὰν μὲν ὁ μεῖζων γένηται στερητικὸς,

ἄτοπος

ἄτοπος ὁ καταφατικός, ἔσται συλλογισμός. ὅτι τινὶ οὐχ ὑπάρχει τὸ ἄκρον τῷ ἄκρῳ. ἐὰν δ' ἀνάπαλιν, οὐκ ἔσται συλλογισμός. ἐὰν δ' ὁ μὴ καθόλου πρὸς τὸ μέσον, ὅσα μὲν μέρει, κατηγορικῶν μὴ ὄντων ἀμφοῖν, ἀνάγκη γίνεσθαι συλλογισμόν. ἂν ὁποτέρος ἢ καθόλα τῶν ὅρων. εἰ γὰρ τὸ ρ παντὶ τῷ σ ὑπάρχει, τὸ δὲ π τινὶ, ἀνάγκη τὸ π τινὶ τῷ ρ ὑπάρχειν. ἐπεὶ δ' ἀντιστρέφει τὸ καταφατικόν, ὑπάρξει τὸ σ τινὶ τῷ π, ὥστ' ἐπεὶ τὸ μὲν ρ παντὶ τῷ σ. τὸ δὲ σ τινὶ τῷ π, καὶ τὸ ρ τινὶ τῷ π ὑπάρξει. ὥστε καὶ τὸ π τινὶ τῷ ρ. πάλιν· εἰ τὸ μὲν ρ τινὶ τῷ σ. τὸ δὲ π παντὶ ὑπάρχει, ἀνάγκη τὸ π, τινὶ τὸ ρ ὑπάρχειν. ὁ γὰρ αὐτὸς τρόπος τῆς ἀπο τῷ δείξεως. ἔστι δ' ἀποδεῖξαι, καὶ διὰ τοῦ ἀδυνάτου, καὶ τῇ ἐκθέσει καθάπερ ἐπὶ τῶν προτέρων. ἐὰν δ' ὁ μὲν ἢ κατηγορικός, ὁ δὲ στερητικός. καθόλου δὲ ὁ κατηγορικός, ὅταν ἐλάττων ἢ κατηγορικός, ἔσται συλλογισμός. εἰ γὰρ τὸ ρ παντὶ τῷ σ. τὸ δὲ π τινὶ μὴ ὑπάρχει. ἀνάγκη τὸ π τινὶ τῷ ρ μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ, καὶ τὸ ρ παντὶ τῷ σ καὶ τῷ π παντὶ τῷ σ ὑπάρξει. ἀλλ' οὐχ ὑπῆρχε. δείκνυται δὲ καὶ ἄνοδος τῆς ἀπαγωγῆς. ἐὰν ληφθῇ τι τῶν σ, ᾧ τὸ π μὴ ὑπάρχει. ὅταν δ' ὁ μείζων ἢ κατηγορικός, ὁ δ' ἐλάττων μερικὸς στερητικός, οὐκ ἔσται συλλογισμός. οἷον εἰ τὸ μὲν π παντὶ τῷ σ, τὸ δὲ ρ τινὶ τῷ σ μὴ ὑπάρχει. ὅροι τὸ παντὶ ὑπάρχειν, ἔμψυχον, ἄνθρωπος, ζῷον. τὸ δὲ μηδενὶ, οὐκ ἔστι λαβεῖν ὅρους. εἰ τινὶ μὲν ὑπάρχει τῷ σ τὸ ρ, τινὶ δὲ μή. εἰ γὰρ μηδενὶ τῷ ρ τὸ π ὑπάρχει, τὸ δὲ ρ τινὶ τῷ σ καὶ τὸ π τινὶ τῷ σ οὐχ ὑπάρξει. ὑπέκειτο δὲ παντὶ ὑπάρχειν. εἰ γὰρ παντὶ τὸ π τῷ σ ὑπάρχει, τὸ δὲ ρ τινὶ τῷ σ, καὶ τὸ π τινὶ τῷ ρ ὑπάρξει. ὑπέκειτο δὲ μηδενὶ ὑπάρχειν. ἀλλ' ὥσπερ ἐν τοῖς πρότερον, λεκτέον. ἀδιορίστου γὰρ ὄντος τοῦ τινὶ μὴ ὑπάρχειν, καὶ τὸ μηδενὶ ὑπάρχον, ἀληθὲς εἰπεῖν τινὶ μὴ ὑπάρχειν. μηδενὶ δὲ ὑπάρχοντος, οὐκ ἦν συλλογισμός. ἐὰν δ' ὁ στερητικὸς ἢ καθόλα τῶν ὅρων. ὁ δὲ ἐν μέρει κατηγορικός, ὅταν μὲν ὁ μείζων ἢ στερητικὸς, ὁ δὲ ἐλάττων κατηγορι

κοὶ, ἔσται συλλογισμός. εἰ δὲ τῷ μηδενὶ τῷ σ. τὸ δὲ ρ τινὶ ὑπάρχει τῷ σ. τῷ τινὶ τῷ ρ οὐχ ὑπάρξει. πάλιν γὰρ ἔσται τὸ πρῶτον σχῆμα, τῆς ρ σ προτάσεως ἀντιστραφείσης. ὅταν δὲ ὁ ἐλάττων ᾖ στερητικός, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ζῷον, ἄνθρωπος, ἄγριον. τῷ μὲν ὑπάρχειν ζῷον, ἐπιστήμη, ἄγριον. μέσον δὲ ἀμφοῖν τὸ ἄγριον. οὐδ' ὅταν ἀμφότεροι στερητικοὶ τεθῶσιν, ᾖ δ' ὁ μὲν καθόλου, ὁ δ' ἐν μέρει. ὅροι τοῦ μὴ ὑπάρχειν. ὅταν ὁ ἐλάττων ᾖ καθόλου πρὸς τὸ μέσον, ζῷον. ἐπιστήμη, ἄγριον. τῷ ὑπάρχειν, ζῷον, ἄνθρωπος. ἄγριον. ὅταν δὲ ὁ μείζων ᾖ καθόλου, ὁ δὲ ἐλάττων ἐν μέρει. τοῦ μὲν μὴ ὑπάρχειν, κόραξ, χιών, λευκόν. τοῦ δ' ὑπάρχειν οὐκ ἔστι λαβεῖν ὅρους. εἰ γὰρ ρ τινὶ ~~τὸ~~ ὑπάρχει τῷ σ, τινὶ δὲ μὴ ὑπάρχει. εἰ γὰρ τὸ π παντὶ τῷ ρ. τὸ δὲ ρ τινὶ τῷ σ. καὶ τὸ π τινὶ τῷ σ ὑπάρξει. ὑπέκειτο δὲ μηδενί. ἀλλ' ἐκ τοῦ ἀδιορίστου δεικτέον. οὐδ' ὧν ἑκάτερος τινὶ τῷ μέσῳ ὑπάρχει, ἢ μὴ ὑπάρχει, ἢ ὁ μὲν ὑπάρχει, ὁ δὲ μὴ ὑπάρχει, ἢ ὁ μὲν τινί, ὁ δὲ μὴ παντί, ἢ ἀδιορίστως, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. Ὅροι δὲ κοινοὶ παντῶν, ζῷον, ἄνθρωπος, λευκόν, ξύλον, ἄψυχον, λευκόν. φανερὸν δὲ καὶ ἐν τούτῳ τῷ σχήματι ποτὲ ἔσται, καὶ ποτὲ οὐκ ἔσται συλλογισμός. καὶ ὅτι ἐχόντων τε τῶν ὅρων ὡς ἐλέχθη, γίνεται συλλογισμὸς ἐξ ἀνάγκης. ἄντε γὰρ συλλογισμός, ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν. φανερὸν δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσιν, οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί. πάντες γὰρ τελειοῦνται προσλαμβανομένων τινῶν. καὶ ὅτι ὁ καθόλου συλλογισθήσεται διὰ τούτου τοῦ σχήματος, οὔτε στερητικὸν, οὔτε ἀποφατικόν. Δῆλον δὲ καὶ ὅτι ἐν ἅπασι τοῖς σχήμασιν. ὅταν μὴ γίνηται συλλογισμός, καταγωγικῶν μὲν ἢ στερητικῶν ἀμφοτέρων, καὶ ἐπὶ μέρει ὄντων τῶν ὅρων, οὐδὲν ὅλως γίνεται ἀναγκαῖον. καταγωγικοῦ δὲ καὶ στερητικοῦ καθόλου ληφθέντος τοῦ στερητικοῦ ἀεὶ γίνεται συλλογισμὸς τοῦ ἐλάττονος ἄκρου πρὸς τὸ μεῖζον, οἷον εἰ τὸ μὲν α παντὶ τῷ β, ἢ τινί. τὸ δὲ β μηδενὶ τῷ γ.

ἀντιστρέ

ἀντιστρεφομένων γὰρ τῶν προτάσεων, ἀνάγκη τὸ γ τινὶ τῷ α μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑτέρων σχημάτων. ἀεὶ γὰρ γίνεται διὰ τῆς ἀντιστροφῆς συλλογισμός. δῆλον δὲ καὶ ὅτι τὸ ἀδιόριστον ἀντὶ τοῦ κατηγορικοῦ τοῦ ἐν μέρει τιθέμενον, τὸν αὐτὸν ποιήσει συλλογισμὸν ἐν ἅπασι τοῖς σχήμασι. Φανερὸν δὲ καὶ ὅτι πάντες οἱ ἀτελεῖς συλλογισμοί, τελειοῦνται διὰ τοῦ πρώτου σχήματος. ἢ γὰρ δεικτικῶς, ἢ διὰ τῶν ἀδυνάτου, περαίνονται ἅπαντες. ἀμφοτέρως δὲ γίνεται τὸ πρῶτον σχῆμα. καὶ δεικτικῶς μὲν τελειουμένων. ὅτι διὰ τῆς ἀντιστροφῆς ἐπεραίνοντο πάντες. ἡ δ' ἀντιστροφὴ τὸ πρῶτον ἐποίει σχῆμα. διὰ δὲ τοῦ ἀδυνάτου δεικνυμένων. ὅτι τεθέντος τοῦ ψευδοῦς. ὁ συλλογισμὸς γίνεται διὰ τοῦ πρώτου σχήματος, οἷον ἐν τῷ τελευταίῳ σχήματι. εἰ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπάρχει. ὅτι τὸ α τινὶ τῷ β ὑπάρχει. ἢ γὰρ μηδενὶ τὸ α τῷ β. τὸ δὲ β παντὶ τῷ γ, οὐδενὶ τῷ γ τὸ α. ἀλλ' ἦν παντί. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔστι δὲ καὶ ἀναγαγεῖν πάντας τοὺς συλλογισμοὺς, εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς. οἱ μὲν γὰρ ἐν τῷ δευτέρῳ, φανερὸν ὅτι δι' ἐκείνων τελειοῦνται. πλὴν οὐχ ὁμοίως πάντες. ἀλλ' οἱ μὲν καθόλου. τοῦ στερητικοῦ ἀντιστρέφοντος. τῶν δ' ἐν μέρει ἑκάτερος. διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. οἱ δ' ἐν τῷ πρώτῳ, οἱ κατὰ μέρος, ἐπιτελειοῦνται μὲν καὶ δι' ἑαυτῶν. ἔστι δὲ καὶ διὰ τοῦ δευτέρου σχήματος δεικνύναι εἰς ἀδύνατον ἀπάγοντας. οἷον εἰ τὸ α παντὶ τῷ β. τὸ δὲ β τινὶ τῷ γ. ὅτι τὸ α τινὶ τῷ γ ὑπάρξει. εἰ γὰρ μηδενί. τῷ δὲ β παντὶ, οὐδενὶ τῷ γ τὸ β ὑπάρξει. τοῦτο δὲ ἴσμεν διὰ τῶν δευτέρου σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ στερητικοῦ ἔσται ἡ ἀπόδειξις. εἰ γὰρ τὸ α μηδενὶ τῷ β. τὸ δὲ β τινὶ τῷ γ ὑπάρχει, τὸ α τινὶ τῷ γ οὐχ' ὑπάρξει. εἰ γὰρ παντὶ, τῷ δὲ β μηδενὶ ὑπάρχει, οὐδενὶ τῷ γ τὸ β ὑπάρξει, τοῦτο δ' ἦν τὸ μέσον σχῆμα. ὥστε ἐπεὶ οἱ μὲν ἐν τῷ μέσῳ

 σχήματι

σχήματι συλλογισμοὶ πάντες ἀνάγοντες εἰς τοὺς ἐν τῷ πρώτῳ καθόλου συλλογισμούς. οἱ δὲ κατὰ μέρος ἐν τῷ πρώτῳ, εἰς τοὺς ἐν τῷ μέσῳ. φανερὸν ὅτι καὶ οἱ κατὰ μέρος ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι συλλογισμούς, οἱ δ' ἐν τῷ τρίτῳ καθόλου μὲν ὄντων τῶν ὅρων, εὐθὺς ἐπιτελοῦντες δι' ἐκείνων τῶν συλλογισμῶν, τῶν ἐν τῷ πρώτῳ σχήματι. ὅταν δ' ἐν μέρει ληφθῶσι, διὰ τῶν ἐν μέρει συλλογισμῶν, τῶν ἐν τῷ πρώτῳ σχήματι, οὗτοι δὲ ἀνήχθησαν εἰς ἐκείνους. ὥστε καὶ οἱ ἐν τῷ τρίτῳ σχήματι, οἱ κατὰ μέρος. φανερὸν οὖν ὅτι πάντες ἀναχθήσοντες εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς. οἱ μὲν οὖν τῶν συλλογισμῶν ὑπάρχειν, ἢ μὴ ὑπάρχειν δεικνύντες, εἴρηται πῶς ἔχουσι καὶ καθ' ἑαυτοὺς οἱ ἐκ τοῦ αὐτοῦ σχήματος, καὶ πρὸς ἀλλήλους οἱ ἐκ τῶν ἑτέρων σχημάτων

Τέλος σὺν θεῷ τῶν τριῶν σχημάτων.

Τοῦ πρώτου σχήματος	Γράμματα, ἔγραψε, γραφίδι, τεχνικός.
Τοῦ δευτέρου	Εγραψε, κάτεχε, μέτριον, ἄχολον.
Τοῦ τρίτου	Απασι, σθεναρὸς, ἰσάκις, ἀσπίδι, ὁμαλὸς, φέριστος

Περὶ τῶν μίξεων.

Επεὶ δ' ἕτερόν ἐστιν ὑπάρχειν τε καὶ ἐξ ἀνάγκης ὑπάρχειν, καὶ ἐνδέχεσθαι ὑπάρχειν. πολλὰ δὲ ὑπάρχει μὲν, οὐ μέντοι ἐξ ἀνάγκης. τὰ δ' οὔτ' ἐξ ἀνάγκης, οὔθ' ὑπάρχει ὅλως. ἐνδέχεται δ' ὑπάρχειν, δῆλον ὅτι καὶ συλλογισμὸς ἑκάστου τούτων, ἕτερος ἔσται, καὶ οὐχ ὁμοίως ἐχόντων τῶν ὅρων. ἀλλ' ὁ μὲν ἐξ ἀναγκαίων ὅδ' ἐξ ὑπαρχόντων, ὅδ' ἐξ ἐνδεχομένων. ἐπὶ μὲν οὖν τῶν ἀναγκαίων, σχεδὸν ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ὑπαρχόντων. ὡσαύτως δὲ τιθεμένων τῶν ὅρων ἔντε τῷ ὑπάρχειν, καὶ τῷ ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἔσται τε καὶ οὐκ ἔσται συλλογισμός. πλὴν διοίσει τῷ προσκεῖσθαι τοῖς ὅροις τὸ ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν. τό, τε δὲ στερητικὸν ὡσαύτως ἀντιστρέφει, καὶ τὸ ἐν ὅλῳ εἶναι καὶ τὸ κατὰ παντὸς ὁμοίως ἀποδώσομεν. ἐν μὲν οὖν τοῖς ἄλλοις,

τὸν αὐ

τὸν αὐτὸν τρόπον δειχθήσεται διὰ τῆς ἀντιστροφῆς. ὅτι τὸ συμπέρασμα ἀναγκαῖον ὥσπερ ἐπὶ τοῦ ὑπάρχειν. ἐν δὲ τῷ μέσῳ σχήματι, ὅταν ᾖ τὸ καθόλου τὸ καταφατικὸν, τὸ δ' ἐν μέρει στερητικὸν, καὶ πάλιν ἐν τῷ τρίτῳ, ὅταν τὸ μὲν καθόλου καταφατικὸν, τὸ δ' ἐν μέρει στερητικὸν, οὐχ ὁμοίως ἔσται ἡ ἀπόδειξις. ἀλλ' ἀνάγκη ἐκθεμένους ᾧ τινι ἑκάτερον μὴ ὑπάρχει. κατὰ τούτου ποιεῖν τὸν συλλογισμόν. ἔσται τὸ ἀναγκαίως ἐπὶ τούτου. εἰ δὴ καὶ κατὰ τοῦ ἐκ τεθέντος ἔστιν ἀναγκαίως, καὶ κατ' ἐκείνου τινός. τὸ δὲ ἐκτεθὲν ὅπερ ἐκεῖνο τί ἐστι. γίνεται δὴ τῶν συλλογισμῶν ἑκάτερος ἐν τῷ οἰκείῳ σχήματι. Μίξεις ἀναγκαίου καὶ ὑπάρχοντος ἐν τῷ Συμβαίνει δέποτε καὶ τῆς ἑτέρας προτάσεως (πρώτῳ σχήματι. ἀναγκαίας οὔσης, ἀναγκαῖον γίνεσθαι τὸν συλλογισμόν. πλὴν οὐχ ὁποτερίας ἔτυχεν, ἀλλὰ τῆς πρὸς τὸ μεῖζον ἄκρον. οἷον εἰ τὸ μὲν α τῷ β ἐξ ἀνάγκης εἴληπται ὑπάρχον, ἢ μὴ ὑπάρχον. τὸ δὲ β τῷ γ ὑπάρχον μόνον. οὕτως δὲ εἰ λημμένων τῶν προτάσεων. ἐξ ἀνάγκης τὸ α τῷ γ ὑπάρξει, ἢ οὐχ ὑπάρξει. ἐπεὶ τὸ παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει, ἢ οὐχ ὑπάρχει τὸ α. τὸ δὲ γ τι τῶν β ἐστί. φανερὸν ὅτι καὶ τὸ γ ἐξ ἀνάγκης ἔσται θάτερον τούτων. εἰ δὴ τὸ μὲν α β μή ἐστιν ἀναγκαῖον. τὸ δὴ β γ ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. εἰ δὲ ἔσται, συμβήσεται τὸ α τινὶ τῷ β ὑπάρχειν ἐξ ἀνάγκης. διά τε τοῦ πρώτου καὶ τοῦ τρίτου σχήματος. τοῦτο δὴ ψεῦδος. ἐνδέχεται δὲ τοιοῦτον εἶναι τὸ β, ᾧ ἐγχωρεῖ τὸ α μηδενὶ ὑπάρχειν. ἔτι καὶ ἐκ τῶν ὅρων φανερὸν, ὅτι οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον, οἷον, εἰ τὸ μὲν α εἴη κίνησις. τὸ δὴ β ζῶον. ἐφ' ᾧ δὲ τὸ γ ἄνθρωπος. ζῶον μὲν τὸ ὁ ἄνθρωπος ἐξ ἀνάγκης ἐστίν. κινεῖται δὲ τὸ ζῶον, οὐκ ἐξ ἀνάγκης. οὐδ' ὁ ἄνθρωπος. ὁμοίως δὴ καὶ εἰ στερητικὸν εἴη τὸ α β. ἡ δὲ αὐτὴ ἀπόδειξις. ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν. εἰ μὲν τὸ καθόλου ἐστὶ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. εἰ δὴ τὸ κατὰ μέρος οὐκ ἀναγκαῖον, οὔτε στερητικῆς, οὔτε κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως. ἔστω

δὴ

δὴ πρῶτον τὸ καθόλου ἀναγκαῖον. καὶ τὸ μὲν α παντὶ τῷ β ὑπαρχέτω ἐξ ἀνάγκης. τὸ δὲ β τινὶ τῷ γ ὑπαρχέτω μόνον. ἀνάγκη δὲ τὸ α τινὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης. τὸ γὰρ γ, ὑπὸ τὸ β ἐστί. τὸ δὲ β παντὶ τῷ α ὑπῆρχεν ἐξ ἀνάγκης. ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. ἡ γὰρ αὐτὴ ἔσται ἀπόδειξις· εἰ δὲ τὸ κατὰ μέρος ἐστὶν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. οὐδὲν γὰρ ἀδύνατον συμπίπτει, καθὰ οὐ δ' ἐν τοῖς καθόλου συλλογισμοῖς. ὁμοίως καὶ ἐπὶ τῶν στερητικῶν, ὅροι, κίνησις. ζῶον λευκόν.

τῶ τὸ

Αἱ ἐν τῷ δευτέρῳ σχήματι μίξεις.

Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος, εἰ μὲν ἡ στερητικὴ πρότασίς ἐστιν ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. εἰ δ' ἡ κατηγορικὴ, οὐκ ἀναγκαῖον. ἔστω γὰρ πρῶτον ἡ στερητικὴ ἀναγκαία. καὶ τὸ α τῷ μὲν β μηδενὶ ἐνδεχέσθω, τῷ δὲ γ ὑπαρχέτω μόνον. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικὸν, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχεται. τὸ δὲ α παντὶ τῷ γ ὑπάρχει. ὥστ' οὐδενὶ τῷ γ τὸ β ἐνδέχεται. τὸ δὲ γ ὑπὸ τὸ α ἐστίν. ὡσαύτως καὶ εἰ πρὸς τῷ γ τεθῇ τὸ στερητικόν. εἰ δὲ τὸ α μηδενὶ τῷ γ ἐνδέχεται, οὐδὲ τὸ γ, οὐδενὶ τῷ α ἐγχωρεῖ. τὸ δὲ α παντὶ τῷ β ὑπάρχει. ὥστ' οὐδενὶ τῷ β τὸ γ ἐνδέχεται. γίνετο γὰρ τὸ πρῶτον σχῆμα πάλιν. οὐκ ἄρα οὐδὲ τὸ β τῷ γ. ἀντιστρέφει δὲ ὁμοίως. εἰ δ' ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης. τῷ δὲ γ μηδενὶ ὑπαρχέτω μόνον. ἀντιστραφέντος οὖν τοῦ στερητικοῦ. τὸ πρῶτον γίνεται σχῆμα. δέδεικται δ' ἐν τῷ πρώτῳ. ὅτι μὴ ἀναγκαίας οὔσης τῆς πρὸς τῷ μείζονι στερητικῆς οὐδὲ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ὥστε οὐ δ' ἐπὶ τούτων ἔσται ἐξ ἀνάγκης. ἔτι δ' εἰ τὸ συμπέρασμά ἐστιν ἀναγκαῖον, συμβαίνει τὸ γ τινὶ τῷ α μὴ ὑπάρχειν ἐξ ἀνάγκης. εἰ γὰρ τὸ β τῷ γ μηδενὶ ὑπάρχει ἐξ ἀνάγκης οὐδὲ τὸ γ τῷ β οὐδενὶ ὑπάρξει ἐξ ἀνάγκης. τὸ δέ γε β τινὶ

τῷ α

τῷ α ἀνάγκη ὑπάρχειν. εἴπερ καὶ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης ὑπῆρ=
χεν. ὥστε καὶ τὸ γ ἀνάγκη τινὶ τῷ α μὴ ὑπάρχειν. ἀλλ' οὐδὲν κωλύει τοι
οῦτον ληφθῆναι, ᾧ παντὶ τῷ γ ἐνδέχετο ὑπάρχειν. ἔτι κἂν ὅρους ἐκθέ τὸ
μενον εἴη δεῖξαι ὅτι οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον ἁπλῶς· ἀλλὰ
τούτων ὄντων ἀναγκαῖον. οἷον ἔστω τὸ α ζῶον. τὸ δὲ β ἄνθρωπος· τὸ δὲ
γ λευκὸν καὶ αἱ προτάσεις ὁμοίως εἰλήφθωσαν· ἐνδέχεται τὸ ζῶον
μηδενὶ λευκῷ ὑπάρχειν. οὐχ ὑπάρξει δὴ οὐδ' ὁ ἄνθρωπος, οὐδενὶ λευ
κῷ, ἀλλ' οὐκ ἐξ ἀνάγκης. ἐνδέχετο δὲ ἄνθρωπον γενέσθαι λευκόν. οὐ μὲν τοι
ἕως ἂν τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχῃ. ὥστε τούτων μὲν ὄντων, ἀναγ=
καῖον τὸ συμπέρασμα. ἁπλῶς δ' οὐκ ἀναγκαῖον. ὁμοίως δ' ἕξει καὶ ἐπὶ
τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν δὲ ἡ στερητικὴ πρότασις καθόλου
τε ᾖ καὶ ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον, ὅταν δ' ἡ κα
τηγορικὴ καθόλουτε ᾖ καὶ ἀναγκαία· ἡ δὲ στερητικὴ κατὰ μέρος καὶ
οὐκ ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἔστω δὴ πρῶτον ἡ
στερητικὴ καθόλουτε καὶ ἀναγκαία. καὶ τὸ α τῷ μὲν β, οὐδενὶ ἐνδεχέ
σθω ὑπάρχειν. τῷ δὲ γ τινὶ ὑπαρχέτω. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητι=
κόν, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχοιτ' ἂν ὑπάρχειν. τὸ δέ γε α τινὶ τῷ γ
οὐχ ὑπάρχει. ὥστ' ἐξ ἀνάγκης τινὶ τῷ γ οὐχ ὑπάρχει τὸ β. πάλιν ἔστω ἡ
κατηγορικὴ καθόλουτε, καὶ ἀναγκαία. καὶ κείσθω πρὸς τῷ β τὸ κατηγο
ρικόν. εἰ δὲ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ, γ τινὶ μὴ ὑπάρ
χει. ὅτι μὲν οὖν οὐχ ὑπάρχει, τὸ β τινὶ τῷ γ, φανερόν. ἀλλ' οὐκ ἐξ ἀνάγ
κης. οἱ δὲ αὐτοὶ ὅροι ἔσονται πρὸς τὴν ἀπόδειξιν, οἵπερ ἐπὶ τῶν καθόλου
συλλογισμῶν. ἀλλ' οὐδ' εἰ τὸ στερητικὸν ἀναγκαῖόν ἐστιν ἐν μέρει ληφθὲν,
οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. διὰ δὲ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.

Αἱ ἐν τῷ τρίτῳ σχήματι μίξεις.

Εν δὲ τῷ τελευταίῳ σχήματι, καθόλου μὲν ὄντων τῶν ὅρων πρὸς τὸ
μέσον. καὶ κατηγορικῶν ἀμφοτέρων τῶν προτάσεων. ἂν ὁπότερος οὖν

ᾖ ἀναγ

ἢ ἀναγκαῖος. καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἐὰν δὲ τὸ μὲν, ἢ στερητικόν. τὸ δὲ, κατηγορικόν. ὅταν μὲν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ὅταν δὲ τὸ κατηγορικόν, οὐκ ἔσται τὸ ἀναγκαῖον. ἔσωσαν γὰρ ἀμφότεραι κατηγορικαὶ πρῶτον αἱ προτάσεις. καὶ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπαρχέτω. ἀναγκαῖον δ' ἔστω τὸ α γ. ἐπεὶ οὖν τὸ β παντὶ τῷ γ ὑπάρχει. καὶ τὸ γ τινὶ τῷ β ὑπάρξει, διὰ τὸ ἀντιστρέφειν τὸ καθόλου τῷ κατὰ μέρος. ὥστε καὶ παντὶ τῷ γ τὸ α ἐξ ἀνάγκης ὑπάρχει, καὶ τὸ γ τῷ β τινὶ, ἀναγκαῖον ὑπάρχειν τὸ α τῷ β τινί. τὸ γὰρ β ὑπὸ τὸ γ ἐστί. γίνεται οὖν τὸ πρῶτον σχῆμα πάλιν. ὁμοίως δὲ δειχθήσεται καὶ εἰ τὸ β γ ἐστὶν ἀναγκαῖον. ἀντιστρέφει γὰρ τὸ γ τῷ α τινί. ὥστε καὶ παντὶ τῷ γ τὸ β ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ γ τῷ α τινὶ, καὶ τῷ α τινὶ τὸ β ὑπάρξει ἐξ ἀνάγκης. πάλιν ἔστω τὸ μὲν α γ στερητικόν. τὸ δὲ β γ καταφατικόν. ἀναγκαῖον δὲ τὸ στερητικόν. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικὸν ἔσται τινὶ τῷ β τὸ γ. τὸ δὲ α οὐδενὶ τῷ γ ἐξ ἀνάγκης, οὐδὲ τῷ β τινὶ ὑπάρξει ἐξ ἀνάγκης τὸ α. τὸ γὰρ β ὑπὸ τὸ γ ἐστίν. εἰ δὲ τὸ κατηγορικὸν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἔστω γὰρ τὸ β γ κατηγορικὸν καὶ ἀναγκαῖον· τὸ δὲ α γ στερητικὸν καὶ μὴ ἀναγκαῖον. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικὸν, ὑπάρξει καὶ τὸ γ τινὶ τῷ β ἐξ ἀνάγκης. ὥστε εἰ τὸ μὲν α οὐδενὶ τῷ γ. τὸ δὲ γ τινὶ τῷ β, τὸ α τινὶ τῷ β οὐχ ὑπάρξει. ἀλλ' οὐκ ἐξ ἀνάγκης. λέλειπται γὰρ ἐν τῷ πρώτῳ σχήματι ὅτι τῆς στερητικῆς προτάσεως μὴ ἀναγκαίας οὔσης, οὐδὲ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἔτι δὲ καὶ τῶν ὅρων ἂν εἴη φανερόν. ἔστω γὰρ τὸ μὲν α, ἀγαθόν. τὸ δὲ β ζῷον. τὸ δὲ γ ἵππος. τὸ μὲν οὖν ἀγαθὸν, οὐδενὶ ἵππῳ ἐνδέχεται μηδενὶ ἵππῳ ὑπάρχειν. τὸ δὲ ζῷον, ἀναγκαῖον παντὶ ἵππῳ ὑπάρχειν. ἀλλ' οὐκ ἀνάγκη ζῷόν τι μὴ εἶναι ἀγαθόν. εἴπερ ἐνδέχεται πᾶν εἶναι ἀγαθόν. ἢ εἰ μὴ τῷ λευκὸν, ἀλλὰ τὸ ἐγρηγορέναι ἢ καθεύδειν, ὅρον θετέον. ἅπαν γὰρ ζῷον δεκτικὸν τούτων. εἰ μὲν οὖν οἱ ὅροι καθό-

καθόλου πρὸς τὸ μέσον εἰσίν, εἴρηται πῶς τε· ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. Εἰ δ' ὁ μὲν καθόλου ὁ δ' ἐν μέρει, κατηγορικῶν μὲν ὄντων ἀμφοτέρων, ὅταν τὸ καθόλε γένηται ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἀποδείξις δ' ἡ αὐτὴ ἡ καὶ πρότερον. ἀντιστρέφει γὰρ καὶ τὸ ἐν μέρει κατηγορικόν. εἰ οὖν ἀνάγκη παντὶ τῷ γ τὸ β ὑπάρχειν τὸ α ὑπό τὸ γ ἐστίν, ἀνάγκη τὸ β τινὶ τῷ α ὑπάρχειν. εἰ δὲ τὸ β τῷ α τινί, καὶ τὸ α τῷ β τινὶ ὑπάρχειν ἀναγκαῖον. ἀντιστρέφει γάρ. ὁμοίως δ' εἰ καὶ τὸ α γ εἴη ἀναγκαῖον, καθόλου ὄν. τὸ γὰρ β ὑπό τὸ γ ἐστίν. εἰ δὲ τὸ ἐν μέρει ἐστὶν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἔστω γὰρ τὸ β γ ἐν μέρει τε καὶ ἀναγκαῖον. τὸ δὲ α παντὶ τῷ γ ὑπαρχέτω, μὴ μήν τοι ἐξ ἀνάγκης. ἀντιστραφέντος οὖν τοῦ β γ, τὸ πρῶτον γίνεται σχῆμα. καὶ ἡ μὲν καθόλου πρότασις, οὐκ ἀναγκαία. ἡ δ' ἐν μέρει, ἀναγκαία. ὅταν δ' οὕτως ἔχωσιν αἱ προτάσεις, οὐκ ἦν τὸ συμπέρασμα ἀναγκαῖον. ὥστ' οὐδ' ἐπὶ τούτων ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν. ἔστω γὰρ τὸ α, ἐγρήγορσις. τὸ δὲ β, λίθος. ἐφ' ᾧ δὲ τὸ γ ζῷον. τὸ μὲν οὖν β, τινὶ τῷ γ ἀνάγκη ὑπάρχειν. τὸ δὲ α παντὶ τῷ γ οὐδενὶ ἔχεται. καὶ τὸ α, τῷ β, οὐκ ἀναγκαῖον. οὐ γὰρ ἀνάγκη λίθῳ παντὶ τῷ καθεύδειν ἢ ἐγρηγορέναι. ὁμοίως δὲ καὶ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται, καὶ εἰ τὸ α γ εἴη ἐν μέρει τε καὶ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα οὐκ ἔσται ἀναγκαῖον. εἰ δ' ὁ μὲν κατηγορικός, ὁ δὲ στερητικὸς τῶν ὅρων, ὅταν μὲν ἡ τὸ καθόλε στερητικὸν τε καὶ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. εἰ γὰρ τὸ α τῷ γ μηδενὶ ἐξ ἀνάγκης ἐνδέχεται, τὸ δὲ β, τινὶ τῷ γ ὑπάρχει, τὸ α τινὶ τῷ β ἀνάγκη μὴ ὑπάρχειν. ὅταν δὲ τὸ κατηγορικὸν ἀναγκαίαν τεθῇ, καθόλε ὂν ἢ ἐν μέρει, ἢ τὸ στερητικὸν κατὰ μέρος, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. τὰ μὲν δὴ ἄλλα τὰ αὐτὰ, ἃ καὶ ἐπὶ τῶν πρότερον εἰρῆμεν. ὅροι δ' ὅταν μὲν ἡ τὸ καθόλε κατηγορικὸν ἀναγκαῖον, ἐγρήγορσις, ζῷον, ἄνθρωπος, μέσον ἄνθρωπος. ὅταν δ' ἐν μέ-

 ρει τὸ

ρει τὸ κατηγορικὸν ἀναγκαῖον, ἐγχήορσις, ζῶον, λευκόν. ζῶον μὲν γὰρ ἀνάγκη τινὶ λευκῷ ὑπάρχειν. ἐγχήορσις δ' ἐνδέχεται μηδενί. καὶ οὐκ ἀνάγκη τινὶ ζώῳ μὴ ὑπάρχειν ἐγχήορσιν. ὅταν δὲ τὸ σερητικὸν μὴ μέρει ὂν ἀναγκαῖον ᾖ, λίποω, κίνησις ζῶον. μέσον ζῶον. φανερὸν οὖν ὅτε τοι μὲν ὑπάρχειν οὐκ ἔσαι συλλογισμός, ἐὰν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις ἐν τῷ ὑπάρχειν. τοῦ δ' ἀναγκαίου ἐσί, καὶ τῆς ἑτέρας μόνον ἀναγκαίας οὔσης. ἐν ἀμφοτέροις δὲ καὶ καταφατικῶν καὶ σερητικῶν ὄντων τῶν συλλογισμῶν, ἀνάγκη πάλιν ἑτέραν πρότασιν ὁμοίαν εἶναι τῷ συμπεράσματι. λέγω δὲ τὸ ὁμοίαν, εἰ μὲν ὑπάρχον ὑπάρχουσαν. εἰ δ' ἀναγκαῖον ἀναγκαίαν. ὥστε καὶ τοῦτο δῆλον. ὅτι οὐκ ἔσαι τὸ συμπέρασμα, οὔτ' ἀναγκαῖον, οὔθ' ὑπάρχον εἶναι μὴ λαφθείσης ἀνάγκαίας ἢ ὑπαρχούσης προτάσεως. περὶ μὲν οὖν τοῦ ἀναγκαίου πῶς γίνεται, καὶ τίνα διαφορὰν ἔχει πρὸς τὸ ὑπάρχον, εἴρηται σχεδὸν ἱκανῶς.

Μίξις τοῦ ἐνδεχομένου καὶ τῶν ἐξ αὐτοῦ προτάσεων, καὶ συλλογισμῶν καὶ τῆς κατ' αὐτὸ ἀντιστροφῆς.

Περὶ δὲ τοῦ ἐνδεχομένου μετὰ ταῦτα λέγωμεν, πότε καὶ πῶς, καὶ διὰ τίνων ἔσαι συλλογισμός. λέγω δ' ἐνδέχεσθαι, καὶ τὸ ἐνδεχόμενον, οὐ μὴ ὄντος ἀναγκαίου, τεθέντος δ' ὑπάρχειν, οὐδὲν ἔσαι διὰ τοῦτ' ἀδύνατον. τὸ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν. ὅτι δὲ τοῦτ' ἐσὶ τὸ ἐνδεχόμενον. φανερὸν ἔκτε τῶν ἀποφάσεων καὶ τῶν καταφάσεων τῶν ἀντικειμένων. τὸ γὰρ οὐκ ἐνδέχεται ὑπάρχειν, καὶ ἀδύνατον ὑπάρχειν, καὶ ἀνάγκη μὴ ὑπάρχειν, ἤτοι ταυτὰ ἐσιν, ἢ ἀκολουθεῖ ἀλλήλοις. ὥστε καὶ τὰ ἀντικείμενα τούτοις. τὸ δ' ἐνδέχεται ὑπάρχειν, καὶ οὐκ ἀδύνατον ὑπάρχειν, καὶ οὐκ ἀνάγκη μὴ ὑπάρχειν, ἢ ταυτὰ ἔσαι, ἢ ἀκολουθοῦντα ἀλλήλοις. κατὰ παντὸς γὰρ ἡ κατάφασις, ἢ ἀπόφασις. ἔσαι ἄρα τὸ ἐνδεχόμενον οὐκ ἀναγκαῖον. καὶ τὸ μὴ ἀναγκαῖον ἐνδεχόμενον. συμβαίνει δὲ πάσας τὰς κατὰ τὸ ἐνδέχε-

σθαι

σθαι προτάσεις, ἀντιστρέφειν ἀλλήλαις. λέγω δὲ, οὐ τὰς κατα-
φατικὰς, ταῖς ἀποφατικαῖς, ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα
κατὰ τὴν ἀντίθεσιν. οἷον τὸ ἐνδέχεσθαι ὑπάρχειν τῷ ἐνδέχε-
σθαι μὴ ὑπάρχειν. καὶ τὸ παντὶ ἐνδέχεσθαι, τῷ ἐνδέχεσθαι μηδενὶ, ἢ μὴ
παντὶ, καὶ τὸ τινὶ, τῷ μὴ παντὶ, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλ-
λων. ἐπεὶ δὲ τὸ ἐνδεχόμενον οὐκ ἔστιν ἀναγκαῖον. τὸ δὲ μὴ ἀναγκαῖον ἐγ-
χωρεῖ μὴ ὑπάρχειν. φανερὸν ὅτι εἰ ἐνδέχεται τὸ α τῷ β ὑπάρχειν, οὗ
δέχεται καὶ μὴ ὑπάρχειν, καὶ εἰ παντὶ, οὐδὲ ἐνδέχεται ὑπάρχειν, οὐ παν-
τὶ ἐνδέχεται μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐν μέρει κα-
ταφάσεων. ἡ γὰρ αὐτὴ ἀπόδειξις. εἰσὶ δὲ αἱ τοιαῦται προτάσεις, κα-
τηγορικαὶ καὶ οὐ σερητικαί. τὸ δὲ ἐνδέχεσθαι τῷ εἶναι ὁμοίως τάτ-
τεται. καθάπερ ἐλέχθη πρότερον. διωρισμένων δὲ τούτων, πάλιν λέ-
γωμεν. ὅτι τὸ ἐνδέχεσθαι, κατὰ δύο λέγομεν τρόπους. ἕνα μὲν, τὸ ὡς
ἐπὶ τὸ πολὺ γίνεσθαι καὶ διαλείπειν τὸ ἀναγκαῖον. οἷον τὸ πολιοῦσθαι
ἄνθρωπον, ἢ τὸ αὐξάνεσθαι, ἢ φθίνειν. καὶ ἢ ὅλως τὸ πεφυκὸς ὑπάρχειν.
τοῦτο δὲ οὐ συνεχὲς μὲν ἔχει τὸ ἀναγκαῖον διὰ τὸ μὴ ἀεὶ εἶναι ἄνθρωπον. οὐ μὲν
τοι πολιοῦσθαι ἄνθρώπου ἢ ἐξ ἀνάγκης, ἢ ὡς ἐπὶ τὸ πολύ ἐστιν. ἄλλον δὲ τρό-
πον ὃ καὶ οὕτως, καὶ μὴ οὕτως, ἀλλ' ἀόριστον. οἷον τὸ βαδίζειν ζῷον, ἢ τὸ βα-
δίζοντος γενέσθαι σεισμὸν, ἢ ὅλως τὸ ἀπὸ τύχης γενόμενον. οὐδὲν δὲ
μᾶλλον οὕτως πέφυκεν, ἢ ἐναντίως. ἀντιστρέφει μὲν οὖν καὶ κατὰ τὰς
ἀντικειμένας προτάσεις ἑκάτερον τῶν ἐνδεχομένων, οὐ μὴν τὸν αὐτόν γε
τρόπον. ἀλλὰ τὸ μὴ πεφυκὸς εἶναι. τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. οὕτω δὲ ἐπὶ τῷ
ἐνδέχεται μὴ πολιοῦσθαι ἄνθρωπον. τὸ δὲ ἀόριστον τῷ μηδὲν μᾶλλον οὕ-
τως ἢ ἐκείνως. ἐπίσημον δὲ καὶ συλλογισμὸς ἀποδεικτικὸς, τοῦ μὲν ἀορίσ-
του, οὐκ ἔστι δὲ τὸ ἄτακτον εἶναι τὸ μέσον, τοῦ δὲ πεφυκότων, ἔστι. καὶ σχε-
δόν οἱ λόγοι καὶ αἱ σκέψεις γίνονται, περὶ τὸ οὕτως ἐνδεχομένων. ἐκείνως
δὲ ἐγχωρεῖ μὲν γενέσθαι συλλογισμόν. οὐ μὴν εὐωθέως ζητεῖται. ταῦ-

τα μὲν οὖν διοριοῦσιν μᾶλλον ἐν τοῖς ἐπομένοις. νῦν δὲ λέγωμεν πότε καὶ πῶς, καὶ τίς ἔσται συλλογισμὸς ἐκ τῶν ὑπολεχομένων προτάσεων. ἐπεὶ δὲ τὸ ἐνδέχεσθαι τόδε, τῷδε ὑπάρχειν, διχῶς ἐστιν ἐκ λαβεῖν. ἢ γὰρ ᾧ ὑπάρχει τόδε, ἢ ᾧ ἐνδέχεται αὐτὸ ὑπάρχειν. τὸ δὴ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι, τούτων σημαίνει θάτερον, ἢ καθ' οὗ λέγεται τὸ β, ἢ καθ' οὗ ἐνδέχεται λέγεσθαι. τὸ δὲ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι, ἢ παντὶ τῷ β τὸ α ἐγχωρεῖν οὐδὲν διαφέρει. φανερὸν οὖν ὅτι διχῶς ἂν λέγοιτο τὸ α τῷ β παντὶ ἐνδέχεσθαι ὑπάρχειν. πρῶτον οὖν εἰ πομένει καθ' οὗ τὸ γ τὸ β ἐνδέχεται, καὶ καθ' οὗ τὸ β τὸ α, τίς ἔσται, καὶ ποῖος συλλογισμός. οὕτω γὰρ αἱ προτάσεις ἀμφότεραι λαμβάνονται κατὰ τὸ ἐνδέχεσθαι. ὅταν δὲ καθ' οὗ τὸ β ὑπάρχει τὸ α ἐνδέχηται μὲν ὑπάρχουσα. καθ' ἣν ἐνδεχομένη ἐστίν. ὥστε ἀπὸ τῶν ὁμοιοσχημόνων ἀρκτέον καθάπερ καὶ ἐν τοῖς ἄλλοις. ὅταν οὖν τὸ α παντὶ τῷ β ἐνδέχηται, καὶ τὸ β παντὶ τῷ γ, συλλογισμὸς ἔσται τέλειος. ὅτι μὲν οὖν τὸ α παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν, δῆλον ἦν φανερὸν ἐκ τοῦ ὁρισμοῦ. τὸ δὲ ἐνδέχεσθαι παντὶ ὑπάρχειν, οὕτως ἐλέγομεν. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν α ἐνδέχεται μηδενὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ, ὅτι τὸ α ἐνδέχεται μηδενὶ τῷ γ. τὸ γὰρ καθ' οὗ τὸ β ἐνδέχεται, τὸ α μὴ ἐνδέχεσθαι. τοῦτο δ' ἦν τὸ μηδὲν ἀπολείπειν τῶν ὑποκειμένων τῷ β ἐνδεχομένων. ὅταν δὲ τὸ α παντὶ τῷ β ἐνδέχηται, τὸ δὲ β ἐνδέχεται μηδενὶ τῷ γ, διὰ μὲν τῶν εἰλημμένων προτάσεων, οὐδεὶς γίνεται συλλογισμός. ἀντιστραφείσης δὲ τῆς βγ κατὰ τὸ ἐνδέχεσθαι, γίνεται ὁ αὐτὸς ὥσπερ καὶ πρότερον. ἐπεὶ γὰρ ἐνδέχεται τὸ β μηδενὶ τῷ γ ὑπάρχειν, ἐνδέχεται καὶ παντὶ ὑπάρχειν. ἔδοξε γὰρ εἴρεσθαι πρότερον. ὥστε εἰ τὸ μὲν β παντὶ τῷ γ, τὸ δὲ α παντὶ τῷ β, πάλιν ὁ αὐτὸς γίνεται συλλογισμός. ὁμοίως δὲ καὶ εἰ πρὸς ἀμφοτέρας τὰς προτάσεις ἡ ἀπόφασις πεύσεται μετὰ τοῦ ἐνδέχεσθαι. λέγω δὲ οἷον εἰ τὸ μὲν α ἐνδέχεται μηδενὶ τῷ β, καὶ τὸ

β μηδενὶ τῷ γ. διὰ μὲν οὖν τῶν εἰλημμένων προτάσεων, οὐδεὶς γίνεται συλλογισμός. ἀντιστροφομένων δὲ πάλιν, ὁ αὐτὸς ἔσται ὅσπερ καὶ πρότερον. φανερὸν οὖν ὅτι τῆς ἀποφάσεως τιθεμένης πρὸς τὸ ἔλαττον ἄκρον, ἢ πρὸς ἀμφοτέρας τὰς προτάσεις, ἢ οὐ γίνεται συλλογισμός, ἢ γίνεται μέν, ἀλλ' οὐ τέλειος. ἐκ γὰρ τῆς ἀντιστροφῆς περαίνεται τὸ ἀναγκαῖον. ἐὰν δὲ ἡ μέν, καθόλου τῶν προτάσεων. ἢ δ' ἐν μέρει ληφθῇ, πρὸς μὲν τὸ μεῖζον ἄκρον κειμένης τῆς καθόλου, συλλογισμὸς ἔσται τέλειος. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται, τὸ δὲ β τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ ἐνδέχεται. δῆλον δὲ φανερὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ παντὶ ἐνδέχεσθαι. πάλιν εἰ τὸ α ἐνδέχεται μηδενὶ τῷ β, τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται ὑπάρχειν, ἀνάγκη τὸ α ἐνδέχεσθαι τινὶ τῷ γ μὴ ὑπάρχειν. ἀπόδειξις δὲ ἡ αὐτή. ἐὰν δὲ ἐρωτητικὴ ληφθῇ ἢ ἐν μέρει πρότασις, ἡ δὲ καθόλου καταφατική. τῇ δὲ θέσει ὁμοίως ἔχουσιν. οἷον τὸ μὲν α παντὶ τῷ β ἐνδέχεται, τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται μὴ ὑπάρχειν. διὰ μὲν τῶν εἰλημμένων προτάσεων οὐ γίνεται φανερὸς συλλογισμός. ἀντιστραφείσης δὲ τῆς ἐν μέρει, καὶ τεθέντος τοῦ β τινὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν, τὸ αὐτὸ ἔσται συμπέρασμα. ὃ καὶ πρότερον καθάπερ ἐν τοῖς ἐξ ἀρχῆς. ἐὰν δὲ ἡ πρὸς τὸ μεῖζον ἄκρον ἐν μέρει ληφθῇ, ἡ δὲ πρὸς τὸ ἔλαττον καθόλου, ἐάντε ἀμφότεραι καταφατικαὶ ληφθῶσιν, ἐάν τε στερητικαὶ, ἐάντε μὴ ὁμοιοχήμονες, ἐάν τε ἀμφότεραι ἀδιόριστοι ἢ κατὰ μέρος οὐδαμῶς ἔσται συλλογισμός. οὐδὲν γὰρ κωλύει τὸ β ὑπερτείνειν τῷ α. καὶ μὴ κατηγορεῖσθαι ἐπ' ἴσων. ᾧ δὲ ὑπερτείνει τὸ β τοῦ α εἰλήφθω τὸ γ. τούτῳ γὰρ, οὔτε παντὶ, οὔτε μηδενὶ, οὔτε τινὶ, οὔτε μὴ τινὶ ἐνδέχεται τὸ α ὑπάρχειν. εἴπερ ἀντιστρέφουσιν αἱ κατὰ τὸ ἐνδέχεσθαι προτάσεις. καὶ τὸ β τοιοῦσιν ἐνδέχεται, ἢ τὸ α ὑπάρχειν. ἔστι δὲ καὶ ἐκ τῶν ὅρων φανερὸν, οὕτως ἐχουσῶν τῶν προ-

τάσεων

τάσιων τὸ πρῶτον τῷ ἐλάττῳ μὴ οὐδενὶ ἐνδέχεται μὴ παντὶ ὑπάρχειν ἀναγκαῖον. ὅροι δὲ κοινοὶ πάντων. τὸ μὲν ὑπάρχειν ἐξ ἀνάγκης, ζῷον. λευκὸν ἄνθρωπος, τὸ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν, ἱμάτιον. φανερὸν δὲ ὅτι τοῦτον ἐν τῷ τόπον ἐχόντων τῶν ὅρων, οὐδεὶς γίνεται συλλογισμός. ἢ δὲ τὸ ὑπάρχειν ἢ τὸ ἐξ ἀνάγκης ἢ τὸ ἐνδέχεσθαι, πᾶσι ἐστι συλλογισμός. τὸ μὲν δὴ ὑπάρχειν μὴ τὸ ἀναγκαίου, φανερὸν ὅτι οὐκ ἔστιν. ὁ μὲν γὰρ κατηγορικός, ἀναιρεῖται τῷ στερητικῷ. ὁ δὲ στερητικός, τῷ καταφατικῷ. λείπεται δὲ τὸ ἐνδέχεσθαι εἶναι. τοῦτο δὲ ἀδιάφορον. δέδεικται γὰρ ὅτι οὕτως ἐχόντων τῶν ὅρων μὴ παντὶ τῷ ἐλάττῳ, τὸ πρώτου, ἀνάγκη μὴ οὐδενὶ ἐνδέχεσθαι ὑπάρχειν. ὥστ' οὐκ ἂν εἴη τὸ ἐνδέχεσθαι συλλογισμός. τὸ γὰρ ἀναγκαῖον οὐκ ἦν ἐνδεχόμενον. φανερὸν οὖν ὅτι καθόλου τῶν ὅρων ὄντων, ἐν ταῖς ἐνδεχομέναις προτάσεσιν, ἀεὶ γίνεται συλλογισμὸς ἐν τῷ πρώτῳ σχήματι, καὶ κατηγορικῶν μὴ στερητικῶν ὄντων. πλὴν κατηγορικῶν μὲν ὄντων, τέλειος. στερητικῶν δὲ, ἀτελής. δῆλον δὲ τὸ ἐνδέχεσθαι λαμβάνειν, μὴ τὸ ἐν τοῖς ἀναγκαίοις, ἀλλὰ κατὰ τὸν εἰρημένον διορισμόν. ἐνίοτε δὲ λανθάνειν τὸ ζητούμενον. Μίξις ἐνδεχομένου μὴ ὑπάρχοντος ἐν. α. σχήματι.

Ἐὰν δὲ τὸ μὲν, ὑπάρχειν. τὸ δὲ, ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων, ὅταν μὲν τὸ πρὸς τὸ μεῖζον ἄκρον ἐνδέχεσθαι σημαίνῃ, τέλειοί τε πάντες ἔσονται οἱ συλλογισμοὶ, καὶ τῷ ἐνδέχεσθαι κατὰ τὸν εἰρημένον διορισμόν. ὅταν δὲ πρὸς τὸ ἔλαττον, ἀτελεῖς τε πάντες καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν. οὐ τῷ κατὰ τὸν ὁρισμὸν ἐνδεχομένῳ. ἀλλὰ τῷ, ἢ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν. εἰ δὲ μηδενὶ ἢ μὴ παντὶ, ἐξ ἀνάγκης, ἐνδέχεσθαι φαμὲν μηδενὶ καὶ μὴ παντὶ ὑπάρχειν. ἐνδέχεσθαι γὰρ τὸ α. παντὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ. εἰδέσθω, ὑπάρχον. ἐπεὶ οὖν ὑπὸ τὸ β ἐστὶ τὸ γ. τῷ δὲ β παντὶ, ἐνδέχεται τὸ α, φανερὸν ὅτι καὶ τῷ γ παντὶ ἐνδέχεται. γίνεται δὴ τέλειος συλλογισμός. ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς α β προτάσεως. τῆς δὲ β γ κατηγορικῆς. καὶ τῆς μὲν α β ἐνδέχε-

συλλογισμοι

δέχεσθαι, τῆς δὲ Β γ ὑπάρχειν λαμβανομένης, τέλειος ἔσται συλλογισμός. ὅτι τὸ α ἐνδέχεται μηδενὶ τῷ γ ὑπάρχειν. ὅτι μὲν οὖν τοῦ ὑπάρχειν τιθεμένου πρὸς τὸ ἔλαττον ἄκρον τέλειοι γίνονται οἱ συλλογισμοί, φανερόν. ὅτι δὲ ἐναντίως ἐχόντος ἔσονται συλλογισμοί, δεικτέον ἀπὸ τοῦ ἀδυνάτου. ἅμα δὲ ἔσται δῆλον, καὶ ὅτι ἀπλῆς. ἡ γὰρ δεῖξις, οὐκ ἐκ τῶν εἰλημμένων προτάσεων. πρῶτον δὲ λεκτέον. ὅτι εἰ τοῦ α ὄντος, ἀνάγκη τὸ Β εἶναι, ἢ δυνατὸν ὄντος τοῦ α, δυνατὸν ἔσται καὶ τὸ Β ἐξ ἀνάγκης. ἔστω δὴ οὕτως ἐχόντων. τὸ μὲν ἐφ' ᾧ, τὸ α δυνατὸν· τὸ δ' ἐφ' ᾧ τὸ Β, δυνατὸν εἶναι. εἰ δὴ τὸ μὲν δυνατὸν ὅτε δυνατὸν εἶναι γένοιτο ἄν, τὸ δὲ ἀδύνατον, ὅτι ἀδύνατον. οὐκ ἂν γένοιτο. ἅμα δὲ εἰ τὸ α δυνατὸν καὶ τὸ Β ἀδύνατον, ἐνδέχοιτο ἂν τὸ α γενέσθαι ἄνευ τοῦ Β. εἰ δὲ γενέσθαι καὶ εἶναι· τὸ δὲ γενόμενον, ὅτε γέγονεν ἔστι. δεῖ δὲ λαμβάνειν μὴ μόνον ἐν τῇ γενέσει τὸ δυνατὸν καὶ ἀδύνατον, ἀλλὰ καὶ ἐν τῷ ἀληθεύεσθαι. ὑπάρχειν καὶ ὁσαχῶς ἁπλῶς, ἄλλως λέγειν τὸ δυνατόν. ἐν ἅπασι δὲ ὁμοίως ἕξει. ἔτι τε ὄντος τοῦ α τὸ Β εἶναι οὐχ ὡς ἑνός τινος ὄντος τοῦ α τὸ Β ἔσται δεῖ ὑπολαμβάνειν. οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης ἑνός τινος. ἀλλὰ δυοῖν ἐλαχίστοιν. ὅταν δὲ αἱ προτάσεις οὕτως ἔχωσιν ὡς ἐλέχθη κατὰ τὸν συλλογισμόν. εἰ δὲ τὸ γ κατὰ τοῦ δ, τὸ δὲ δ κατὰ τοῦ ζ, καὶ τὸ γ κατὰ τοῦ ζ ἐξ ἀνάγκης. καὶ εἰ δυνατὸν δ' ἑκάτερον, καὶ τὸ συμπέρασμα ἔσται δυνατόν. ὥσπερ δ' εἴτις θείη τὸ μὲν α τὰς προτάσεις. τὸ δὲ Β τὸ συμπέρασμα. συμβαίνοι ἂν οὐ μόνον ἀναγκαίου τοῦ α ὄντος. ἅμα καὶ τὸ Β εἶναι ἀναγκαῖον. ἀλλὰ καὶ δυνατόν, δυνατόν. τοῦ δὲ λειφθέντος, φανερὸν ὅτι ψεῦδος ὑποτεθέντος καὶ μὴ ἀδυνάτου, καὶ τὸ συμβαῖνον διὰ τοῦτο ὑποθέσιν ψεῦδος ἔσται καὶ οὐκ ἀδύνατον. οἷον εἰ τὸ α ψεῦδος μὲν ἐστι μὴ μέντοι ἀδύνατον. ὄντος δὲ τοῦ α τὸ Β ἐστί, καὶ τὸ Β ἔσται ψεῦδος μέν, οὐ μέντοι ἀδύνατον. ἐπεὶ γὰρ δέδεικται ὅτι τοῦ α ὄντος, ἔστι τὸ Β. καὶ δυνατοῦ ὄντος τοῦ α, ἔσται τὸ Β δυνατόν· ὑπόκειται δὲ τὸ α δυνατὸν εἶναι, καὶ τὸ Β ἄρα ἔσται δυνατόν. εἰ γὰρ ἀδύνατον, ἅμα δυνατὸν ἔσται τὸ αὐτό, καὶ ἀδύναζον.

δυοῖν

διωρισμένων δὲ τούτων, ὑπαρχέτω τὸ α παντὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέσθω. ἀνάγκη οὖν παντὶ τῷ γ τὸ α ἐνδέχεσθαι ὑπάρχειν. μὴ γὰρ ἐνδεχέσθω, τὸ δὲ β παντὶ τῷ γ κείσθω ὑπάρχον. οὐδὲν δὴ ψεῦδος μὲν οὐ μέν τοι ἀδύνατον. εἰ οὖν τὸ μὲν α μὴ ἐνδέχεται παντὶ τῷ γ. τὸ β δὲ παντὶ ὑπάρχειν τῷ γ, τὸ α οὐ παντὶ τῷ β ἐνδέχεται. γίνετο γὰρ συλλογισμὸς διὰ τοῦ τρίτου σχήματος. ἀλλ' ὑπέκειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν. ἀνάγκη ἄρα τὸ α παντὶ τῷ γ ἐνδέχεσθαι. ψεύδους γὰρ ὑποτεθέντος καὶ οὐκ ἀδυνάτου. τὸ συμβαῖνον ἔστιν ἀδύνατον. ἐγχωρεῖ δὲ καὶ διὰ τοῦ πρώτου σχήματος ποιῆσαι τὸ ἀδύνατον. θέντας τῷ γ τὸ β ὑπάρχειν. εἰ γὰρ τὸ β παντὶ τῷ γ ὑπάρχει, τὸ δὲ α παντὶ τῷ β ἐνδέχεται, καὶ τῷ γ παντὶ ἂν ἐνδέχοιτο τὸ α. ἀλλ' ὑπέκειτο μὴ παντὶ ἐγχωρεῖν. δεῖ δὲ λαμβάνειν τὸ παντὶ ὑπάρχειν μὴ κατὰ χρόνον ὁρίσαντας, οἷον νῦν. ἢ ἐν τῷδε τῷ χρόνῳ. ἀλλ' ἁπλῶς, διὰ τῶν τοιούτων γὰρ προτάσεων, καὶ τοὺς συλλογισμοὺς ποιοῦμεν. ἐπεὶ κατά γε τὸ νῦν λαμβανομένης τῆς προτάσεως, οὐκ ἔσται συλλογισμός. οὐδὲν μὴ ἴσως κωλύει ποτὲ παντὶ κινουμένῳ, ἄνθρωπον ὑπάρχειν. οἷον εἰ μηδὲν ἄλλο κινοῖτο. τὸ δὴ κινούμενον ἐνδέχεται παντὶ ἵππῳ. ἀλλ' ἄνθρωπος οὐδενὶ ἵππῳ. ἐνδέχεται. ἔτι ἔστω τὸ μὲν α, ζῶον. τὸ δὲ μέσον κινούμενον. τὸ δὴ ἔσχατον ἄνθρωπος. αἱ μὲν οὖν προτάσεις ὁμοίως ἕξουσι. τὸ δὲ συμπέρασμα, ἀναγκαῖον οὐκ ἐνδεχόμενον. ἐξ ἀνάγκης γὰρ ὁ ἄνθρωπος ζῶον. φανερὸν οὖν ὅτι τὸ καθόλου, ληπτέον ἁπλῶς καὶ οὐ χρόνῳ διορίζοντας. πάλιν ἔστω στερητικὴ πρότασις καθόλου ἡ α β. καὶ εἰ λήφθω τὸ μὲν α, μηδενὶ τῷ β ὑπάρχειν. τὸ δὲ β παντὶ ἐνδεχέσθω ὑπάρχειν τῷ γ. τούτων οὖν τεθέντων, ἀνάγκη τὸ α ἐνδέχεσθαι μηδενὶ τῷ γ ὑπάρχειν. μὴ γὰρ ἐνδεχέσθω, τὸ δὲ β τῷ γ κείσθω ὑπάρχειν, καθάπερ πρότερον. ἀνάγκη δὲ τὸ α τινὶ τῷ β ὑπάρχειν. γίνεται γὰρ συλλογισμὸς, διὰ τοῦ τρίτου σχήματος. οὐδὲν δὲ ἀδύνατον, ὥστ' ἐνδέχοιτο ἂν τὸ α μηδενὶ

τῷ γ

τῷ γ. ψεύδους χαὶ ὑποτεθέντος καὶ οὐκ ἀδυνάτου, ἀδύνατον συμβαί
νει. ὄντος οὖν ὁ συλλογισμὸς, οὐκ ἔστι τὸ κατὰ τὴν ὁρισμὸν συλλογισ-
μὸς, ἀλλὰ τὸ μηδενὶ ἐξ ἀνάγκης. αὕτη γὰρ ἐστὶν ἡ ἀντίφασις τῆς γενομένης
ὑποθέσεως. ὑπετέθη γὰρ ἐξ ἀνάγκης τὸ α τινὶ τῷ γ ὑπάρχειν. ὁ δὲ διὰ
τοῦ ἀδυνάτου συλλογισμὸς, τῆς ἀντικειμένης ἐστὶν ἀντιφάσεως. ἔστι
δὲ ἐκ τῶν ὅρων φανερὸν, ὅτι οὐκ ἔστι τὸ συμπέρασμα συλλεχθέν. ἔ-
στω γὰρ τὸ μὲν ἐφ᾽ ᾧ τὸ α, κόραξ. τὸ δὲ ἐφ᾽ ᾧ τὸ β, διανοούμενον. ἐφ᾽ ᾧ δὲ γ,
ἄνθρωπος. οὐδενὶ δὴ τῷ β τὸ α ὑπάρχειν. οὐδὲν γὰρ διανοούμενον κό-
ραξ. τὸ δὲ β παντὶ συλλέγεται τῷ γ. παντὶ γὰρ ἀνθρώπῳ συλλέγεται
τὸ διανοεῖσθαι. ἀλλὰ τὸ α ἐξ ἀνάγκης, οὐδενὶ τῷ γ. οὐκ ἄρα τὸ συμπέρα-
σμα συλλεχθέν. ἀλλ᾽ οὐδ᾽ ἀναγκαῖον ἀεί. ἔστω γὰρ τὸ μὲν α κινού-
μενον. τὸ δὲ β ἐπιστήμη. τὸ δὲ ἐφ᾽ ᾧ γ, ἄνθρωπος. τὸ μὲν οὖν α, οὐδενὶ
τῷ β ὑπάρξει. τὸ δὲ β παντὶ τῷ γ συλλέγεται καὶ οὐκ ἔσται τὸ συμπέ-
ρασμα ἀναγκαῖον. οὐ γὰρ ἀνάγκη μηδένα κινεῖσθαι ἄνθρωπον. ἀλλ᾽
οὐκ ἀνάγκη τινά. δῆλον οὖν ὅτι τὸ συμπέρασμα ἔσται, τὸ μηδενὶ ἐξ
ἀνάγκης ὑπάρχειν. λητέον δὲ βέλτιον τοὺς ὅρους. ἐὰν δὲ τὸ σερητι-
κὸν τεθῇ. πρὸς τὸ ἔλαττον ἄκρον συλλέγεσθαι σημαῖνον, ἐξ αὐτῶν μὲν
τῶν εἰλημμένων προτάσεων, οὐδεὶς ἔσται συλλογισμός. ἀντισταφεί-
σης δὲ τῆς κατὰ τὸ συλλέγεσθαι προτάσεως, ἔσται καθάπερ ἐν τοῖς
προτέροις. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ β. τὸ δὲ β ἐνδεχέσθω
μηδενὶ τῷ γ. οὕτω μὲν οὖν ἐχόντων τῶν ὅρων οὐδὲν ἀναγκαῖον ἔσται.
ἐὰν δὲ ἀντισταφῇ τὸ β γ. καὶ ληφθῇ τὸ β παντὶ τῷ γ ἐνδέχεσθαι,
γίνεται συλλογισμός. ὥσπερ πρότερον. ὁμοίως γὰρ ἔχουσιν οἱ ὅ-
ροι τῇ θέσει. τὸν αὐτὸν δὲ τρόπον καὶ σερητικῶν ὄντων ἀμφοτέρων
τῶν διαστημάτων. ἐὰν τὸ μὲν α β μὴ ὑπάρχειν. τὸ δὲ β γ μηδενὶ
ἐνδέχεσθαι σημαίνῃ, δι᾽ αὐτῶν μὲν γὰρ τῶν εἰλημμένων, οὐ γίνε-
ται τὸ ἀναγκαῖον. ἀντισταφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι προ-

τάσεως, ἔσται συλλογισμός. εἰ λήφθω γὰρ τὸ μὲν α παντὶ τῷ β ὑπάρχειν. τὸ δὲ β ἐνδέχεσθαι, παντὶ τῷ γ. διὰ μὲν οὖν τούτων, οὐδὲν ἀναγκαῖον. ἐὰν δὲ ληφθῇ τὸ β τινὶ τῷ γ ἐνδέχεσθαι ὅπερ ἐστὶν ἀληθές. ἡ δὲ α β πρότασις ὁμοίως ἔχει, πάλιν ὁ αὐτὸς ἔσται συλλογισμός. ἐὰν δὲ μὴ ὑπάρχειν τεθῇ τὸ β τῷ γ, καὶ μὴ ἐνδέχεσθαι μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. οὔτε στερητικῆς οὔσης, οὔτε καταφατικῆς τῆς α β προτάσεως. ὅροι δὲ τοῦ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, λευκὸν, ζῷον, χιών. τοῦ δὲ μὴ ἐνδέχεσθαι, λευκὸν, ζῷον, πίττα. φανερὸν οὖν ὅτι καθόλου τῶν ὄντων ὄντων, καὶ τῆς μὲν ὑπάρχειν, τῆς δὲ ἐνδέχεσθαι λαμβανομένης τῶν προτάσεων, ὅταν ἡ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέχεσθαι λαμβάνηται πρότασις, ἀεὶ γίνεται συλλογισμός. πλὴν ὁτὲ μὲν, ἐξ ἀυτῶν. ὁτὲ δὲ, ἀντιστραφείσης τῆς προτάσεως. πότε δὲ τούτων ἑκάτερος, καὶ διὰ τίνα αἰτίαν, εἰρήκαμεν. ἐὰν δὲ τὸ μὲν, καθόλου τὸ δ' ἐν μέρει ληφθῇ τῶν διαστημάτων, ὅταν μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθῇ καὶ ἐνδεχόμενον. εἴτε ἀποφατικὸν, εἴτε καταφατικόν. τὸ δ' ἐν μέρει καταφατικὸν ὑπάρχον, ἔσται συλλογισμὸς τέλειος. καθάπερ καθόλου τῶν ὅρων ὄντων. ἀποδείξις δὲ ἡ αὐτὴ ἥπερ καὶ πρότερον. ὅταν δὲ καθόλου μὴ ᾖ. τὸ πρὸς τὸ μεῖζον ἄκρον, ὑπάρχον δὲ καὶ μὴ ἐνδεχόμενον, θάτερον δ' ἐν μέρει καὶ ἐνδεχόμενον ἐάντε ἀποφατικὸν, ἐάντε καταφατικὸν τεθῶσιν ἀμφότερα. ἐάν τε ἡ μὲν ἀποφατικὴ ἡ δὲ καταφατικὴ, πάντως ἔσται συλλογισμὸς ἀτελής. πλὴν, οἱ μὲν, διὰ τοῦ ἀδυνάτου δείχθήσονται. οἱ δὲ, καὶ δι' ἀντιστροφῆς τῆς τοῦ ἐνδέχεσθαι καθάπερ ἐν τοῖς πρότερον. ἔσται δὲ συλλογισμὸς διὰ τὴν ἀντιστροφήν. καὶ ὅταν ἡ μὲν καθόλου τεθεῖσα πρὸς τὸ ἄκρον μεῖζον σημαίνῃ τὸ ὑπάρχειν, ἡ μὴ ὑπάρχειν. ἡ δ' ἐν μέρει στερητικὴ οὖσα, τὸ ἐνδέχεσθαι λαμβάνει. οἷον εἰ τὸ μὲν α παντὶ τῷ β ὑπάρχει, ἡ μὴ ὑπάρχει. τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται μὴ ὑπάρχειν. ἀντιστραφέντος

δὴ τοῦ

ἢ τὸ Β γ κατὰ τὸ ἐνδέχεσθαι, γίνεται συλλογισμός. ὅταν γὰρ τὸ μὴ ὑπάρχον λαμβάνῃ ἢ κατὰ μέρος τεθεῖσα πρότασις, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ μὲν ὑπάρχειν, λευκὸν ζῷον, χιών. τοῦ δὲ μὴ ὑπάρχειν, λευκόν, ζῷον, πίττα. διὰ δὲ τοῦ ἀδιορίστου δεικτέον τῷ ἀποδείξιν. ἐὰν δὲ τὸ καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον τὸ δ' ἐν μέρει πρὸς τὸ μεῖζον ἐάντε σερητικὸν, ἐάντε καταφατικὸν, ἐάντε ἐνδεχόμενον, ἐάντε ὑπάρχον ὁπωσοῦν ἔσται συλλογισμός. οὐδ' ὅταν ἐν μέρει ἢ ἀδιόριστοι τεθῶσιν αἱ προτάσεις. εἴτε γὰρ ἐνδέχεσθαι λαμβάνουσιν, εἴτε ὑπάρχειν, εἴτε συμβαίνει, οὐδ' οὕτως ἔσται συλλογισμός. ἀποδείξεις δ' ἢ αὐτὴ ἢ καὶ ἐπὶ τῶν πρόσθεν. ὅροι δὲ κοινοὶ τοῦ μὲν ὑπάρχειν ἐξ ἀνάγκης, ζῷον, λευκόν, ἄνθρωπος, τοῦ δὲ ἐνδέχεσθαι, ζῷον, λευκόν, ἱμάτιον. φανερὸν οὖν ὅτι τοῦ μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθέντος, ἀεὶ γίνεται συλλογισμός. τοῦ δὲ πρὸς τὸ ἔλαττον, οὐδέποτε οὐδενός. πρότερον

Μίξις ἀναγκαίου καὶ ἐνδεχομένου.

Ὅταν δὲ τὸ μὲν, ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν. τὸ δὲ, ἐνδέχεσθαι σημαίνῃ, τὸ προτέρων ὁ μὲν συλλογισμὸς ἔσται, τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων, καὶ τέλειος, ὅταν πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ τὸ ἀναγκαῖον. τὸ δὲ συμπέρασμα καταφατικῶν μὲν ὄντων τῶν ὅρων, τὸ ἐνδέχεσθαι καὶ οὐ τὸ ὑπάρχειν ἔσται. καὶ καθόλου καὶ μὴ καθόλου τιθεμένων. ἐὰν δὲ τὸ μὲν καταφατικὸν, τὸ δὲ σερητικόν. ὅταν μὲν τὸ καταφατικὸν ἀναγκαῖον τὸ ἐνδέχεσθαι, καὶ οὐ τὸ μὴ ὑπάρχειν. ὅταν δὲ τὸ σερητικὸν ἀναγκαῖον, καὶ τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν, καὶ τὸ μὴ ὑπάρχειν, καθόλου, καὶ μὴ καθόλου τῶν ὅρων ὄντων. τὸ δὲ ἐνδέχεσθαι οὐ τῷ συμπεράσματι, τὸν αὐτὸν τρόπον λητέον, ὑπερ καὶ ἐπὶ τοῖς πρόσθεν. τοῦ δ' ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμός. ἔστω γὰρ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, καὶ τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ὅτι μὲν οὖν καταφατικῶν ὄντων τῶν ὅρων, οὐ γίνεται συμπέρασμα ἀ-

ναγκαῖον, φανερόν· ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β ἐξ ἀνάγκης,
τὸ δὲ β ἐνδεχέσθω παντὶ τῷ γ. ἔσται δὴ συλλογισμὸς ἀτελής. ὅτι ἐν-
δέχεται τὸ α παντὶ τῷ γ ὑπάρχειν. ὅτι δὲ ἀτελής, ἐκ τῆς ἀποδείξε-
ως δῆλον. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται, ὅνπερ καὶ ἐπὶ τῶν πρό-
τερον. πάλιν τὸ μὲν α ἐνδεχέσθω παντὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ ὑ-
παρχέτω ἐξ ἀνάγκης. ἔσται δὴ συλλογισμὸς, ὅτι τὸ α παντὶ τῷ γ ἐν-
δέχεται ὑπάρχειν. ἀλλ' οὐχ' ὅτι ὑπάρχει. καὶ τέλειος οὐκ ἀτελής. εὐ-
θὺς γὰρ ἐπιτελεῖται διὰ τῶν ἐξ ἀρχῆς προτάσεων. εἰ δὲ μὴ ὁμοιοσχή-
μονες αἱ προτάσεις, ἔστω πρῶτον ἡ στερητικὴ ἀναγκαία. καὶ τὸ μὲν α μη-
μηδενὶ ἐνδεχέσθω τῷ β ἐξ ἀνάγκης. τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέσθω.
ἀνάγκη δὴ τὸ α μηδενὶ τῷ γ ὑπάρχειν. κείσθω γὰρ ὑπάρχειν, ἢ παν-
τὶ, ἢ τινί. τῷ δὲ β ὑπέκειτο μηδενὶ ἐνδέχεσθαι. ἐπεὶ οὖν ἀντιστρέ-
φει τὸ στερητικὸν, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχεται. τὸ δὲ α τῷ γ παν-
τὶ ἢ τινὶ κεῖται ὑπάρχειν. ὥστε οὐδενὶ, ἢ οὐ παντὶ τῷ γ τῷ β ἐνδέχοι-
το ἂν ὑπάρχειν. ὑπέκειτο δὲ παντὶ ἐξ ἀρχῆς. φανερὸν δ' ὅτι καὶ τοῦ
ἐνδέχεσθαι μὴ ὑπάρχειν γίνεται συλλογισμός. εἴπερ καὶ τοῦ μὴ ὑ-
πάρχειν. πάλιν ἔστω ἡ καταφατικὴ πρότασις ἀναγκαία. καὶ τὸ μὲν α
ἐνδεχέσθω μηδενὶ τῷ β ὑπάρχειν. τὸ δὲ β παντὶ τῷ γ ὑπαρχέτω
ἐξ ἀνάγκης. ὁ μὲν οὖν συλλογισμὸς ἔσται τέλειος ἀλλ' οὔ τοῦ μὴ ὑπάρ-
χειν. ἀλλὰ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἥτε γὰρ πρότασις οὕτως ἐ-
λήφθη ἀπὸ τοῦ μείζονος ἄκρου, καὶ εἰς τὸ ἀδύνατον οὐκ ἔστιν ἀπα-
γαγεῖν. ἐάντε γὰρ ὑποτεθείη τὸ α τῷ γ μηδενὶ ὑπάρχον. κεῖται δὲ
καὶ τὸ α τῷ β ἐνδέχεσθαι μηδενὶ ὑπάρχειν, οὐδὲν συμβαίνει διὰ τού-
των ἀδύνατον. ἐὰν δὲ πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ. τὸ στερητικὸν, ὅ-
ταν μὲν ἐνδέχεσθαι σημαίνῃ συλλογισμὸς ἔσται διὰ τῆς ἀντιστροφῆς
καθάπερ ἐν τοῖς πρότερον. ὅταν δὲ μὴ ἐνδέχεσθαι, οὐκ ἔσται. οὐδ' ὅ-
ταν ἄμφω τεθῇ στερητικὰ μὴ ᾖ δὲ ἐνδεχόμενον. τὸ πρὸς τὸ ἔλαττον. ὅ-
ροι δὲ

τό. β.

ροι δὲ οἱ αὐτοί. τοῦ μὲν ὑπάρχειν, λευκόν, ζῷον, χιών. τοῦ δὲ μὴ ὑπάρχειν, λευκόν, ζῷον πίττα. ὁμοίως δὲ καὶ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ἡ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν. διὸν εἰ τὸ μὲν α μηδενὶ τῷ β συμβέβηκεν ὑπάρχειν· τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται μὴ ὑπάρχειν, ἀνάγκη τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ ὑπάρχει, τῷ δὲ β μηδενὶ συμβέβηκεν, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχεται ὑπάρχειν. ὥστε εἰ τὸ α παντὶ τῷ γ ὑπάρχει, τὸ β οὐδενὶ τῷ γ ἐνδέχεται. ἀλλὰ ὑπέκειτο τινὶ ἐνδέχεσθαι. ὅταν δὲ τὸ ἐν μέρει καταφατικὸν ἀναγκαῖον ᾖ τὸ ἐν τῷ στερητικῷ συλλογισμῷ. διὸν τὸ β τῷ γ, ἢ τὸ καθόλου τὸ ἐν τῷ καταφατικῷ. διὸν τὸ α βοὺς ἔσται τοῦ ὑπάρχειν συλλογισμός. ἀποδείξεις δ' ἡ αὐτὴ ἡ καὶ ἐπὶ τῶν προτέρων. ἐὰν δὲ τὸ μὲν καθόλου τεθῇ πρὸς τῷ ἐλάττονι ἄκρῳ ἢ καταφατικὸν ἢ στερητικὸν καὶ ἐνδεχόμενον. τὸ δ' ἐν μέρει ἀναγκαῖον πρὸς τῷ μείζονι ἄκρῳ οὐκ ἔσται συλλογισμός. ὅροι δὲ τοῦ ὑπάρχειν ἐξ ἀνάγκης, ζῷον, λευκόν, ἄνθρωπος. τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν, ἱμάτιον. ὅταν δὲ ἀναγκαῖον ᾖ τὸ καθόλου. τὸ δ' ἐν μέρει ἐνδεχόμενον, στερητικοῦ μὲν ὄντος τοῦ καθόλου. τοῦ μὲν ὑπάρχειν ζῷον· λευκόν, κόραξ. τοῦ δὲ μὴ ὑπάρχειν, ζῷον, λευκόν, πίττα. καταφατικοῦ δὲ τοῦ μὲν ὑπάρχειν, ζῷον, λευκόν, κύκνος. τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν, χιών. οὐδ' ὅταν ἀόριστοι λαμφθῶσιν αἱ προτάσεις, ἢ ἀμφότεραι κατὰ μέρος, οὐδὲ οὕτως ἔσται συλλογισμός. ὅροι δὲ κοινοί. τοῦ μὲν ὑπάρχειν, ζῷον, λευκόν, ἄνθρωπος. τοῦ δὲ μὴ ὑπάρχειν ζῷον, λευκόν, ἄψυχον. καὶ γὰρ τὸ ζῷον, τινὶ λευκῷ. καὶ τὸ λευκὸν ἀψύχῳ τινί. καὶ ἀναγκαῖον ὑπάρχειν, καὶ οὐκ ἐνδέχεται ὑπάρχειν. καὶ ἐπὶ τοῦ ἐνδέχεσθαι ὁμοίως. ὥστε πρὸς ἅπαντα χρήσιμοι οἱ ὅροι. φανερὸν δὲ καὶ ἐκ τῶν εἰρημένων ὅτι ὁμοίως ἐχόντων τῶν ὅρων ἔνεστι τῷ ὑπάρχειν καὶ ἐν τοῖς ἀναγκαίοις, γίνεται

dest ἐξ ἀνάγκης

νεται καὶ οὐ γίνεται συλλογισμός. πλὴν κατὰ μὲν τὸ ὑπάρχειν τιθεμένης τῆς σερητικῆς προτάσεως τοῦ συλλέχεσθαι ἦν ὁ συλλογισμός. κατὰ δὲ τὸ ἀναγκαῖον τῆς σερητικῆς, καὶ τοῦ συλλέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν. δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς οἱ συλλογισμοί. καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων.

Περὶ τῶν ἐξ ἀμφοτέρων συλλεχθησομένων προτάσεων ἐν τῷ β. σχήματι.

Ἐν δὲ τῷ δευτέρῳ σχήματι ὅταν μὲν συλλεχθήσεται λαμβάνουσαι ἀμφότεραι αἱ προτάσεις, οὐδεὶς ἔσται συλλογισμός. οὔτε κατηγορικῶν οὔτε σερητικῶν τιθεμένων οὔτε καθόλου οὔτε κατὰ μέρος. ὅταν δὲ ἡ μὲν ὑπάρχειν, ἡ δὲ συλλέχεσθαι σημαίνῃ, τῆς μὲν καταφατικῆς ὑπάρχειν σημαινούσης, οὐδέποτε ἔσται. τῆς δὲ σερητικῆς τῆς καθόλου, ἀεί. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅταν ἡ μὲν, ἐξ ἀνάγκης, ἡ δὲ, συλλέχεσθαι λαμβάνωσι τῶν προτάσεων. δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν συλλεχόμενον, ὥσπερ καὶ ἐν τοῖς πρότερον. πρῶτον οὖν δεικτέον ὅτι οὐκ ἀντιστρέφει τὸ ἐν τῷ ἐνδέχεσθαι σερητικόν. οἷον εἰ τὸ α ἐνδέχεται μηδενὶ τῷ β, οὐκ ἀνάγκη καὶ τὸ β μηδενὶ τῷ α ἐνδέχεσθαι. εἰ γὰρ τοῦτο. καὶ ἐνδέχεσθω τὸ β μηδενὶ τῷ α ὑπάρχειν. οὐκοῦν ἐπεὶ ἀντιστρέφουσιν αἱ ἐν τῷ ἐνδέχεσθαι καταφάσεις ταῖς ἀποφάσεσι καὶ αἱ ἐναντίαι καὶ αἱ ἀντικείμεναι, τὸ δὲ β τῷ α ἐνδέχεται μηδενὶ ὑπάρχειν. φανερὸν ὅτι καὶ παντὶ ἐνδέχοιτο ἂν τὸ β τῷ α ὑπάρχειν. τοῦτο δὲ ψεῦδος. οὐ γὰρ εἰ τόδε τῷδε παντὶ ἐνδέχεται καὶ τόδε παντὶ τῷδε ἐνδέχοιτο, ἀναγκαῖον. ὥστε οὐκ ἀντιστρέφει τὸ σερητικόν. ἔτι δὲ, οὐδὲν κωλύει τὸ μὲν α τῷ β ἐνδέχεσθαι μηδενί. τὸ δὲ β τινὶ τῷ α ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ἔστω γὰρ τὸ μὲν λευκὸν παντὶ ἀνθρώπῳ ἐνδέχεται μὴ ὑπάρχειν. καὶ γὰρ ὑπάρχειν. ἄνθρωπον δὲ, ἁληθὲς εἰπεῖν, ᾧ ἐνδέχεται μηδενὶ λευκῷ. πολλοῖς γὰρ

οὐκ ἀληθὲς ἐπεῖν ὅλι

γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δ' ἀναγκαῖον, οὐκ ἂν ἐνδεχόμενον. ἀλλὰ μὴν οὐδ' ἐκ τοῦ ἀδυνάτου δειχθήσεται ἀντιστρέφον. οἷον εἴτις ἀξιώσειεν, ἐπεὶ ψεῦδος τὸ ἐνδέχεσθαι μηδενὶ τὸ α τῷ β ὑπάρχειν, ἀληθὲς τὸ μὴ ἐνδέχεσθαι μηδενί· φάσις γὰρ καὶ ἀπόφασις. εἰ δὲ τοῦτο ἀληθές, ἐξ ἀνάγκης τινὶ τῷ α ὑπάρχειν τὸ β. ὥστε καὶ τὸ α τινὶ τῷ β, τοῦτο δ' ἀδύνατον. οὐ γὰρ εἰ μὴ ἐνδέχεται μηδενὶ τῷ α τὸ β, ἀνάγκη τινὶ τῷ α τὸ β ὑπάρχειν. τὸ γὰρ μὴ ἐνδέχεσθαι μηδενί, διχῶς λέγεται. τὸ μὲν, εἰ ἐξ ἀνάγκης τινὶ τῷ α ὑπάρχει. τὸ δὲ, εἰ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχει. τὸ γὰρ ἐξ ἀνάγκης τινὶ τῷ α μὴ ὑπάρχον, οὐκ ἀληθὲς εἰπεῖν, ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν. ὥσπερ οὐδὲ τὸ τινὶ ὑπάρχον ἐξ ἀνάγκης, ὅτι παντὶ ἐνδέχεται, ὑπάρχειν. εἰ οὕτω τις ἀξιοίη, ἐπεὶ οὐκ ἐνδέχεται τὸ γ τῷ δ παντὶ ὑπάρχειν, ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν αὐτῷ, ψεῦδος ἂν λαμβάνοιτο. παντὶ γὰρ ὑπάρχει εἰ τύχοι. ἀλλ' ὅτι ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτο φαμὲν, οὐ παντὶ ἐνδέχεσθαι. ὥστε τῷ ἐνδέχεσθαι παντὶ ὑπάρχειν, τόδε ἐξ ἀνάγκης τινὶ ὑπάρχειν, ἀντίκειται καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ τῷ ἐνδέχεσθαι μηδενί. δῆλον δὲ ὅτι πρὸς τὸ οὕτως ἐνδεχόμενον καὶ μὴ ἐνδεχόμενον ὡς ἐν ἀρχῇ διωρίσαμεν οὐ μόνον τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν, ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν ληπτέον. τούτου δὲ ληφθέντος, οὐδὲν συμβαίνει ἀδύνατον. ὥστε οὐ γίνεται συλλογισμὸς, φανερὸν ἤδη ἐκ τῶν εἰρημένων, ὅτι οὐκ ἀντιστρέφει τὸ ἐνδεχόμενον. τὸ δὲ δειχθέντος, κείσθω τὸ α, τῷ μὲν β ἐνδέχεσθαι μηδενί. τὸ δὲ γ, παντί. διὰ μὲν οὖν τῆς ἀντιστροφῆς, οὐ γίνεται συλλογισμός, εἴρηται γὰρ ὅτι οὐκ ἀντιστρέφει ἡ τοιαύτη πρότασις. ἀλλὰ οὐ διὰ τοῦ ἀδυνάτου. τεθέντος γὰρ τοῦ παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν, οὐδὲν συμβαίνει ψεῦδος. ἐνδέχοιτο μὲν ἂν τὸ α τῷ γ καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν. ὅλως δὲ εἰ ἔστι συλλογισμός, δῆλον ὅτι, τοῦ ἐνδέχεσθαι ἂν εἴη, διὰ τὸ μηδετέραν τῶν τ. β.

προτ-

πρότάσεων εἰλῆφθαι ἐν τῷ ὑπάρχειν· καὶ ὅυτος, ἢ καταφατικὸς ἢ σερητικός. οὐδὲ τέρως δ' ἐγχωρεῖ καταφατικῶ μὲν ὄντος, δειχθήσεται διὰ τῶν ὅρων, ὅτι ὐκ ἐνδέχεται ὑπάρχειν. σερητικῶ δὲ, ὅτι τὸ συμπέρασμα οὐκ ἐνδεχόμενον, ἀλλ' ἀναγκαῖόν ἐστιν. ἔστω γὰρ μὲν α λθικόν. τὸ δὲ β, ἄνθρωπος. ἐφ' ᾧ τὸ γ, ἵππος. τὸ δὴ α τὸ λθικὸν, ἐνδέχεται τῷ μὲν παντί. τῷ δὲ μηδενὶ ὑπάρχειν. ἀλλὰ τὸ β τῷ γ, οὔτε ὑπάρχειν ἐνδέχεται, οὔτε μὴ ὑπάρχειν. ὅτι μὲν δὴν ὑπάρχειν οὐκ ἐγχωρεῖ, φανερόν. οὐδεὶς γὰρ ἵππος, ἄνθρωπος. ἀλλ' οὐδὲ ἐνδέχεται μὴ ὑπάρχειν· ἀνάγκη γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι. τὸ δ' ἀναγκαῖον, οὐκ ἦν ἐνδεχόμενον. οὐκ ἄρα γίνεται συλλογισμός. ὁμοίως δὲ δειχθήσεται, κἂν ἀναπαλιν ὅταν τεθῇ τὸ σερητικόν. κἂν ἀμφότεραι καταφατικαὶ ληφθῶσιν ἢ σερητικαὶ. διὰ δὲ τῶν αὐτῶν ὅρων ἔσται ἡ ἀπόδειξις. κἂν ὅταν ἡ μὲν, καθόλου, ἡ δ' ἐν μέρει, ἢ ἀμφότεραι κατὰ μέρος, ἢ ἀδιόριστοι, ἢ ὁσαχῶς ἄλλως ἐνδέχεται μεταλαβεῖν τὰς προτάσεις. ἀεὶ γὰρ ἔσται διὰ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις. φανερὸν δὲ ὅτι ἀμφοτέρων τῶν προτάσεων κατὰ τὸ ἐνδέχεσθαι τιθεμένων, οὐδεὶς γίνεται συλλογισμός.

Μίξις ἐνδεχομένου καὶ ὑπάρχοντος ἐν β σχήματι.

Εἰ δὴ ἡ μὲν, ὑπάρχει. ἡ δὲ, ἐνδέχεσθαι σημαίνει. τῆς μὲν καταφατικῆς ὑπάρχειν σημαινούσης, τῆς δὲ σερητικῆς ἐνδέχεσθαι. οὐ δέ ποτε ἔσται συλλογισμὸς, οὔτε καθόλου τῶν ὅρων ὄντων, οὔτ' ἐν μέρει λαμβανομένων. ἀπόδειξις δὴ ἡ αὐτὴ, ἥ καὶ διὰ τῶν αὐτῶν ὅρων. ὅταν δὲ ἡ μὲν καταφατικὴ ἐνδέχεσθαι. ἡ δὲ σερητικὴ ὑπάρχειν ἔσται συλλογισμός. εἰλήφθω γὰρ τὸ α. τῷ μὲν β μηδενὶ ὑπάρχειν. τῷ δὲ γ παντὶ ἐνδέχεσθαι. ἀντιστρέφοντος οὖν τοῦ σερητικοῦ, τὸ β τῷ α οὐδενὶ ὑπάρξει. τὸ δὲ α παντὶ τῷ γ ἐνδέχεται, γίνεται δὴ συλλογισμός. ὅτι ἐνδέχεται τὸ β μηδενὶ τῷ γ διὰ τοῦ πρώτου σχήματος. ὁμοίως δὲ καὶ εἰ πρὸς τῷ γ τεθείη τὸ σερητικόν. ἐὰν δὲ ἀμφότεραι μὲν ὦσιν αἱ σερητικαὶ,

σημαί

σημαίνῃ δὲ ἡ μὲν, μὴ ὑπάρχειν. ἡ δὲ ἐνδέχεσθαι μὴ ὑπάρχειν, δι' αὐτῶν μὲν τῶν εἰλημμένων, οὐδὲν συμβαίνει ἀναγκαῖον. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως, γίνεται συλλογισμός. ὅτι τὸ β τῷ γ ἐνδέχεται μηδενὶ ὑπάρχειν καθάπερ ἐν τοῖς πρότερον. ἔσται γὰρ πάλιν τὸ πρῶτον σχῆμα. ἐὰν δὲ ἀμφότεραι τεθῶσι κατηγορικαὶ, οὐκ ἔσται συλλογισμός. ὅροι τοι μὲν ὑπάρχειν, ὑγίεια. ζῶον. ἄνθρωπος. τοι δὲ μὴ ὑπάρχειν, ὑγίεια, ἵππος, ἄνθρωπος. τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ᾖ τὸ καταφατικὸν ὑπάρχον εἴτε καθόλου εἴτ' ἐν μέρει ληφθὲν, οὐδεὶς ἔσται συλλογισμός. τοιτὸ δὲ ὁμοίως καὶ διὰ τῶν αὐτῶν ὅρων δείκνυται τοῖς πρότερον. ὅταν δὲ τὸ στερητικὸν ἔσται διὰ τῆς ἀντιστροφῆς, ὥσπερ ἐν τοῖς πρότερον. πάλιν ἐὰν ἄμφω μὲν τὰ διαστήματα στερητικὰ τεθῇ, καθόλου δὲ τὸ μὴ ὑπάρχειν, ἐξ αὐτῶν μὲν τῶν προτάσεων οὐκ ἔσται ἀναγκαῖον. ἀντιστραφέντος δὲ τοῦ ἐνδέχεσθαι καθάπερ ἐν τοῖς πρότερον, ἔσται συλλογισμός. ἐὰν δὲ ὑπάρχον μὲν ᾖ τὸ στερητικὸν, ἐν μέρει δὲ ληφθῇ, οὐκ ἔσται συλλογισμός. οὔτε καταφατικῆς, οὔτε στερητικῆς οὔσης τῆς ἑτέρας προτάσεως. οὐ δ' ὅταν ἀμφότεραι ληφθῶσιν ἀδιόριστοι ἢ καταφατικαὶ, ἢ ἀποφατικαὶ ἢ κατὰ μέρος. ἀπόδειξις δὲ ἡ αὐτὴ καὶ διὰ τῶν αὐτῶν ὅρων.

Μίξις ἀναγκαίου καὶ ἐνδεχομένου ἐν δευτέρῳ σχήματι.

Εὰν δὲ ἡ μὲν, ἐξ ἀνάγκης. ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, τῆς μὲν στερητικῆς ἀναγκαίας οὔσης ἔσται συλλογισμός. οὐ μόνον ὅτι ἐνδέχεται μὴ ὑπάρχειν, ἀλλὰ καὶ ὅτι οὐχ ὑπάρχει. τῆς δὲ καταφατικῆς, οὐκ ἔσται. κείσθω τὸ α τῷ μὲν β μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν. τῷ δὲ γ παντὶ ἐνδέχεσθαι. ἀντιστραφείσης οὖν τῆς στερητικῆς, οὐδὲ τὸ β τῷ α μηδενὶ ὑπάρξει τὸ δὲ α παντὶ τῷ γ ἐνεδέχετο. γίνεται δὲ πάλιν διὰ τοι πρώτου σχήματος ὁ συλλογισμός. ὅτι τὸ β τῷ γ ἐνδέχετο μη-

παντὶ ὑπάρχειν. ἅμα δὲ δῆλον ὅτι οὐδὲ ὑπάρχει τὸ β οὐδενὶ τῷ γ. κεῖ
σθω γὰρ ὑπάρχειν. οὐκοῦν εἰ τὸ α τῷ β μηδενὶ ἐνδέχεται. τὸ δὲ β ὑ=
πάρχει τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ οὐκ ἐνδέχεται. ἀλλὰ παντὶ ὑπέκει=
το ἐνδέχεσθαι. τὸν αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἰ πρὸς τῷ γ τε
θείη τὸ στερητικόν. πάλιν ἔστω μὲν κατηγορικὸν ἀναγκαῖον. θάτερον δὲ
στερητικόν, καὶ ἐνδεχόμενον. καὶ τὸ α τῷ μὲν β ἐνδεχέσθω μηδενὶ,
τῷ δὲ γ παντὶ ὑπαρχέτω ἐξ ἀνάγκης. οὕτως οὖν ἐχόντων τῶν ὅ=
ρων, οὐδὲ εἰς γίνεται συλλογισμός. συμβαίνει γὰρ τὸ β τῷ γ ἐξ ἀνάγ
κης μὴ ὑπάρχειν. ἔστω γὰρ τὸ μὲν α, λευκόν. ἐφ᾽ ᾧ δὲ τὸ β, ἄνθρωπος. ἐφ᾽
ᾧ δὲ τὸ γ, κύκνος. τὸ δὴ λευκὸν, κύκνῳ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, ἀν=
θρώπῳ δὲ ἐνδέχεται οὐδενὶ, καὶ ἄνθρωπος οὐδενὶ κύκνῳ ἐξ ἀνάγ=
κης. ὅτι μὲν δὴ τοῦ συλλέχεσθαι οὐκ ἔσται συλλογισμὸς, φανερόν. τὸ γὰρ ἐξ
ἀνάγκης, οὐκ ἦν συλλεχόμενον. ἀλλὰ μὴν οὐδὲ τοῦ ἀναγκαίου. τὸ μὲν ἀναγ=
καῖον, ἢ ἐξ ἀμφοτέρων ἀναγκαίων, ἢ ἐκ τῆς στερητικῆς συνέβαινεν. ἔ=
τι δὲ καὶ ἐγχωρεῖ τούτων κειμένων, τὸ β τῷ γ ὑπάρχειν. οὐδὲν γὰρ
κωλύει τὸ μὲν c ὑπὸ τῷ β εἶναι. τὸ δὲ α τῷ μὲν c παντὶ ἐνδέχεσθαι.
τῷ δὲ γ ἐξ ἀνάγκης ὑπάρχειν. οἷον. εἰ τὸ μὲν c εἴη ἐγρήγορσις. τὸ δὲ β,
ζῷον. τῷ δὲ ἐφ᾽ ᾧ τὸ α, κίνησις. τῷ μὲν γὰρ ἐγρηγορότι, ἐξ ἀνάγκης κί
νησίς ἐστι. ζῴῳ δὲ παντὶ ἐνδέχεται. καὶ πᾶν τὸ ἐγρηγορὸς ζῷον. φανε
ρὸν οὖν ὅτι οὐδὲ τοῦ μὴ ὑπάρχειν, εἴπερ οὕτως ἐχόντων ἀνάγκη ὑπάρ=
χειν, οὐδὲ δὴ τῶν ἀντικειμένων φάσεων. ὥστε οὐδεὶς ἔσται συλλογι=
σμός. ὁμοίως δὲ δειχθήσεται καὶ ἀνάπαλιν τεθείσης τῆς καταφατικῆς.
ἐὰν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, στερητικῶν μὲν οὐσῶν, ἀεὶ γίγ=
νεται συλλογισμός. ἀντιστραφείσης τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσε
ως καθάπερ ἐν τοῖς πρότερον. εἰλήφθω γὰρ τὸ α τῷ μὲν β ἐξ ἀνάγκης
μὴ ὑπάρχειν. τῷ δὲ γ ἐνδέχεσθαι μὴ ὑπάρχειν ἀντιστραφεισῶν οὖν
τῶν προτάσεων, τὸ μὲν β τῷ α οὐδενὶ ὑπάρξει. τὸ δὲ α παντὶ τῷ γ ἐν

δέχεται

δέχεται. γίνεται δὴ τὸ πρῶτον σχῆμα. κἂν εἰ πρὸς τῷ γ τεθείη τὸ στε-
ρητικόν. ὡσαύτως ἐὰν δὲ κατηγορικαὶ τεθῶσιν, οὐκ ἔσται συλλογισμός.
τοῦ μὲν δὲ μὴ ὑπάρχειν, ἢ τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, φανερὸν ὅτι οὐκ
ἔσται, διὰ τὸ μὴ εἰλῆφθαι στερητικὴν πρότασιν. μήτε ἐν τῷ ὑπάρχει,
μήτε ἐν τῷ ἐξ ἀνάγκης ὑπάρχειν. ἀλλὰ μὴν οὐδὲ τοῦ ἐνδέχεσθαι μὴ
ὑπάρχειν. ἐξ ἀνάγκης γὰρ οὕτως ἐχόντων τὸ β τῷ γ οὐχ ὑπάρξει. οἷ-
ον εἰ τὸ μὲν α τεθείη λευκόν. ἐφ' ᾧ δὲ τὸ β, κύκνος. τὸ δὲ γ ἄνθρωπος. οὐ-
δέ γε τῶν ἀντικειμένων φάσεων ἢ ἀποφάσεων. ἐπεὶ δέδεικται τὸ β
τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν. οὐκ ἄρα γίνεται συλλογισμὸς ὅλως.
ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ᾖ τὸ
στερητικὸν καθόλου τε καὶ ἀναγκαῖον, ἀεὶ συλλογισμὸς ἔσται, καὶ τοῦ ἐν-
δέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν. ἀπόδειξις δὲ διὰ τῆς ἀντιστροφῆς. ὅ-
ταν δὲ τὸ καταφατικόν, οὐδέποτε. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσε-
ται, ὃν καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων. οὐδ' ὅταν ἀμφό-
τεραι ληφθῶσι καταφατικαί. καὶ γὰρ τούτου ἡ ἀπόδειξις ἡ καὶ πρό-
τερον. ὅταν δὲ ἀμφότεραι μὲν στερητικαί. καθόλου δὲ καὶ ἀναγκαία
ἡ τὸ μὴ ὑπάρχειν σημαίνουσα, δι' αὐτῶν μὲν τῶν εἰλημμένων, οὐκ ἔσται
τὸ ἀναγκαῖον. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως, ἔ-
σται συλλογισμός. καθάπερ καὶ πρότερον. ἐὰν δὲ ἀμφότεραι ἀδιόριστοι
ἢ ἐν μέρει τεθῶσιν, οὐκ ἔσται συλλογισμός. ἀπόδειξις δὲ ἡ αὐτὴ καὶ διὰ τῶν
αὐτῶν ὅρων. φανερὸν οὖν ἐκ τῶν εἰρημένων. ὅτι τῆς μὲν στερητικῆς καθόλου
τιθεμένης καὶ ἀναγκαίας, ἀεὶ γίνετο συλλογισμός. οὐ μόνον τὸ ἐνδέχεσθαι
μὴ ὑπάρχειν, ἀλλὰ καὶ τοῦ μὴ ὑπάρχειν. τῆς δὲ καταφατικῆς, οὐδέπο-
τε, καὶ ὅτι τὸν αὐτὸν τρόπον ἐχόντων ἔντε τοῖς ἀναγκαίοις καὶ ἐν τοῖς
ὑπάρχουσι, γίνετο καὶ οὐ γίνετο συλλογισμός. δῆλον δὲ ὅτι καὶ πάντες ἀ-
τελεῖς οἱ συλλογισμοί. καὶ ὅτι τελειοῦντο διὰ τῶν εἰρημένων σχημάτων.

περὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν τῷ. γ. σχήματι.

Ἐν δὲ τῷ τελευταίῳ σχήματι καὶ ἀμφοτέρων ἐνδεχομένων καὶ τῆ ἑτέρας, συλλογισμὸς ἔσται. ὅταν μὲν οὖν ἐνδέχεσθαι σημαίνωσιν αἱ προτάσεις, καὶ τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. καὶ ὅταν ἡ μὲν, ἐνδέχεσθαι, ἡ δὲ, ὑπάρχειν. ὅταν δὲ ἡ ἑτέρα τεθῇ ἀναγκαία, ἂν μὲν ἡ καταφατικὴ, οὐκ ἔσται τὸ συμπέρασμα οὔτε ἀναγκαῖον, οὔτε ὑπάρχον. ἐὰν δὲ ἡ στερητικὴ ἡ ἀναγκαία, τοῦ μὴ ὑπάρχειν ἔσται συλλογισμὸς. καθάπερ καὶ ἐν τοῖς πρότερον. ληπτέον δ' καὶ ἐν τούτοις ὁμοίως τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον. ἔστωσαν δὴ πρῶτον ἐνδεχόμεναι. καὶ τὸ α καὶ τὸ β παντὶ τῷ γ ἐνδεχέσθω ὑπάρχειν. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικὸν ἐπὶ μέρους. τὸ δὲ β παντὶ τῷ γ ἐνδέχεται, καὶ τὸ γ τινὶ τῷ β ἐνδέχοιτο ἄν. ὥστε εἰ τὸ μὲν α παντὶ τῷ γ ἐνδέχεται, τὸ δὲ γ τινὶ τῷ β, ἀνάγκη καὶ τὸ α τινὶ τῷ β ἐνδέχεσθαι. γίνεται γὰρ τὸ πρῶτον σχῆμα. καὶ εἰ τὸ μὲν α ἐνδέχεται μηδενὶ τῷ γ ὑπάρχειν. τὸ δὲ β παντὶ τῷ γ ἐνδέχοιτο, ἀνάγκη καὶ τὸ α τινὶ τῷ β ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἔσται γὰρ πάλιν τὸ πρῶτον σχῆμα. διὰ ἀντιστροφῆς. ἐὰν δὲ ἀμφότεραι στερητικαὶ τεθῶσιν ἐξ αὐτῶν μὲν τῶν εἰλημμένων, οὐκ ἔσται τὸ ἀναγκαῖον. ἀντιστραφεισῶν δὲ τῶν προτάσεων, ἔσται συλλογισμός. καθάπερ ἐν τοῖς πρότερον. εἰ γὰρ τὸ α καὶ τὸ β ἐνδέχεται τῷ γ μὴ ὑπάρχειν, ἐὰν μεταληφθῇ τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν. πάλιν ἔσται τὸ α σχῆμα διὰ τῆς ἀντιστροφῆς, εἰ δὲ ὁμοίως ἔσται καθόλου τῶν ὅρων, ὁδὶ ἐν μέρει τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων, ὃν περ ἐπὶ τοῦ ὑπάρχειν, ἔσται τε καὶ οὐκ ἔσται συλλογισμός. ἐνδεχέσθω δὴ τὸ μὲν α παντὶ τῷ γ. τὸ δὲ β, τινὶ τῷ γ ὑπάρχειν. ἔσται δὴ πάλιν τὸ πρῶτον σχῆμα τῆς ἐν μέρει προτάσεως ἀντιστραφείσης. εἰ δὴ τὸ α παντὶ τῷ γ. τὸ δὲ γ τινὶ τῷ β, τὸ α τινὶ τῷ β ἐνδέχεται. καὶ εἰ πρὸς τῷ τεθείσῃ τὸ καθόλου ὡσαύτως. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν α γ εἴη στερητικόν. τὸ δὲ

-βγ.

κόν. τὸ δὲ βγ κατα φατικόν. ἔσται πάλιν τὸ πρῶτον σχῆμα διὰ τῆς ἀντιστροφῆς. εἰ δὲ ἀμφότεραι στερητικαὶ τεθῶσιν. ἡ μὲν, καθόλου. ἡ δ' ἐν μέρει, οἱ αὐτῶν μὲν εἰ λημμμένων οὐκ ἔσται συλλογισμός. ἀντιστραφεισῶν δὲ, ἔσται. καθάπερ ἐν τοῖς πρότερον. ὅταν δὲ ἀμφότεραι ἀδιόρισοι, ἢ ἐν μέρει ληφθῶσιν, οὐκ ἔσται συλλογισμός. καὶ γὰρ παντὶ ἀνάγκη τὸ α τῷ β καὶ μηδενὶ ὑπάρχειν. ὅροι τοῦ ὑπάρχειν. ζῷον. ἄνθρωπος, λευκόν. τοῦ μὴ ὑπάρχειν, ἵππος, ἄνθρωπος, λευκόν. μέσον λευκόν.

Μίξις ἐνδεχομένου καὶ ὑπάρχοντος ἐν

.γ. σχήματι.

Ἐὰν δὲ ἡ μὲν, ὑπάρχειν. ἡ δὲ, ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, τὸ μὲν συμπέρασμα ἔσται ὅτι ἐνδέχεται, καὶ οὐχ ὅτι ὑπάρχει. συλλογισμὸς δὲ ἔσται ἐν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων τοῖς πρότερον. ἔστωσαν γὰρ πρῶτον κατηγορικοὶ, καὶ τὸ μὲν α παντὶ τῷ γ ὑπαρχέτω. τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέσθω. ἀντιστραφέντος δὴ τοῦ βγ, τὸ πρῶτον ἔσται σχῆμα. καὶ τὸ συμπέρασμα ὅτι ἐνδέχεται τὸ α τινὶ τῷ β ὑπάρχειν. ὅτε γὰρ ἡ ἑτέρα τῶν προτάσεων ἐν τῷ πρώτῳ σχήματι σημαίνῃ ἐνδέχεσθαι, καὶ τὸ συμπέρασμα ἦν ἐνδεχόμενον. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν βγ ὑπάρχοι, τὸ δὲ αγ ἐνδέχεται ὑπάρχειν. καὶ εἰ τὸ μὲν αγ στερητικόν. τὸ δὲ βγ κατηγορικὸν, ὑπάρχει δ' ὁποτερονοῦν ἀμφοτέρως, ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα. γίνεται δὲ πάλιν τὸ πρῶτον σχῆμα. δέδεικται δ' ὅτι τῆς ἑτέρας προτάσεως ἐνδέχεσθαι σημαινούσης ἐν αὐτῷ. καὶ τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. εἰ δὲ ἐνδεχόμενον τὸ στερητικὸν τεθείη πρὸς τὸ ἐλαττον ἄκρον, ἢ καὶ ἀμφω τεθείη στερητικὰ, οἱ αὐτῶν μὲν τῶν κειμένων οὐκ ἔσται συλλογισμός. ἀντιστραφέντων δ' ἔσται καθάπερ ἐν τοῖς πρότερον. εἰ δὲ ἡ μὲν, καθόλου τῶν προτάσεων, ἡ δὲ ἐν μέρει κατηγορικῶν μὲν οὐσῶν ἀμφοτέρων, ἢ τῆς μὲν, καθόλου στερητικῆς, τῆς δ' ἐν μέρει κατα φατικῆς, ὁ αὐτὸς ἔσται

τρόπος

τρόπος συλλογισμῶν. πάντες γὰρ περαίνονται διὰ τοῦ πρώτου σχήματος. ὥστε φανερὸν ὅτι τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ ὑπάρχειν ἔστιν ὁ συλλογισμός. εἰ δὲ ἡ μὲν καταφατικὴ καθόλου. ἡ δὲ στερητικὴ ἐν μέρει, διὰ τοῦ ἀδιωρίστου ἔστιν ἡ ἀπόδειξις. ὑπαρχέτω γὰρ τὸ μὲν Β παντὶ τῷ γ, τὸ δὲ α ἐνδέχεσθαι τινὶ τῷ γ μὴ ὑπάρχειν. ἀνάγκη δὴ τὸ α ἐνδέχεσθαι τινὶ τῷ β μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ τῷ β τὸ α ὑπάρξει ἐξ ἀνάγκης. τὸ δὲ β παντὶ τῷ γ κεῖται ὑπάρχειν. τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρξει. τοῦτο γὰρ δέδεικτο πρότερον. ἀλλ' ὑπέκειτο τινὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ὅταν δὲ ἀδιόριστοι ἐν μέρει ληφθῶσιν ἀμφότεραι, οὐκ ἔσται συλλογισμός. ἀποδείξις δὲ ἡ αὐτὴ ἡ καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων.

Μίξις ἀναγκαίου καὶ ἐνδεχομένου ἐν τῷ γ σχήματι.

Εἰ δέ ἐστιν ἡ μὲν ἀναγκαία τῶν προτάσεων. ἡ δὲ, ἐνδεχομένη. καταφατικῶν μὲν ὄντων τῶν ὅρων, ἀεὶ τοῦ ἐνδέχεσθαι ἔσται συλλογισμός. ὅταν δ' ἡ μὲν καταφατικὸν τὸ δὲ στερητικόν, ἐὰν μὲν ἡ τὸ καταφατικὸν ἀναγκαῖον, τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἐὰν δὲ τὸ στερητικὸν καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν. τοῦ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμός. ὥσπερ δ' ἐν τοῖς ἑτέροις σχήμασιν. ἔστωσαν δὴ καταφατικαὶ πρῶτον οἱ ὅροι. καὶ τὸ μὲν α, παντὶ τῷ γ ὑπαρχέτω ἐξ ἀνάγκης. τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέσθω ὑπάρχειν. ἐπεὶ οὖν τὸ μὲν α παντὶ τῷ γ ἐξ ἀνάγκης. τὸ δὲ γ τινὶ τῷ β ἐνδέχεται. καὶ τὸ α τινὶ τῷ β ἐνδεχόμενον ἔσται, καὶ οὐχ ὑπάρχον. οὕτως γὰρ συνέπιπτεν ἐπὶ τοῦ πρώτου σχήματος. ὁμοίως δὲ δειχθήσεται, καὶ εἰ τὸ μὲν β γ τεθείη ἀναγκαῖον, τὸ δὲ α γ ἐνδεχόμενον. πάλιν ἔστω τὸ μὲν καταφατικόν, τὸ δὲ στερητικόν. ἀναγκαῖον δὲ τὸ καταφατικόν. καὶ τὸ μὲν α ἐνδεχέσθω μηδενὶ τῷ γ ὑπάρχειν. τὸ δὲ β παντὶ ὑπαρχέτω ἐξ ἀνάγκης τῷ γ. ἔσται δὴ πάλιν τὸ πρῶτον σχῆμα.

καὶ

Αναλυτικῶν προτέρων, α.

καὶ τὸ συμπέρασμα ἐνδεχόμενον ἀλλ' οὐχ ὑπάρχον. καὶ ἡ γὰρ στερητικὴ πρότασις ἐνδέχεσθαι σημαίνει. φανερὸν οὖν ὅτι τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. ὅτε γὰρ οὕτως ἔχοιεν αἱ προτάσεις ἐν τῷ πρώτῳ σχήματι, καὶ τὸ συμπέρασμα ἦν ἐνδεχόμενον. εἰ δ' ἡ στερητικὴ πρότασις ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται. καὶ ὅτι ἐνδέχεται τινὶ μὴ ὑπάρχειν, καὶ ὅτι οὐχ ὑπάρχειν. κείσθω τὸ τῷ γ μὴ ὑπάρχειν, ἐξ ἀνάγκης. τὸ δὲ β παντὶ ἐνδέχεσθαι. ἀντιστραφέντος οὖν τοῦ β γ καταφατικοῦ, τὸ πρῶτον ἔστω σχῆμα. καὶ ἀναγκαία ἡ στερητικὴ πρότασις. ὅτε δ' οὕτως εἶχον αἱ προτάσεις, συνέβαινε τὸ α τῷ γ καὶ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν καὶ μὴ ὑπάρχειν. ὥστε καὶ τὸ α τῷ β ἀνάγκη τινὶ μὴ ὑπάρχειν. ὅταν δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον. ἐὰν μὲν ἐνδεχόμενον, ἔσται συλλογισμός. μεταληφθείσης τῆς προτάσεως ὥσπερ ἐν τοῖς πρότερον. ἐὰν δ' ἀναγκαῖον, οὐκ ἔσται. καὶ γὰρ παντὶ ἀνάγκη καὶ οὐδενὶ ἐνδέχεται ὑπάρχειν. ὅροι τοῦ παντὶ ὑπάρχειν. ὕπνος, ἵππος, καθεύδων ἄνθρωπος. τοῦ δὲ μηδενί. ὕπνος ἵππος. ἐγρηγορὼς ἄνθρωπος. ὁμοίως δὲ ἕξει καὶ εἰ ὁ μὲν καθόλου τῶν ὅρων, ὁ δ' ἐν μέρει πρὸς τὸ μέσον, κατηγορικῶν μὲν ὄντων ἀμφοτέρων, τοῦ ἐνδέχεσθαι, οὐ τοῦ ὑπάρχειν, ἔσται συλλογισμός. καὶ ὅταν τὸ μὲν, στερητικὸν ληφθῇ, τὸ δὲ, καταφατικόν. ἀναγκαῖον δὲ τὸ καταφατικὸν τοῦ ἐνδέχεσθαι. ὅταν δὲ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν. ὁ γὰρ αὐτὸς τρόπος ἔσται τῆς δείξεως. καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων. ἀνάγκη δὲ διὰ τῶν α σχήματος τελειοῦσθαι συλλογισμούς. ὥστε καθάπερ ἐν ἐκείνοις καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν. ὅταν δὲ τὸ στερητικὸν καθόλου ληφθὲν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, ἐὰν μὲν ἐνδεχόμενον, ἔσται συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς. ἐὰν δὲ ἀναγκαῖον ᾖ, οὐκ ἔσται. δειχθήσεται δὲ τὸν αὐτὸν τρόπον ὃν καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων. φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι, πότε καὶ πῶς ἔσται συλ

τὸ α.

λογι=

λογισμός καὶ πότε τὸ ἐνδέχεται ἢ πότε τὸ ὑπάρχειν δῆλον ἢ μὴ ὅτι πάντες ἀτελεῖς, ἢ ὅτι τελειοῦνται διὰ τοῦ α. σχήματος.

Περὶ ὑποθετικῶν συλλογισμῶν.

Ὅτι μὲν οὖν οἱ ἐν τούτοις τοῖς σχήμασι συλλογισμοὶ τελειοῦνται διὰ τῶν ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμῶν, ἢ εἰς τούτους ἀνάγοντες, δῆλον ἐκ τῶν εἰρημένων. ὅτι δ' ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἔξει, καὶ ἔσται φανερόν. ὅταν δειχθῇ πᾶς γινόμενος διὰ τούτων τινὸς τῶν σχημάτων, ἀνάγκη διὰ πάσων ἀποδείξιν καὶ πάντα συλλογισμόν, ἢ ὑπάρχόν τι, ἢ μὴ ὑπάρχον δείκνυναι. καὶ τοῦτο ἢ καθόλου ἢ κατὰ μέρος. ἔτι ἢ δεικτικῶς ἢ ἐξ ὑποθέσεως. τῶν δ' ἐξ ὑποθέσεως μέρος ἐστὶ διὰ τοῦ ἀδυνάτου. πρῶτον μὲν εἴπωμεν περὶ τῶν δεικτικῶν. ζεύκτων δὲ δειχθέντων, φανερὸν ἔσται καὶ ἐπὶ τῶν εἰς τὸ ἀδύνατον, ἢ ὅλως τῶν ἐξ ὑποθέσεως. εἰ δὴ δέοι τὸ α κατὰ τοῦ β συλλογίσασθαι ὡς ὑπάρχον, ἢ μὴ ὑπάρχον, ἀνάγκη λαβεῖν τι κατά τινος· εἰ μὲν οὖν τὸ α κατὰ τοῦ β ληφθείη, τὸ ἐξ ἀρχῆς ἔσται εἰλημμένον. εἰ δὲ κατὰ τοῦ γ, τὸ ὃ γ κατὰ μηδενός, μηδ' ἄλλο κατ' ἐκείνου. μηδὲ κατὰ τὸ α ἕτερον, οὐδεὶς ἔσται συλλογισμός. τῷ μὲν ἓν κατ' ἑνὸς ληφθῆναι οὐδὲν συμβαίνει ἐξ ἀνάγκης. ὥστε προσληπτέον ἢ ἑτέραν πρότασιν. ἐὰν μὲν οὖν ληφθῇ τὸ α κατ' ἄλλου, ἢ ἄλλο κατὰ τὸ α. ἢ κατὰ τοῦ γ ἕτερον, εἶεν μὲν συλλογισμὸν οὐδὲν κωλύει. πρὸς μὲν οὖν τὸ β οὐκ ἔσται διὰ τῶν εἰλημμένων. οὐ δ' ὅταν τὸ γ ἑτέρῳ, κἀκεῖνα ἄλλῳ, καὶ τοῦτο ἑτέρῳ, μὴ σωνάπτῃ πρὸς τὸ β. οὐ δ' οὕτως ἔσται πρὸς τὸ β συλλογισμὸς τοῦ α. ὅλως γὰρ εἴπομεν ὅτι οὐδεὶς οὐ δέ ποτε ἔσται συλλογισμός. ἄλλου κατ' ἄλλου μὴ ληφθέντος τινὸς μέσου, ὃ πρὸς ἑκάτερον ἔχει πως ταῖς κατηγορίαις. ὁ μὲν γὰρ συλλογισμὸς ἁπλῶς ἐκ προτάσεών ἐστιν. ὁ δὲ πρὸς τόδε συλλογισμὸς, ἐκ τῶν πρὸς τόδε προτάσεων. ὁ δὴ τοσόνδε, πρὸς τόδε, διὰ τῶν τόδε πρὸς τόδε προτάσεων. ἀδύνατον δὴ πρὸς τὸ λαβεῖν πρότασιν, μηδὲν μήτε κατη-

τηγορῶντας αὐτῶ, μὴ τε ἀπαρνουμένους. ἢ πάλιν τῶ α πρὸς τὸ ε μηδὲν κοινὸν λαμβάνοντας. ἀλλ' ἑκατέρου ἰδία ἅπαξ κατηγοροῦντας ἢ ἀπαρνουμένους. ὥστε λητέον τι μέσον, ἄμφοῖν ὃ συνάψει τὰς κατηγορίας, εἰ πέρ ἔστι τοῦτο πρὸς τόδε συλλογισμός. εἰ δὴ ἀνάγκη μέν τι λαβεῖν πρὸς ἄμφω κοινόν. τοῦτο δ' ἐνδέχεται, τριχῶς. ἢ γὰρ τὸ α τῶ γ. καὶ τὸ γ τῶ β κατηγορήσαντες, ἢ τὸ ς κατ' ἀμφοῖν, ἢ ἄμφω κατὰ τῶ γ. ταῦτα δ' ἔτι τὰ εἰρημένα σχήματα. φανερὸν ὅτι πάντα συλλογισμὸν, ἀνάγκη γίνεσθαι διὰ τούτων τινὸς τῶν σχημάτων. ὁ γὰρ αὐτὸς λόγος καὶ εἰ διὰ πλειόνων σωμάτων πρὸς τὸ β. τὸ αὐτὸ γὰρ ἔσται σχῆμα καὶ ἐπὶ τῶν πολλῶν. ὅτι μὲν δὴ οἱ λεκτικοὶ περαίνονται πάντες διὰ τῶν προειρημένων σχημάτων, φανερόν. ὅτι δὲ καὶ οἱ εἰς τὸ ἀδιώνατον, δῆλον ἔσται διὰ τούτων. πάντες γὰρ οἱ διὰ τοῦ ἀδυνάτου περαίνοντες, τὸ μὲν ψεῦδος συλλογίζονται· τὸ δ' ἐξ ἀρχῆς ἐξ ὑποθέσεως δεικνύουσιν, ὅταν ἀδυνάτόν τι συμβαίνῃ τῆς ἀντιφάσεως τεθείσης. οἷον ὅτι ἀσύμμετρος ἡ διάμετρος, διὰ τὸ γίνεσθαι τὰ περιττὰ ἴσα ζυγοῖς ἀρτίοις, συμμέτρου τεθείσης. τὸ μὲν δὴ ἴσα γίνεσθαι τὰ περιττὰ τοῖς ἀρτίοις, συλλογίζονται. τὸ δ' ἀσύμμετρον εἶναι τὴν διάμετρον, ἐξ ὑποθέσεως δείκνυσιν. ἐπεὶ ψεῦδος συμβαίνει διὰ τὴν ἀντίφασιν. τοῦτο γὰρ τὸ διὰ τοῦ ἀδυνάτου ἦν συλλογίσασθαι τὸ δεῖξαί τι ἀδύνατον διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ὥστε ἐπεὶ τὸ ψεῦδος γίνεται συλλογισμὸς λεκτικὸς ἐν τοῖς εἰς τὸ ἀδύνατον ἀπαγομένοις, τὸ δ' ἐξ ἀρχῆς, ἐξ ὑποθέσεως δείκνυται. τοὺς δὲ λεκτικοὺς πρότερον εἴπομεν. ὅτι διὰ τούτων περαίνονται τῶν σχημάτων. φανερὸν δὴ ὅτι οἱ διὰ τοῦ ἀδυνάτου συλλογισμοὶ, διὰ τούτων ἔσονται τῶν σχημάτων. ὡσαύτως δὴ καὶ οἱ ἄλλοι πάντες οἱ ἐξ ὑποθέσεως. ἐν ἅπασι γὰρ ὁ μὲν συλλογισμὸς γίνεται πρὸς τὸ μεταλαμβανόμενον. τὸ δ' ἐξ ἀρχῆς,

περαίνεται δὲ ὁμολογίας, ἥτινος ἄλλης ὑποθέσεως. εἰ δὲ τοῦτ' ἄλη
θὲς, πᾶσαν ἀποδείξιν, καὶ πάντα συλλογισμὸν, ἀνάγκη γίνεσθαι
διὰ τριῶν τῶν εἰρημένων σχημάτων. τούτου δὲ δειχθέντος, δῆλον ὡς
ἅπαντες συλλογισμοὶ ἐπιτελοῦνται διὰ τοῦ πρώτου σχήματος, καὶ ἀνάγε
ται εἰς τοὺς ἐν τούτῳ καθόλου συλλογισμούς. ἔτι δὲ ἐν ἅπασι κατη
γορικόν τινα τῶν ὅρων δεῖ εἶναι. καὶ τὸ καθόλου ὑπάρχειν. ἄνευ γὰρ
τοῦ καθόλου, ἢ οὐκ ἔσται συλλογισμός, ἢ οὐ πρὸς τὸ προκείμενον, ἢ ἀεὶ ἐξ
ἀρχῆς αἰτήσεται. κείσθω γὰρ τὴν μουσικὴν ἡδονὴν εἶναι ἀγαθείαν. εἰ μὲν οὖν
ἀξιώσειαν ἡδονὴν εἶναι ἀγαθείαν μὴ προσθεὶς τὸ πᾶσαν,
οὐκ ἔσται συλλογισμός. εἰ δὲ τινὰ ἡδονὴν, εἰ μὲν ἄλλως, οὐδὲν πρὸς τὸ
προκείμενον. εἰ δ' αὐτὴν ταύτην τὸ ἐξ ἀρχῆς λαμβάνει. μᾶλλον δὲ γί
νεται φανερὸν ἐν τοῖς διαγράμμασιν. οἷον ὅτι τοῦ ἰσοσκελοῦς ἴσαι αἱ
πρὸς τῇ βάσει. ἔστωσαν εἰς τὸ κέντρον ἠγμέναι αἱ α β. εἰ οὖν ἴσην λαμ=
βάνει τὴν α γ γωνίαν τῇ β δ μὴ ὅλως ἀξιώσας γωνίας τὰς τῶν ἡμι=
κυκλίων. καὶ πάλιν τὴν γ τῇ δ μὴ πᾶσαν προσλαβὼν τὴν τοῦ τμή=
ματος. ἔτι δὲ ἀπ' ἴσων οὐσῶν τῶν ὅλων γωνιῶν, καὶ ἴσων ἀφῃρημένων,
ἴσας εἶναι τὰς λοιπὰς τὰς ε ζ, τὸ ἐξ ἀρχῆς αἰτήσεται. ἐὰν μὴ λάβῃ
ἀπὸ τῶν ἴσων ἴσα ἀφαιρουμένων ἴσα λείπεσθαι. φανερὸν οὖν ὅτι ἐν
ἅπασι δεῖ καθόλου ὑπάρχειν. καὶ ὅτι τὸ μὲν καθόλου, ἐξ ἁπάντων
τῶν ὅρων καθόλου δείκνυται. τὸ δ' ἐν μέρει. καὶ οὕτως κἀκείνως. ὥ=
στε ἂν μὲν ᾖ τὸ συμπέρασμα καθόλου, καὶ τοὺς ὅρους ἀνάγκη καθόλου εἶ
ναι. ἐὰν δὲ οἱ ὅροι καθόλου, οὐδὲν κωλύει τὸ συμπέρασμα μὴ εἶναι κα=
θόλου. δῆλον δὲ καὶ ὅτι ἐν ἅπαντι συλλογισμῷ, ἢ ἀμφοτέρας, ἢ
τὸ ἕτερον πρότασιν ὁμοίαν ἀνάγκη γίνεσθαι τῷ συμπεράσματι. λέ=
γω δ' οἷον τὸ καταφατικὴν εἶναι, ἢ στερητικὴν, ἀλλὰ τὸ ἀναγ=
καίαν, ἢ ὑπάρχουσαν, ἢ ἐνδεχομένην. ἐπισκέψασθαι δὲ δεῖ καὶ τὰ

ἅμα

ἄλλας κατηγορίας. φανερὸν δὲ καὶ ἁπλῶς, πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός. καὶ πότε δυνατὸς, καὶ πότε τέλειος, καὶ ὅτι συλλογισμοῦ ὄντος, ἀναγκαῖον ἔχειν τοὺς ὅρους κατά τινα τὸν εἰρημένον τρόπον. δῆλον δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις. ἔσται διὰ τριῶν ὅρων καὶ οὐ πλειόνων. ἐὰν μὴ δι' ἄλλων καὶ ἄλλων τὸ αὐτὸ συμπέρασμα γίνεται. οἷον τὸ ε διά τε τῶν α β, καὶ διὰ τῶν γ δ, ἢ διὰ τῶν α β, καὶ α γ, καὶ β γ. πλείω γὰρ μέσα τῶν αὐτῶν, οὐδὲν εἶναι κωλύει. τούτων δὲ ὄντων, οὐχ' εἷς, ἀλλὰ πλείους εἰσὶν οἱ συλλογισμοὶ, ἢ πάλιν ὅταν ἑκάτερον τῶν α β διὰ συλλογισμοῦ ληφθῇ, οἷον τὸ α διὰ τῶν δ ε. καὶ πάλιν τὸ β. διὰ τῶν ζ θ, ἢ τὸ μὲν, ἐπαγωγῇ. τὸ δὲ, συλλογισμῷ. ἀλλὰ καὶ οὕτως πλείους οἱ συλλογισμοί. πλείω γὰρ τὰ συμπεράσματά ἐστιν. οἷον τό, τε α καὶ τὸ β, καὶ τὸ γ. εἰ δ' οὖν μὴ πλείους ἀλλ' εἷς, οὕτως μὲν ἐνδέχεται γίνεσθαι, διὰ πλειόνων τὸ αὐτὸ συμπέρασμα. ὡς δὲ τὸ γ διὰ τῶν α β, ἀδύνατον. ἔστω γὰρ τὸ ε συμπέρασμα ἐκ τῶν α β γ δ. οὐκοῦν ἀνάγκη τι αὐτῶν ἄλλο πρὸς ἄλλο εἰλῆφθαι. τὸ μὲν, ὡς ὅλον. τὸ δ' ὡς μέρος. οὕτω γὰρ δέδεικται πρότερον. ὅτι ὄντος συλλογισμοῦ, ἀναγκαῖον οὕτως τινὰς ἔχειν τῶν ὅρων. ἐχέτω οὖν τὸ α οὕτως πρὸς τὸ β. ἔστιν ἄρα τι ἐξ αὐτῶν συμπέρασμα. οὐκοῦν ἤτοι τὸ ε, ἢ τῶν γ δ θάτερον, ἢ ἄλλό τι παρὰ ταῦτα, καὶ εἰ μὲν τὸ ε ἐκ τῶν α β μόνων ἂν εἴη ὁ συλλογισμός. τὸ δὲ γ δ. εἰ μὲν ἔχει οὕτως ὥστ' εἶναι τὸ μὲν, ὡς ὅλον. τὸ δ' ὡς μέρος, ἔσται τι καὶ ἐξ ἐκείνων καὶ ἤτοι τὸ ε, ἢ τῶν α β θάτερον, ἢ ἄλλό τι παρὰ ταῦτα. καὶ εἰ τὸ μὲν ε, ἢ τῶν α β θάτερον, ἢ πλείους ἔσονται οἱ συλλογισμοὶ, ἢ ὡς ἐνεδέχετο ταυτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι συμβαίνει. εἰ δ' ἄλλό τι παρὰ ταῦτα, πλείους ἔσοντες. καὶ ἀσύναπτοι οἱ συλλογισμοὶ πρὸς ἀλλήλους. εἰ δὲ μὴ οὕτως ἔχοι τὸ γ πρὸς τὸ δ ὥστε ποιεῖν συλλογισμὸν, μάτην ἔσται εἰ λημμένα

τῶν εἰρημένων τρόπων

μβύα, εἰ μὴ ἐπαγωγῆς, ἢ κρύψεως, ἢ τινὸς ἄλλου τῶν τοιούτων χάριν. εἰ δὲ ἐκ τῶν α β μὴ τὸ ε. ἀλλὰ ἄλλό τι γίνεται συμπέρασμα. ἐκ δὲ τῶν γ δ, ἢ τούτων θάτερον, ἢ ἄλλο παρὰ ταῦτα, πλείους τε οἱ συλλογισμοὶ γίνονται. καὶ οὐ τὸ ὑποκείμενον. ὑπέκειτο γὰρ εἶναι τοῦ ε τὸν συλλογισμόν. εἰ δὲ μὴ γίνεται ἐκ τῶν γ δ μηδὲν συμπέρασμα, μάτην αὐτὰ εἰλῆφθαι συμβαίνει. καὶ μὴ τὸ ἐξ ἀρχῆς εἶν τὸν συλλογισμόν, ὥστε φανερόν, ὅτι πᾶσα ἀπόδειξις, καὶ πᾶς συλλογισμὸς, ἔσται διὰ τριῶν ὅρων μόνων. τούτου δ' ὄντος φανεροῦ, δῆλον ὡς καὶ ἐκ δύο προτάσεων, καὶ οὐ πλειόνων. οἱ γὰρ τρεῖς ὅροι, δύο προτάσεις. εἰ μὴ προσλαμβάνοιτό τι. καθάπερ ἐν τοῖς ἐξ ἀρχῆς ἐλέχθη, πρὸς τὴν τελείωσιν τῶν συλλογισμῶν. φανερὸν δὲ καὶ ὅτι ὡς ἐν τῷ λόγῳ συλλογιστικῷ μὴ ἄρτιαί εἰσιν αἱ προτάσεις. δι' ὧν γίνεται τὸ συμπέρασμα τὸ κύριον. ἔνια γὰρ τῶν ἄνωθεν συμπερασμάτων ἀναγκαῖον εἶναι προτάσεις. ὗτος ὁ λόγος, ἢ οὐ συλλελόγισται, ἢ πλείω τῶν ἀναγκαίων ἠρώτηκε πρὸς τὴν θέσιν. κατὰ μὲν δὴ τὰς κυρίας προτάσεις λαμβανομένων τῶν συλλογισμῶν, ἅπας ἔσται συλλογισμὸς, ἐκ προτάσεων μὲν ἀρτίων, ἐξ ὅρων δὲ περιττῶν. ἑνὶ γὰρ πλείους ὅροι τῶν προτάσεων. ἔσται δὲ καὶ τὰ συμπεράσματα. ἡμίσει τῶν προτάσεων. ὅταν δὲ διὰ προσυλλογισμῶν περαίνηται, ἢ διὰ πλειόνων μέσων μὴ σωρευχῶν. οἷον τὸ α β. διὰ τῶν γ δ. τὸ μὲν πλῆθος τῶν ὅρων ὡσαύτως ἑνὶ ὑπερέξει τὰς προτάσεις. ἢ γὰρ ἔξωθεν, ἢ εἰς τὸ μέσον τεθήσεται ὁ πλησιαίτατος ὅρος. ἀμφοτέρως δὲ συμβαίνει ἐλάττω εἶναι τὰ διαστήματα τῶν ὅρων. αἱ δὲ προτάσεις ἴσαι τοῖς διαστήμασιν, οὐ μὴν τοι αἱ μὲν ἀεὶ ἄρτιαι ἔσονται. οἱ δὲ, περιττοί.

ἀλλ' ἐν

ἀλλ' ἐναλλάξ. ὅταν μὲν αἱ προτάσεις ἄρτιαι, περιττοὶ οἱ ὅροι. ὅταν δ' οἱ ὅροι ἄρτιοι, περιτταὶ αἱ προτάσεις. ἅμα γὰρ τῷ ὅρῳ μία προστίθεται πρότασις, ἂν ὁποθενοῦν προστεθῇ ὁ ὅρος. ὥστε ἐπεὶ αἱ μὲν, ἄρτιαι. οἱ δὲ περιττοὶ ἦσαν, ἀνάγκη παραλλάττειν τῆς αὐτῆς προσθέσεως γινομένης. τὰ δὲ συμπεράσματα, οὐκέτι τὴν αὐτὴν ἕξει τάξιν, οὔτε πρὸς τοὺς ὅρους, οὔτε πρὸς τὰς προτάσεις, ἑνὸς γὰρ ὅρου προστιθεμένου, συμπεράσματα προστεθήσεται ἑνὶ ἐλάττω τῶν προϋπαρχόντων ὅρων. πρὸς μόνον γὰρ τὸν ἔσχατον ὅρον οὐ ποιεῖ συμπέρασμα. πρὸς δὲ τοὺς ἄλλους πάντας. οἷον εἰ τὸ α β γ πρόσκειται τὸ α. εὐθὺς καὶ συμπεράσματα δύο πρόσκειται. τό, τε πρὸς τὸ α καὶ τὸ πρὸς τὸ β. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων. κἂν εἰς τὸ μέσον δὲ παρεμπίπτῃ, τὸν αὐτὸν τρόπον. πρὸς ἕνα γὰρ μόνον οὐ ποιήσει συλλογισμόν. ὥστε πολὺ πλείω τὰ συμπεράσματα, καὶ τῶν ὅρων ἔσται, καὶ τῶν προτάσεων. ἐπεὶ δ' ἔχομεν περὶ ὧν οἱ συλλογισμοὶ, καὶ ποῖον ἐν ἑκάστῳ σχήματι, καὶ ποσαχῶς δείκνυται. φανερὸν ἡμῖν ἐστι καὶ ποῖον πρόβλημα χαλεπὸν, καὶ ποῖον εὐεπιχείρητον. τὸ μὲν ἐν πλείοσι σχήμασι, καὶ διὰ πλειόνων πτώσεων περαινόμενον, ῥᾷον. τὸ δ' ἐν ἐλάττοσι. καὶ δι' ἐλαττόνων, δυσεπιχειρητότερον. τὸ μὲν οὖν καταφατικὸν τὸ καθόλου, διὰ τοῦ πρώτου σχήματος δείκνυται μόνου, καὶ τούτου μοναχῶς. τὸ δὲ στερητικὸν, διὰ τοῦ α καὶ διὰ τοῦ μέσου. καὶ διὰ μὲν τοῦ α, μοναχῶς. διὰ δὲ τοῦ μέσου, διχῶς. τὸ δ' ἐν μέρει καταφατικὸν, διὰ τοῦ α, καὶ διὰ τοῦ ἐσχάτου. μοναχῶς μὲν διὰ τοῦ α. τριχῶς δὲ διὰ τοῦ ἐσχάτου. τὸ δὲ στερητικὸν τὸ κατὰ μέρος, ἐν ἅπασι τοῖς σχήμασι δείκνυται. πλὴν ἐν μὲν τῷ πρώτῳ, ἅπαξ. ἐν δὲ τῷ μέσῳ, καὶ τῷ ἐσχάτῳ, ἐν τῷ μὲν

τῷ .δ.

διχῶς

διχῶς. ἢ τριχῶς. φανερὸν οὖν ὅτι τὸ καθόλου κατηγορικὸν, κατασκευάσαι μὲν, χαλεπώτατον. ἀνασκευάσαι δὲ, ῥᾷον. ὅλως δ' ἐστὶν ἀναιροῦντι μὲν τὰ καθόλου τῶν ἐν μέρει, ῥᾷον. καὶ γὰρ ἂν μηδενὶ καὶ ἅντινι, μὴ ὑπάρχῃ, ἀνῄρηται. τούτων δὲ τὸ μὲν, τινὶ μὴ, ἐν ἅπασι τοῖς σχήμασι λείπνυται. τὸ δὲ μηδενὶ, ἐν τοῖς δυσί. ὁμοίως δὲ τρόπον καὶ ἐπὶ τῶν στερητικῶν. καὶ γὰρ εἰ παντὶ καὶ εἰ τινὶ, ἀνῄρηται τὸ ἐξ ἀρχῆς. τοῦτο δ' ἦν ἐν δυσὶ σχήμασιν. ἐπὶ δὲ τῶν ἐν μέρει μοναχῶς. ἢ παντὶ ἢ μηδενὶ λείξαντα ὑπάρχειν κατασκευάζοντι δὲ ῥᾷόν τὰ ἐν μέρει. καὶ γὰρ ἐν πλείοσι σχήμασι καὶ διὰ πλειόνων τρόπων ὅλως τε, οὐ δεῖ λανθάνειν. ὅτι ἀνασκευάσαι μὲν δι' ἀλλήλων ἐστὶ καὶ τὸ καθόλου διὰ τῶν ἐν μέρει. καὶ ταῦτα διὰ τῶν καθόλου. κατασκευάσαι δ' οὐκ ἔστι διὰ τῶν κατὰ μέρος τὰ καθόλου. δι' ἐκείνων δὲ ταῦτά ἐστιν. ἅμα δὲ δῆλον ὅτι καὶ τὸ ἀνασκευάζειν ἐστὶ τοῦ κατασκευάζειν ῥᾷον. πῶς μὲν οὖν γίνεται πᾶς συλλογισμὸς, καὶ διὰ πόσων ὅρων καὶ προτάσεων καὶ πῶς, ἐχουσῶν πρὸς ἀλλήλας. ἔτι δὲ ποῖον πρόβλημα ἐν ἑκάστῳ σχήματι, καὶ ποῖον ἐν πλείοσι καὶ ποῖον ἐν ἐλάττοσι λείπνυται δῆλον ἐκ τῶν εἰρημένων.

ΠΕΡΙ ΕΥΠΟΡΙΑΣ ΠΡΟΤΑΣΕΩΝ. ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Πῶς δὲ εὐπορήσομεν αὐτοὶ πρὸς τὸ τιθέμενον ἀεὶ συλλογισμῶν. καὶ διὰ ποίας ὁδοῦ ληφόμεθα τὰς περὶ ἕκαστον ἀρχὰς, νῦν ἤδη λεκτέον. οὐ μόνον γὰρ ἴσως δεῖ θεωρεῖν τὴν γένεσιν τῶν συλλογισμῶν, ἀλλὰ καὶ τὴν δύναμιν ἔχειν τοῦ ποιεῖν. ἁπάντων δὲ τῶν ὄντων, τὰ μὲν ἐστι τοιαῦτα, ὥστε κατὰ μηδενὸς ἄλλου κατηγο-

τηγορεῖσθαι, ἀληθῶς καθόλου. οἷον, Κλέων καὶ Καλλίας. καὶ τὸ καθ' ἕκαστον καὶ αἰσθητόν. κατὰ δὲ τούτων, ἄλλα. καὶ γὰρ ἄνθρωπος καὶ ζῶον ἑκάτερον τούτων ἐστί. τὰ δὲ αὐτὰ μὲν, κατ' ἄλλων κατηγορεῖται. κατὰ τούτων δὲ, ἄλλα πρότερον οὐ κατηγορεῖται. τὰ δὲ καὶ αὐτὰ, ἄλλων. καὶ αὐτῶν ἕτερα. οἷον ἄνθρωπος, Καλλίου. καὶ ἀνθρώπου ζῶον. ὅτι μὲν οὖν ἔνια τῶν ὄντων κατ' οὐδενὸς πέφυκε λέγεσθαι, δῆλον. τῶν γὰρ αἰσθητῶν σχεδὸν ἕκαστόν ἐστι τοιοῦτον, ὥστε μὴ κατηγορεῖσθαι κατὰ μηδενός, πλὴν ὡς κατὰ συμβεβηκός. φαμὲν γὰρ ποτὲ τὸ λεικὸν ἐκεῖνο Σωκράτην εἶναι. καὶ τὸ προσιὸν, Καλλίαν. ὅτι δὲ καὶ ἐπὶ τὸ ἄνω προτομένοις ἵσταταί ποτε, πάλιν ἐροῦμεν. νῦν δ' ἔστω τοῦτο κείμενον. κατὰ μὲν οὖν τούτων, οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερον. πλὴν εἰ μὴ κατὰ δόξαν. ἀλλὰ ταῦτα, κατ' ἄλλων. οὐ δὲ τὰ καθέκαστα κατ' ἄλλων, ἀλλ' ἕτερα κατ' ἐκείνων. τὰ δὲ μεταξὺ, δῆλον ὡς ἀμφοτέρως ἐνδέχεται. καὶ γὰρ καὶ αὐτὰ, κατ' ἄλλων. καὶ ἄλλα κατὰ τούτων λεχθήσεται. καὶ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις εἰσὶ μάλιστα περὶ τούτων. δεῖ δὲ τὰς προτάσεις περὶ ἕκαστον τούτων, οὕτως ἐκλαμβάνειν. ὑποτιθέμενον αὐτὸ πρῶτον, καὶ τοὺς ὁρισμοὺς καὶ ὅσα ἴδια τοῦ πράγματος. εἶτα μετὰ τοῦτο, ὅσα ἕπεται τῷ πράγματι· καὶ πάλιν οἷς τὸ πρᾶγμα ἀκολουθεῖ. καὶ ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν. οἷς δ' αὐτὸ μὴ ἐνδέχεται, οὐκ ἐκληπτέον. διὰ τὸ ἀντιστρέφειν τὸ στερητικόν. διαιρετέον δὲ καὶ τῶν ἑπομένων ὅσα τε ἐν τῷ τί ἐστι, καὶ ὅσα ἴδια, καὶ ὅσα ὡς συμβεβηκότα κατηγορεῖται. καὶ τούτων, ποῖα δοξαστικῶς. καὶ ποῖα κατ' ἀλήθειαν. ὅσῳ μὲν γὰρ ἂν πλειόνων τοιούτων ἀπορῇτις, θᾶττον ἐντεύξεται συμπεράσματι. ὅσῳ δ' ἂν

ἐυπορῇτις

δ' ἂν ἀληθέστερον, μᾶλλον ἀποδείξει. δεῖ δ' ἐκλέγειν, μὴ τὰ τινὶ ἑπόμενα. ἀλλ' ὅσα ὅλῳ τῷ πράγματι ἕπεται, οἷον μὴ τί τινι ἀνθρώπῳ. ἀλλὰ τί παντὶ ἀνθρώπῳ ἕπεται. διὰ γὰρ τῶν καθόλου προτάσεων ὁ συλλογισμός. ἀδιορίστου μὲν ὄντος, ἄδηλον εἰ καθόλου ἡ πρότασις. διωρισμένου δέ, φανερόν. ὁμοίως δ' ἐκλεκτέον καὶ οἷς αὐτὸ ἕπεται ὅλοις διὰ τὴν εἰρημένην αἰτίαν. αὐτὸ δὲ τὸ ἑπόμενον, οὐ ληπτέον μὴ ὅλον ἕπεσθαι. λέγω δ' οἷον ἀνθρώπῳ πᾶν ζῷον, ἢ μουσικῇ πᾶσαν ἐπιστήμην. ἀλλ' ἁπλῶς μόνον ἀκολουθεῖν καθάπερ καὶ προτείνομεθα. καὶ γὰρ ἄχρηστον θάτερον καὶ ἀδιάπτωτον. οἷον πάντα ἄνθρωπον εἶναι πᾶν ζῷον. ἢ δικαιοσύνην, ἅπαν ἀγαθόν. ἀλλ' ᾧ ἕπεται ἐπ' ἐκείνῳ τῷ παντὶ λέγεται. ὅταν δ' ὑπό τινος περιέχηται τὸ ὑποκείμενον, ᾧ τὰ ἑπόμενα δεῖ λαβεῖν. τὰ μὲν τῷ καθόλου ἑπόμενα ἢ μὴ ἑπόμενα, οὐκ ἐκλεκτέον ἐν τούτοις. ἐνίοτε γὰρ ἐν ἐκείνοις. ὅσα γὰρ ζῴῳ, καὶ ἀνθρώπῳ ἕπεται, καὶ ὅσα μὴ ὑπάρχει ὡσαύτως. τὰ δὲ περὶ ἕκαστον ἴδια ληπτέον. ἔστι γὰρ ἅπτα τῷ εἴδει ἴδια παρὰ τὸ γένος. ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν, ἴδια ἅπτα ὑπάρχειν. οὐ δὲ δεῖ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περιεχόμενον. οἷον ζῴῳ, οἷς ἕπεται ἄνθρωπος. ἀνάγκη μὲν γὰρ εἰ ἀνθρώπῳ ἀκολουθεῖ τὸ ζῷον. καὶ τούτοις ἅπασιν ἀκολουθεῖν. οἰκειότερα δὲ ταῦτα τῆς τοῦ ἀνθρώπου ἐκλογῆς. ληπτέον δὲ καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενα, καὶ οἷς ἕπεται, τῶν γὰρ ὡς ἐπὶ τὸ πολὺ προβλημάτων, καὶ ὁ συλλογισμὸς ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ προτάσεων ἢ πασῶν ἢ τινῶν. ὅμοιον γὰρ ἑκάστου τὸ συμπέρασμα ταῖς ἀρχαῖς. ἔτι τὰ πᾶσιν ἑπόμενα, οὐκ ἐκλεκτέον. οὐ γὰρ ἔσται συλλογισμὸς ἐξ αὐτῶν. δεῖ ἢν δὲ αἰτίαν, ᾗ τοῖς ἑπομένοις ἔσται δῆλον. κατασκευάζειν μὲν οὖν βουλομένοις κατά τινος ὅλου, τοῦτο μὲν κατασκοπεῖν, βλεπτέον εἰς τὰ ὑποκείμενα, κᾀ ὧν ἂν τυγχάνει λεγόμενον. οὗ δὲ δεῖ

δὲ δεῖ κατηγορεῖσθαι, ὅσα τούτῳ ἕπεται. ἂν γάρ τι τούτων ᾖ ταὐτὸν, ἀνάγκη θάτερον θατέρῳ ὑπάρχειν. ἢν δὲ μὴ ὅτι παντὶ ἀλλ' ὅτι τινὶ ὅις ἕπεται ἑκάτερον. εἰ γάρ τι τούτων, ταὐτὸν εἴη, ἀνάγκη τινὶ ὑπάρχειν. ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν. ᾧ μὲν οὐδεῖ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. ὃ δὲ δεῖ μὴ ὑπάρχειν εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι. ὃ δὲ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. ζύτων γὰρ ὄντων τῶν αὐτῶν ὁποτερωοῦν οὐδενὶ ἐνδέχεται θατέρῳ θάτερον ὑπάρχειν. γίνεται γὰρ ὁτὲ μὲν, ὁ ἐν τῷ πρώτῳ σχήματι συλλογισμός. ὁτὲ δὲ ὁ ἐν τῷ μέσῳ. ἐὰν δέ τινι μὴ ὑπάρχειν, ᾧ μὲν δεῖ ὑπάρχειν ὅις ἕπεται. ὃ δὲ, μὴ ὑπάρχειν, ἃ μὴ δυνατὸν αὐτῷ ὑπάρχειν. εἰ γάρ τι τούτων εἴη ταὐτὸν, ἀνάγκη τινὶ μὴ ὑπάρχειν. μᾶλλον δ' ἴσως ᾧ δ' ἔστι τῶν λεγομένων ἕκαστον φανερόν. ἔστω γὰρ τὰ μὲν ἑπόμενα τῷ α. ἐφ' ὧν β. ὅις δὲ αὐτὸ ἕπεται ἐφ' ὧν γ. ἃ δὲ μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν, ἐφ' ὧν δ. παλιν δὲ τῷ ε, τὰ μὲν ὑπάρχοντα, ἐφ' ὅις ζ. ὅις δ' αὐτὸ ἕπεται, ἐφ' ὅις η, ἃ δὲ μὴ ἐνδέχεται, αὐτῶν ὑπάρχειν ἐφ' ὅις θ.

τὴν ἀναπαλιν ὧ μὲν δεῖ μὴ ὑπάρχειν ᾧ δὲ μὴ ἐνδέχεται παρεῖναι· ὃ δὲ μὴ ὑπάρχειν εἰς τὰ ἑπόμενα

μὴ ὑπαρχὴν


B
Z
Ασύστατος
μερικὸν καταφατικὸν
ἐν α καὶ β τὸ οὐδεὶς, δι' ἀντι
α καὶ β χήματι
Α
Ε
καθόλου ἀποφατικὸν ἐν
φατικόν.
στροφῆς
Δ
Α σύ
ΣΤΑ ΤΟΣ
Θ
ἐν τοῖς τρι
ΣΤΑ ΤΟΣ.
ἐν πρώτῳ καθόλου κατα
σι τὸ οὐ πᾶς δι' ἀντιστροφῆς
περάσματος καὶ ἐν γ.
Α σύ
Γ
μερικὸν καταφατικὸν ἐν α καὶ ἐν γ δι' ἀντιστροφῆς
Η

Ἐπόμενα τῷ Α. ὠφέλιμον, αἱρετὸν, διωκτὸν, οἰκεῖον, ἐφετὸν λυσιτελὲς συμφέρον. Τὰ ἀλλότρια τοῦ Α Ατελὲς φυκτὸν, βλαβερόν, κακὸν, χαμιῶδες ἀλλότριον, ἀσύμφορον. ὅις ἕπεται τὸ Α. εὐδαιμονία, εὐεξία, κατὰ φύσιν, ζῦ ἕνεκεν, τέλειον, κατ' ἀρετὴν βίος.

Τὰ ἑπόμενα τῷ Ε. κίνησις, ὠ ἐργεια κατὰ φύσιν. ἀνεμπόδιστος ζωή. ἢ κατὰ φύσιν ὀρεκτὸν ἢ ἀνενόχλητον. τὸ αἱρετόν. Ἀλλότρια τοῦ Ε. Νόσος, πόνος, ἀπορία, φόβος. παρὰ φύσιν κίνησις. ὅις ἕπεται τὸ Ε. ὑγεία, εὐπορία, εὐδοξία, εὐτεκνία, κατ' ἀρετὴν βίος, ἄπονος ζωή. Κίνησις

Τοῦτο τὸ διάγραμμα τῶν περὶ εὐπορίας προτάσεών ἐστι. καὶ νοεῖται ἡ α. ἢ ε. πρότασις ἔχουσα κατηγορούμενον τὸ α ἢ ἀγαθόν. ὑποκείμενον τὸ ε. ἢ ἡδονή. τὸ δὲ β, τὰ ἑπόμενα τῷ α. τὸ δὲ γ, ὅις ἕπεται τὸ α. τὸ δὲ δ, τὰ ἄλλότρια αὐτοῦ, καὶ πάλιν τὸ ζ, τὰ ἑπόμενα τῷ ε. τὸ δὲ η, ὅις ἕπεται τὸ ε. τὸ δὲ θ, τὰ ἀλλότρια αὐτοῦ, γίνονται οὖν συζυγίαι, θ, οὕτως, β ξ, γ η, δ θ, γ ξ, β θ, δ ξ, γ θ, δ η, ξ η. ὧν αἱ μὲν ἐξ σωίσαντες καὶ ποιοῦσι συλλογισμόν. αἱ δὲ, ς, ἤτε, β ξ, γ θ, δ θ, ἀσύστατοι.

συνυγίας ποιοῦσαι συλλογισμὸν. ἑξ.

βη. βθ. γζ. ~~τθ.~~ ϛη. δζ. δη.

Αριστοτέλους

τῶν. γ. εἰ μὲν οὖν ταυτό τι ἔσται τῷ γ τινὶ τῷ ζ. ἀνάγκη τὸ α παντὶ τῷ ε ὑπάρχειν. τὸ μὲν γὰρ ζ παντὶ τῷ ε. τῷ δὲ γ παντὶ, τὸ α. ὥστε παντὶ τῷ ε τὸ α. εἰ δὲ τὸ γ καὶ τὸ η ταυτὸν, ἀνάγκη τινὶ τῷ ε, τὸ α ὑπάρχειν τῷ μὲν δὴ γ, τὸ α. τῷ δὲ η, τὸ ε παντὶ ἀκολουθεῖ. εἰ δὲ τὸ ζ καὶ τὸ δ ταυτὸν, οὐδενὶ τῷ ε τὸ α ὑπάρξει ἐκ προσυλλογισμοῦ. ἐπεὶ δὴ ἀντιστρέφει τὸ

τῷ. δ. στερητικὸν, καὶ τὸ ζ τῷ α ταυτὸν, οὐδενὶ τῶν ζ ὑπάρξει τὸ α. τὸ δὴ ζ παντὶ τῷ ε. πάλιν εἰ τὸ β καὶ τὸ θ ταυτὸν, οὐδενὶ τῷ ε, τὸ α ὑπάρξει. τὸ γὰρ β τῷ μὲν α παντὶ, τὸ δ' ἐφ' ᾧ τὸ ε, οὐδενὶ ὑπάρξει. ταυτὸ γὰρ ἦν τῷ θ τὸ β. τὸ δὲ θ οὐδενὶ τῷ ε ὑπῆρχεν. εἰ δὲ τὸ δ καὶ τὸ η ταυτὸν, τὸ α τινὶ τῷ ε οὐχ ὑπάρξει. τῷ γὰρ η, οὐκ ὑπάρξει τὸ α. ὅτι οὐδὲ τῷ δ. τὸ δὲ η ἐστὶν ὑπὸ τὸ ε. ὥστε τινὶ τῷ ε οὐχ ὑπάρξει. εἰ δὲ τὸ η καὶ τὸ β ταυτὸν, ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. τὸ μὲν γὰρ η τῷ α ὑπάρξει παντί. τὸ γὰρ β τῷ α. τὸ δὲ ε, τῷ β. ταυτὸ γὰρ ἦν τῷ η. τὸ δὲ α τῷ ε παντὶ μὲν οὐκ ἀνάγκη ὑπάρχειν· τινὶ δ' ἀνάγκη, διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου κατηγορίαν τῇ κατὰ μέρος. Φανερὸν οὖν ὅτι εἰς τὰ προειρημένα βλεπτέον, ἑκατέρου καθ' ἕκαστον πρόβλημα. διὰ τούτων γὰρ ἅπαντες οἱ συλλογισμοί. δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα ἐπιβλέπειν. οἷον τοῦ μὲν ε, μᾶλλον εἰς τὸ κ ζ, ἢ εἰς τὸ ζ μόνον. τοῦ δὲ α εἰς τὸ κ γ, ἢ εἰς τὸ γ μόνον. εἰ μὲν γὰρ τῷ κ ζ ὑπάρχει τὸ α, καὶ τῷ ζ καὶ τῷ ε ὑπάρχει· εἰ δὲ τούτῳ μὴ ἕπεται, ἐγχωρεῖ τῷ ζ ἕπεσθαι. ὁμοίως δὲ καὶ ἐφ' ᾧ αὐτὸ ἀκολουθεῖ, σκεπτέον. εἰ μὲν γὰρ τοῖς πρώτοις, καὶ τοῖς ὑπ' ἐκεῖνα ἕπεται. εἰ δὲ μὴ τούτοις, ἀλλὰ τοῖς ὑπὸ ταῦτα ἐγχωρεῖ. δῆλον δὲ καὶ ὅτι διὰ τῶν τριῶν ὅρων καὶ τῶν δύο προτάσεων ἡ σκέψις. καὶ διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες. δείκνυται γὰρ ὑπάρχειν μὲν παντὶ τῷ ε τὸ α. ὅταν τῷ γ καὶ ζ ταυτόν τι ληφθῇ. τοῦτο δ' ἔσται μέσον. ἄκρα δὲ τὸ α καὶ ε. γίνεται οὖν τὸ πρῶ-

τον σχῆμα

Αναλυτικῶν προτέρων, α.

τον σχῆμα. τινὶ δὲ, ὅταν τὸ γ καὶ τὸ η ληφθῇ ταυτόν. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. μέσον δὲ τὸ η γίνεται. μηδενὶ δὲ, ὅταν τὸ δ καὶ τὸ ζ ταυτόν. οὕτως δὲ καὶ τὸ πρῶτον σχῆμα, καὶ τὸ μέσον. τὸ μὲν πρῶτον, ὅτι οὐδενὶ τῷ ζ ὑπάρχει τὸ α. εἴπερ ἀντιστρέφει τὸ στερητικόν. τὸ δὲ ζ παντὶ τῷ ε. τὸ δὲ μέσον, ὅτι τὸ δ, τῷ μὲν α, οὐδενί. τῷ δὲ ε, παντὶ ὑπάρχει. τινὶ δὲ μὴ ὑπάρχειν, ὅταν τὸ δ καὶ τὸ η ταυτὸν ᾖ. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. τὸ μὲν δὲ α, οὐδενὶ τῷ η ὑπάρξει. τὸ δὲ ε, παντὶ τῷ η. φανερὸν οὖν ὅτι διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες. καὶ ὅτι οὐκ ἐκλεκτέον ὅσα πᾶσιν ἕπετε, διὰ τὸ μηδένα γίνεσθαι συλλογισμὸν ἐξ αὐτῶν. κατασκευάζειν μὲν δὲ ὅλως, οὐκ ἦν ἐκ τῶν ὑπομένων. ἀποστερεῖν δ' οὐχ εὐδέχεται, διὰ τῶν πᾶσιν ἑπομένων. δεῖ δὲ τῷ μὲν ὑπάρχειν, τῷ δὲ μὴ ὑπάρχειν. φανερὸν δὲ ὅτι καὶ αἱ ἄλλαι σκέψεις τῶν κατὰ τὰς ἐκλογὰς ἀχρεῖοι πρὸς τὸ ποιεῖν συλλογισμόν. οἷον, εἰ τὰ ἑπόμενα ἑκατέρῳ ταυτά ἐστιν, ἢ οἷς ἕπετε τὸ α, καὶ ἃ μὴ εὐδέχεται τῷ ε, ἢ ὅσα πάλιν μὴ ἐγχωρεῖ ἑκατέρῳ ὑπάρχειν, οὐ δὲ γίνεται συλλογισμὸς διὰ τούτων. εἰ μὲν δὲ τὰ ἑπόμενα ταυτά. οἷον τὸ β καὶ τὸ ζ, τὸ μέσον γίνεται σχῆμα κατηγορικὰς ἔχον ἀμφοτέρας τὰς προτάσεις. εἰ δ' οἷς ἕπετε τὸ α, καὶ ἃ μὴ εὐδέχετε τῷ ε. οἷον τὸ γ καὶ τὸ θ τὸ πρῶτον σχῆμα στερητικὴν ἔχον τὴν πρὸς τὸ ἔλαττον ἄκρον πρότασιν. εἰ δ' ὅσα μὴ εὐδέχετε ἑκατέρῳ. οἷον τὸ δ καὶ τὸ θ στερητικαὶ ἀμφότεραι αἱ προτάσεις, ἢ ἐν τῷ πρώτῳ ἢ ἐν τῷ μέσῳ σχήματι. οὕτως δ' οὐδαμῶς ἔσται συλλογισμός. δῆλον δὲ καὶ ὁποῖα ταυτὰ ληπτέον τὰ κατὰ τὴν ἐπίσκεψιν, καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία. πρῶτον μὲν ὅτι τοῦ μέσου χάριν ἡ ἐπίβλεψις, τὸ δὲ μέσον οὐχ ἕτερον, ἀλλὰ ταυτὸν δεῖ λαβεῖν. εἶτα ἐν ὅσοις συμβαίνει γίνεσθαι συλλογισμὸν τῷ ληφθῆναι ἐναντία, ἢ μὴ εὐδεχόμενα τῷ αὐτῷ ὑπάρχειν, εἰς τοὺς προειρημένους ἅπαντα ἀναχθήσετε τρόπους. οἷον εἰ τὸ β καὶ τὸ ζ ἐναντία, ἢ μὴ εὐδέχεται τῷ αὐτῷ ὑπάρχειν. ἔσται μὲν δὲ τούτων

Σιλυγίας ἀσύστατοι τρεῖς
.βζ. .γθ. .δθ.

ληφθέν

ληφθέντων συλλογισμός. ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρχει. ἀλλ' οὐκ ἐξ
αὐτῶν. ἀλλὰ ἐκ τοῦ προειρημένου τρόπου. τὸ γὰρ β τῷ μὲν α παντὶ,
τῷ δὲ ε, οὐδενὶ ὑπάρξει. ὥστ' ἀνάγκη ταυτὸ εἶναι τὸ β τινὶ τῷ θ. πά
λιν εἰ τὸ β καὶ η μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι, ὅτι τινὶ τῷ ε οὐχ ὑ=
πάρξει τὸ α. καὶ γὰρ οὕτως τὸ μέσον ἔσται σχῆμα. τὸ γὰρ β τῷ μὲν α
παντὶ, τῷ δὲ η οὐδενὶ ὑπάρξει. ὥστ' ἀνάγκη τὸ η ταυτόν τινι εἶναι τῷ
δ. τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ β καὶ τὸ η τῷ αὐτῷ ὑπάρχειν, οὐδὲν δια=
φέρει, ἢ τὸ η τῷ δ τινὶ ταυτὸν εἶναι. πάντα γὰρ εἴληπται ἐν τῷ δ. τὰ
μὴ ἐνδεχόμενα τῷ α ὑπάρχειν. Φανερὸν δὲ ὅτι ἐξ αὐτῶν μὲν τού=
των τῶν ἐπιβλέψεων οὐδεὶς γίνεται συλλογισμός. εἰ δὲ τὸ β καὶ τὸ ζ
ἐναντία, ταυτόν τινι τὸ β τῷ θ. καὶ τὸν συλλογισμὸν γίνεσθαι διὰ τούτων.
συμβαίνει δὴ τοῖς οὕτως ἐπισκοποῦσι προσεπιβλέπειν ἄλλην ὁδὸν
τῆς ἀναγκαίας, διὰ τὸ λανθάνειν ποτὲ τὴν ταυτότητα τῷ β καὶ τῷ θ.
τὸν αὐτὸν δὲ τρόπον ἔχουσι καὶ οἱ εἰς τὸ ἀδύνατον ἀπάγοντες συλλογισμοὶ,
τοῖς δεικτικοῖς. καὶ τὴν οὗτοι γίνοντα διὰ τῶν ἑπομένων. καὶ οἷς ἕπεται ἑ=
κάτερον. καὶ ἡ αὐτὴ ἐπίσκεψις ἐν ἀμφοῖν. ὃ δὲ δείκνυτα δεικτικῶς. καὶ
διὰ τοῦ ἀδυνάτου ἐστὶ συλλογίσασθαι. καὶ διὰ τῶν αὐτῶν ὅρων. καὶ ὃ δι' ἀ=
δυνάτου, καὶ δεικτικῶς. δῖον ὅτι τὸ α οὐδενὶ τῷ ε ὑπάρχει. κείσθω δὲ τι
νὶ ὑπάρχειν. οὐκοῦν, ἐπεὶ τὸ β παντὶ τῷ α, τὸ δὲ α τινὶ τῷ ε, τὸ β τινὶ τῷ
ε ὑπάρξει. ἀλλ' οὐδενὶ ὑπῆρχεν. πάλιν ὅτι τινὶ ὑπάρχει. εἰ τὴν μηδενὶ
τῷ ε τὸ α. τὸ δὲ ε παντὶ τῷ η, οὐδενὶ τῷ η ὑπάρχει τὸ α. ἀλλὰ παντὶ ὑ=
πῆρχεν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων. ἀεὶ δὲ ἔσται ἐν
ἅπασιν ἡ διὰ τοῦ ἀδυνάτου δεῖξις, ἐκ τῶν ἑπομένων. καὶ οἷς ἕπεται ἑ
κάτερον, καὶ καθ' ἕκαστον πρόβλημα ἡ αὐτὴ σκέψις. δεικτικῶς τε βου
λομένῳ συλλογίσασθαι, καὶ εἰς τὸ ἀδύνατον ἀναγαγεῖν. ἐκ γὰρ τῶν
αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις. δῖον εἰ δέδεικται μηδενὶ ὑ=
πάρχειν τῷ ε τὸ α. ὅτι συμβαίνει καὶ τὸ β τινὶ τῷ ε ὑπάρχειν, ὅπερ ἀ

δύνατον

δλῶντον ἐὰν ληφθῇ τῷ μὴ ε μηδενί, τῷ δὲ α παντὶ ὑπάρχειν, τὸ β. φανερὸν ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρξει. πάλιν εἰ δεικτικῶς συλλελόγισται τὸ α τῷ ε μηδενὶ ὑπάρχειν, ὑποθεμένοις ὑπάρχειν τινί, διὰ τοῦ ἀδυνάτου δειχθήσεται οὐδενὶ ὑπάρχον. ὁμοίως δὴ καὶ ἐπὶ τῶν ἄλλων. ἐν ἅπασι δὲ ἀνάγκη κοινόν τινα λαβεῖν ὅρον ἄλλον τῶν ὑποκειμένων, πρὸς ὃν ἔσται τὸ ψεύδους ὁ συλλογισμός. ὥστ' ἀντιστραφείσης ταύτης τῆς προτάσεως, τῆς δ' ἑτέρας ὁμοίως ἐχούσης, δεικτικὸς ἔσται συλλογισμός, διὰ τῶν αὐτῶν ὅρων. διαφέρει δὲ ὁ δεικτικὸς τοῦ εἰς τὸ ἀδύνατον. ὅτι ἐν μὲν τῷ δεικτικῷ, κατ' ἀλήθειαν ἀμφότεραι τίθενται αἱ προτάσεις. ἐν δὲ τῷ εἰς τὸ ἀδύνατον, ψευδῶς ἡμία. ταῦτα μὲν δὴ ἔστω μᾶλλον φανερὰ διὰ τῶν ἐπομένων, ὅταν περὶ τοῦ ἀδυνάτου λέγωμεν. νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω δῆλον, ὅτι εἰς ταῦτα βλεπτέον. δεικτικῶς τε βουλομένοις συλλογίζεσθαι, καὶ εἰς τὸ ἀδύνατον ἀγαγεῖν. ἐν δὲ τοῖς ἄλλοις συλλογισμοῖς, τοῖς ἐξ ὑποθέσεως. οἷον, ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα, ἐν τοῖς ὑποκειμένοις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς, ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις ἔσται ἡ σκέψις, ὁ δὲ τόπος ὁ αὐτὸς τῆς ἐπιβλέψεως. ἐπισκέψασθαι δὲ δεῖ καὶ διελεῖν ποσαχῶς οἱ ἐξ ὑποθέσεως. δεί-κνυται μὲν δὴ ἕκαστον τῶν προβλημάτων, οὕτως. ἔστι δὲ καὶ ἄλλον τρόπον ἐνιὰ συλλογίσασθαι τούτων. οἷον τὰ καθόλου διὰ τῆς τῶν κατὰ μέρος ἐπιβλέψεως ἐξ ὑποθέσεως. εἰ δὲ τὰ γ καὶ τὰ η ταυτὰ εἴη, μόνοις δὴ ληφθείσι τοῖς η τὸ ε ὑπάρχειν, παντὶ ἂν τῷ ε τὸ α ὑπάρχοι. καὶ πάλιν εἰ τὰ δὲ καὶ τὰ η ταυτά. μόνον δὲ τῷ η τὸ κατηγορεῖται, ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρξει. φανερὸν δὴ ὅτι καὶ οὕτω ἐπιβλεπτέον. ἔστι δὲ τρόπον καὶ ἐπὶ τῶν ἀναγκαίων, καὶ τῶν ἐνδεχομένων. ἡ γὰρ αὐτὴ σκέψις, καὶ διὰ τῶν αὐτῶν ὅρων ἔσται τῇ τάξει, τοτὲ ἐνδέχεσθαι, καὶ τὸ ὑπάρχειν ὁ συλλογισμός. λιπτέον δὲ ἐπὶ τῶν ἐνδεχομένων καὶ τὰ μὴ ὑπάρχοντα, δῆλα τὰ δὲ ὑπάρχειν, δέδεικται γὰρ ὅτι καὶ διὰ τούτων, γίνε-

ται ὁ

ται ὁ τοῦ ὅλου ἐλέγχεσθαι συλλογισμός. ὁμοίως δ' ἔξει καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐ μόνον ἐγχωρεῖ διὰ ταύτης τῆς ὁδοῦ γίνεσθαι πάντας τοὺς συλλογισμούς, ἀλλὰ καὶ ὅτι διὰ ἄλλης ἀδύνατον. ἅπας μὲν γὰρ συλλογισμὸς δέδεικται διά τινος τῶν προειρημένων σχημάτων γινόμενος. ταῦτα δὲ οὐκ ἐγχωρεῖ δι' ἄλλων συνάγεσθαι, πλὴν διὰ τῶν ἐπομένων. καὶ δῆλα ἔπεται ἔκαστον. ἐκ τούτων γὰρ αἱ προτάσεις, καὶ ἡ τοῦ μέσου λῆψις. ὥστ' οὐ δὲ συλλογισμὸν ἐγχωρεῖ γίνεσθαι δι' ἄλλων. ἢ μὲν οὖν ὁδὸς κατὰ πάντων, ἡ αὐτή. καὶ περὶ φιλοσοφίαν καὶ περὶ τέχνην ὁποιανοῦν καὶ μάθημα. δῆλα γὰρ τὰ ὑπάρχοντα, καὶ οἷς ὑπάρχει περὶ ἕκαστον ἀθρεῖν. καὶ τούτων ὡς πλείστων ὑπορεῖν. καὶ ταῦτα διὰ τῶν τριῶν ὅρων σκοπεῖν. ἀνασκευάζοντα μὲν ὅλῃ, κατασκευάζοντα δὲ, ὅλῃ. καὶ κατὰ μὲν ἀλήθειαν ἐκ τῶν κατὰ ἀλήθειαν διαγεγραμμένων ὑπάρχειν. εἰς δὲ τοὺς διαλεκτικοὺς συλλογισμούς, ἐκ τῶν κατὰ δόξαν προτάσεων. αἱ δ' ἀρχαὶ τῶν συλλογισμῶν καθόλου μὲν εἴρηνται ὃν τρόπον τε ἔχουσι, καὶ ὃν τρόπον δεῖ θηρεύειν αὐτάς. ὅπως μὴ βλέπωμεν εἰς ἄπαντα τὰ λεγόμενα, μηδὲ εἰς ταυτὰ κατασκευάζοντες καὶ ἀνασκευάζοντες. μηδὲ κατασκευάζοντές τε κατὰ παντὸς ἢ τινός. καὶ ἀνασκευάζοντες ἀπὸ πάντων ἢ τινῶν. ἀλλ' εἰς ἐλάττω καὶ ὡρισμένα. καθ' ἕκαστον δ' ἐκλέγειν τῶν ὄντων. οἷον, περὶ ἀγαθοῦ ἢ ἐπιστήμης. ἴδιαι δ' καθ' ἑκάστω εἰσίν, αἱ πλεῖσαι. διὸ τὰς μὲν ἀρχὰς τὰς περὶ ἕκαστον, ἐμπειρίας ἐστὶ παραλαβεῖν. λέγω δ' οἷον, τίνι ἀστρολογικὴν μὲν ἐμπειρίαν, τῆς ἀστρολογικῆς ἐπιστήμης. ληφθέντων δ' ἱκανῶς τῶν φαινομένων, οὕτως εὑρέθησαν αἱ ἀστρολογικαὶ ἀποδείξεις. ὁμοίως δὴ καὶ περὶ ἄλλου ὁποιουδοῦν, ἔχει τέχνην τινὰ ἢ ἐπιστήμην. ὥστ' ἐὰν ληφθῇ τὰ ὑπάρχοντα περὶ ἕκαστον, ἡμῖν μέτεστιν ἤδη τὰς ἀποδείξεις ἑτοίμως ἐμφανίζειν. εἰ γὰρ μηδὲν κατὰ τὴν ἱστορίαν παραλειφθείη τῶν ἀκριβῶς καὶ ἀληθῶς ὑπαρχόντων

τοῖς.

τοῖς πράγμασιν, ἕξομεν περὶ παντὸς οὗ μή ἐστιν ἀπόδειξις ταύτην εὑρεῖν καὶ ἀποδεικνύναι. οὗ δὲ μὴ πέφυκεν ἀπόδειξις, τοῦτο ποιεῖν φανερόν. καθόλου μὲν οὖν ὃν δεῖ τρόπον τὰς προτάσεις ἐκλέγειν, εἴρηται σχεδόν. δι' ἀκριβείας δὲ διεληλύθαμεν ἐν τῇ πραγματείᾳ τῇ περὶ τὴν διαλεκτικήν. Ὅτι δὲ ἡ διὰ τῶν γενῶν διαίρεσις, μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν. ἔστι γὰρ ἡ διαίρεσις, οἷον ἀσθενὴς συλλογισμός. ὃ μὲν γὰρ δεῖ δεῖξαι, αἰτεῖται. συλλογίζεται δὲ ἀνέι τι τῶν ἄνωθεν. πρῶτον δ' αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους αὐτῇ πάντας. καὶ πείθειν ἐπεχείρουν, ὡς ὄντος δυνατοῦ περὶ οὐσίας ἀπόδειξιν γενέσθαι. καὶ τοῦ τί ἐστιν. ὥστ' οὔτε ὅ, τι ἐνδέχεται συλλογίσασθαι διαιρούμενον ξυνίεσαν, οὔτε ὅτι οὕτως ἐνδέχετο ὥσπερ εἰρήκαμεν. ἐν μὲν οὖν ταῖς ἀποδείξεσιν ὅταν δέῃ τι συλλογίσασθαι ὑπάρχειν, δεῖ τὸ μέσον δι' οὗ γίνεται ὁ συλλογισμὸς, ἧττον ἀεὶ εἶναι, καὶ μὴ καθόλου τοῦ πρώτου τῶν ἄκρων. ἡ δὲ διαίρεσις, τοὐναντίον βούλεται. τὸ γὰρ καθόλου λαμβάνει μέσον. ἔστω γὰρ ζῶον μὲν ἐφ' οὗ α. τὸ δὲ θνητὸν, ἐφ' οὗ β. καὶ ἀθάνατον, ἐφ' οὗ γ. ὁ δὲ ἄνθρωπος, οὗ τὸν ὅρον δεῖ λαβεῖν, ἐφ' οὗ τὸ δ. ἅπαν δὴ ζῶον λαμβάνει, ἢ θνητὸν ἢ ἀθάνατον. τοῦτο δέ ἐστιν ὃ ἂν ᾖ α. ἅπαν εἶναι ἢ β ἢ γ. πάλιν τὸν ἄνθρωπον ἀεὶ διαιρούμενος τίθεται ζῶον εἶναι. ὥστε κατὰ τοῦ δ τὸ α λαμβάνει ὑπάρχειν. ὁ μὲν οὖν συλλογισμὸς, ἔστιν ὅτι τὸ δ, ἢ β ἢ γ ἅπαν ἔσται. ὥστε τὸν ἄνθρωπον ἢ θνητὸν μὲν ἢ ἀθάνατον ἀναγκαῖον εἶναι. ζῶον δὲ θνητὸν μόνον, οὐκ ἀναγκαῖον εἶναι. ἀλλ' αἰτεῖται. τοῦτο δὲ ἦν ὃ ἔδει συλλογίσασθαι. καὶ πάλιν θέμενος τὸ μὲν α ζῶον θνητόν. ἐφ' οὗ δὲ τὸ β ὑπόπουν ἐφ' οὗ δὲ τὸ γ ἄπουν. τὸν δὲ ἄνθρωπον, τὸ δ, ὡσαύτως λαμβάνει. τὸ μὲν α ἢ τὸ ἐν τῷ β, ἢ ἐν τῷ γ εἶναι. ἅπαν γὰρ ζῶον θνητὸν, ἢ ὑπόπουν ἢ ἄπουν ἐστίν. κατὰ δὲ τοῦ δ, τὸ α. τὸν γὰρ ἄνθρωπον ζῶον θνητὸν εἶναι ἔλαβεν. ὥστ' ὑπόπουν μὲν ἢ ἄπουν εἶναι ζῶον. ἀνάγκη τὸν ἄνθρω-

ἐκλήθει

ἐπιχειροῦντας

ὅτι

 πον. ὑ=

πον. ὑπόπουν δ' οὐκ ἀνάγκη, ἀλλὰ λαμβάνει. ἔστω δ' ἦν ὃ ἔδει πάλιν δεῖξαι. καὶ τοῦτον δὴ τὸν τρόπον ἀεὶ διαιρουμένοις. τὸ μὲν καθόλου συμβαίνει αὐτοῖς μέσον λαμβάνειν. καθ' οὗ δὲ δέοι δεῖξαι καὶ τὰς διαφορὰς ἄκρα. τέλος δὲ, ὅτι τοῦτ' ἔστιν ἄνθρωπος, ἢ ὅτι ποτ' ἂν ᾖ τὸ ζητούμενον, οὐδὲν λέγουσι σαφὲς, ὥστε ἀναγκαῖον εἶναι. καὶ γὰρ τὴν ἄλλην ὁδὸν ποιοῦντι πᾶσαν. οὐδὲ τὰς ἐνδεχομένας εὐπορίας ὑπολαμβάνοντες ὑπάρχειν. φανερὸν δ' ὅτι οὔτ' ἀνασκευάσαι ταύτῃ τῇ μεθόδῳ ἐστὶν, οὔτε περὶ συμβεβηκότος τι, ἢ ἰδίου συλλογίσασθαι, οὔτε περὶ γένους, οὔτε ἐν οἷς ἀγνοεῖται, τὸ, πότερον ὧδε, ἢ ὧδε ἔχει. οἷον ἀρ' ἡ διάμετρος σύμμετρος, ἢ ἀσύμμετρος. ἐὰν δὲ λάβῃ ὅτι πᾶν μῆκος, ἢ σύμμετρον, ἢ ἀσύμμετρον. ἡ δὲ διάμετρος μῆκος, συλλελόγισται. ὅτι ἢ ἀσύμμετρος ἢ σύμμετρος ἡ διάμετρος. εἰ δὲ λήψεται ἀσύμμετρον, ὃ ἔδει συλλογίσασθαι, λήψεται, οὐκ ἄρα ἐστὶν δεῖξαι. ἡ μὲν δὲ ὁδὸς, αὕτη. διὰ ταύτης δ' οὐκ ἔστι δεῖξαι τὸ ἀσύμμετρον, ἢ σύμμετρον ἐφ' οὗ τὸ α. μῆκος τὸ β, ἢ σύμμετρος, ἢ ἀσύμμετρος. διάμετρος, γ. φανερὸν οὖν ὅτι οὔτε πρὸς πᾶσαν σκέψιν ἁρμόζει τῆς ζητήσεως ὁ τρόπος, οὔτ' ἐν οἷς μάλιστα δοκεῖ πρέπειν, ἐν τούτοις ἐστὶ χρήσιμος. ἐκτίνων μὲν οὖν αἱ ἀποδείξεις γίνονται, καὶ πῶς, καὶ εἰς ποῖα, βλεπτέον καθ' ἕκαστον πρόβλημα, φανερὸν ἐκ τῶν εἰρημένων.

Περὶ τῆς ἀναλύσεως συλλογισμῶν τμῆμα. γ.

Πῶς δὲ ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προειρημένα σχήματα. λεκτέον ἂν εἴη μετὰ ταῦτα. λοιπὸν γὰρ ἔτι τοῦτο τῆς σκέψεως. εἰ γὰρ τὴν γένεσιν τῶν συλλογισμῶν θεωροῖμεν, καὶ τοῦ εὑρίσκειν ἔχοιμεν δύναμιν, ἔτι δὲ τοὺς γεγενημένους ἀναλύοιμεν εἰς τὰ προειρημένα σχήματα, τέλος ἂν ἔχοι ἡ ἐξ ἀρχῆς ὑπόθεσις. συμβήσεται δ' ἅμα καὶ τὰ πρότερον εἰρημένα ἐπιβεβαιοῦσθαι, καὶ φανερώτερα εἶναι, ὅτι οὕτως ἔχει διὰ τῶν νῦν λεχθησομένων. δεῖ γὰρ πᾶν τὸ ἀληθὲς αὐτὸ ἑαυτῷ ὁμολογούμενον εἶναι πάντη. πρῶτον μὲν οὖν δεῖ

πειρᾶ

Αναλυτικῶν προτέρων, α.

πειρᾶσθαι τὰς δύο προτάσεις ἐκλαμβάνειν τοῦ συλλογισμοῦ. ῥᾷον ἢ εἰς τὰ μείζω διελεῖν, ἢ τὰ ἐλάττω. μείζω δὲ τὰ συγκείμενα, ἢ τὰ ἐξ ὧν, σύγκειται. εἶτα σκοπεῖν ποτέρα ἐν ὅλῳ καὶ ποτέρα ἐν μέρει. καὶ εἰ μὴ ἄμφω εἰλημμέναι εἶεν, αὐτὸν τιθέντα τὴν ἑτέραν. ἐνίοτε γὰρ τὴν καθόλου προτείναντες, τὴν ἐν ταύτῃ οὐ λαμβάνουσιν, οὔτε γράφοντες, οὔτε ἐρωτῶντες, ἢ ταύτας μὲν προτείνουσι, δι' ὧν δ' αὗται περαίνονται, παραλείπουσιν. ἄλλα δὲ μάτην ἐρωτῶσι. σκεπτέον δὲ εἴτι περίεργον εἴληπται, καὶ εἴτι τῶν ἀναγκαίων παραλέλειπται, καὶ τὸ μὲν, θετέον, τόδ' ἀφαιρετέον, ἕως ἂν ἔλθῃ τις εἰς τὰς δύο προτάσεις, ἄνευ δὲ τούτων, οὐκ ἔστιν ἀναγαγεῖν τοὺς οὕτως ἠρωτημένους λόγους. ἐνίων μὲν οὖν ῥᾴδιον ἰδεῖν τὸ ἐνδεές. ἐνίοι δὲ λανθάνουσι καὶ δοκοῦσι συλλογίζεσθαι, διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κειμένων. οἷον εἰ ληφθείη μὴ οὐσίας ἀναιρουμένης, μὴ ἀναιρεῖσθαι οὐσίαν. ἐξ ὧν δ' ἔστι ἀναιρουμένων, καὶ τὸ ἐκ τούτων φθείρεσθαι. τούτων δὲ τεθέντων, ἀναγκαῖον μὲν, τὸ οὐσίας μέρος εἶναι οὐσίαν. οὐ μὴν συλλελόγισται διὰ τῶν εἰλημμένων. ἀλλ' ἐλλείπουσι αἱ προτάσεις. πάλιν εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῶον εἶναι, καὶ ζώου, οὐσίαν, ἀνθρώπου ὄντος, ἀνάγκη οὐσίαν εἶναι. ἀλλ' οὔπω συλλελόγισται. οὐ δὲ ἔχουσιν αἱ προτάσεις ὡς εἴπομεν. ἀπατώμεθα δὲ ἐν τοῖς τοιούτοις, διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κειμένων, ὅτι καὶ ὁ συλλογισμὸς, ἀναγκαῖόν ἐστι. ἐπὶ πλέον δὲ τὸ ἀναγκαῖον, ἢ ὁ συλλογισμός. ὁ μὲν δὲ συλλογισμὸς πᾶς, ἀναγκαῖον. τὸ δ' ἀναγκαῖον οὐ πᾶν, συλλογισμός. ὥστ' οὐκ εἴτι συμβαίνει τεθέντων τινῶν, πειρατέον ἀνάγειν εὐθύς. ἀλλὰ πρῶτον ληπτέον τὰς δύο προτάσεις εἶθ' οὕτω διαιρετέον εἰς τοὺς ὅρους. μέσον δὲ θετέον τῶν ὅρων, τὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσι λεγόμενον. ἀνάγκη δὲ τὸ μέσον ἐν ἀμφοτέραις ὑπάρχειν ταῖς προτάσεσιν, ἐν ἅπασι τοῖς σχήμασιν. ἐὰν μὲν οὖν κατηγορῇ, καὶ κατηγορεῖται, τὸ μέσον, ἢ αὐτὸ μὲν κατηγοροίη, ἄλλο δ' ἐκείνου ἀπαρνῆται, τὸ α ἔσται σχῆμα. ἐὰν δὲ καὶ

κατηγορεῖται

κατηγορεῖται

δὲ καὶ κατηγορῆ καὶ ἀπαρνῆται ἀπό τινος, τὸ μέσον σχῆμα, ἐὰν δὲ
Κατηγορῆται ἄλλα ἐκείνου κατηγορεῖται, ἢ τὸ μὲν ἀπαρνῆται. τὸ δὲ κατηγορεῖ-
ται, τὸ ἔσχατον. οὕτως γὰρ εἶχον ἐν ἑκάστῳ σχήματι τὸ μέσον. ὁμοί-
ως δὲ καὶ ἐὰν μὴ καθόλου ὦσιν αἱ προτάσεις. ὁ γὰρ αὐτὸς διορισμὸς
τοῦ μέσου. φανερὸν οὖν ὡς ἐν ᾧ λόγῳ μὴ λέγεται τὸ αὐτὸ πλεονάκις,
οὐ γίνεται συλλογισμός. οὐ γὰρ εἴληπται μέσον. ἐπεὶ δ' ἔχομεν ποῖ
ον ἐν ἑκάστῳ σχήματι περαίνεται τῶν προβλημάτων, καὶ ἔν τινι τὸ
καθόλου, καὶ ἐν ποίῳ τὸ ἐν μέρει. φανερόν, ὅτι οὐκ εἰς ἅπαντα σχή-
ματα βλεπτέον, ἀλλ' ἑκάστου προβλήματος εἰς τὸ οἰκεῖον. ὅσα δὲ ἐν
πλείοσι περαίνεται τῇ τοῦ μέσου θέσει γνωριοῦμεν τὸ σχῆμα. πολ-
λάκις μὲν οὖν ἀπατᾶσθαι συμβαίνει περὶ τοὺς συλλογισμοὺς διὰ τὸ
ἀναγκαῖον. ὥσπερ εἴρηται πρότερον. ἐνίοτε δὲ παρὰ τὴν ὁμοιότητα
Θέσεως τῆς τῶν ὅρων θέσεων, ὅπερ οὐ χρὴ λανθάνειν ἡμᾶς. οἷον εἰ τὸ α κα-
τὰ τοῦ β λέγεται καὶ τὸ β κατὰ τοῦ γ. δόξειε γὰρ ἂν οὕτως ἐχόν-
των τῶν ὅρων εἶναι συλλογισμός. οὐ γίνεται δὲ, οὔτ' ἀναγκαῖον οὖ-
σαν, οὔτε συλλογισμός. ἔστωσαν γὰρ ἐφ' ᾧ τὸ α, τὸ ἀεὶ εἶναι. ἐφ' ᾧ δὲ β,
λιθωνιτὸς ἀριστομένης. τὸ δὲ ἐφ' ᾧ γ, ἀριστομένης. ἀληθὲς δὴ τὸ α τῷ β
ὑπάρχειν. ἀεὶ γάρ ἐστι λιθωνιτὸς ἀριστομένης. ἀλλὰ καὶ τὸ β τῷ γ. ὁ γὰρ
ἀριστομένης λιθωνιτὸς ἀριστομένης ἐστί. τὸ δὲ α τῷ γ οὐχ ὑπάρχει.
φθαρτὸς γάρ ἐστιν ὁ ἀριστομένης. οὐκ ἄρα ἐγίνετο συλλογισμὸς οὕτως
ἐχόντων τῶν ὅρων. ἀλλὰ ἔδει καθόλου τὸ α β ληφθῆναι πρότασιν.
ἔστω δὲ ψεῦδος, τὸ ἀξιοῦν πάντα τὸν λιθωνιτὸν ἀριστομένη ἀεὶ εἶναι,
φθαρτοῦ ὄντος τοῦ ἀριστομένους. πάλιν ἔστω τὸ μὲν ἐφ' ᾧ γ, μίκκαλος. τὸ
δ' ἐφ' ᾧ β μουσικὸς μίκκαλος. ἐφ' ᾧ δὲ τὸ α. τὸ φθείρεσθαι αὔριον.
ἀληθὲς δὴ τὸ β τῷ γ κατηγορεῖν. ὁ γὰρ μίκκαλος ἔστι μουσικὸς μίκκα
λος. ἀλλὰ καὶ τὸ α τοῦ β. φθείρεται γὰρ αὔριον μουσικὸς μίκκαλος.
τὸ δὲ λέγε α τοῦ γ, ψεῦδος. τοῦτο δὴ ταὐτόν ἐστι τῷ πρότερον. οὐ γὰρ ἀ-

ληθὲς

θὲς καθόλου μίκκαλος μουσικὸς, ὅτι φθείρεται αὔριον. τούτου δὲ μὴ
ληφθέντος, οὐκ ἦν συλλογισμός. αὕτη μὲν οὖν ἡ ἀπάτη γίνεται ἐν τῷ
παρὰ μικρόν. ὡς γὰρ οὐδὲν διαφέρον εἰ πεῖν τόδε τῷδε ὑπάρχειν, ἢ
τόδε τῷδε παντὶ ὑπάρχειν συγχωροῦμεν. πολλάκις δὲ διαψεύδε=
σθαι συμπεσεῖται παρὰ τὸ μὴ καλῶς ἐκτίθεσθαι τοὺς κατὰ τὴν
πρότασιν ὅρους. οἷον εἰ τὸ μὲν α ἡ ὑγίεια. τὸ δ' ἐφ' ᾧ β, νόσος. ἐφ' ᾧ δὲ
γ, ἄνθρωπος. ἀληθὲς γὰρ εἰ πεῖν ὅτι τὸ α οὐδενὶ τῶν β ἐνδέχεται ὑ=
πάρχειν. οὐδεμιᾷ γὰρ νόσῳ ὑγίεια ὑπάρχει. καὶ πάλιν ὅτι τὸ β παν
τὶ τῷ γ ὑπάρχει. πᾶς γὰρ ἄνθρωπος δεκτικὸς νόσου. δόξειεν ἂν οὖν
συμβαίνειν, μηδενὶ ἀνθρώπῳ ἐνδέχεσθαι ὑγίειαν ὑπάρχειν. τούτου δ'
αἴτιον, τὸ μὴ καλῶς ἐκκεῖσθαι τοὺς ὅρους κατὰ τὴν λέξιν. ἐπεὶ μετα ἐκτεθεῖσθαι
ληφθέντων τῶν κατὰ τὰς ἕξεις, οὐκ ἔσται συλλογισμός. οἷον, ἀντὶ μὲν
τῆς ὑγιείας, εἰ τεθείη τὸ ὑγιαῖνον, ἀντὶ δὲ τῆς νόσου, τὸ νοσοῦν. οὐ γὰρ
ἀληθὲς εἰπεῖν ὡς οὐχ ἐνδέχεται τῷ νοσοῦντι, τὸ ὑγιαίνειν ὑπάρξαι.
τούτου δὲ μὴ ληφθέντος. οὐ γίνεται συλλογισμός. εἰ μὴ τοῦ ἐνδέχε=
σθαι. οὗτος δὲ οὐκ ἀδύνατον. ἐνδέχεται γὰρ μηδενὶ ὑπάρχειν
ἀνθρώπῳ ὑγίειαν. πάλιν ἐπὶ τοῦ μέσου σχήματος ὁμοίως ἔσται τὸ
ψεῦδος. τὴν γὰρ ὑγίειαν, νόσῳ μὲν οὐδεμιᾷ. ἀνθρώπῳ δὲ παν=
τὶ ἐνδέχεται ὑπάρχειν. ὥστ' οὐδενὶ ἀνθρώπῳ νόσον. ἐν δὲ τῷ γ
σχήματι κατὰ τὸ ἐνδέχεσθαι συμβαίνει τὸ ψεῦδος. καὶ γὰρ ὑγίειαν,
καὶ νόσον. καὶ ἐπιστήμην, καὶ ἄγνοιαν, καὶ ὅλως τὰ ἐναντία, παν=
τὶ τῷ αὐτῷ, ἐνδέχεται ὑπάρχειν. ἀλλήλοις δ' ἀδύνατον. οὗτος δὲ ἀ=
νομολογούμενον τοῖς προειρημένοις. ὅτε γὰρ τῷ αὐτῷ πλείω ἐνδέχοι
το ὑπάρχειν, ἐνεδέχετο καὶ ἀλλήλοις. φανερὸν οὖν ὅτι ἐν ἅπασι τού
τοις ἡ ἀπάτη γίνεται παρὰ τὴν τῶν ὅρων ἔκθεσιν. μεταληφθέν=
των γὰρ τῶν κατὰ τὰς ἕξεις, οὐδὲν γίνεται ψεῦδος. δῆλον οὖν ὅτι
κατὰ τὰς τοιαύτας προτάσεις, ἀεὶ τὸ κατὰ τὴν ἕξιν ἀντὶ τῆς ἕξεως

μετα

μεταληπτέον καὶ θετέον ὅρον. οὐ δεῖ τοὺς ὅρους ἀεὶ ζητεῖν ὀνόματι ἐκ
τίθεσθαι. πολλάκις γὰρ ἔσονται λόγοι, οἷς οὐ κεῖται ὀνόματα. διὸ καὶ
χαλεπὸν ἀνάγειν τοὺς τοιούτους συλλογισμούς. ἐνίοτε δὲ καὶ ἀπα=
τᾶσθαι συμβήσεται διὰ τὴν τοιαύτην ζήτησιν. οἷον ὅτι τῶν ἀμέσων
ἔσται συλλογισμός. ἔστω γὰρ τὸ α δύο ὀρθαί. τὸ δ' ἐφ' ᾧ β, τρίγωνον. τὸ δ'
ἐφ' ᾧ γ, ἰσοσκελές. τῷ μὲν οὖν γ, ὑπάρχει τὸ α, διὰ τὸ β. τῷ δὲ β οὐ=
κέτι δι' ἄλλο. καθ' αὑτὸ γὰρ τὸ τρίγωνον ἔχει δύο ὀρθάς. ὥστ' οὐκ ἔσται
μέσον τοῦ α, β ἀποδεικτοῦ ὄντος. φανερὸν γὰρ ὅτι τὸ μέσον οὐχ οὕτως
ἀεὶ ληπτέον, ὡς τόδετι. ἀλλ' ἐνίοτε λόγον. ὅπερ συμβαίνει κἀπὶ τοῦ
λεχθέντος. τὸ δὲ ὑπάρχειν τὸ πρῶτον τῷ μέσῳ, καὶ τοῦτο τῷ ἄκρῳ, οὐ
δεῖ λαμβάνειν, ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων ὁμοίως ἢ τό, τε
πρῶτον τοῦ μέσου, καὶ τοῦτο τοῦ ἐσχάτου. καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν δὲ
ὡσαύτως. ἀλλ' ὁσαχῶς τὸ εἶναι λέγεται. καὶ τὸ ἀληθὲς εἰπεῖν αὐτὸ τοῦ
το, τοσαυταχῶς οἴεσθαι χρὴ συμβαίνειν, καὶ τὸ ὑπάρχειν. οἷον, ὅτι τῶν
ἐναντίων ἐστὶ μία ἐπιστήμη. ἔστω γὰρ τὸ α τὸ, μίαν εἶναι ἐπιστήμην.
τὰ δ' ἐναντία ἀλλήλοις, ἐφ' οὗ β. τὸ δὴ α τῷ β ὑπάρχει οὐχ ὡς τὰ
ἐναντία. τῷ, μίαν εἶναι αὐτῶν, ἐπιστήμην. ἀλλὰ ὅτι ἀληθὲς εἰ=
πεῖν καθ' αὐτῶν μίαν εἶναι αὐτῶν ἐπιστήμην. συμβαίνει δ' ὁ τὲ μὲν,
ἐπὶ τοῦ μέσου τὸ πρῶτον λέγεσθαι, τὸ δὲ μέσον, ἐπὶ τοῦ τρίτου μὴ λέ=
γεσθαι. οἷον εἰ ἡ σοφία ἔστιν ἐπιστήμη, τοῦ δ' ἀγαθοῦ ἐστιν ἡ σοφία ~~ἐπι=
στήμη~~, συμπέρασμα ὅτι τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί. τὸ μὲν δὴ ἀγαθὸν
οὐκ ἔστιν ἐπιστήμη. ἡ δὲ σοφία ἔστιν ἐπιστήμη. ὁτὲ δὲ τὸ μὲν μέσον ἐ=
πὶ τοῦ τρίτου λέγεται. τὸ δὲ πρῶτον ἐπὶ τοῦ μέσου οὐ λέγεται. οἷον,
εἰ τοῦ ποιοῦ παντός ἐστιν ἐπιστήμη, ἢ ἐναντίου. τὸ δ' ἀγαθὸν καὶ ἐναν=
τίον καὶ ποιὸν, συμπέρασμα μὲν, ὅτι τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη. οὐκ ἔ=
στι δὲ τὸ ἀγαθὸν ἐπιστήμη οὐ δὲ τὸ ποιὸν, οὐ δὲ τὸ ἐναντίον, ἀλλὰ τὸ ἀγα=
θὸν ταῦτα. ἔστι δὲ ὅτε μήτε τὸ πρῶτον κατὰ τοῦ μέσου, μήτε τοῦτο κατὰ

τοῦ

Αναλυτικῶν προτέρων, α.

τοῦ τρίτου τοῦ πρώτου κατὰ τὸν τρίτου, ὁ τὲ μὲν λεγομένου, ὁ τὲ δὲ μὴ λεγομένου ὅιον ἐι οὗ ἐπιστήμη ἐστὶν, ἔστι τούτου γένος. τοῦ δ' ἀγαθοῦ ἐστιν ἐπιστήμη, συμπέρασμα ὅτι τοῦ ἀγαθοῦ ἐστι γένος. κατηγορεῖται δὲ οὐδὲν κατ' οὐδενός. ἐι δὲ οὗ ἐστιν ἐπιστήμη, γένος ἐστὶ τοῦτο, τοῦ δ' ἀγαθοῦ ἐστιν ἐπιστήμη, συμπέρασμα, ὅτι τὸ ἀγαθόν ἐστι γένος. κατὰ μὲν δὴ τοῦ ἄκρου κατηγορεῖται τὸ πρῶτον. κατ' ἀλλήλων δὲ οὐ λέγεται. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ληπτέον. οὐ γὰρ ἀεὶ σημαίνει τὸ μὴ ὑπάρχειν τόδε τῷδε. μὴ εἶναι τόδε τόδε. ἀλλ' ἐνίοτε μὴ εἶναι τόδε τοῦδε, ἢ τόδε τῷδε. ὅιον ὅτι οὐκ ἔστι κινήσεως κίνησις, ἢ γενέσεως γένεσις. ἡδονῆς δέ ἐστιν. οὐκ ἄρα ἡ ἡδονὴ γένεσις. ἢ πάλιν ὅτι γέλωτός ἐστι σημεῖον. σημείου δὲ, οὐκ ἔστι σημεῖον. ὥστ' οὐ σημεῖον ὁ γέλως. ὁμοίως δὲ κἀντοῖς ἄλλοις, ἐν ὅσοις ἀναιρεῖται τὸ πρόβλημα, τὸ λέγεσθαί πως πρὸς αὐτὸ, τὸ γένος. πάλιν ὅτι ὁ καιρὸς οὐκ ἔστι χρόνος δέων. θεῷ δὲ καιρὸς μὲν ἔστι. χρόνος δ' οὐκ ἔστι δέων. διὰ τὸ μηδὲν εἶναι θεῷ ὠφέλιμον. ὅρους μὲν δὲ θετέον, καιρὸν καὶ χρόνον δέοντα, καὶ θεόν. τὴν δὲ πρότασιν ληπτέον, κατὰ τὴν τοῦ ὀνόματος πτῶσιν. ἁπλῶς δὲ τοῦτο λέγομεν κατὰ πάντων. ὅτι τοὺς μὲν ὅρους ἀεὶ θετέον κατὰ τὰς κλήσεις τοῦ ὀνομάτων, ὅιον ἄνθρωπος ἢ ἀγαθόν. ἢ τἀναντία. οὐκ ἀνθρώπου ἢ ἀγαθοῦ ἢ ἐναντίων. τὰς δὲ προτάσεις ληπτέον κατὰ τὰς ἑκάστου πτώσεις. ἢ δὲ ὅτι τούτῳ ὅιον τὸ ἴσον, ἢ ὅτι τούτου, ὅιον τὸ διπλάσιον. ἢ ὅτι τοῦτο, ὅιον τὸ τύπτον ἢ τὸ ὁρῶν, ἢ ὅτι οὗτος. ὅιον ἄνθρωπος ζῶον. ἢ εἴπως ἄλλως πίπτει τὸ ὄνομα κατὰ τὴν πρότασιν. τὸ δὲ ὑπάρχειν τόδε τῷδε, καὶ τὸ ἀληθεύεσθαι τόδε κατὰ τοῦδε τοσαυταχῶς ληπτέον, ὁσαχῶς αἱ κατηγορίαι διήρηνται. καὶ ταύτας ἢ πῇ, ἢ ἁπλῶς. ἔτι δὲ ἢ ἁπλῶς ἢ συμπεπλεγμένας. ὁμοίως δὲ καὶ τὸ μὴ ὑπάρχειν. ἐπισκεπτέον δὲ ταῦτα καὶ διοριστέον βέλτιστον τὸ δ' ἐπαναδιπλούμενον ἐν ταῖς προτάσεσι πρὸς τῷ πρώτῳ ἄκρῳ θετέον. οὐ πρὸς τὸ μέσον. λέγω δὲ ὅιον ἐι γένοιτο συλλογισμὸς ὅτι τῆς δικαι-

οσύνης

οσώνης ἐστὶ ἐπιστήμη ὅτι ἀγαθὸν, τὸ ὅτι ἀγαθὸν ἢ ἀγαθὸν, πρὸς τῷ ἄκρῳ
θετέον. ἔστω γὰρ τὸ α ἐπιστήμη ὅτι ἀγαθόν. ἐφ' ᾧ δὲ τὸ β ὅτι ἀγαθὸν, ἐφ'
ᾧ δὲ τὸ γ, δικαιοσύνη. τὸ δὴ α ἀληθὲς τοῦ β κατηγορῆσαι. τοῦ γὰρ ἀγα-
θοῦ ἐστιν ἐπιστήμη ὅτι ἀγαθόν. ἀλλὰ καὶ τὸ β τοῦ γ. ἡ γὰρ δικαιοσύνη ὅ-
περ ἀγαθόν. οὕτως μὲν οὖν γίνεται ἀνάλυσις. εἰ δὲ πρὸς τῷ β τεθείη,
τὸ ὅτι ἀγαθὸν, οὐκ ἔσται. τὸ μὲν γὰρ α κατὰ τοῦ β ἀληθὲς ἔσται. τὸ δὲ β
κατὰ τοῦ γ οὐκ ἀληθὲς ἔσται. τὸ γὰρ ἀγαθὸν ὅτι ἀγαθὸν κατηγορεῖν τῆς
δικαιοσύνης ψεῦδος, καὶ οὐ συνετόν. ὁμοίως δὲ καὶ εἰ τὸ ὑγιεινὸν δει-
χθείη ὅτι ἐπιστητόν ἐστιν ἢ ἀγαθόν. ἢ βαγέλαφος, ἢ μὴ ὄν, ἢ ἄνθρωπος φθαρ-
τὸν, ἢ αἰσθητόν. ἐν ἅπασι γὰρ τοῖς ἐπικατηγορουμένοις πρὸς τῷ ἄκρῳ
τὴν ἐπαναδίπλωσιν θετέον. οὐχ ἡ αὐτὴ δὲ θέσις τῶν ὅρων ὅταν ἁ-
πλῶς τι συλλογισθῇ καὶ ὅταν τόδε τι, ἢ πῆ, ἢ πῶς. λέγω δ' οἷον ὅταν
τὸ ἀγαθὸν ἐπιστητὸν δειχθῇ, καὶ ὅταν ἐπιστητόν τι ὅτι ἀγαθόν. ἀλλ' εἰ
μὲν ἁπλῶς ἐπιστητὸν δέδεικται, μέσον θετέον τὸ ὄν, εἰ δ' ὅτι ἀγαθὸν,
τό τι ὄν. ἔστω γὰρ τὸ μὲν α ἐπιστήμη, ὅτι τὶ ὄν. ἐφ' ᾧ δὲ β ὄν τί. τὸ δὲ ἐφ'
ᾧ γ ἀγαθόν. ἀληθὲς δὴ τὸ α τοῦ β κατηγορεῖν. ἦν γὰρ ἐπιστήμη τοῦ τι-
νὸς ὄντος. ὅτι τὶ ὄν. ἀλλὰ καὶ τὸ β τοῦ γ. τὸ δὲ ἐφ' ᾧ γ ὄν τί. ὥστε καὶ τὸ α τοῦ
γ. ἔσται ἄρα ἐπιστήμη τοῦ ἀγαθοῦ ὅτι τὶ ἀγαθόν. ἦν γὰρ τὸ τὶ ὂν τῆς ἰδίας
οὐσίας σημεῖον. εἰ δὲ τὸ ὂν μέσον ἐτέθη, καὶ πρὸς τῷ ἄκρῳ τὸ ὂν ἁπλῶς,
καὶ μὴ τὸ τὶ ὂν ἐλέχθη, οὐκ ἂν ἦν συλλογισμὸς, ὅτι ἐστὶν ἐπιστήμη τοῦ ἀ-
γαθοῦ ὅτι ἀγαθὸν ἀλλ' ὅτι ὄν. οἷον ἐφ' ᾧ α ἐπιστήμη ὅτι ὄν. ἐφ' ᾧ τὸ β ὄν.
ἐφ' ᾧ γ ἀγαθόν. φανερὸν οὖν ὅτι ἐν τοῖς ἐν μέρει συλλογισμοῖς, οὕτως
ληπτέον τοὺς ὅρους. δεῖ δὲ καὶ μεταλαμβάνειν ἃ τὸ αὐτὸ δύναται ὀνόμα-
τα ἀντ' ὀνομάτων, καὶ λόγους ἀντὶ λόγων, καὶ ὄνομα καὶ λόγον. καὶ ἀεὶ ἀν-
τὶ τοῦ λόγου, τοὔνομα λαμβάνειν. ῥᾴων γὰρ ἡ τῶν ὅρων ἔκθεσις. οἷον, εἰ
μηδὲν διαφέρει εἰπεῖν τὸ ὑποληπτὸν τοῦ δοξαστοῦ μὴ εἶναι γένος, ἢ μὴ
εἶναι ὅπερ ὑποληπτόν τι, τὸ δοξαστόν. ταὐτὸν γὰρ τὸ σημαινόμενον, ἀντὶ

λόγου

λόγου τοῦ ληφθέντος, τὸ ὑπολειπτὸν καὶ τὸ δοξαστὸν ὅρους θετέον. ἐπὶ δὲ οὐ ταυτόν ἐστι τὸ εἶναι τὴν ἡδονὴν ἀγαθόν. καὶ τὸ εἶναι τὴν ἡδονὴν τὸ ἀγαθὸν, οὐχ ὁμοίως θετέον τοὺς ὅρους. ἀλλ' εἰ μὲν ἐστιν ὁ συλλογισμὸς ὅτι ἡδονὴ τὸ ἀγαθὸν, ὅρον θετέον τὸ ἀγαθόν. εἰ δ' ὅτι ἀγαθὸν, ἀγαθόν. οὕτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οὐκ ἔστι δὲ ταυτὸν οὔτ' εἶναι οὔτ' εἰπεῖν. ὅτι ᾧ τὸ β ὑπάρχει, τούτῳ παντὶ τὸ α ὑπάρχει, καὶ τὸ εἰπεῖν τὸ, ᾧ παντὶ τὸ β ὑπάρχει, καὶ τὸ α ὑπάρχει παντί. οὐδὲν γὰρ κωλύει τὸ β τῷ γ ὑπάρχειν, μὴ παντὶ δὲ, οἷον ἔστω τὸ μὲν β, καλόντι, τὸ γ, λευκόν. εἰ δή τινι λευκῷ ὑπάρχει καλόντι, ἀληθὲς εἰπεῖν ὅτι λευκῷ ὑπάρχει καλόν. ἀλλ' οὐ παντὶ ἴσως. εἰ μὲν οὖν τὸ α τῷ β ὑπάρχει, μὴ παντὶ δὲ, καθ' οὗ τὸ β, οὔτ' εἰ παντὶ τῷ γ τὸ β, οὔτ' εἰ μόνον τινὶ ὑπάρχει, ἀνάγκη τὸ α οὐχ ὅτι οὐ παντὶ, ἀλλ' οὐδ' ὑπάρχειν τῷ γ. εἰ δὲ καθ' ὅτου ἂν τὸ β λέγηται ἀληθῶς, τούτῳ παντὶ τὸ α ὑπάρχει. συμβήσεται τὸ α, καθ' οὗ παντὸς τὸ β λέγετε, κατὰ τούτου παντὸς λέγεσθε. εἰ μὲν τοι τὸ α λέγεται καθ' οὗ ἂν τὸ β λέγηται κατὰ παντὸς, οὐδὲν κωλύει τῷ γ ὑπάρχειν τὸ β. μὴ παντὶ δὲ τὸ α, ἢ ὅλως μὴ ὑπάρχειν. ἐν δὴ τοῖς τρισὶν ὅροις, δῆλον ὅτι τὸ καθ' οὗ τὸ β παντὸς, τὸ α λέγεσθε, τοῦτ' ἔστι καθ' ὅσων τὸ β λέγετε, κατὰ πάντων λέγεσθε καὶ τὸ α. καὶ εἰ μὲν κατὰ παντὸς τὸ β, καὶ τὸ α οὕτως. εἰ δὲ μὴ κατὰ παντὸς, οὐκ ἀνάγκη τὸ α ὑπάρχειν κατὰ παντὸς. οὐ δεῖ δὲ οἴεσθε παρὰ τὸ ἐκτίθεσθε συμβαίνειν τι ἄτοπον. οὐδὲν προσχρώμεθα τῷ, τόδε τι εἶναι, ἀλλ' ὥσπερ ὁ γεωμέτρης τὴν ποδιαίαν καὶ εὐθεῖαν τήνδε εἶναι καὶ ἀπλατῆ λέγει οὐκ οὖσαν. ἀλλ' οὐχ οὕτως χρῆται ὡς ἐκ τούτων συλλογιζόμενος. ὅλως δὲ ὃ μή ἐστιν ὡς ὅλον πρὸς μέρος καὶ ἄλλο πρὸς τοῦτο ὡς μέρος πρὸς ὅλον. ἐξ οὐδενὸς τῶν τοιούτων δείκνυσιν ὁ δεικνύων. οὐ δὲ δὴ γίνεται συλλογισμός. τὸ δ' ἐκτίθεσθε, οὕτως προσχρώμεθα. ὥσπερ καὶ τῷ αἰσθάνεσθε, τὸν μανθάνοντα λέγοντες. οὐ δὴ οὕτως ὡς ἄνευ τούτων, οὐχ οἷόν τε ἀποδειχθῆναι, ὥσπερ ἐξ ὧν ὁ συλλογισμός. μὴ λανθανέτω δὲ ἡμᾶς

τῷ δ'

ὅτι

ὅτι ἐν τῷ αὐτῷ τῷ συλλογισμῷ οὐχ' ἅπαντα τὰ συμπεράσματα διὰ ἑνός, τοῦ αὐτοῦ σχήματός ἐστιν. ἀλλὰ τὸ μὲν, διὰ τούτου. τὸ δὲ, διὰ ἄλλου. δῆλον δὲ ὅτι καὶ τὰς ἀναλύσεις, οὕτω ποιητέον. ἐπεὶ δ' οὐ πᾶν πρόβλημα ἐν ἅπαντι σχήματι, ἀλλ' ἐν ἑκάστῳ τεταγμένα, φανερὸν ἐκ τοῦ συμπεράσματος, ἐν ᾧ σχήματι ζητητέον. τούς τε πρὸς ὁρισμοὺς τὸ λόγον, ὅσοι πρός ἔντι τυγχάνουσι διειλεγμένοι τῶν ἐν τῷ ὅρῳ, πρὸς ὃ διείληκται θετέον ὅρον. καὶ οὐ τὸν ἅπαντα λόγον. ἦν γὰρ συμβήσεται ταράττεσθαι διὰ τὸ μῆκος. οἷον, εἰ τὸ ὕδωρ ἔλειξεν ὅτι ὑγρὰν ποτὸν, τὸ ποτὸν καὶ τὸ ὕδωρ, ὅρους θετέον. ἔτι δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς οὐ πειρατέον ἀνάγειν. οὐ γάρ ἐστιν ἐκ τῶν κειμένων ἀναγαγεῖν. οὐ γὰρ διὰ συλλογισμὸν διειλεγμένοι εἰσίν, ἀλλὰ διὰ συνθήκης ὁμολογημένοι πάντες. οἷον εἰ ὑποθέμενος, εἰ μία τις διάμεσος μὴ ἐν τῶν ἐναντίων, μὴ δ' ἐπίσημον εἶναι μίαν. εἶτα διαλέγεσθαι ὅτι οὐκ ἔστι μία διάμεσος τῶν ἐναντίων. οἷον εἰ τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους. ἅμα γὰρ ἔσται τὸ αὐτὸ ὑγιεινὸν καὶ νοσῶδες. ὅτι μὲν οὖν ἔστι μία πάντων τῶν ἐναντίων διάμεσος, ἐῶμεν διείληπται. ὅτι δὲ ἐπίσημον οὐκ ἔστιν, οὐ διείληπται. καίτοι γε ὁμολογεῖν ἀναγκαῖον. ἀλλ' οὐκ ἐκ συλλογισμοῦ, ἀλλ' ἐξ ὑποθέσεως. τοῦτον μὲν οὖν οὐκ ἔστιν ἀναγαγεῖν. ὅτι δὲ οὐ μία διάμεσός ἐστιν. οὗτος δ' ἂν ἴσως καὶ λογισμὸς, ἐκεῖνο δ' ὑποθέσις.

συλλογισμος

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν διὰ τοῦ ἀδυνάτου περαινομένων. οὔτε δὲ τούτους ἐστὶν ἀναλύειν. ἀλλὰ τὸ μὲν εἰς τὸ ἀδύνατον ἀπαγωγή ἐστι. συλλογισμῷ γὰρ δείκνυται. θάτερον δ' οὐκ ἔστιν. ἐξ ὑποθέσεως γὰρ περαίνεται. διαφέρουσι δὲ τῶν προειρημένων, ὅτι ἐν ἐκείνοις μὲν δεῖ προομολογῆσαι, εἰ μέλλει συμφήσειν. οἷον, ἐὰν δειχθῇ μία διάμεσος τῶν ἐναντίων, καὶ ἐπίσημον εἶναι τοῦτ' αὐτήν. ἐνταῦθα δὲ καὶ μὴ προομολογησάμενοι συγχωρήσουσι, διὰ τὸ φανερὸν εἶναι τὸ ψεῦδος. διὸν τε θεῖσης τῆς διαμέτρου συμμέτρου, τὰ τετράγωνα ἴσα εἶναι

τοῖς

τοῖς ἀρτίοις. πολλοὶ δὲ καὶ ἕτεροι περαίνουσι ἐξ ὑποθέσεως οὓς ἐπισκέψασθαι δεῖ, καὶ διασημῆναι καθαρῶς. τίνες μὲν οὖν αἱ διαφοραὶ τούτων, καὶ πόσαχῶς γίνονται οἱ ἐξ ὑποθέσεως, ὕστερον ἐροῦμεν. νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω φανερόν, ὅτι οὐκ ἔστιν ἀναλύειν εἰς τὰ σχήματα τοὺς τοιούτους συλλογισμούς. καὶ δι' ἣν αἰτίαν, εἰρήκαμεν. Ὅσα δ' ἐν τελείοσι σχήμασι δείκνυται τῶν προβλημάτων, ἂν ἐν θατέρῳ συλλογισθῇ, ἔσιν ἀναγαγεῖν τὸν συλλογισμὸν εἰς θάτερον. οἷον τὸν ἐν τῷ πρώτῳ, σερητικὸν εἰς τὸ δι' εὐτόρου. καὶ τὸν ἐν τῷ μέσῳ, εἰς τὸ πρῶτον. οὐχ ἅπαντας δέ, ἀλλ' ἐνίους. ἔστω δὴ φανερὸν ἐν τοῖς ἑπομένοις. εἰ δὲ τὸ α μηδενὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ, τὸ α οὐδενὶ τῷ γ. οὕτως μὲν δὴ τὸ σχῆμα. ἐὰν δὲ ἀντισταφῇ τὸ σερητικὸν, τὸ μέσον ἔσται. τὸ δὲ β τῷ μὲν α, οὐδενί. τὸ δὲ γ, παντὶ ὑπάρξει. ὁμοίως δὴ καὶ εἰ μὴ καθόλου ἀλλ' ἐν μέρει ὁ συλλογισμός. οἷον εἰ τὸ μὲν α μηδενὶ τῷ β. τὸ δὲ β τινὶ τῷ γ. ἀντισταφέντος τοῦ σερητικοῦ, τὸ μέσον ἔσται σχῆμα. τῶν δὲ ἐν τῷ δευτέρῳ σχήματι συλλογισμῶν, οἱ μὲν καθόλου, ἀναχθήσονται εἰς τὸ α σχῆμα. τῶν δ' ἐν μέρει, ἄτοπος μόνον. ἔστω γὰρ τὸ α τῷ μὲν β μηδενὶ, τῷ δὲ γ, παντὶ ὑπάρχειν. ἀντισταφέντος οὖν τοῦ σερητικοῦ, τὸ α ἔσται σχῆμα. τὸ μὲν γὰρ β, οὐδενὶ τῷ α. τὸ δὲ α, παντὶ τῷ γ ὑπάρχει. ἐὰν δὲ τὸ κατηγορικὸν μὲν ᾖ πρὸς τὸ β. τὸ δὲ σερητικὸν πρὸς τῷ γ, πρῶτον ὅρον λητέον τὸ γ. τοῦτο δὲ οὐδενὶ τῷ α. τὸ δὲ α, παντὶ τῷ β. ὥστ' οὐδενὶ τῷ β τὸ γ. οὐδ' ἄρα τὸ β τῷ γ οὐδενί. ἀντιστρέφει δὲ τὸ σερητικόν. ἐὰν δὲ ἐν μέρει ᾖ ὁ συλλογισμός. ὅταν μὲν ᾖ τὸ σερητικὸν πρὸς τῷ μείζονι ἄκρῳ ἀναλυθήσεται εἰς τὸ πρῶτον σχῆμα. οἷον εἰ τὸ α μηδενὶ τῷ β. τῷ δὲ γ τινί. ἀντισταφέντος γὰρ τοῦ σερητικοῦ, τὸ α ἔσται σχῆμα. τὸ μὲν γὰρ β, οὐδενὶ τῷ α. τὸ δὲ α τινὶ τῷ γ. ὅταν δὲ τὸ κατηγορικὸν οὐκ ἀναλυθήσεται, οἷον εἰ τὸ α τῷ μὲν β παντί. τῷ δὲ γ, μὴ παντί. οὔτε δὲ ἐπιλέγεται ἀντίστροφον τὸ α β, οὔτε γεωμετρικὸς ἔσται συλλογισμός. πάλιν οὖν

μὴ ἐν τῷ τρίτῳ σχήματι οὐκ ἀναλυθήσονται πάντες εἰς τὸ α. οἱ δ' ἐν τῷ α πάντες, εἰς τὸ γ. ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β, τὸ δὲ β, τινὶ τῷ γ οὐκοῦν ἐπεὶ ἀντιστρέφει καὶ τὸ τῷ μέρει κατηγορικὸν ὑπάρξει τὸ γ τινὶ τῷ β. τὸ δὲ α παντὶ ὑπῆρχε τῷ β. ὥστε γίνεται τὸ γ σχῆμα. καὶ εἰ συμπερασματικὸς ὁ συλλογισμός, ὡσαύτως. ἀντιστρέφει γὰρ τὸ τῷ μέρει καὶ καταφατικόν. ὥστε τὸ μὲν α οὐδενὶ τῷ β, τὸ δὲ γ, τινὶ ὑπάρξει. τῶν δὲ ἐν τῷ τελευταίῳ σχήματι συλλογισμῶν, εἰς μόνος οὐκ ἀναλύεται, εἰς τὸ α. ὅταν μὴ καθόλου τεθῇ τὸ συμπερασματικόν, οἱ δὲ ἄλλοι πάντες ἀναλύονται. καταγορεύεσθω γὰρ παντὸς τοῦ γ τὸ α, καὶ τὸ β οὐκοῦν ἀντιστρέφει τὸ γ πρὸς ἑκάτερον ἐπὶ μέρους, ὑπάρξει ἄρα τὸ α τινὶ τῷ β. ὥστε ἔσται τὸ α σχῆμα, εἰ τὸ μὲν α παντὶ τῷ γ, τὸ δὲ γ τινὶ τῷ β. καὶ εἰ τὸ μὲν α παντὶ τῷ γ, τὸ δὲ β τινὶ τῷ γ, ὁ αὐτὸς λόγος. ἀντιστρέφει γὰρ πρὸς τὸ β τὸ γ. ἐὰν δὲ τὸ μὲν β παντὶ τῷ γ. τὸ δὲ α τινὶ τῷ γ, πρῶτον ὅρον θετέον τὸ β. τὸ γὰρ β παντὶ τῷ γ. τὸ δὲ γ τινὶ τῷ α. ὥστε τὸ β τινὶ τῷ α. ἐπεὶ δ' ἀντιστρέφει τὸ ἐν μέρει, καὶ τὸ α τινὶ τῷ β ὑπάρξει. καὶ εἰ συμπερασματικὸς ὁ συλλογισμὸς καθόλου τῶν ὅρων ὄντων, ὁμοίως λητέον. ὑπαρχέτω γὰρ τὸ β παντὶ τῷ γ. τὸ δὲ α μηδενὶ, οὐκοῦν τινὶ τῷ β ὑπάρξει τὸ γ. τὸ δὲ α οὐδενὶ τῷ γ. ὡς ἔσται μέσον τὸ γ. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν συμπερασματικὸν καθόλου, τὸ δὲ κατηγορικὸν τῷ μέρει. τὸ μὲν γὰρ α οὐδενὶ τῷ γ. τὸ δὲ γ, τινὶ τῷ β ὑπάρξει. ἐὰν δὲ τῷ μέρει ληφθῇ τὸ συμπερασματικόν, οὐκ ἔσται ἀνάλυσις. οἷον εἰ τὸ μὲν β παντὶ τῷ γ. τὸ δὲ α τινὶ μὴ ὑπάρχει. ἀντιστραφέντος γὰρ τοῦ β γ, ἀμφότεραι αἱ προτάσεις ἔσονται κατὰ μέρος. φανερὸν δὲ ὅτι καὶ πρὸς τὸ ἀναλύειν εἰς ἄλλα τὰ σχήματα. ἢ πρὸς τῷ ἐλάττονι ἄκρῳ πρότασις, ἀντιστρεπτέα ἐν ἀμφοτέροις τοῖς σχήμασιν. ταύτης γὰρ μετατιθεμένης, μετάβασις γίνεται. τῶν δὲ ἐν τῷ μέσῳ σχήματι ἄτοπος μὲν, ἀναλύεται. ἄτοπος δὲ οὐκ ἀναλύεται εἰς τὸ γ.

ὅταν

ὅταν μὲν γὰρ ἡ τὸ καθόλου στερητικὸν, ἀναλύεται. εἰ γὰρ τὸ α μη-
δενὶ μὲν τῷ β. τῷ δὲ γ τινὶ, ἀμφότερα ὁμοίως ἀντιστρέφει πρὸς
τὸ α. ὥστε τὸ μὲν β, οὐδενὶ τῷ α. τὸ δὲ γ, τινί· μέσον ἄρα τὸ α.
ὅταν δὲ τὸ α παντὶ τῷ β. τῷ δὲ γ τινὶ μὴ ὑπάρχῃ, οὐ γίνεται ἀ-
νάλυσις. οὐδετέρα δὲ τῶν προτάσεων ἐκ τῆς ἀντιστροφῆς καθόλου. οὐ
οἱ ἐκ τοῦ τρίτου δὲ σχήματος ἀναλυθήσονται εἰς τὸ μέσον, ὅταν ἡ καθό-
λου τὸ στερητικὸν, οἷον, εἰ τὸ α μηδενὶ τῷ γ. τῷ δὲ β τινὶ ἢ παντί.
καὶ γὰρ τὸ γ τῷ μὲν α οὐδενί. τῷ δὲ β τινὶ ὑπάρξει. ἐὰν δὲ ἐπὶ
μέρους ἡ τὸ στερητικὸν, οὐκ ἀναλυθήσεται. οὐ γὰρ λέγεται ἀντιστροφὴν
τὸ ἐν μέρει ἀποφατικόν. φανερὸν δὲ ὅτι οἱ αὐτοὶ συλλογισμοὶ
οὐκ ἀναλύονται ἐν τούτοις τοῖς σχήμασιν. οἵπερ οὐδ' εἰς τὸ πρῶ-
τον ἀνελύοντο. καὶ ὅτι εἰς τὸ πρῶτον σχῆμα τῶν συλλογισμῶν ἀναγο-
μένων, οὗτοι μόνοι διὰ τοῦ ἀδυνάτου περαίνονται. πῶς μὲν οὖν δεῖ
τοὺς συλλογισμοὺς ἀνάγειν, καὶ ὅτι ἀναλύεται τὰ σχήματα εἰς ἄλλη-
λα, φανερὸν ἐκ τῶν εἰρημένων. Διαφέρει δέτι ἐν τῷ κατασκευά
ζειν ἢ ἀνασκευάζειν τὸ ὑπολαμβάνειν, ἢ ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ,
μὴ εἶναι τόδε. ἢ εἶναι μὴ τόδε. οἷον, τὸ μὴ εἶναι λευκὸν, τῷ εἶναι μὴ
λευκόν. οὐ γὰρ ταὐτὸν σημαίνει. οὐδ' ἔστιν ἀπόφασις τοῦ εἶναι λευ-
κὸν, τὸ εἶναι μὴ λευκὸν, ἀλλὰ τὸ μὴ εἶναι λευκόν. λόγος δὲ τούτου, ὅτι
δε. ὁμοίως γὰρ ἔχει τὸ δύναται βαδίζειν, πρὸς τὸ δύναται οὐ βα- δύναται
δίζειν, τῷ ἔστι λευκὸν, πρὸς τὸ ἔστιν οὐ λευκόν. καὶ τὸ ἐπίσταται τἀγα
θὸν πρὸς τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν. τὸ γὰρ ἐπίσταται ἢ ἔστιν ἐπι-
στάμενος τὸ ἀγαθὸν, οὐδὲν διαφέρει. οὐδὲ τὸ δύναται βαδίζειν, ἢ ἔστι
δυνάμενος βαδίζειν. ὥστε καὶ τὰ ἀντικείμενα οὐ δύναται βαδί-
ζειν. οὐκ ἔστι δυνάμενος βαδίζειν. εἰ οὖν τὸ οὐκ ἔστι δυνάμενος βα
δίζειν ταὐτὸ σημαίνει καὶ ἔστι δυνάμενος οὐ βαδίζειν, ἢ μὴ βαδί-
ζειν, ταὐτά γε ἅμα ὑπάρξει τῷ αὐτῷ. ὁ γὰρ αὐτὸς δύναται καὶ
βαδίζειν

βαλλίζειν καὶ μὴ βαλλίζειν. καὶ ἐπὶ τῶν μέσων τοῦ ἀγαθοῦ καὶ τοῦ μὴ ἀγαθοῦ ἐστι. φάσις δὲ καὶ ἀπόφασις, οὐχ ὑπάρχουσιν αἱ ἀντικείμεναι ἅμα τῷ αὐτῷ. ὥσπερ οὖν οὐ ταυτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθόν, καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν. οὐ δὲ εἶναι μὴ ἀγαθὸν καὶ μὴ εἶναι ἀγαθόν, ταυτόν. τῶν γὰρ ἀνάλογον ἂν θάτερα ἢ ἕτερα. καὶ θάτερα, οὐ δὲ τὸ εἶναι μὴ ἴσον καὶ τὸ μὴ εἶναι ἴσον. τῷ μὲν γὰρ ὑποκειταί τι, τῷ ὄντι μὴ ἴσῳ. καὶ τοῦτ' ἔστι τὸ ἄνισον. τῷ δὲ, οὐδέν. διόπερ ἴσον μὲν ἢ ἄνισον, οὐ πᾶν ὑπάρχει. ἴσον δὲ, ἢ οὐκ ἴσον, πᾶν. ἔτι τὸ ἔστιν οὐ λευκὸν ξύλον. καὶ τὸ οὐκ ἔστι λευκὸν ξύλον, οὐχ ἅμα ὑπάρχει. εἰ γὰρ ἔστι ξύλον οὐ λευκόν, ἔστιν ξύλον. τὸ δὲ μὴ ὂν λευκὸν ξύλον, οὐκ ἀνάγκη εἶναι ξύλον. ὥστε φανερὸν ὅτι οὐκ ἔστι τὸ ἔστιν ἀγαθὸν, τὸ ἔστιν οὐκ ἀγαθόν, ἀπόφασις. εἰ οὖν κατὰ παντὸς ἑνὸς ἢ ἡ φάσις ἢ ἀπόφασις ἀληθὴς, εἰ μή ἐστιν ἀπόφασις, δῆλον ὡς κατάφασις ἂν πως εἴη. κατα φάσεως δὲ πάσης ἀπόφασίς ἐστι, καὶ ταύτης ἄρα, τὸ οὐκ ἔστιν οὐκ ἀγαθόν. ἔχει δὲ τάξιν τινὰ πρὸς ἄλληλα. ἑστω τὸ μὲν εἶναι ἀγαθὸν, ἐφ' ᾧ α. τὸ δὲ μὴ εἶναι ἀγαθὸν, ἐφ' οὗ τὸ β. τὸ δὲ εἶναι μὴ ἀγαθὸν, ἐφ' οὗ γ ὑπο τὸ β. τὸ δὲ μὴ εἶναι μὴ ἀγαθὸν, ἐφ' οὗ δ ὑπο τὸ α, παντὶ δὴ ὑπάρξει ἢ τὸ α, ἢ τὸ β. καὶ οὐδενὶ τῷ αὐτῷ, καὶ ἢ τὸ γ ἢ τὸ δ, καὶ οὐδενὶ τῷ αὐτῷ. καὶ ᾧ τὸ γ, ἀνάγκη τὸ β παντὶ ὑπάρχειν. εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι ἔστιν οὐ λευκόν, καὶ ὅτι οὐκ ἔστι λευκόν, ἀληθές. ἀδύνατον γὰρ ἅμα εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν. ἢ εἶναι ξύλον οὐ λευκὸν καὶ εἶναι ξύλον λευκόν. ὥστ' εἰ μὴ ἡ κατάφασις, ἡ ἀπόφασις ὑπάρξει. τῷ δὲ β τὸ γ οὐκ ἀεί. ὃ γὰρ ὅλως μὴ ξύλον ἐστὶν, οὐ δὲ ξύλον ἔστιν, οὐ λευκόν. ἀνάπαλιν τοίνυν ᾧ τὸ α, καὶ τὸ δ παντί. ἢ γὰρ τὸ γ, ἢ τὸ δ. ἐπεὶ δ' οὐχ οἷόντε ἅμα εἶναι μὴ λευκὸν καὶ εἶναι λευκὸν, τὸ δ ὑπάρξει. κατὰ γὰρ τοῦ ὄντος λευκοῦ, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστιν οὐ λευκόν. κατὰ δὲ τοῦ δ οὐ παντὸς τὸ α. κατὰ γὰρ τοῦ ὅλως μὴ ὄντος ξύλου, οὐκ ἀληθὲς τὸ

ἀναλόγων

α εἶ-

α εἰπεῖν, ὡς ἔστι ξύλον λίθινον· ὥστε τὸ μὲν ἀληθὲς, τὸ α οὐκ ἀληθὲς, ὅτι ξύλον λίθινον. δῆλον δ' ὅτι καὶ τὸ α τῷ οὐδενὶ τῷ αὐτῷ ὑπάρχει, εἰ καὶ τὸ β καὶ τὸ μὲν ἐνδέχεται τινὶ τῷ αὐτῷ ὑπάρξαι. ὁμοίως δ' ἔχουσι καὶ αἱ σεβήσεις πρὸς τὰς κατηγορίας, ταύτην τὴν θέσιν. ἴσον, ἐφ' οὗ τὸ α, οὐκ ἴσον, ἐφ' οὗ τὸ β. ἄνισον ἐφ' οὗ τὸ γ, οὐκ ἄνισον, ἐφ' οὗ τὸ μὲ. καὶ ἐστὶ πολλῶν δὲ ὧν τοῖς μὲν ὑπάρχει. τοῖς δὲ, οὐχ ὑπάρχει τὸ αὐτό· ἡ μὲν ἀποφασις ὁμοίως ἀληθεύοιτ' ἂν ὅτι οὐκ ἔστι λίθινα πάντα, ἢ ὅτι οὐκ ἔστι λευκὸν ἕκαστον. ὅτι μέ ἐστιν οὐ λευκὸν ἕκαστον, ἢ ὅτι πάντα ἐστὶν οὐ λίθινα, ψεῦδος. ὁμοίως δὲ καὶ τοῦ ἔστι πᾶν ζῷον λευκόν, οὐ τὸ ἔστιν οὐ λευκὸν ἅπαν ζῷον, ἀποφασις. ἄμφω γὰρ ψευδεῖς· ἀλλὰ τὸ οὐκ ἔστι πᾶν ζῷον λευκόν. ἐπεὶ δὲ δῆλον ὅτι ἕτερον σημαίνει τὸ ἔστιν οὐ λευκόν. καὶ τὸ οὐκ ἔστι λευκόν· καὶ τὸ μὲν κατάφασις, τὸ δὲ ἀπόφασις, φανερὸν ὡς οὐχ ὁ αὐτὸς τρόπος ζῷου λευκαίνει ἑκάτερον. οἷον ὅτι ὃ ἂν εἴη ζῷον, οὐκ ἔστι λευκόν. ἢ ἐνδέχεται μὴ εἶναι λευκόν. καὶ ὅτε ἀληθὲς εἰπεῖν μὴ λευκόν. τοῦτο γάρ ἐστιν εἶναι μὴ λευκόν. ἀλλὰ τὸ μὲν ἀληθὲς εἰπεῖν, ἔστι λευκόν, εἴτε μὴ λευκόν, ὁ αὐτὸς τρόπος. κατασκευασικῶς γὰρ ἄμφω διὰ τοῦ πρώτου δείκνυται σχήματος. τὸ γὰρ ἀληθὲς τῷ ἔστιν ὁμοίως τάττεται. τοῦ γὰρ ἀληθὲς εἰπεῖν λευκόν, οὐ τὸ ἀληθὲς εἰπεῖν μὴ λευκόν, ἀπόφασις, ἀλλὰ τὸ μὴ ἀληθὲς εἰπεῖν λευκόν. εἰ δ' ἔστιν ἀληθὲς εἰπεῖν ὃ ἂν ᾖ ἄνθρωπος μουσικὸν εἶναι, ἢ μὴ μουσικὸν εἶναι ὃ ἂν ᾖ ζῷον λιπωτέον, ἢ εἶναι μουσικὸν, ἢ μὴ μουσικὸν εἶναι. καὶ δέδεικται. τὸ δὲ μὴ εἶναι μουσικὸν ὃ ἂν ᾖ ἄνθρωπος, ἀνασκευασικῶς δείκνυται κατὰ τοὺς εἰρημένους τρεῖς τρόπους. ἁπλῶς δὲ ὅταν οὕτως ἔχῃ τὸ α καὶ τὸ β. ὥστε ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι. πάντῃ δὲ ἐξ ἀνάγκης, θάτερον. καὶ πάλιν τὸ γ καὶ τὸ μὲ ὡσαύτως. ἔσται δὲ τῷ γ τὸ α. καὶ μὴ ἀντιστρέφει, καὶ τῷ β τὸ μὲ ἀκολουθήσει, καὶ

οὐκ ἂν

οὐκ ἀντιστρέφει. καὶ τὸ μὴ α καὶ τὸ Λ συλλέγεται τῷ ἀυτῷ. τὸ δὲ Β καὶ τὸ γ, οὐκ συλλέγεται. πρῶτον μὲν οὖν, ὅτι τῷ Β τὸ Λ ἕπεται συθέν λει, φανερόν. ἐπεὶ γὰρ τῶν γ Λ θάτερον ἐξ ἀνάγκης, ᾧ δὲ τὸ Β οὐκ συλλέγεται τὸ γ Λ διὰ τὸ συμπεριφέρειν τὸ α. τὸ δὲ α καὶ Β μὴ συλλέγεσθαι τῷ ἀυτῷ. φανερόν ὅτι τὸ Λ, ἀκολουθήσει. πάλιν ἐπεὶ τῷ α τὸ γ οὐκ ἀντιστρέφει, ἐνδέχεται δὲ ἢ τὸ γ ἢ τὸ Λ, συλλέγεται τὸ α καὶ τὸ Λ τῷ ἀυτῷ ὑπάρχειν. τὸ μέν γε Β καὶ τὸ γ οὐκ συλλέγεται. διὰ τὸ συμπλοκὴν θεῖν τῷ γ τὸ α. συμβαίνει γάρ τι ἀδύνατον. φανερὸν οὖν ὅτι οὐ δὲ τὸ Β τῷ Λ, ἀντιστρέφει. ἐπείπερ ἐγχωρεῖ ἅμα τῷ Λ καὶ τὸ α ὑπάρχειν. συμβαίνει δὲ ἐνίοτε καὶ ἐν τοιαύτῃ τάξει τῶν ὅρων ἀπαντᾶσθαι, διὰ τὸ μὴ γὰρ ἀντικείμενα λαμβάνειν ὀρθῶς. ὧν, ἀνάγκη ἐνδέχεσθαι θάτερον ὑπάρχειν. οἷον εἰ τὸ α καὶ τὸ Β μὴ ἐνδέχεται ἅμα τῷ ἀυτῷ, ἀνάγκη δὲ ὑπάρχειν ᾧ μὴ θάτερον, θάτερον. καὶ πάλιν τὸ γ καὶ τὸ Λ, ὡσαύτως. ᾧ δὲ τὸ γ ἐνδέχεται τὸ α, συμβήσεται γὰρ ᾧ τὸ Λ τὸ Β, ὑπάρχειν ἐξ ἀνάγκης. ὅπερ ἐστὶ ψεῦδος. εἰλήφθω μὴ ἡ ἀπόφασις τῶν α Β, ἢ ἐφ' ὧν ζ. καὶ πάλιν τῶν γ Λ ἢ ἐφ' ὧν θ. ἀνάγκη Λ μὴ ἐνδέχεσθαι, ἢ τὸ α ἢ τὸ ξ. ἢ γὰρ τῶν φάσιν ἢ τῶν ἀπόφασιν. καὶ πάλιν ἢ τὸ γ ἢ τὸ θ. φάσις μὲν καὶ ἀπόφασις. καὶ ᾧ τὸ ς ἐνδέχεται τὸ α ὑπόκειται. ὥστε ᾧ τὸ ζ, ἐνδέχεται τὸ θ. πάλιν ἐπεὶ τῶν ζ Β ἐνδέχεται θάτερον καὶ τῶν θ Λ ὡσαύτως. ἀκολουθεῖ δὲ τῷ ζ, τὸ θ. καὶ τῷ Λ ἀκολουθήσει, τὸ Β. τοῦτο γὰρ ἴσμεν. εἰ ἄρα τῷ γ τὸ α, καὶ τῷ Λ τὸ Β. τοῦτο δὲ ψεῦδος. ἀνάπαλιν μὲν ἐν τοῖς οὕτως ἔχουσιν ἡ ἀκολούθησις. οὐ δὲ ἴσως ἀνάγκη ἐνδέχεσθαι τὸ α ἢ τὸ ξ, οὐ δὲ τὸ ζ ἢ τὸ Β. οὐ γάρ ἐστιν ἀπόφασις τοῦ α τὸ ξ. τοῦ γὰρ ἀγαθοῦ, τὸ οὐκ ἀγαθὸν ἀπόφασις. οὐ ταὐτὸν δέ ἐστι τὸ οὐκ ἔστιν ἀγαθὸν, τῷ οὔτε ἀγαθὸν, οὔτε οὐκ ἀγαθόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν γ Λ. αἱ γὰρ ἀποφάσεις αἱ εἰλημμέναι, δύο εἰσίν.

ΑΡΙΣΤΟΤΕ-
ΛΟΥΣ ΑΝΑΛΥΤΙΚΩΝ ΠΡΟ-
ΤΕΡΩΝ, ΔΕΥΤΕΡΟΝ.

ΕΝ Γόσοις μὲν οὖν σχήμασι, καὶ διὰ ποίων καὶ πόσων προτάσεων, καὶ πότε, καὶ πῶς γίνεται συλλογισμός, ἔτι δὲ, εἰς ποῖα βλεπτέον ἀνασκευάζοντι καὶ κατασκευάζοντι. καὶ πῶς δεῖ ζητεῖν περὶ τοῦ προκειμένου καθ' ὁ ποιανοῦν μέθοδον. ἔτι δὲ διὰ ποιὰν ὁδοῦ ληψόμεθα τὰς περὶ ἕκαστον ἀρχὰς, ἤδη διεληλύθαμεν. ἐπεὶ δὲ οἱ μὲν, καθόλου τῶν συλλογισμῶν εἰσιν. οἱ δὲ ἐπὶ μέρους. οἱ μὲν καθόλου πάντες ἀεὶ πλείω συλλογίζονται. τῶν δὲ ἐν μέρει, οἱ μὲν κατηγορικοὶ, πλείω. οἱ δ' ἀποφατικοὶ τὸ συμπέρασμα μόνον. αἱ μὲν γὰρ ἄλλαι προτάσεις ἀντιστρέφουσιν. ἡ δὲ ἐν μέρει στερητικὴ, οὐκ ἀντιστρέφει. τὸ δὲ συμπέρασμα, τὶ κατὰ τινός ἐστιν. ὥσθ' οἱ μὲν ἄλλοι συλλογισμοὶ πλείω συλλογιοῦνται. οἷον εἰ τὸ α δέδεικται παντὶ τῷ β ἢ τινὶ, καὶ τὸ β τινὶ τῷ α ἀναγκαῖον ὑπάρχειν. καὶ εἰ μηδενὶ τῷ β τὸ α, οὐδὲ τὸ β οὐδενὶ τῷ α. τοῦτο δὲ ἕτερον τοῦ ἔμπροσθεν. εἰ δὲ τὸ α τινὶ μὴ ὑπάρχῃ τῷ β, οὐκ ἀνάγκη καὶ τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν. ἐνδέχεται γὰρ παντὶ ὑπάρχειν. αὕτη μὲν οὖν κοινὴ πάντων αἰτία, τῶν τε καθόλου καὶ τῶν κατὰ μέρος. ἔστι δὲ περὶ τῶν καθόλου καὶ ἄλλως εἰπεῖν. ὅσα γὰρ ἢ ὑπὸ τὸ μέσον ἢ ὑπὸ τὸ συμπέρασμά ἐστιν, ἁπάντων ἔσται ὁ αὐτὸς συλλογισμός. ἐὰν τὰ μὲν, ἐν τῷ μέσῳ. τὰ δὲ, ἐν τῷ συμπεράσματι τεθῇ. οἷον εἰ τὸ α β συμπέρασμα διὰ τοῦ γ. ὅσα ὑπὸ τὸ β ἢ τὸ γ ἐστὶν, ἀνάγκη κατὰ πάντων λέγεσθαι τὸ α. εἰ γὰρ τὸ δ, ἐν ὅλῳ τῷ β. τὸ δὲ β ἐν ὅλῳ τῷ α, καὶ τὸ δ ἔσται ἐν ὅλῳ τῷ α. πάλιν εἰ τὸ ε ἐν ὅλῳ τῷ γ. τὸ δὲ γ ἐν τῷ α. καὶ τὸ ε ἐν ὅλῳ τῷ α ἔσται. ὁμοίως

δὲ καὶ εἰ σερητικὸς εἰκὸ ὁ συλλογισμός· ἔστι δὲ τοῦ .β. σχήματος, τὸ ὑπὸ τὸ συμπέρασμα μόνον ἔσται συλλογίσασθαι. διὸν εἰ τὸ α τῷ β μηδενὶ, τῷ δὲ γ παντὶ, συμπέρασμα ὅτι οὐδενὶ τῷ γ, τὸ β. εἰ δὲ μὴ τὸ δ ὑπὸ τὸ γ ἐστί. φανερὸν ὅτι οὐχ' ὑπάρχει αὐτῷ τὸ β. ζῷς δὲ ὑπὸ τὸ α ὅτι οὐχ' ὑπάρχει, οὐ δῆλον διὰ τοῦ συλλογισμοῦ. καίτοι οὐχ' ὑπάρχει τῷ εἰ ἔστιν ὑπὸ τὸ α, ἀλλὰ τὸ μὲν τῷ γ, μηδενὶ ὑπάρχειν τὸ β, διὰ τοῦ συλλογισμοῦ δέδεικται. τὸ δὲ τῷ α μὴ ὑπάρχειν, ἀναποδείκτον εἴληπται. ὥστε οὐ διὰ τὸν συλλογισμὸν συμβαίνει τὸ β τῷ ε μὴ ὑπάρχειν. ἐπὶ δὲ τῶν ἐν μέρει, τῶν μὲν ὑπὸ τὸ συμπέρασμα, οὐκ ἔσται τὸ ἀναγκαῖον. οὐ γὰρ γίνεται συλλογισμὸς ὅταν ἄυτη λημφθῇ ἐν μέρει. τῶν δὲ ὑπὸ τὸ μέσον, ἔσται πάντων. πλὴν οὐ διὰ τὸν συλλογισμόν. διὸν εἰ τὸ α παντὶ τῷ β, τὸ δὲ β τινὶ τῷ γ. τοῦ μὲν γὰρ ὑπὸ τὸ γ τεθέντος, οὐκ ἔσται συλλογισμός· τοῦ δὲ ὑπὸ τὸ ε, ἔσται. ἀλλ' οὐ διὰ τὸν προγεγραμμένον συλλογισμόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων. τοῦ μὲν γὰρ ὑπὸ τὸ συμπέρασμα οὐκ ἔσται. θατέρου δὲ, ἔσται. πλὴν οὐ διὰ τὸν συλλογισμόν, ἢ καὶ ἐν τοῖς καθόλου ἐξαναποδείκτου τῆς προτάσεως τὰ ὑπὸ τὸ μέσον ἐλείκνυτο. ὥστε ἢ οὐδὲ ἐκεῖ ἔσται, ἢ καὶ ἐπὶ τούτων. ἔστι μὲν οὖν οὕτως ἔχειν, ὥστ' ἀληθεῖς εἶναι τὰς προτάσεις, διὶ ὧν ὁ συλλογισμός. ἔστι δ' ὥστε ψευδεῖς. ἔστι δ' ὥστε τὴν μὲν, ἀληθῆ εἶναι. τὴν δὲ, ψευδῆ. τὸ δὲ συμπέρασμα, ἢ ἀληθὲς, ἢ ψεῦδος ἐξ ἀνάγκης. ἐξ ἀληθῶν μὲν οὖν οὐκ ἔσται ψεῦδος συλλογίσασθαι. ἐκ ψευδῶν δέ ἐστιν ἀληθές. πλὴν οὐ διότι, ἀλλ' ὅτι. τοῦ γὰρ διότι, οὐκ ἔστιν ἐκ ψευδῶν συλλογισμός. διὶ ἣν δὲ αἰτίαν, ὕστερον ἐν τοῖς ὑπομνήμασι λεχθήσεται. πρῶτον μὲν οὖν ὅτι ἐξ ἀληθῶν οὐχ' οἷόν τε ψεῦδος συλλογίσασθαι, ἐντεῦθεν δῆλον. εἰ γὰρ τὸ α ὄντος ἀναγκαίου τὸ ε εἶναι τοῦ ε μὴ ὄντος, ἀνάγκη τὸ α μὴ εἶναι. εἰ δὴ ἀληθές ἐστιν τὸ α, ἀνάγκη καὶ τὸ ε ἀληθὲς εἶναι, ἢ συμβήσεται τὸ αὐτὸ ἅμα εἶ-

ναί τε

ναί τι καὶ μὴ εἶναι. τοῦτο δὲ ἀδιώρατον. μὴ ὅτι δὲ κεῖται τὸ α ἓξις ὅρος ὑπολιφθήτω συνδέχεσθαι, ὡς ἑνός τινος ὄντος ἐξ ἀνάγκης τὶ συμβαίνειν. οὐ γὰρ δι' ὁτιοῦν τι. τὸ μὲν γὰρ συμβαῖνον ἐξ ἀνάγκης, τὸ συμπέρασμά ἐστι. διὰ ὧν δὲ τοῦτο γίνεται, ἐλαχίστων τριῶν ὅροι, δύο δὲ διαστήματα καὶ προτάσεις. ἐὰν οὖν ἀληθὲς ᾖ τὸ β ὑπάρχει, τὸ α παντί. ᾧ δὲ τὸ γ, τὸ β, ᾧ τὸ γ ἀνάγκη τὸ α ὑπάρχειν. καὶ συνδέχεσθαι τοῦτο ψεῦδος εἶναι. ἅμα γὰρ ὑπάρξει τοῦτο καὶ οὐχ ὑπάρξει. τὸ οὖν α ὥσπερ ἐν κεῖται δύο προτάσεις συμβιβάσαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στερητικῶν ἔχει. οὐ γὰρ ἔστιν ἐξ ἀληθῶν δεῖξαι ψεῦδος. ἐκ ψευδῶν δέ ἐστιν, ἀληθὲς συλλογίσασθαι, καὶ ἀμφοτέρων τῶν προτάσεων ψευδῶν οὐσῶν, καὶ τῆς μιᾶς. ταύτης δὲ οὐχ ὁποτέρας ἔτυχεν, ἀλλὰ τῆς δευτέρας. ἐάνπερ ὅλῃ λαμβάνωμεν ψευδεῖ. μὴ ὅλης δὲ λαμβανομένης, ἔστιν ὁποτοβρασοῦν.

Περὶ τοῦ πρώτου σχήματος.

Ἔστω γὰρ τὸ α ὅλῳ τῷ γ ὑπάρχον. τῷ δὲ β μηδενί. μὴ δὲ τὸ β τῷ γ. συνδέχεσθαι δὲ τοῦτο. οἷον λίθῳ οὐδενὶ ζῷον. οὐ δὲ λίθος οὐδενὶ ἀνθρώπῳ. ἐὰν δὴ ληφθῇ τὸ α παντὶ τῷ β. καὶ τὸ β παντὶ τῷ γ, τὸ α παντὶ τῷ γ ὑπάρξει. ὥστ' ἐξ ἀμφοῖν ψευδῶν, ἀληθὲς τὸ συμπέρασμα. πᾶς γὰρ ἄνθρωπος ζῷον. ὡσαύτως δὲ καὶ τὸ στερητικόν. ἔστω γὰρ τῷ γ μήτε τὸ α ὑπάρχειν μηδενί, μήτε τὸ β. τὸ μὲν τοι α τῷ β παντί. οἷον ἐὰν τῶν αὐτῶν ὅρων ληφθέντων μέσον τεθῇ ὁ ἄνθρωπος. λίθῳ δὲ οὔτε ζῷον οὔτε ἄνθρωπος οὐδενὶ ὑπάρχει. ἀνθρώπῳ δὴ παντὶ ζῷον. ὥστε ἐὰν ᾧ μὲν ὑπάρχει παντὶ λάβωμεν μηδενὶ ὑπάρχειν. ᾧ δὲ μὴ ὑπάρχει, παντὶ ὑπάρχειν ἐκ ψευδῶν ἀμφοῖν, ἀληθὲς ἔσται τὸ συμπέρασμα. ὁμοίως δὲ λαχθήσεται, κἂν ἐπί τι ψευδὲς ἑκατέρα ληφθῇ, ἐὰν δ' ἡ ἑτέρα τεθῇ ψευδής. τῆς μὲν πρώτης ὅλης ψευδοῦς οὔσης. οἷον τῆς α β. οὐκ ἔσται τὸ συμπέρασμα ἀληθὲς, τῆς δὲ β γ, ἔσται. λέγω δὲ ὅλην ψευδῆ τὴν

Δαρτ. ἀληθεῖ

παντίαν. ὅιον εἰ μηδενὶ ὑπάρχειν, παντὶ εἴληπται. ἢ εἰ παντὶ μηδε-
νὶ ὑπάρχον. ἔστω γὰρ τὸ α τῷ β μηδενὶ ὑπάρχον. τὸ δὲ β τῷ γ παντὶ,
ἐὰν δὴ τὴν μὲν β γ πρότασιν λάβωμεν ἀληθῆ. τὴν δὲ α β ψευδῆ ὅ-
λην, καὶ παντὶ ὑπάρχειν τῷ β τὸ α, ἀδύνατον τὸ συμπέρασμα ἀλη-
θὲς εἶναι. οὐδενὶ γὰρ ὑπῆρχε τῶν γ εἴπερ ᾧ τὸ β μηδενὶ τὸ α. τὸ δὲ β
παντὶ τῷ γ, ὁμοίως δὲ οὐδ' εἰ τὸ α τῷ β παντὶ ὑπάρχει. καὶ τὸ β τῷ γ
παντί. ληφθῇ δὲ ἡ μὲν β γ ἀληθὴς πρότασις. ἡ δὲ α β ψευδὴς ὅλη. καὶ
μηδενὶ ὧν τὸ β τὸ α. τὸ συμπέρασμα ψευδὲς ἔσται. παντὶ γὰρ ὑπάρχει
τῷ γ, τὸ α. εἴπερ ᾧ τὸ β παντὶ τὸ α. τὸ δὲ β παντὶ τῷ γ. φανερὸν οὖν ὅτι
τῆς πρώτης ὅλης λαμβανομένης ψευδοῦς, ἄντε καταφατικῆς ἄντε
στερητικῆς, τῆς δ' ἑτέρας ἀληθοῦς, οὐ γίνεται ἀληθὲς τὸ συμπέρασμα.
μὴ ὅλης δὲ λαμβανομένης ψευδοῦς, ἔσται. Εἰ γὰρ τὸ α τῷ μὲν γ
παντὶ ὑπάρχει. τῷ δὲ β τινὶ, τὸ δὲ β παντὶ τῷ γ. ὅιον ζῶον κύκνῳ μὲν
παντί. λευκῷ δὲ τινί. τὸ δὲ λευκὸν παντὶ κύκνῳ. ἐὰν ληφθῇ τὸ α παν-
τὶ τῷ β. καὶ τὸ β παντὶ τῷ γ, τὸ α παντὶ τῷ γ ὑπάρξει ἀληθῶς. πᾶς
γὰρ κύκνος ζῶον. ὁμοίως δὲ καὶ εἰ στερητικὸν εἴη τὸ α β. ἐγχωρεῖ γὰρ τὸ
α τῷ μὲν β τινὶ ὑπάρχειν. τῷ δὲ γ μηδενί. τὸ δὲ β, παντὶ τῷ γ. ὅιον
τὸ ζῶον τινὶ μὲν λευκῷ. χιόνι δὲ οὐδεμιᾷ, λευκὸν δὲ πάσῃ χιόνι. εἰ οὖν
ληφθείη τὸ μὲν α μηδενὶ τῷ β, τὸ δὲ β, παντὶ τῷ γ. τὸ α οὐδενὶ τῷ γ
ὑπάρξει. ἐὰν δὲ ἡ μὲν α β πρότασις ὅλη ληφθῇ ἀληθὴς, ἡ δὲ β γ ὅλη
ψευδὴς, ἔσται συλλογισμὸς ἀληθής. οὐδὲν γὰρ κωλύει τὸ α καὶ τῷ β καὶ
τῷ γ παντὶ ὑπάρχειν. τὸ μέντοι β μηδενὶ τῷ γ. ὅιον ὅσα τοι αὐτοι γέ-
νους εἴδη μὴ ὑπ' ἄλληλα. τὸ γὰρ ζῶον, καὶ ἵππῳ καὶ ἀνθρώπῳ ὑπάρ-
χει. ἵππος δὲ, οὐδενὶ ἀνθρώπῳ ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ α παντὶ τῷ
β. καὶ τὸ β παντὶ τῷ γ, ἀληθὲς ἔσται τὸ συμπέρασμα, ψευδοῦς οὔσης
ὅλης τῆς β γ προτάσεως. ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς α β προ-
τάσεως. ἐνδέχεται γὰρ τὸ α μήτε τῷ β, μήτε τῷ γ μηδενὶ ὑπάρχειν.

μὴ δὲ

μὴ δὲ τῷ μηδενὶ τῷ γ. οἷον τοῖς ἐξ ἄλλου γένους εἴδεσι. τὸ ἕτερον γένος. τὸ γὰρ ζῷον οὔτε μουσικῇ οὔτε ἰατρικῇ ὑπάρχει. οὐδὲ ἡ μουσικὴ, ἰατρικῇ. ληφθέντος οὖν τοῦ μὲν α μηδενὶ τῷ β. τοῦ δὲ β παντὶ τῷ γ. ἀληθὲς ἔσται τὸ συμπέρασμα. καὶ εἰ μὴ ὅλη ψευδὴς ἡ β γ, ἀλλ' ἐστί τι καὶ οὕτως ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει τὸ α καὶ τῷ β καὶ τῷ γ ὅλῳ ὑπάρχειν. τὸ μὲν τοι β τινὶ τῷ γ. οἷον τὸ γένος τῷ εἴδει, καὶ τῇ διαφορᾷ. τὸ γὰρ ζῷον, παντὶ ἀνθρώπῳ, καὶ παντὶ πεζῷ. ὁ δ' ἄνθρωπος τινὶ πεζῷ ἢ οὐ παντί. εἰ οὖν τὸ α παντὶ τῷ β, καὶ τὸ β παντὶ τῷ γ ληφθείη, τὸ α παντὶ τῷ γ ὑπάρξει. ὅπερ ἦν ἀληθές. ὁμοίως δὲ καὶ σερητικῆς οὔσης τῆς α β προτάσεως. συμβήσεται γὰρ τὸ α μήτε τῷ β μήτε τῷ γ μηδενὶ ὑπάρχειν. τὸ μὲν τοι β τινὶ τῷ γ. οἷον τὸ γένος τὸ ἐξ ἄλλου γένους εἴδει καὶ διαφορᾷ. τὸ γὰρ ζῷον οὔτε φρονήσει συμβεβηκὸς ὑπάρχει. οὔτε θεωρητικῇ. ἡ δὲ φρόνησις τινὶ θεωρητικῇ. εἰ οὖν ληφθείη τὸ μὲν α μηδενὶ τῷ β, τὸ β παντὶ τῷ γ, οὐδενὶ τῷ γ τὸ α ὑπάρξει, τοῦτο δὲ ἦν ἀληθές. Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν συμβήσεται καὶ τῆς πρώτης προτάσεως ὅλης ψευδοῦς οὔσης, τῆς δ' ἑτέρας ἀληθοῦς, ἀληθὲς εἶναι τὸ συμπέρασμα, καὶ ἐπί τι ψευδοῦς οὔσης τῆς α β, τῇ δὲ β γ ὅλης ἀληθοῦς. ἢ τῆς μὲν α β ἀληθοῦς, τῆς δ' ἐν μέρει ψευδοῦς. ἢ ἀμφοτέρων οὐσῶν ψευδῶν. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν β μηδενὶ ὑπάρχειν, τῷ δὲ γ τινὶ, καὶ τὸ β τινὶ τῷ γ ὑπάρχειν. οἷον ζῷον, συμβεβηκὸς λευκῷ. λευκῷ δὲ τινὶ ὑπάρχει. καὶ ἡ χιὼν λευκῷ τινί. εἰ οὖν μέσον τεθείη ἡ χιών. πρῶτον δὲ τὸ ζῷον. καὶ ληφθείη τὸ μὲν α ὅλῳ τῷ β ὑπάρχειν. τὸ δὲ β τινὶ τῷ γ. ἡ μὲν α β ὅλη ψευδὴς. ἡ δὲ β γ, ἀληθὴς, καὶ τὸ συμπέρασμα ἀληθές. ὁμοίως δὲ καὶ σερητικῆς οὔσης. τῆς α β προτάσεως. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β ὅλῳ ὑπάρχειν. τῷ δὲ γ τινὶ μὴ ὑπάρχειν. τὸ μὲν τοι β τινὶ ὑπάρχειν τῷ γ. οἷον τὸ ζῷον, ἀνθρώπῳ μὲν παντὶ ὑπάρχει. λευκῷ δὲ τινὶ οὐχ ἕπεται. ὁ δὲ ἄνθρωπος

θρωπος λευκῷ τινὶ ὑπάρχει. ὥστε εἰ μέσου τεθέντος τοῦ ἀνθρώπου
ληφθείη τὸ α μηδενὶ τῷ β ὑπάρχειν. τὸ δὲ β τινὶ τῷ γ ὑπάρχει,
ἀληθὲς ἔσται τὸ συμπέρασμα φευδοῦς οὔσης ὅλης τῆς α β προτά-
σεως. καὶ εἰ ἐπίτι φευδὴς ἡ α β πρότασις τῆς β γ ἀληθοῦς οὔσης
ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει τὸ α, καὶ τῷ β καὶ
τῷ γ τινὶ ὑπάρχειν. καὶ τὸ β τῷ γ τινὶ ὑπάρχειν. οἷον τὸ ζῷον, τι-
νὶ καλῷ. καὶ τινὶ μεγάλῳ. καὶ τὸ καλὸν τινὶ μεγάλῳ ὑπάρχειν.
ἐὰν οὖν ληφθῇ τὸ α παντὶ τῷ β. καὶ τὸ β τινὶ τῷ γ. ἡ μὲν α β πρό-
τασις, ἐπίτι φευδὴς ἔσται. ἡ δὲ β γ ὅροι ἀληθής. καὶ τὸ συμπέρα-
σμα ἀληθές. ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς α β προτάσεως.
οἱ γὰρ αὐτοὶ ὅροι ἔσονται καὶ ὡσαύτως κείμενοι πρὸς τὴν ἀπόδει-
ξιν. πάλιν εἰ ἡ μὲν α β ἀληθής. ἡ δὲ β γ φευδὴς, ἀληθὲς ἔσται
τὸ συμπέρασμα. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν β ὅλῳ ὑπάρχειν.
τῷ δὲ γ τινί. καὶ τὸ β τῷ γ μηδενὶ ὑπάρχειν. οἷον ζῷον κύκνῳ μὲν
παντί. μέλανι δὲ τινί. κύκνος δὲ οὐδενὶ μέλανι. ὥστ' εἰ ληφθείη
παντὶ τῷ β τὸ α. καὶ τὸ β τῷ γ τινί, ἀληθὲς ἔσται τὸ συμπέρασμα.
φευδοῦς ὄντος τοῦ β γ. ὁμοίως δὲ καὶ στερητικῆς λαμβανομένης τῆς
α β προτάσεως. ἐχχωρεῖ γὰρ τὸ α τῷ μὲν β μηδενί. τῷ δὲ γ τινὶ μὴ
ὑπάρχειν. τὸ μὲν τοι β μηδενὶ τῷ γ. οἷον τὸ γένος, τῷ ἐξ ἄλλου γένους
εἴδει. καὶ τῷ συμβεβικότι τοῖς ἑαυτοῦ εἴδεσι. τὸ γὰρ ζῷον ἀριθ-
μῷ μὲν οὐδενὶ ὑπάρχει. λευκῷ δὲ τινί. καὶ ὁ ἀριθμὸς οὐδενὶ λευ-
κῷ. ἐὰν οὖν μέσον τεθῇ ὁ ἀριθμός, καὶ ληφθῇ τὸ μὲν α μηδενὶ τῷ β.
τὸ δὲ β τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει. ὅπερ ἦν ἀληθές. καὶ
ἡ μὲν α β πρότασις, ἀληθής. ἡ δὲ β γ φευδής. καὶ εἰ ἐπίτι φευ-
δὴς ἡ α β, φευδὴς δὲ καὶ ἡ β γ, ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν
γὰρ κωλύει τὸ α τῷ β τινὶ καὶ τῷ γ τινὶ ὑπάρχειν ἑκατέρῳ. τὸ
δὲ β μηδενὶ τῷ γ. οἷον εἰ εἴη ἐναντίον τὸ β τῷ γ. ἄμφω δὲ συμβεβη-
κότα

κατὰ τῷ αὐτῷ γένει. τὸ γὰρ ζῶον, τινὶ λευκῷ καὶ τινὶ μέλανι ὑπάρχει. λευκὸν δὲ οὐδενὶ μέλανι ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ α παντὶ τῷ β. τὸ δὲ β τινὶ τῷ γ, ἀληθὲς ἔσται τὸ συμπέρασμα. καὶ σερητικῆς ἡ λαμβανομένης τῆς α Ϛ ὡσαύτως. οἱ γὰρ αὐτοὶ ὅροι γ ὡσαύτως τεθήσονται πρὸς τὴν ἀποδειξιν. καὶ ἀμφοτέρων δὲ ψευδῶν οὐσῶν, ἔσται τὸ συμπέρασμα ἀληθές. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β μηδενί. τῷ δὲ γ, τινὶ ὑπάρχειν. τὸ μὲν τοι β μηδενὶ τῷ γ ὅλον τὸ γένος τῷ ἐξ ἅλου γένους εἶδει. καὶ τῷ συμβεβηκότι τοῖς εἴδεσιν αὐτο. ζῶον γὰρ ἀριθμῷ μὲν οὐδενί, λευκῷ δέ τινὶ ὑπάρχει. καὶ ὁ ἀριθμὸς οὐδενὶ λευκῷ. ἐὰν οὖν ληφθῇ τὸ α παντὶ τῷ β. καὶ τὸ β τινὶ τῷ γ. τὸ μὲν συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ἄμφω ψευδεῖς. ὁμοίως δὲ καὶ σερητικῆς οὔσης τῆς α Ϛ. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν Ϛ ὅλῳ ὑπάρχειν. τῷ δὲ τινὶ μὴ ὑπάρχειν. μὴ δὲ τὸ Ϛ μηδενὶ τῷ γ. ὅιον ζῶον κύκνῳ μὲν παντί. μέλανι δὲ τινὶ οὐχ ὑπάρχει. κύκνος δὲ οὐδενὶ μέλανι. ὥστ' εἰ ληφθείη τὸ α μηδενὶ τῷ Ϛ, τὸ δὲ β τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει. τὸ μὲν οὖν συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ψευδεῖς.

Σχῆμα δεύτερον.

Ἐν δὲ τῷ μέσῳ σχήματι πάντως ἐγχωρεῖ διὰ ψευδῶν, ἀληθὲς συλλογίσασθαι καὶ ἀμφοτέρων τῶν προτάσεων ὅλων ψευδῶν λαμβανομένων. καὶ ἐσίτι ἑκατέρας. καὶ τῆς μὲν ἀληθοῦς. τῆς δὲ ψευδοῦς οὔσης ὅλης ὁποτερασοῦν ψευδοῦς τιθεμένης, καὶ ἐι ἀμφότερα ἐσίτι ψευδεῖς. καὶ ἐι ἡ μὲν ἁπλῶς ἀληθής. ἡ δὲ ἐσίτι ψευδής. καὶ ἐι ἡ μὲν ὅλη ψευδής. ἡ δὲ ἐσίτι ἀληθής. καὶ ἐσὶ τῶν καθόλου, καὶ ἐσὶ τῶν ἐν μέρει συλλογισμῶν. ἐι γὰρ τὸ α τῷ μὲν β μηδενὶ ὑπάρχει, τῷ δὲ γ παντί. ὅιον ζῶον λίθῳ μὲν οὐδενί, ἀνθρώπῳ δὲ παντὶ, ἐὰν οὕτω τεθῶσιν αἱ προτάσεις, καὶ ληφθῇ τὸ α τῷ μὲν Ϛ παντί. τῷ δὲ γ μηδενὶ ἐκ ψευδῶν ὅλων τῶν

προτά

προτάσιων, ἀληθὲς ἔσται τὸ συμπέρασμα. ὁμοίως δὲ καὶ εἰ τῷ μὲν β παντί. τῷ δὲ γ μηδενὶ ὑπάρχει τὸ α. ὁ γὰρ αὐτὸς ἔσται συλλογισμός. πάλιν εἰ ἡ μὲν ἑτέρα ψευδὴς ὅλη. ἡ δὲ ἑτέρα ὅλη ἀληθής. οὐδὲν γὰρ κωλύει τὸ α, καὶ τῷ β καὶ τῷ γ παντὶ ὑπάρχειν. τὸ μὲν τοι β μηδενὶ τῷ γ. ὅιον τὸ γένος τοῖς μὴ ὑπ' ἄλλα εἴδεσι. τὸ δὲ ζῷον, καὶ ἵππῳ παντὶ καὶ ἀνθρώπῳ. καὶ οὐδεὶς ἄνθρωπος ἵππος. ἐὰν οὖν ληφθῇ τὸ ζῷον. τῷ μὲν, παντί. τῷ δὲ, μηδενὶ ὑπάρχειν. ἡ μὲν ὅλη ψευδὴς ἔσται. ἡ δὲ ὅλη ἀληθής. καὶ τὸ συμπέρασμα ἀληθές. πρὸς ὁποτερασοῦν τιθέγζ τῶν σερητικοῦ. καὶ εἰ ἡ ἑτέρα ἐστὶ ψευδής. ἡ δὲ ἑτέρα ὅλη ἀληθής. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β τινὶ ὑπάρχειν, τῷ δὲ γ παντί. τὸ μὲν τοι β μηδενὶ τῷ γ. ὅιον ζῷον λευκῷ μὲν τινί, κόρακι δὲ παντί. καὶ τὸ λευκὸν οὐδενὶ κόρακι. ἐὰν οὖν ληφθῇ τὸ α τῷ μὲν β μηδενὶ, τῷ δὲ γ ὅλῳ ὑπάρχειν, ἡ μὲν α β πρότασις ἐστὶ ψευδής. ἡ δὲ α γ ὅλη ἀληθής, καὶ τὸ συμπέρασμα ἀληθές. καὶ μετατιθεμένου δὲ τοῦ σερητικοῦ, ὡσαύτως. διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις. καὶ εἰ ἡ καταφατικὴ πρότασις ἐστὶ ψευδής, ἡ δὲ σερητικὴ ὅλη ἀληθής. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν β τινὶ ὑπάρχειν. τῷ δὲ γ ὅλῳ μὴ ὑπάρχειν, καὶ τὸ β μηδενὶ τῷ γ, ὅιον τὸ ζῷον λευκῷ μὲν τινί, ψίττῃ δὲ οὐδεμιᾷ. καὶ τὸ λευκὸν οὐδεμιᾷ ψίττῃ ὥστε ἐὰν ληφθῇ τὸ α ὅλῳ τῷ β ὑπάρχειν, τῷ δὲ γ μηδενί. ἡ μὲν α β, ἐστὶ ψευδής: ἡ δὲ α γ ὅλη ἀληθής, καὶ τὸ συμπέρασμα ἀληθές. καὶ εἰ ἀμφότεραι αἱ προτάσεις ἐστὶ ψευδεῖς, ἔσται τὸ συμπέρασμα ἀληθές. ἐγχωρεῖ γὰρ τὸ α καὶ τῷ β καὶ τῷ γ τινὶ ὑπάρχειν. τὸ δὲ β μηδενὶ τῷ γ. ὅιον ζῷον καὶ λευκῷ τινὶ καὶ μέλανι τινί. τὸ δὲ λευκὸν οὐδενὶ μέλανι, ἐὰν οὖν ληφθῇ τὸ α τῷ μὲν β παντί. τῷ δὲ γ μηδενί, ἄμφω μὲν αἱ προτάσεις ἐστὶ ψευδεῖς. τὸ δὲ συμπέρασμα, ἀληθές. ὁμοίως δὲ καὶ μετατεθείσης τῆς σερητικῆς διὰ τῶν αὐτῶν ὅρων.

φανε

φανερὸν δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· οὐδὲν γὰρ κωλύει τὸ κ
τῷ μὲν β παντί. τῷ δὲ γ τινὶ ὑπάρχειν. καὶ τὸ β τῷ γ τινὶ μὴ ὑπάρ=
χειν. οἷον ζῷον παντὶ μὲν ἀνθρώπῳ, λίθῳ δὲ τινί. ἄνθρωπος δὲ τινὶ
λίθῳ οὐχ ὑπάρξει. ἐὰν δ' οὕτω τεθῇ τὸ α τῷ μὲν β μηδενὶ ὑπάρχειν, τῷ δὲ
γ τινὶ ὑπάρχειν. ἢ μὲν καθόλου πρότασις ἔλη ψεύδης. ἡ δ' ἐν μέρει ἀλ=
ληθής, καὶ τὸ συμπέρασμα ἀληθές. ὡσαύτως δὲ καὶ καταφατικῆς λαμ
βανομένης τῆς α β. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β μηδενί, τῷ δὲ γ τινὶ
μὴ ὑπάρχειν. καὶ τὸ β τῷ γ τινὶ μὴ ὑπάρχειν. οἷον τὸ ζῷον, οὐδενὶ ἀ=
ψύχῳ, λίθῳ δέ τινι οὐχ ὑπάρχει. καὶ τὸ ἄψυχον τινὶ λίθῳ οὐχ ὑπ=
άρξει. ἐὰν δ' οὕτω τεθῇ τὸ α τῷ μὲν β παντί. τῷ δὲ γ τινὶ μὴ ὑπάρχειν,
ἡ μὲν α β πρότασις ἡ καθόλου ὅλη ψευδής. ἡ δὲ α γ ἀληθής. καὶ τὸ συμ
πέρασμα, ἀληθές. καὶ τῆς μὲν καθόλου ἀληθὴς τεθείσης, τῆς δ' ἐν μέ=
ρει ψευδὴς. οὐδὲν γὰρ κωλύει τὸ α, μήτε τῷ β, μήτε τῷ γ μηδενὶ ἕπε=
σθαι. τὸ μὴν τοι β τινὶ τῷ γ μὴ ὑπάρχειν. οἷον ζῷον οὐδενὶ ἀριθμῷ οὐ
δὲ ἀψύχῳ. καὶ ὁ ἀριθμὸς τινὶ ἀψύχῳ οὐχ ἕπεται. ἐὰν δ' οὕτω τεθῇ τὸ α,
τῷ μὲν β μηδενί. τῷ δὲ γ τινί, τὸ μὲν συμπέρασμα ἔσται ἀληθὲς, καὶ ἡ
καθόλου πρότασις ἀληθής, ἡ δ' ἐν μέρει ψευδής. καὶ καταφατικῆς
δὲ τῆς καθόλου τιθεμένης, ὡσαύτως. ἐγχωρεῖ γὰρ τὸ α καὶ τῷ β καὶ
τῷ γ ὅλῳ ὑπάρχειν. τὸ μὴν τοι β τινὶ τῷ γ μὴ ἕπεσθαι. οἷον τὸ γένος
τῷ εἴδει καὶ τῇ διαφορᾷ. τὸ μὲν ζῷον παντὶ ἀνθρώπῳ. καὶ ὅλῳ πεζῷ
ἕπεται. ἄνθρωπος δ' οὐ παντὶ πεζῷ. ὥστε ἐὰν ληφθῇ τὸ α τῷ μὲν β
ὅλῳ ὑπάρχειν, τῷ δὲ γ τινὶ μὴ ὑπάρχειν, ἡ μὲν καθόλου πρότασις
ἀληθής, ἡ δ' ἐν μέρει ψευδής, τὸ δὲ συμπέρασμα ἀληθές. φανερὸν δὲ
ὅτι καὶ ἐξ ἀμφοτέρων ψευδῶν ἀληθὲς ἔσται τὸ συμπέρασμα. εἴπερ ὑπ=
άρχει τὸ α καὶ τῷ β καὶ τῷ γ ὅλῳ ὑπάρχειν. τὸ μὴν τοι β τινὶ τῷ
γ μὴ ἕπεσθαι. ληφθέντος γὰρ τοῦ α τῷ μὲν β μηδενί. τῷ δὲ γ τινὶ ὑ=
πάρχειν, αἱ μὲν προτάσεις ἀμφότεραι ψευδεῖς. τὸ δὲ συμπέρασμα

τῷ μὲν ὅλῳ, τῷ δὲ μηδενὶ ὑπάρχειν

ἀληθές. ὁμοίως δὲ καὶ κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως. τῆς δ' ἐν μέρει στερητικῆς. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν γ παντί. τῷ δὲ β μηδενὶ ἕπεσθαι. καὶ τὸ β τινὶ τῷ γ μὴ ὑπάρχειν. οἷον ζῷον ἐπιστήμῃ μὲν οὐδεμιᾷ. ἀνθρώπῳ δὲ παντὶ ἕπεται. εἰ δ' ἐπιστήμη οὐ παντὶ ἀνθρώπῳ. ἐὰν οὕτω ληφθῇ τὸ μὲν α τῷ β ὅλῳ ὑπάρχειν. τῷ δὲ γ τινὶ μὴ ἕπεσθαι, αἱ μὲν προτάσεις ψευδεῖς. τὸ δὲ συμπέρασμα, ἀληθές.

Σχῆμα τρίτον.

Ἔσται δὲ καὶ ἐν τῷ ἐσχάτῳ σχήματι διὰ ψευδῶν, ἀληθές. καὶ ἀμφοτέρων ψευδῶν οὐσῶν ὅλων. καὶ ἐπί τι ἑκατέρας καὶ τὴν μὲν ἑτέρας, ὅλης ἀληθοῦς. τῆς δ' ἑτέρας ψευδοῦς. καὶ τῆς μὲν ἐπί τι ψευδοῦς, τῆς δ' ὅλης ἀληθοῦς, καὶ ἀνάπαλιν, καὶ ὁσαχῶς ἄλλως ἐγχωρεῖ μεταβάλλειν τὰς προτάσεις. οὐδὲν γὰρ κωλύει μήτε τὸ α, μήτε τὸ β, μηδενὶ τῷ γ ὑπάρχειν, τὸ μέντοι α τινὶ τῷ β ὑπάρχειν. οἷον οὔτε ἄνθρωπος, οὔτε πτηνὸν οὐδενὶ ἀψύχῳ ἕπεται. ἄνθρωπος μέντοι τινὶ πτηνῷ ὑπάρχει. ἐὰν δὴ ληφθῇ τὸ α καὶ τὸ β, παντὶ τῷ γ ὑπάρχειν, αἱ μὲν προτάσεις ὅλαι ψευδεῖς, τὸ δὲ συμπέρασμα ἀληθές. ὡσαύτως δὲ καὶ τῆς μὲν στερητικῆς, τῆς δὲ, κατηγορικῆς οὔσης. ἐγχωρεῖ γὰρ τὸ μὲν β μηδενὶ τῷ γ ὑπάρχειν. τὸ δὲ α, παντί· καὶ τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν. οἷον τὸ μέλαν οὐδενὶ κύκνῳ. ζῷον δὲ παντί. καὶ τὸ ζῷον οὐ παντὶ μέλανι. ὥστε ἐὰν ληφθῇ τὸ μὲν β παντὶ τῷ γ. τὸ δὲ α μηδενί, τὸ α τινὶ τῷ β οὐχ ὑπάρξει. καὶ τὸ συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ψευδεῖς. καὶ εἰ ἐπί τι ἑκατέρα ψευδὴς, ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει καὶ τὸ α καὶ τὸ β τινὶ τῷ γ ὑπάρχειν, καὶ τὸ α τινὶ τῷ β. οἷον, τὸ λευκὸν καὶ τὸ καλὸν, τινὶ χιῶνι ὑπάρχει. καὶ τὸ λευκὸν τινὶ καλῷ. ἐὰν οὖν τεθῇ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπάρχειν, αἱ μὲν προτάσεις ἐπί τι ψευδεῖς. τὸ δὲ συμπέρασμα ἀληθές. καὶ στερητικῆς δὲ τῆς α γ τιθεμένης, ὁμοίως. οὐδὲν γὰρ κωλύει τὸ μὲν α, τινὶ τῷ γ μὴ ὑπάρχειν.

τὸ δὲ

τὸ δὲ ϛ, τινὶ ὑπάρχειν. καὶ τὸ α τῷ β μὴ παντὶ ὑπάρχειν. οἷον τὸ λευκὸν καὶ τινὶ ξύλῳ οὐχ ὑπάρχει. τὸ δὲ κακὸν τινὶ ὑπάρχει. καὶ τὸ λευκὸν οὐ παντὶ κακῷ. ὥστε ἐὰν ληφθῇ τὸ μὲν α μηδενὶ τῷ γ. τὸ δὲ β παντὶ, ἀμφότεραι μὲν αἱ προτάσεις ἐστὶ ψευδεῖς, τὸ δὲ συμπέρασμα ἀληθές. ὡσαύτως δὲ καὶ τῆς μὲν ὅλης ψευδοῦς. τῆς δὲ, ὅλης ἀληθοῦς λαμβανομένης. ἐγχωρεῖ γὰρ καὶ τὸ α κατὰ τοῦ β, παντὶ τῷ γ ἕπεσθαι. τὸ μὲν τοι α τινὶ τῷ β μὴ ὑπάρχειν. οἷον ζῷον τῷ λευκὸν παντὶ κύκνῳ ἕπεσθαι. τὸ μέν τοι ζῷον, οὐ παντὶ ὑπάρχει λευκῷ. τεθέντων οὖν ὅρων τοιούτων, ἐὰν ληφθῇ τὸ μὲν β ὅλῳ τῷ γ ὑπάρχειν. τὸ δὲ α ὅλῳ μὴ ὑπάρχειν, ἡ μὲν β γ ἔσται ἀληθὴς ὅλη. ἡ δὲ α γ ὅλη ψευδής. καὶ τὸ συμπέρασμα ἀληθές. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν ϛ γ ψεῦδος, τὸ δὲ α γ ἀληθές. δι᾽ γὰρ αὐτῶν ὅροι πρὸς τὴν ἀπόδειξιν. μέλαν, κύκνος, ἄψυχον. ἀλλὰ καὶ εἰ ἀμφότεραι λαμβάνοντο καταφατικαί. οὐδὲν γὰρ κωλύει τὸ μὲν β παντὶ τῷ γ ἕπεσθαι, τὸ δὲ α ὅλῳ μὴ ὑπάρχειν. καὶ τὸ α τινὶ τῷ β ὑπάρχειν. οἷον, κύκνῳ μὲν, παντὶ ζῷον. μέλαν δὲ, οὐδενὶ κύκνῳ. καὶ τὸ μέλαν ὑπάρχει τινὶ ζῴῳ. ὥστε ἐὰν ληφθῇ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπάρχειν, ἡ μὲν β γ ὅλη ἀληθής. ἡ δὲ α γ ὅλη ψευδής. καὶ τὸ συμπέρασμα ἀληθές. ὁμοίως δὲ καὶ τῆς α γ ληφθείσης ἀληθοῦς. διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις. πάλιν τῆς μὲν, ὅλης ἀληθοῦς οὔσης. τῆς δὲ, ἐπὶ τὶ ψευδοῦς. ἐγχωρεῖ γὰρ τὸ μὲν β παντὶ τῷ γ ὑπάρχειν. τὸ δὲ α τινὶ τῷ γ. καὶ τὸ α, τινὶ τῷ β. οἷον λίπωσι μὲν παντὶ ἀνθρώπῳ. κακὸν δὲ οὐ παντί. καὶ τὸ κακὸν τινὶ λίποσι ὑπάρχει. ἐὰν οὖν ληφθῇ καὶ τὸ α καὶ τὸ β ὅλῳ τῷ γ ὑπάρχειν. ἡ μὲν β γ, ἀληθὴς ὅλη. ἡ δὲ α γ, ἐπὶ τὶ ψευδής. τὸ δὲ συμπέρασμα ἀληθές. ὁμοίως δὲ καὶ τῆς μὲν α γ ἀληθοῦς οὔσης, τῆς δὲ β γ ψευδοῦς ἐπὶ τὶ λαμβανομένης. μεταστρέψαντων δὲ τῶν αὐτῶν ὅρων, ἔσται ἡ ἀπόδειξις καὶ τῆς μὲν, σερητικῆς. τῆς δὲ,

καταφατικῆς οὔσης. ἐπεὶ οὐκ ἐγχωρεῖ τὸ μὴ Β ὅλῳ τῷ Γ ὑπάρχειν. τὸ δὲ Α τινί, ὅταν οὕτω οὗτος ἔχωσιν, οὐ παντὶ τῷ Β τὸ Α. ἐὰν οὖν ληφθῇ τὸ μὴ Β ὅλῳ τῷ Γ ὑπάρχειν. τὸ δὲ Α μηδενί, ἢ μὴ στερητικὴ, ἐπίτηδες ψευδὴς. ἡ δ' ἑτέρα ὅλη ἀληθής. καὶ τὸ συμπέρασμα ἔσται ἀληθὲς πάλιν ἐπεὶ δέδεικται. ὅτι τοῦ μὲν Α μηδενὶ ὑπάρχοντος τῷ Γ. τοῦ δὲ Β τινί, ἐγχωρεῖ τὸ Α τῷ Β τινὶ μὴ ὑπάρχειν. φανερὸν οὖν ὅτι καὶ τῆς μὲν Α Γ ὅλης ἀληθοῦς οὔσης, τῆς δὲ Β Γ ἐπίτηδες ψευδοῦς, ἐγχωρεῖ τὸ συμπέρασμα εἶναι ἀληθές. ἐὰν γὰρ ληφθῇ τὸ μὲν Α μηδενὶ τῷ Γ, τὸ δὲ Β παντί, ἡ μὲν Α Γ ὅλη ἀληθής. ἡ δὲ Β Γ ἐπίτηδες ψευδής. φανερὸν δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν, ὅτι πάντως ἔσται διὰ ψευδῶν ἀληθές. αἱ γὰρ αὐταὶ ὅροι ληπτέοι, οἱ καθ' ὅταν κατὰ μέρους ὦσιν αἱ προτάσεις, οἱ μὲν, ἐν τοῖς κατηγορικοῖς κατηγορικοί. οἱ δ', ἐν τοῖς στερητικοῖς στερητικοί. οὐδὲν γὰρ διαφέρει μηδενὶ ὑπάρχοντος καθόλου λαβεῖν ὑπάρχειν. κὴ
λαβεῖν εἴτινι ὑπῆρχε λαβεῖν καθόλου πρὸς τὴν τῶν ὅρων ἔκθεσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στερητικῶν. φανερὸν οὖν ὅταν μὲν ᾖ τὸ συμπέρασμα ψευδὲς, ἀνάγκη ἐξ ὧν ὁ λόγος, ψεύδη εἶναι, ἢ πάντα ἢ ἔνια. ὅταν δὲ ἀληθὲς, οὐκ ἀνάγκη ἀληθῆ εἶναι, οὔτε τι οὔτε ἁπλῶς. ἀλλ' ἔστι μηδενὸς ὄντος ἀληθοῦς, τῶν ἐν τῷ συλλογισμῷ τὸ συμπέρασμα, ὁμοίως εἶναι ἀληθὲς, οὐ μὴν ἐξ ἀνάγκης. αἴτιον δὲ ὅτι, ὅταν δύο ἔχη οὕτως πρὸς ἄλληλα. ὥστε θατέρου ὄντος, ἐξ ἀνάγκης θάτερον εἶναι, τούτου μὴ ὄντος μὲν οὐ δὲ θάτερον ἔσται. ὄντος δ', οὐκ ἀνάγκη εἶναι θάτερον. τοῦ δ' αὐτοῦ ὄντος. καὶ μὴ ὄντος, ἀδιάφορον ἐξ ἀνάγκης εἶναι τὸ αὐτό. λέγω δ' οἷον τοῦ Α ὄντος λευκοῦ, τὸ Β εἶναι ἐξ ἀνάγκης. καὶ μὴ ὄντος λευκοῦ τοῦ Α, τὸ Β εἶναι ἐξ ἀνάγκης. ὅταν γὰρ, τουδὶ ὄντος λευκοῦ ἴδιον τοῦ Α, ἀνάγκη τοδὶ εἶναι μέγα, τὸ Β. τοῦ δὲ Β ὄντος μεγάλου. τὸ Γ μὴ εἶναι λευκὸν, ἀνάγκη, εἰ τὸ Α λευκὸν τὸ Γ μὴ εἶναι λευκόν. καὶ ὅταν λυθῇ ὄντοιν, θατέρου ὄντος, ἀνάγκη θάτερον εἶναι, τούτου μὴ ὄντος, ἀνάγκη τὸ Α μὴ

εἶν

εἶναι. τοῦ δὲ ς μὴ ὄντος μεγάλου, τὸ α οὐχ ὁἱόν τε λευκὸν εἶναι. τοῦ δὲ α μὴ ὄντος λευκοῦ, εἰ ἀνάγκη τὸ ς μέγα εἶναι, συμβαίνει ἐξ ἀνάγκης τοῦ β μὴ ὄντος μεγάλου, ἀυτὸ τὸ β μέγα εἶναι. τοῦτο δὲ ἀδύνατον. εἰ γὰρ τὸ β μὴ ἔστι μέγα, τὸ α οὐκ ἔστιν λευκόν ἐξ ἀνάγκης. εἰ δὲ μὴ ὄντος τοῦ α λευκοῦ τὸ β ἔστιν μέγα, συμβαίνει εἰ τὸ β μὴ ἔστι μέγα, εἶναι μέγα, ὡς διὰ τριῶν.

περὶ τῆς κύκλῳ δείξεως.

Τὸ δὲ κύκλῳ καὶ ἐξ ἀμφοῖν δείκνυσθαί ἐστι, τὸ διὰ τοῦ συμπεράσματος. καὶ τοῦ ἀνάπαλιν τῇ κατηγορίᾳ, τῷ ἑτέραν λαβόντα πρότασιν. συμπεραίνεσθαι τῷ λοιπὴν, ἣν ἐλάμβανεν σὺν ἑτέρῳ συλλογισμῷ. οἷον εἰ ἔδει δεῖξαι ὅτι τὸ α τῷ γ παντὶ ὑπάρχει. ἔδειξε δὲ διὰ τοῦ β, πάλιν εἰ δεικνύοι ὅτι τὸ α τῷ ς ὑπάρχει. λαβὼν τὸ μὲν α τῷ γ ὑπάρχειν. τὸ δὲ γ τῷ ς, καὶ τὸ α τῷ ς. πρότερον δὲ ἀνάπαλιν ἐλάμβανε τὸ β τῷ γ ὑπάρχειν. ἢ εἰ ὅτι τὸ β τῷ γ δέοι δεῖξαι ὑπάρχον. εἰ λάβοι τὸ α κατὰ τοῦ γ ὅ ἦν συμπέρασμα. τὸ δὲ β κατὰ τοῦ α ὑπάρχειν. πρότερον ἢ ἐλήφθη ἀνάπαλιν τὸ α κατὰ τοῦ β. ἅμα δ' οὐκ ἔστιν ἐξ ἀμφοῖν δεῖξαι. εἴ τε γὰρ ἄμφω μέσον λήψεται, οὐ κύκλῳ. οὐδὲν ἧττον λαμβάνεται τῶν αὐτῶν. εἴ τε τοῦτων τι, ἀνάγκη θάτερον μόνον. εἰ γὰρ ἄμφω, τὸ αὐτὸ ἔσται συμπέρασμα. δεῖ ἢ ἕτερον. σὺν μὲν οὖν τοῖς μὴ ἀντιστρέφουσιν, ἐξ ἀναποδείκτου τῆς ἑτέρας προτάσεως γίνεται ὁ συλλογισμός. οὐ δ' ἔστιν ἀποδεῖξαι διὰ τούτων τὸ ὅρον, ὅτι τῷ μέσῳ τὸ ἔλαττον ὑπάρχει. ἢ τῷ πρώτῳ τὸ μέσον. ἐν ᾧ τοῖς ἀντιστρέφουσιν ἔστι πάντα δεικνύναι δι' ἀμφοῖν. οἷον εἰ τὸ α τῷ β τὸ β τῷ γ ἀντιστρέφουσιν ἀμφότερα. δεδείχθω δὴ α γ διὰ μέσου τοῦ β. πάλιν τὸ α διὰ τοῦ συμπεράσματος, τῆς β γ προτάσεως ἀντιστραφείσης. ὡσαύτως ἢ τὸ β γ, διὰ τοῦ συμπεράσματος, τῆς α β προτάσεως ἀντεστραμμένης. δεῖ ἢ τέτταρα γ β καὶ τῷ β α πρότασιν ἀποδεῖξαι. ταύταις δ' ἀναποδείκτοις κεχρήμεθα μόναις. ἐὰν δὲ ληφθῇ τὸ ς παντὶ τῷ γ ὑπάρχειν. ἢ τὸ γ παντὶ τῷ α, συλλογισμὸς

γισμὸς ἔσται τοῦ πρὸς τὸ α. πάλιν ἐὰν ληφθῇ τὸ μὲν γ παντὶ τῷ α, τὸ δὲ α παντὶ τῷ β, ἀνάγκη τὸ γ παντὶ τῷ β ὑπάρχειν. οὐκ ἀμφοτέροις δὴ τούτοις τοῖς συλλογισμοῖς ἡ γ α πρότασις ἀναποδείκτως εἴληπται. αἱ μὲν ἕτεραι, δεδήλωνται πᾶσαι. ὥστε ἂν ταύτην ἀποδείξωμεν, ἅπασαι ἔσονται δεδειγμέναι δι' ἀλλήλων. ἐὰν δὲ ληφθῇ τὸ γ παντὶ τῷ β, μὴ τοῦ β παντὶ τῷ α ὑπάρχειν, ἀμφότεραί τε αἱ προτάσεις ἀποδεδείχθαι λαμβάνονται· μὴ τὸ γ τῷ α ἀνάγκη ὑπάρχειν. φανερὸν δὲ ὅτι οὐ μόνοις τοῖς ἀντιστρέφουσι κύκλῳ μὴ δι' ἀλλήλων δέχεται γίνεσθαι τὰς ἀποδείξεις. οὐ δὲ τοῖς ἄλλοις, ὥσπερ πρότερον εἰπομεν. συμβαίνει δὲ οὐ τούτοις αὐτῷ τῷ δεικνυμένῳ χρῆσθαι πρὸς τὴν ἀπόδειξιν. τὸ μὲν δὴ, γ, καθ' ἑτέρου β, μὴ τοῦ β καθ' ἑτέρου α δείκνυται, ληφθέντος τοῦ γ καθ' ἑτέρου λέγεσθαι. τὸ δὲ γ καθ' ἑτέρου α δι' ἀντιστρεφόντων δείκνυται προτάσεων, ὥστε τῷ συμπεράσματι χρώμεθα πρὸς τὴν ἀπόδειξιν. ἐπεὶ δὲ τῶν συλλογισμῶν οἱ μὲν δι' ἀλλήλων δείκνυνται, οἱ δὲ ἕτεροι πρὸς τούτους ἀνάγονται, τὸ μὲν δ, γ, καθ' ἑτέρου β, μὴ τοῦ β καθ' ἑτέρου α δείκνυται, ληφθέντος τοῦ γ καθ' ἑτέρου λέγεσθαι. τὸ δὲ γ καθ' ἑτέρου α δι' ἀντιστρεφόντων δείκνυται προτάσεων, ὥστε τῷ συμπεράσματι χρώμεθα πρὸς τὴν ἀπόδειξιν. ἐπεὶ δὲ τῶν συλλογισμῶν οἱ μὲν δι' ἀλλήλων δείκνυνται. ἔστω μὲν β παντὶ τῷ γ ὑπάρχειν, τὸ δὲ α μηδενὶ τῷ δ. συμπέρασμα, ὅτι τὸ α οὐδενὶ τῷ γ. εἰ δὴ πάλιν δεῖ συμπεράνασθαι, ὅτι τὸ α οὐδενὶ τῷ δ, ὃ πάλαι ἐλάβομεν, ἔστω τὸ μὲν α, μηδενὶ τῷ γ. τὸ δὲ γ παντὶ τῷ δ, οὕτω δὴ ἀνάπαλιν ἡ πρότασις. εἰσὶ δὴ ὅτι τὸ δ τῷ γ δεῖ συμπεράνασθαι, οὐκέτι ὁμοίως ἀντιστρεπτέον τὴν α δ. ἡ γὰρ αὐτὴ πρότασις τὸ δ μηδενὶ τῷ α. οὐ τὸ α μηδενὶ τῷ δ ὑπάρχειν. ἀλλὰ ληπτέον ᾧ τὸ α μηδενὶ ὑπάρχει, τὸ β παντὶ ὑπάρχειν. ἔστω τὸ α μηδενὶ τῷ γ ὑπάρχειν, ὅπερ ἦν τὸ συμπέρασμα. ᾧ δὲ τὸ α μηδενὶ, τὸ δ εἰ ληφθῆ παντὶ ὑπάρχειν. ἀνάγκη δὴ τὸ β παντὶ τῷ γ ὑπάρχειν. ὥστε τριῶν ὄντων, ἕκαστον συμπέρασμα γέγονε. οὐ τὸ κύκλῳ ἀποδεικνύναι τοῦτ' ἔστι τὸ συμπέρασμα λαμβάνοντα. οὐ ἀνάπαλιν τὴν ἑτέραν πρότασιν τὴν λοιπὴν συλλογίσασθαι. ἐπὶ δὲ τῶν μερικῶν συλλογισμῶν, τὴν μὲν καθόλου πρότασιν, οὐκ ἔστιν ἀποδεῖξαι διὰ τοῦ ἑτέρων. τὴν δὲ καθ' μέρος ἐστίν. ὅτι μὲν δὴ οὐκ ἔστιν ἀποδεῖξαι τὴν καθόλου, φανερόν. τὸ μὲν γὰρ καθόλου δείκνυται διὰ τοῦ καθόλου. τὸ δὲ συμπέρασμα, οὐκ ἔστι καθόλου, οὐδεὶς δὲ ἐκ τοῦ συμ-

περάσ-

περάσματος δεῖξαι καὶ ἐκ τῆς ἑτέρας προτάσεως. ἔτι ὅλως οὐ δὲ γίνεται συλλογισμὸς ἀντιστραφείσης τῆς προτάσεως. ἐν μέρει δὲ ἀμφότεραι γίνονται αἱ προτάσεις. τὴν δὲ ἐπὶ μέρους ἐστί. δεδείχθω δὲ τὸ α, κατὰ τινὸς τοῦ γ διὰ τῆς β. ἐὰν οὖν ληφθῇ τὸ β παντὶ τῷ α, καὶ τὸ συμπέρασμα μένῃ τὸ β τινὶ τῷ γ ὑπάρξει, γίνεται τὸ α σχῆμα καὶ τὸ α μέσον. εἰ δὲ στερητικὸς ὁ συλλογισμός, τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστι δεῖξαι. διὸ καὶ πρότερον ἐλέχθη. τὴν δὲ ἐν μέρει, ἐὰν μὲν ὁμοίως ἀντιστραφῇ τὸ α β, ὥσπερ καὶ ἐπὶ τῶν καθόλου, οὐκ ἔστι. διὰ προσλήψεως δέ ἐστιν, οἷον ᾧ τὸ α τινὶ μὴ ὑπάρχῃ, τὸ β τινὶ ὑπάρχειν. ἄλλως δὲ ἐχόντων οὐ γίνεται συλλογισμός. διὰ τὸ ἀποφατικὴν εἶναι τὴν ἐν μέρει πρότασιν. Εν δὲ τῷ δευτέρῳ σχήματι. τὸ μὲν καταφατικόν, οὐκ ἔστι δεῖξαι διὰ τούτου τῆς τρόπου. τὸ δὲ στερητικόν ἐστι. τὸ μὲν οὖν κατηγορικὸν οὐ δείκνυται, διὰ τὸ μὴ ἀμφοτέρας εἶναι τὰς προτάσεις, καταφατικάς. τὸ δὲ συμπέρασμα στερητικόν ἐστι. τὸ δὲ κατηγορικόν, ἐξ ἀμφοτέρων ἐδείκνυτο καταφατικῶν. τὸ δὲ στερητικόν, ᾧ δὲ δείκνυται ὑπαρχέτω τὸ α παντὶ τῷ β τῷ δὲ μηδενί. συμπέρασμα, τὸ β τῷ γ οὐδενί. ἐὰν οὖν ληφθῇ τὸ β, παντὶ τῷ α ὑπάρχειν. τῷ δὲ γ μηδενί, ἀνάγκη τὸ α μηδενὶ τῷ γ ὑπάρχειν. γίνεται τὸ β σχῆμα. μέσον τὸ β. εἰ δὲ τὸ α β στερητικὸν ληφθῇ. θάτερον δὲ κατηγορικόν, τὸ α ἔσται σχῆμα. τὸ μὲν γ παντὶ τῷ α, τὸ δὲ β οὐδενὶ τῷ γ. ὥστ' οὐδενὶ τῷ α τὸ β. οὐ δ' ἄρα τῷ β τὸ α μέσον τὸ γ. διὰ μὲν οὖν τῆς συμπεράσματος, καὶ τῆς προτάσεως τῆς μίας, οὐ γίνεται συλλογισμός. προσληφθείσης δὲ ἑτέρας, ἔσται. ἢν δὲ μὴ καθόλου ὁ συλλογισμὸς ᾖ. ἡ μὲν, ἐν ὅλῳ πρότασης οὐ δείκνυται, διὰ τὴν αὐτὴν αἰτίαν ἥνπερ εἴπομεν καὶ πρότερον. ἡ δ' ἐν μέρει, δείκνυται, ὅταν ᾖ καθόλου τὸ κατηγορικόν. ὑπαρχέτω τὸ μὲν α παντὶ τῷ β. τῷ δὲ γ μὴ παντί. συμπέρασμα, τὸ β γ. ἐὰν οὖν ληφθῇ τὸ β παντὶ τῷ α. τῷ δὲ γ μὴ παντί, συμπέρασμα τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει. μέσον, τὸ β. εἰ δέ ἐστιν ἡ καθόλου στερητικὴ, οὐ δειχθήσεται ἡ α γ πρότασις. ἀντιστραφέντος τῆς α β. συμβαίνει

τῷ δὲ γ μηδενὶ

γὰρ

γαρ ἡ ἀμφοτέρας ἢ τὴν ἑτέραν πρότασιν γίνεσθαι ἀποφατικήν. ὥστ' οὐκ ἔσται συλλογισμός. ἀλλ' ὁμοίως δειχθήσεται ὡς καὶ ἐπὶ τῶν καθόλου ἐὰν ληφθῇ ᾧ τὸ Β τινὶ μὴ ὑπάρχει. τὸ Α τινὶ ὑπάρχει.

Ἐπὶ δὲ τοῦ γ σχήματος, ὅταν μὲν ἀμφότεραι αἱ προτάσεις καθόλου ληφθῶσιν, οὐκ ἐνδέχεται δεῖξαι δι' ἀλλήλων. τὸ μὲν γαρ καθόλου, δείκνυται διὰ τῶν καθόλου. τὸ δὲ ἐν τούτῳ συμπέρασμα, ἀεὶ κατὰ μέρος. ὥστε φανερὸν ὅτι οὐκ ἐνδέχεται ὅλως δεῖξαι διὰ τούτου τοῦ σχήματος τὴν καθόλου πρότασιν. ἐὰν δ' ἡ μὲν ἡ καθόλου, ἡ δ' ἐν μέρει, ποτὲ μὲν ἔσται. ποτὲ δὲ οὐκ ἔσται. ὅταν μὲν οὖν ἀμφότεραι κατηγορικαὶ ληφθῶσι, καὶ τὸ καθόλου γένηται πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἔσται. ὅταν δὲ πρὸς θατέρῳ, οὐκ ἔσται. ὑπαρχέτω γαρ τὸ Α παντὶ τῷ γ. τὸ δὲ Β τινὶ. συμπέρασμα τὸ Α Β. ἐὰν οὖν ληφθῇ τὸ γ παντὶ τῷ Α ὑπάρχειν ἀντιστραφείσης τῆς καθόλου καὶ τὸ Α τῷ Β οὗ ἦν συμπέρασμα. τὸ μὲν γ δέδεικται τινὶ τῷ Β ὑπάρχειν. τὸ δὲ Β τινὶ τῷ γ οὐ δέδεικται. καίτοι ἀνάγκη, εἰ τὸ γ τινὶ τῷ Β, καὶ τὸ Β τινὶ τῷ γ ὑπάρχειν. ἀλλ' οὐ ταυτόν ἐστι τόδε τῷδε ὑπάρχειν, καὶ τόδε τῷδε, ἀλλὰ προσληπτέον ὅτι εἰ τόδε, τινὶ τῷδε, καὶ θάτερον τινὶ τῷδε. τούτου δὲ ληφθέντος, οὐκέτι γίνεται ἐκ τοῦ συμπεράσματος, καὶ τῆς ἑτέρας προτάσεως συλλογισμός. εἰ γὰρ τὸ μὲν Β παντὶ τῷ γ, τὸ δὲ Α τινὶ τῷ γ. ἔσται δεῖξαι τὸ Α γ, ὅταν ληφθῇ τὸ μὲν γ παντὶ τῷ Β ὑπάρχειν. τὸ δὲ Α, τινί. εἰ γαρ τὸ γ παντὶ τῷ Β ὑπάρχει. τὸ δὲ Α τινὶ τῷ Β, ἀνάγκη τὸ Α τινὶ τῷ γ ὑπάρχειν. μέσον τὸ Β, καὶ ὅταν ᾖ ἡ μὲν κατηγορικὴ. ἡ δὲ στερητικὴ. καθόλου δὲ ἡ κατηγορικὴ, δειχθήσεται ἡ ἑτέρα. ὑπαρχέτω γαρ τὸ Β παντὶ τῷ Γ. τὸ δὲ Α τινὶ μὴ ὑπαρχέτω. συμπέρασμα, ὅτι τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρχει. ἐὰν οὖν προσληφθῇ τὸ γ παντὶ τῷ Β ὑπάρχειν. ἦν δὲ καὶ τὸ Α οὐ παντὶ τῷ Β, ἀνάγκη τὸ Α τινὶ τῷ γ μὴ ὑπάρχειν. μέσον τὸ Β. ὅταν δὲ ἡ στερητικὴ καθόλου γένηται, οὐ δείκνυται

κνυται ἡ ἑτέρα, εἰ μὴ ὥσπερ ἐπὶ τῶν πρότερον ἐλήφθησαν. ἐὰν ληφθῇ ᾧ τοῦτο τινὶ μὴ ὑπάρχει, θάτερον τινὶ ὑπάρχειν. οἷον εἰ τὸ μὲν α μηδενὶ ὑπάρχει τῷ γ. τὸ δὲ β τινὶ, συμπέρασμα ὅτι τινὶ τῷ β τὸ α οὐχ ὑπάρχει. ἐὰν οὖν ληφθῇ ᾧ τὸ α τινὶ μὴ ὑπάρχει, τούτῳ, τὸ γ τινὶ ὑπάρχειν, ἀνάγκη τὸ γ τινὶ τῷ β ὑπάρχειν. ἄλλως δ' οὐκ ἔστιν ἀντιστρέφοντα τὴν καθόλου πρότασιν, δεῖξαι τὴν ἑτέραν. οὐδαμῶς γὰρ ἔσται συλλογισμός. φανερὸν οὖν ὅτι ἐν μὲν τῷ α σχήματι ἡ δι' ἀλλήλων δεῖξις διά τε τοῦ α καὶ τοῦ γ γίνεται σχήματος. κατηγορικοῦ μὲν γὰρ ὄντος τοῦ συμπεράσματος, διὰ τοῦ α. στερητικοῦ δὲ διὰ τοῦ ἐσχάτου. λαμβάνεται γὰρ, ᾧ τοῦτο μηδενὶ, θάτερον παντὶ ὑπάρχειν. ἐν δὲ τῷ μέσῳ, καθόλου μὲν ὄντος τοῦ συλλογισμοῦ, δι' αὐτοῦ τε καὶ διὰ τοῦ α σχήματος. καὶ διὰ τῆς ἐσχάτου. ὅταν δ' ἐν μέρει, δι' αὐτοῦ τε, καὶ διὰ τῆς ἐσχάτου. ἐν δὲ τῷ γ, δι' αὐτοῦ πάντες. φανερὸν δὲ, καὶ ὅτι ἐν τῷ μέσῳ καὶ ἐν τῷ γ, οἱ μὴ δι' αὐτῶν γινόμενοι συλλογισμοὶ, ἢ οὐκ εἰσὶ κατὰ τὴν κύκλῳ δεῖξιν, ἢ ἀτελεῖς.

Περὶ τῆς ἐν συλλογισμοῖς ἀντιστροφῆς.

Τὸ δ' ἀντιστρέφειν ἐστὶ, τὸ μετατιθέντα τὸ συμπέρασμα, ποιεῖν τὸν συλλογισμόν. ὅτι ἢ τὸ ἄκρον τῷ μέσῳ οὐχ ὑπάρξει, ἢ τοῦτο τῷ τελευταίῳ. ἀνάγκη γὰρ τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τῆς ἑτέρας προτάσεως μενούσης, ἀναιρεῖσθαι τὴν λοιπήν. εἰ γὰρ ἔσται, καὶ τὸ συμπέρασμα ἔσται. διαφέρει δὲ τὸ ἀντικειμένως ἢ ἐναντίως ἀντιστρέφειν τὸ συμπέρασμα. οὐ γὰρ ὁ αὐτὸς γίνεται συλλογισμὸς, ἑκατέρως ἀντιστρέφοντος. δῆλον δὲ τοῦτο ἔσται, διὰ τῶν ἑπομένων. λέγω δ' ἀντικεῖσθαι μὲν τὸ, παντὶ τῷ οὐ παντὶ καὶ τὸ, τινὶ τῷ οὐδενί. ἐναντίως δὲ τὸ παντὶ τῷ οὐδενί. καὶ τὸ τινὶ, τῷ οὐ τινὶ ὑπάρχειν. ἔστω γὰρ δεδεισμένον τὸ α κατὰ τοῦ γ, διὰ μέσου τοῦ β. εἰ δὴ τὸ α μηδενὶ ληφθείη τῷ γ ὑπάρχειν, τῷ δὲ β παντὶ, οὐδενὶ τῷ γ ὑπάρξει τὸ β. καὶ εἰ τὸ μὲν α μηδενὶ τῷ γ. τὸ δὲ β παντὶ τῷ γ, τὸ α οὐ παντὶ τῷ β. καὶ οὐχ ἱ ὅλως οὐ

δενί. οὐ μὴν ἐδείκνυτο τὸ καθόλου διὰ τῆς τρίτου σχήματος. ὅλως δὲ τὴν πρὸς τῷ μείζονι ἄκρῳ πρότασιν οὐκ ἔστιν ἀνασκευάσαι, καθόλου δὲ ἀντιστροφῆς. ἀεὶ γὰρ ἀναιρεῖται διὰ τοῦ τρίτου σχήματος. ἀνάγκη γὰρ πρὸς τὸ ἔσχατον ἄκρον, ἀμφοτέρας λαβεῖν τὰς προτάσεις. καὶ εἰ στερητικὸς ὁ συλλογισμὸς, ὡσαύτως. δεδείχθω γὰρ τὸ α μηδενὶ τῷ γ ὑπάρχον διὰ τοῦ β. οὐκοῦν ἐὰν ληφθῇ τὸ α τῷ γ παντὶ ὑπάρχειν. τῷ δὲ β μηδενὶ, οὐδενὶ τῷ γ τὸ β ὑπάρξει. καὶ εἰ τὸ α καὶ τὸ β παντὶ τῷ γ, τὸ α τινὶ τῷ β. ἀλλ' οὐδενὶ ὑπῆρχεν. ἐὰν δὲ ἀντικειμένως ἀντιστραφῇ τὸ συμπέρασμα, καὶ οἱ ἄλλοι συλλογισμοὶ ἀντικείμενοι, καὶ οὐ καθόλου ἔσονται. γίνεται γὰρ ἡ ἑτέρα πρότασις ἐν μέρει. ὥστε καὶ τὸ συμπέρασμα ἔσται κατὰ μέρος. ἔστω γὰρ κατηγορικός. καὶ ἀντιστραφήτω οὕτως. οὐκοῦν εἰ τὸ α μὴ παντὶ τῷ γ. τῷ δὲ β παντί. τὸ β οὐ παντὶ τῷ γ. καὶ εἰ τὸ μὲν α οὐ παντὶ τῷ γ. τὸ δὲ β παντὶ, τὸ α οὐ παντὶ τῷ β. ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. εἰ γὰρ τὸ α, τινὶ τῷ γ ὑπάρχει. τῷ δὲ β μηδενὶ, τὸ β τινὶ τῷ γ οὐχ ὑπάρξει. καὶ οὐχ' ἁπλῶς οὐδενί. καὶ εἰ τὸ μὲν α τῷ γ τινί. τὸ δὲ β παντί. ὥσπερ ἐν ἀρχῇ ἐλήφθη, τὸ α τῷ β τινὶ ὑπάρξει. Επὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν, ὅταν μὲν ἀντικειμένως ἀντιστρέφηται τὸ συμπέρασμα. ἀναιροῦνται ἀμφότεραι αἱ προτάσεις. ὅταν δὲ ἐναντίως, οὐδετέρα. οὐ γὰρ ἔτι συμβαίνει καθάπερ ἐν τοῖς καθόλου ἀναιρεῖν, ἐλλείποντος τοῦ συμπεράσματος κατὰ τὴν ἀντιστροφήν. ἀλλ' οὐδ' ὅλως ἀναιρεῖν. δεδείχθω γὰρ τὸ α κατὰ τινὸς τοῦ γ, οὐκοῦν ἐὰν ληφθῇ τὸ α μηδενὶ τῷ γ ὑπάρχειν, τὸ δὲ β τινὶ τῷ γ, τὸ α τῷ β τινὶ οὐχ ὑπάρξει. καὶ εἰ τὸ α μηδενὶ τῷ γ. τῷ δὲ β παντὶ, οὐδενὶ τῶν γ τὸ β. ὥστε ἀναιροῦνται ἀμφότεραι. ἐὰν δὲ ἐναντίως ἀντιστραφῇ οὐδετέρα. εἰ γὰρ τὸ α τινὶ τῷ γ μὴ ὑπάρχει. τῷ δὲ β παντὶ τὸ β τινὶ τῷ γ οὐχ ὑπάρξει. ἀλλ' οὔπω

ἀνήρη

ἀνήρηται τὸ ἐξ ἀρχῆς. ἐνδέχεται γὰρ τινὶ ὑπάρχειν καὶ τινὶ μὴ ὑπάρχειν. τῆς δὲ καθόλου τῆς α β, ὅλως οὐδὲις γίνεται συλλογισμός. εἰ γὰρ τὸ μὴ α τινὶ τῶν γ ὑπάρχειν. τὸ δὲ β τινὶ ὑπάρχει, οὐδετέρα καθόλου τῶν προτάσεων. ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. εἰ μὲν γὰρ ληφθείη τὸ α παντὶ τῷ γ ὑπάρχειν, ἀναιροῖτο ἀμφότερα. εἰ δὲ τινί, οὐδετέρα. ἀπόδειξις δ' ἡ αὐτή.

ἀφῃρημένου τῆς α β. μὴ ὑπάρχει

Σχῆμα δεύτερον.

Ἐν δὲ τῷ ϛ σχήματι, πῶς μὲν πρὸς τῷ μείζονι ἄκρῳ πρότασιν, οὐκ ἔστιν ἀνελεῖν ἐναντίως ὑποτιθεμένου τῆς ἀντιστροφῆς γινομένης. ἀεὶ γὰρ ἔσται τὸ συμπέρασμα ἐν τῷ τρίτῳ σχήματι. καθόλου δὲ οὐκ ἦν ἐν τούτῳ συλλογισμός. πῶς δ' ἑτέραν ὁμοίως ἀναιρήσομεν τῇ ἀντιστροφῇ. λέγω δὲ τὸ ὁμοίως. εἰ μὲν ἐναντίως ἀντιστρέφεται, ἐναντίως. εἰ δὲ ἀντικειμένως, ἀντικειμένως. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ β. τῷ δὲ γ μηδενί. συμπέρασμα τὸ β γ. ἐὰν οὖν ληφθῇ τὸ β παντὶ τῷ γ ὑπάρχειν, καὶ τὸ α β μηδενὶ, τὸ α παντὶ τῷ γ ὑπάρξει, γίνεται γὰρ τὸ ἀ σχῆμα. εἰ δὲ τὸ β παντὶ τῷ γ. τὸ δὲ α οὐδενὶ τῷ γ, τὸ α οὐ παντὶ τῷ ϛ. σχῆμα τὸ ἔσχατον. ἐὰν δ' ἀντικειμένως ἀντιστραφῇ τὸ β γ. ἡ μὲν α β ὁμοίως δειχθήσεται. ἡ δὲ α γ ἀντικειμένως. εἰ γὰρ τὸ ϛ τινὶ τῷ γ. τὸ δὲ α μηδενὶ τῷ γ. τὸ α τινὶ τῷ ϛ οὐχ ὑπάρξει. πάλιν εἰ τὸ ϛ τινὶ τῷ γ, τὸ δὲ α παντὶ τῷ ϛ. τὸ α τινὶ τῷ γ. ὥστε ἀνῃρημένος γίνεται ὁ συλλογισμός. ὁμοίως δὲ δειχθήσεται καὶ εἰ ἀπὸ πάλιν ἔχοιεν αἱ προτάσεις. εἰ δ' ἔστιν ἐπὶ μέρους ὁ συλλογισμός. ἐναντίως μὲν ἀντιστρεφομένων τοῦ συμπεράσματος. οὐδετέρα τῶν προτάσεων ἀναιρεῖται. καθάπερ οὐδὲ ἐν τῷ ἀ σχήματι. ἀντικειμένως δὲ ἀμφότερα. κείσθω δὴ τὸ α τῷ μὲν ϛ μηδενὶ ὑπάρχειν. τῷ δὲ γ τινί. συμπέρασμα τὸ ϛ γ. ἐὰν οὖν τεθῇ τὸ ϛ τινὶ τῷ γ ὑπάρχειν, καὶ τὸ α β μέν, συμπέρασμα ἔσται, ὅτι τὸ α τινὶ τῷ γ οὐχ ὑπάρχει. ἀλλ' οὐκ ἀνή-

ρητη τὸ ἐξ ἀρχῆς. εὐδέχετη δὲ τινὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν. πάλιν εἰ τὸ β τινὶ τῷ γ. καὶ τὸ α τινὶ τῷ γ, οὐκ ἔσται συλλογισμός. οὐδέτερον ἢ καθόλου τῶν εἰλημμένων. ὥστ' οὐκ ἀναιρεῖται τὸ α β. ἐὰν δ' ἀντικειμένως ἀντιστρέφηται, ἀναιροῦνται ἀμφότερα. εἰ γὰρ τὸ β παντὶ τῷ γ. τὸ δὲ α μηδενὶ τῷ β, οὐδενὶ τῷ γ τὸ α. ἦν δὲ τινί. πάλιν εἰ τὸ β παντὶ τῷ γ. τὸ δὲ α τινὶ τῷ γ. ἔσται τινὶ τῷ β τὸ α. ἡ αὐτὴ δ' ἀπόδειξις καὶ εἰ τὸ καθόλου κατηγορικὸν εἴη.

ἀμφότεραι

Σχῆμα τρίτον.

Επὶ δὲ τοῦ τρίτου σχήματος, ὅταν μὲν ἐναντίως ἀντιστρέφητη τὸ συμπέρασμα, οὐδετέρα τῶν προτάσεων ἀναιρεῖται, κατ' οὐδένα τῶν συλλογισμῶν. ὅταν δὲ ἀντικειμένως, ἀμφότεραι καὶ ἐν ἅπασι. δεδείχθω γὰρ τὸ α τινὶ τῷ β ὑπάρχον. μέσον δὲ εἰλήφθω τὸ γ. ἔστωσαν δὴ καθόλου αἱ προτάσεις. οὐκ οὖν ἐὰν ληφθῇ τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν. τὸ δὲ β παντὶ τῷ γ, οὐ γίνεται συλλογισμὸς τοῦ α κατὰ τοῦ γ. οὐ δ' εἰ τὸ α τῷ μὲν β τινὶ μὴ ὑπάρχει. τῷ δὲ γ παντὶ, οὐκ ἔσται τοῦ β καὶ τοῦ γ συλλογισμός. ὁμοίως δὲ δειχθήσεται καὶ εἰ μὴ καθάλου αἱ προτάσεις. ἢ γὰρ ἀμφοτέρας ἀνάγκη κατὰ μέρος εἶναι διὰ τῆς ἀντιστροφῆς. ἢ τὸ καθόλου πρὸς τῷ ἐλάττονι ἄκρῳ γίνεσθαι. οὕτως δὲ οὐκ ἦν συλλογισμός. οὔτ' ἐν τῷ, α, σχήματι οὔτ' ἐν τῷ μέσῳ. ἐὰν δὲ ἀντικειμένως ἀντιστρέφωνται αἱ προτάσεις, ἀναιροῦνται ἀμφότεραι. εἰ γὰρ τὸ α μηδενὶ τῷ β, τὸ δὲ β παντὶ τῷ γ, τὸ α οὐδενὶ τῷ γ. πάλιν εἰ τὸ α τῷ μὲν β οὐδενὶ, τῷ δὲ γ παντὶ, τὸ β οὐδενὶ τῷ γ καὶ εἰ ἡ ἑτέρα μὴ καθόλου, ὡσαύτως, εἰ ἢ τὸ α μηδενὶ τῷ β τὸ δὲ β τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει, εἰ δὲ τὸ α τῷ μὲν β μηδενὶ τῷ δὲ γ παντὶ, οὐδενὶ τῷ γ τὸ β. ὁμοίως δὴ καὶ εἰ στερητικὸς ὁ συλλογισμός. δεδείχθω ἢ τὸ α τινὶ τῷ β μὴ ὑπάρχον. ἔστω δὴ κατηγορικὸν μὲν, τὸ β γ. ἀποφατικὸν δὴ, τὸ α γ. οὕτως ἢ ἐγίνετο ὁ συλλογισμός. ὅταν μὲν οὖν τὸ ἐναντίον ληφθῇ

τῷ

τῷ συμπεράσματι, οὐκ ἔσται συλλογισμός. εἰ γὰρ τὸ α τινὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ, οὐκ ἦν συλλογισμὸς τοῦ α καὶ τοῦ γ. οὐδ' εἰ τὸ α τινὶ τῷ β. τῷ δὲ γ μηδενί, οὐκ ἦν τοῦ β καὶ τοῦ γ συλλογισμός. ὥστε οὐκ ἀναιροῦνται αἱ προτάσεις. ὅταν δὲ τὸ ἀντικείμενον, ἀναιροῦνται. εἰ γὰρ τὸ α παντὶ τῷ β. καὶ τὸ β παντὶ τῷ γ, τὸ α τῷ γ παντὶ, ἀλλ' οὐδενὶ ὑπῆρχε. πάλιν εἰ τὸ α παντὶ τῷ β. τῷ δὲ γ μηδενί, τὸ β οὐδενὶ τῷ γ. ἀλλὰ παντὶ ὑπῆρχεν. ὁμοίως δὲ δείκνυται, καὶ εἰ μὴ καθόλου εἰσὶν αἱ προτάσεις. γίνεται γὰρ τὸ α γ καθόλου τε καὶ στερητικόν. θάτερον δὲ ἐπὶ μέρους, καταφατικόν. εἰ μὲν οὖν τὸ α παντὶ τῷ β. τὸ δὲ β τινὶ τῷ γ, τὸ α τινὶ τῷ γ συμβαίνει. ἀλλ' οὐδενὶ ὑπῆρχε. πάλιν εἰ τὸ α παντὶ τῷ β. τῷ δὲ γ μηδενί, τὸ β οὐδενὶ τῷ γ, εἰ δὲ τὸ α τινὶ τῷ β, καὶ τὸ β τινὶ τῷ γ οὐ γίνεται συλλογισμός, οὐδ' εἰ τὸ α τινὶ τῷ β, τῷ δὲ γ μηδενί, οὐδ' οὕτως. ὥστε ἐκείνως μὲν ἀναιροῦνται, οὕτως δ' οὐκ ἀναιροῦνται αἱ προτάσεις. φανερὸν οὖν διὰ τῶν εἰρημένων, πῶς ἀντιστρεφομένου τοῦ συμπεράσματος ἐν ἑκάστῳ σχήματι γίνεται συλλογισμός. καὶ πότε ἐναντίως τῇ προτάσει, καὶ πότε ἀντικειμένως. καὶ ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι, διὰ τοῦ μέσου καὶ τοῦ ἐσχάτου, γίνονται οἱ συλλογισμοί. καὶ ἡ μὲν πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἀεὶ διὰ τοῦ μέσου ἀναιρεῖται. ἡ δὲ πρὸς τῷ μείζονι, διὰ τοῦ ἐσχάτου. ἐν δὲ τῷ β σχήματι, διὰ τοῦ ἀ καὶ διὰ τοῦ ἐσχάτου. καὶ ἡ μὲν πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἀεὶ διὰ τοῦ ἀ σχήματος. ἡ δὲ πρὸς τῷ μείζονι, διὰ τοῦ ἐσχάτου. ἐν δὲ τῷ γ, διὰ τοῦ ἀ. καὶ τοῦ μέσου. ~~καὶ ἡ μὲν πρὸς τῷ ἐλάττονι ἄκρῳ ἀεὶ διὰ τοῦ πρώτου καὶ τοῦ μέσου.~~ καὶ ἡ μὲν πρὸς τῷ μείζονι, ἀεὶ διὰ τοῦ πρώτου. ἡ δὲ πρὸς τῷ ἐλάττονι, ἀεὶ διὰ τοῦ μέσου. τί μὲν οὖν ἐστὶν ἀντιστρέφειν, καὶ πῶς ἐν ἑκάστῳ σχήματι, καὶ τίς γίνεται συλλογισμός, φανερόν.

Περὶ τῆς διὰ ἀδυνάτου δείξεως.

Ὁ δὲ διὰ τοῦ ἀδυνάτου συλλογισμός, δείκνυται μὲν ὅταν ἡ ἀντί-

ἀντίφασις τεθῇ τοῦ συμπεράσματος, καὶ προσληφθῇ ἄλλη πρότασις. γίνεται δ' ἐν ἅπασι τοῖς σχήμασιν· ὅμοιον γὰρ ἐστι τῇ ἀντιστροφῇ. πλὴν διαφέρει τοσοῦτον. ὅτι ἀντιστρέφεται μὲν γεγενημένου τοῦ συλλογισμοῦ. καὶ εἰλημμένων ἀμφοῖν τῶν προτάσεων. ἀπάγεται δὲ εἰς τὸ ἀδύνατον, οὐ προομολογηθέντος τοῦ ἀντικειμένου πρότερον, ἀλλὰ φανεροῦ ὄντος ὅτι ἀληθές. οἱ δὲ ὅροι ὁμοίως ἔχουσιν ἐν ἀμφοῖν. καὶ ἡ αὐτὴ λῆψις ἀμφοτέρων. οἷον, εἰ τὸ α παντὶ τῷ β ὑπάρχει, μέσον δὲ τὸ γ, ἐὰν ὑποτεθῇ τὸ α μὴ παντὶ ἢ μηδενὶ τῷ β ὑπάρχειν· τῷ δέ γε γ παντὶ, ὅπερ ἦν ἀληθὲς, ἀνάγκη τὸ γ τῷ β ἢ μηδενὶ εἰ μὴ παντὶ ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον. ὥστε ψεῦδος τὸ ὑποτεθέν. ἀληθὲς ἄρα τὸ ἀντικείμενον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων. ὅσα γὰρ ἀντιστροφὴν δέχεται, καὶ τὸν διὰ ἀδυνάτου συλλογισμόν. τὰ μὲν οὖν ἄλλα προβλήματα πάντα δείκνυται διὰ τοῦ ἀδυνάτου ἐν πᾶσι τοῖς σχήμασι. τὸ δὲ καθόλου κατηγορικὸν ἐν μὲν τῷ μέσῳ καὶ τῷ γ δείκνυται. ἐν δὲ τῷ α, οὐ δείκνυται. ὑποκείσθω γὰρ τὸ α τῷ β μὴ παντὶ ἢ μηδενὶ ὑπάρχειν, καὶ προσειλήφθω ἄλλη πρότασις ὁποτερωθενοῦν. εἴτε τῷ α παντὶ ὑπάρχειν, τὸ γ. εἴτε τὸ β παντὶ τῷ δ. οὕτως γὰρ ἂν εἴη τὸ πρῶτον σχῆμα. εἰ μὲν οὖν ὑπόκειται μὴ παντὶ ὑπάρχειν τὸ α τῷ β, οὐ γίνεται συλλογισμός, ὁποτερωθενοῦν τῆς προτάσεως λαμβανομένης. εἰ δὲ μηδενὶ, ὅταν μὲν ἡ β δ προσληφθῇ, συλλογισμὸς μὲν ἔσται τοῦ ψεύδους. οὐ δείκνυται δὲ τὸ προκείμενον. εἰ γὰρ τὸ α μηδενὶ τῷ β. τὸ δὲ β παντὶ τῷ δ. τὸ α οὐδενὶ τῷ δ. τοῦτο δὲ ἔστω ἀδύνατον. ψεῦδος ἄρα τὸ μηδενὶ τῷ β τὸ α ὑπάρχειν. ἀλλ' οὐχὶ εἰ τὸ μηδενὶ ψεῦδος, τὸ παντὶ ἀληθές. ἐὰν δὲ ἡ γ α προσληφθῇ, οὐ γίνεται συλλογισμός. οὐ δ' ὅταν ὑποτεθῇ μὴ παντὶ τῷ β ὑπάρχειν, τὸ α. ὥστε φανερὸν ὅτι τὸ παντὶ ὑπάρχειν, οὐ δείκνυται ἐν τῷ πρώτῳ σχήματι διὰ τοῦ ἀδυνάτου. τὸ δὲ τινὶ καὶ τὸ μηδενὶ καὶ τὸ

μὴ

μὴ παντὶ, δείκνυται. ὑποκείσθω γὰρ τὸ α μηδενὶ τῷ β ὑπάρχειν. τὸ δὲ β εἰ λήφθω παντὶ ἢ τινὶ τῷ γ. οὐκοῦν ἀνάγκη τὸ α μὴ παντὶ ἢ μηδενὶ τῷ γ ὑπάρχειν. τοῦτο δ' ἀδύνατον. ἔσται γὰρ ἀληθὲς, καὶ φανερὸν, ὅτι παντὶ ὑπάρχει τὸ α τῷ γ. ὥστ' εἰ τοῦτο ψεῦδος, ἀνάγκη τὸ α τινὶ τῷ β ὑπάρχειν. ἐὰν δὲ πρὸς τὸ α ληφθῇ ἡ ἑτέρα πρότασις, οὐκ ἔσται συλλογισμός. οὐ δ' ὅταν τὸ ἐναντίον τῷ συμπεράσματι ὑποτεθῇ, οἷον τὸ τινὶ μὴ ὑπάρχειν. φανερὸν γὰρ ὅτι τὸ ἀντικείμενον ὑποθετέον. πάλιν ὑποκείσθω τὸ α τινὶ τῷ β ὑπάρχειν. εἰ λήφθω δὲ τὸ γ παντὶ τῷ α. ἀνάγκη οὖν τὸ γ, τινὶ τῷ β ὑπάρχειν. τοῦτο δὲ ἔστω ἀδύνατον. ὥστε ψεῦδος τὸ ὑποτεθέν. εἰ δὲ οὕτως, ἀληθὲς τὸ μηδενὶ ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ στερητικὸν ληφθῇ τὸ γ α. εἰ δ' ἡ πρὸς τῷ β ἐλήφθη πρότασις οὐκ ἔσται συλλογισμός. ἐὰν δὲ τὸ ἐναντίον ὑποτεθῇ, συλλογισμὸς μὲν ἔσται καὶ τὸ ἀδύνατον. οὐ δείκνυται δὲ τὸ προτεθέν. ὑποκείσθω γὰρ παντὶ τῷ β τὸ α ὑπάρχειν. καὶ τὸ γ τῷ α εἰ λήφθω παντί. οὐκοῦν ἀνάγκη τὸ γ παντὶ τῷ β ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον. ὥστε ψεῦδος τὸ παντὶ τῷ β τὸ α ὑπάρχειν. ἀλλ' οὔπω ἦν ἀναγκαῖον, εἰ μὴ παντὶ, μηδενὶ ὑπάρχειν. ὁμοίως δὲ κἂν εἰ πρὸς τὸ β ἐλήφθη ἡ ἑτέρα πρότασις. συλλογισμὸς μὲν ἢ ἔσται καὶ τὸ ἀδύνατον. οὐκ ἀναιρεῖται δὲ, ἡ ὑπόθεσις. ὥστε τὸ ἀντικείμενον ὑποθετέον. πρὸς δὲ τὸ μὴ παντὶ δεῖξαι ὑπάρχον τῷ β τὸ α, ὑποθετέον παντὶ ὑπάρχειν. εἰ ἢ τὸ α παντὶ τῷ β. καὶ τὸ γ παντὶ τῷ α, τὸ γ παντὶ τῷ β. ὥστ' εἰ τοῦτο ἀδύνατον, ψεῦδος τὸ ὑποτεθέν. ὁμοίως δὲ καὶ εἰ πρὸς τῷ β ληφθῇ ἡ ἑτέρα πρότασις, καὶ εἰ στερητικὸν ἢ τὸ γ α, ὡσαύτως. καὶ δὲ οὕτως γίνεται συλλογισμός. ἐὰν δὲ πρὸς τῷ β ἢ τὸ στερητικὸν, οὐδὲν δείκνυται. ἐὰν δὲ μὴ τὸ παντὶ ἀλλὰ τὸ τινὶ ὑπάρχειν ὑποτεθῇ, οὐ δείκνυται ὅτι οὐ παντί. ἀλλ' ὅτι οὐδενί. εἰ δὲ τὸ α τῷ β τινὶ, τὸ δὲ γ παντὶ τῷ α, τινὶ τῷ β τὸ γ ὑπάρξει. εἰ οὖν τοῦτο ἀδύνατον, ψεῦδος τὸ τινὶ ὑπάρχειν τῷ β τὸ α. ὥστ' ἀληθὲς τὸ μηδενί. τούτου δὲ δειχθέντος, προσαναιρεῖται τὸ ἀλη-

θές. τὸ

demonstratur particularis affirmativa per impossibile

demonstratur per impossibile vtis negativa in prima

particularis negativa demonstratur per impossibile

θές. τὸ γὰρ α, τῷ β τινὶ μὲν ὑπάρχει, τινὶ δὲ οὐχ' ὑπάρχει. ἔτι δὲ οὐ παρὰ τὴν ὑπόθεσιν συμβαίνει τὸ ἀδύνατον. ψευδὴς γὰρ ἂν εἴη, εἴπερ ἐξ ἀληθῶν μή ἐστι ψεῦδος συλλογίσασθαι. νῦν δέ ἐστιν ἀληθής. ὑπάρχει γὰρ τὸ α τινὶ τῷ β. ὥστ' οὐχ' ὑποθετέον τὸ τινὶ ὑπάρχειν, ἀλλὰ τὸ παντί. ὁμοίως δὲ καὶ εἰ τινὶ μὴ ὑπάρχον τῷ β τὸ α δείκνυσιν. εἰ γὰρ ταυτὸ τὸ τινὶ μὴ ὑπάρχειν, καὶ μὴ παντὶ ὑπάρχειν, ἡ αὐτὴ ἀμφοῖν ἀπόδειξις. φανερὸν οὖν ὅτι οὐ τὸ ἐναντίον, ἀλλὰ τὸ ἀντικείμενον ὑποθετέον ἐν ἅπασι τοῖς συλλογισμοῖς. οὕτως δ', τό, τε ἀναγκαῖον ἔσται, καὶ τὸ ἀξίωμα ἔνδοξον. εἰ δ', κατὰ παντὸς ἡ κατάφασις, ἢ ἡ ἀπόφασις, δῆλον ὅτι οὐχ' ἡ ἀπόφασις, ἀνάγκη τὴν κατάφασιν ἀληθεύεσθαι, πάλιν εἰ μὴ πίθηται ἀληθεύεσθαι τὴν κατάφασιν, ἔνδοξον τὸ ἀξιῶσαι τὴν ἀπόφασιν. τὸ δ' ἐναντίον οὐδετέρως ἁρμόττει ἀξιῶσαι. οὔτε δ' ἀναγκαῖον, εἰ τῷ μηδενὶ ψεῦδος τὸ, παντὶ ἀληθὲς, οὔτε ἔνδοξον. ὡς εἰ θάτερον, ψεῦδος ὂν τυγχάνει θάτερον ἀληθές. φανερὸν δὲ ὅτι οὐ τῷ. α. χήματι, τὰ μὲν ἄλλα προβλήματα πάντα δείκνυται διὰ τοῦ ἀδυνάτου. τὸ δὲ καθόλου καταφατικὸν, οὐ δείκνυται. Ἐν δὲ τῷ μέσῳ καὶ τῷ ἐσχάτῳ, καὶ τοῦτο δείκνυται. ὑποκείσθω γὰρ τὸ α μὴ παντὶ τῷ β ὑπάρχειν. εἰλήφθω δὲ τῷ γ παντὶ ὑπάρχειν τὸ α. οὐκοῦν εἰ τῷ μὲν β ὑπάρχει τὸ α μὴ παντὶ, τῷ δὲ γ παντὶ, οὐ παντὶ τῷ β τὸ γ. τοῦτο δὲ ἀδύνατον. ἔσται γὰρ φανερὸν, ὅτι τῷ β παντὶ ὑπάρχει τὸ γ. ὥστε ψεῦδος τὸ ὑποκείμενον. ἀληθὲς ἄρα τὸ παντὶ ὑπάρχειν. ἐὰν δὲ τὸ ἐναντίον ὑποτεθῇ, συλλογισμὸς μὲν ἔσται, καὶ τὸ ἀδύνατον. οὐ μὴν δείκνυται τὸ προτεθέν. εἰ γὰρ τὸ α μηδενὶ, τῷ β. τὸ δὲ γ παντὶ, οὐδενὶ τῷ β τὸ γ. τοῦτο δὲ ἀδύνατον, ὥστε ψεῦδος τὸ μηδενὶ ὑπάρχειν. ἀλλ' οὐχὶ εἰ τοῦτο ψεῦδος, τὸ παντὶ ἀληθές. ὅτε δὲ τινὶ τῷ β ὑπάρχει τὸ α. ὑποκείσθω τὸ α μηδενὶ τῷ β ὑπάρχειν. τῷ δὲ γ παντὶ ὑπαρχέτω. ἀνάγκη δὴ τὸ γ μηδενὶ τῷ β. ὥστ' εἰ τοῦτο ἀδύνατον,

ἀδύνατον, ἀνάγκη τὸ α τινὶ τῷ β ὑπάρχειν. ἐὰν δὲ ὑποτεθῇ τινὶ μὴ ὑπάρχειν, ταῦτα ἔσται, ἅπερ καὶ ἐπὶ τοῦ ἀρχήματος. πάλιν ὑποκείσθω τὸ α τινὶ τῷ β ὑπάρχειν. τῷ δὲ γ, μηδενὶ ὑπαρχέτω. ἀνάγκη δὴ τὸ γ τῷ β μὴ ὑπάρχειν. ἀλλὰ παντὶ ὑπῆρχεν. ὥστε ψεῦδος τὸ ὑποτεθέν. οὐδενὶ ἄρα τῷ β τὸ α ὑπάρξει. ὅτε δὲ οὐ παντὶ τῷ β τὸ α, ὑποκείσθω παντὶ ὑπάρχειν. τῷ δὲ γ μηδενί. ἀνάγκη δὴ τὸ γ μηδενὶ τῷ β ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον. ὥστ' ἀληθὲς τὸ μὴ παντὶ ὑπάρχειν. φανερὸν δὴ ὅτι πάντες οἱ συλλογισμοὶ γίνονται διὰ τοῦ μέσου σχήματος.

Περὶ τοῦ τρίτου σχήματος.

Ομοίως δὲ καὶ διὰ τοῦ ἐσχάτου. κείσθω γὰρ τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν. τὸ δὲ γ παντί. τὸ ἄρα α τινὶ τῷ γ οὐχ ὑπάρξει. εἰ δὴ τοῦτο ἀδύνατον, ψεῦδος τὸ, τινὶ μὴ ὑπάρχειν. ὥστε ἀληθὲς, τὸ παντί. ἐὰν δὲ ὑποτεθῇ μηδενὶ ὑπάρχειν, συλλογισμὸς μὲν ἔσται καὶ τὸ ἀδύνατον, οὐ δείκνυται δὲ τὸ προτεθέν. ἐὰν γὰρ τὸ ἐναντίον ὑποτεθῇ, ταῦτα ἔσται, ἅπερ καὶ ἐπὶ τῶν πρότερον. ἀλλὰ πρὸς τὸ τινὶ ὑπάρχειν, αὕτη ληπτέα ἡ ὑπόθεσις. εἰ γὰρ τὸ α μηδενὶ τῷ β, τὸ δὲ γ τινὶ τῷ β. τὸ α οὐ παντὶ τῷ γ. εἰ δὴ τοῦτο ψεῦδος, ἀληθὲς, τὸ α τινὶ τῷ β ὑπάρχειν. ὅτε δὲ οὐδενὶ τῷ β ὑπάρχει τὸ α, ὑποκείσθω τινὶ ὑπάρχειν. εἰλήφθω δὲ καὶ τὸ γ παντὶ τῷ β ὑπάρχον. οὐκ δὴ ἀνάγκη τὸ α τινὶ τῷ γ ὑπάρχειν. ἀλλ' οὐδενὶ ὑπῆρχεν. ὥστε ψεῦδος τὸ, τινὶ τῷ β τὸ α ὑπάρχειν. ἐὰν δὲ ὑποτεθῇ παντὶ τῷ β ὑπάρχειν τὸ α, οὐ δείκνυται τὸ προτεθέν. ἀλλὰ πρὸς τὸ μὴ παντὶ ὑπάρχειν, αὕτη ληπτέα ἡ ὑπόθεσις. εἰ γὰρ τὸ α παντὶ τῷ β, καὶ τὸ γ τινὶ τῷ β, τὸ α ὑπάρχει τινὶ τῶν γ. τοῦτο δὲ οὐκ ἦν. ὥστε ψεῦδος τὸ, παντὶ ὑπάρχειν. εἰ δ' οὕτως, ἀληθὲς τὸ μὴ παντί. ἐὰν δὲ ὑποτεθῇ τινὶ ὑπάρχειν, ταῦτ' ἔσται ἃ καὶ ἐπὶ τῶν προειρημένων. φανερὸν δὴ ὅτι ἐπ' ἄπασι τοῖς διὰ τοῦ ἀδυνάτου συλλογισμοῖς τὸ ἀντικείμενον ὑποθετέον, δῆλον δὲ καὶ ὅτι ἐπὶ τῷ

μέσῳ σχήματι δείκνυται πως τὸ καταφατικόν. καὶ ἐν τῷ ἐσχάτῳ τὸ καθόλου. Διαφέρει δὲ ἡ εἰς τὸ ἀδύνατον ἀπόδειξις τῆς ἀποδεικτικῆς, τῷ τιθέναι ὃ βούλεται ἀναιρεῖν ἀπάγουσα εἰς ὁμολογούμενον ψεῦδος. ἡ δὲ δεικτικὴ ἄρχεται ἐξ ὁμολογουμένων θέσεων ἀληθῶν. λαμβάνουσι μὲν οὖν ἀμφότεραι δύο προτάσεις ὁμολογουμένας. ἀλλ' ἡ μέν, ἐξ ὧν ὁ συλλογισμός. ἡ δέ, μίαν μὲν οὖν τούτων. μίαν δὲ τὴν ἀντίφασιν τοῦ συμπεράσματος. καὶ ἔνθα μέν, οὐκ ἀνάγκη γνώριμον εἶναι τὸ συμπέρασμα, οὐδὲ προϋπολαμβάνειν ὡς ἔστιν, ἢ οὔ. ἔνθα δέ, ἀνάγκη ὡς οὐκ ἔστι. διαφέρει δὲ οὐδὲν φάσιν, ἢ ἀποφάσιν εἶναι τὸ συμπέρασμα. ἀλλ' ὁμοίως ἔχει περὶ ἀμφοῖν. ἅπαν δὲ τὸ δεικτικῶς συμπεραινόμενον, καὶ διὰ τοῦ ἀδυνάτου δείκνυται. καὶ τὸ διὰ τοῦ ἀδυνάτου, δεικτικῶς καὶ διὰ τῶν αὐτῶν ὅρων, οὐκ ἐν τοῖς αὐτοῖς δὲ σχήμασιν. ὅταν μὲν γὰρ ὁ συλλογισμὸς ἐν τῷ πρώτῳ σχήματι γένηται, τὸ ἀληθὲς ἔσται. ἢ ἐν τῷ μέσῳ ἢ ἐν τῷ ἐσχάτῳ. τὸ μὲν στερητικὸν ἐν τῷ μέσῳ. τὸ δὲ καταφατικόν, ἐν τῷ ἐσχάτῳ. ὅταν δὲ ἐν τῷ μέσῳ ἡ ὁ συλλογισμός, τὸ ἀληθὲς, ἐν τῷ ἐσχάτῳ καὶ τῷ μέσῳ· τὰ μὲν καταφατικὰ ἐν τῷ ἀ. τὰ δὲ στερητικὰ, ἐν τῷ μέσῳ. ἔστω γὰρ δεδειγμένον τὸ α μηδενὶ, ἢ μὴ παντὶ τῷ β διὰ τοῦ ἀ σχήματος. οὐκοῦν ἡ μὲν ὑπόθεσις ἦν τινι, τῷ β ὑπάρχειν τὸ α. τὸ δὲ γ ἐλαμβάνετο τῷ μὲν α παντὶ ὑπάρχειν. τῷ δὲ β οὐδενί. οὕτως γὰρ ἐγίνετο συλλογισμός, καὶ τὸ ἀδύνατον. τοῦτο δὲ τὸ μέσον σχῆμα. εἰ τὸ γ τῷ μὲν α παντὶ, τῷ δὲ β μηδενὶ ὑπῆρχον. καὶ φανερὸν ἐκ τούτων ὅτι οὐδενὶ, τῷ β ὑπάρχει τὸ α. ὁμοίως δὲ καὶ εἰ μὴ παντὶ, οὐδενὶ ὑπάρχειν τὸ α. ἡ μὲν γὰρ ὑπόθεσις, ἔστι παντὶ ὑπάρχειν. τὸ δὲ γ ἐλαμβάνετο τῷ μὲν α παντί· τῷ δὲ β οὐ παντί. καὶ εἰ στερητικὸν λαμβάνοιτο τὸ γ α, ὡσαύτως. καὶ γὰρ οὕτως γίνεται τὸ μέσον σχῆμα. πάλιν δὲ δεδείχθω τινὶ ὑπάρχον τῷ β τὸ α. ἡ μὲν οὖν

ὑπ

+ ἐν πᾶσιν οὖν τοῖς προτάσεσιν. ὅταν δὲ ἐν τῷ ἐσχάτῳ ὁ συλλογισμός, τὸ ἀληθὲς ἐν τῷ α. καὶ τῷ μέσῳ

ὑποθεσις μηδενὶ ὑπάρχειν. τὸ δὲ β ἐλαμβάνετο παντὶ τῷ γ ὑπάρχειν. καὶ τὸ α ἢ παντὶ ἢ τινὶ τῷ γ. οὕτω δὴ ἔσται τὸ ἀδύνατον. δῆλον δὲ τὸ ἔλαττον σχῆμα. εἰ τὸ α μὴ τῷ ε παντὶ τῷ γ. καὶ φανερὸν ἐκ τούτων ὅτι ἀνάγκη τὸ α τινὶ τῷ ε ὑπάρχειν. ὁμοίως δὴ καὶ εἰ τινὶ τῷ γ ληφθείη ὑπάρχον τὸ ε, ἢ τῷ α.

Περὶ τοῦ δευτέρου σχήματος.

Πάλιν καὶ ἐν τῷ μέσῳ σχήματι δεδείχθω τὸ α παντὶ τῷ ε ὑπάρχον. οὐκοῦν ἢ μὴ ὑποθεσις ἦν, μὴ παντὶ τῷ β τὸ α ὑπάρχειν. εἰλήφθω δὴ τὸ α παντὶ τῷ ε. καὶ τὸ γ παντὶ τῷ ε. οὕτως δὴ ἔσται τὸ ἀδύνατον. δῆλον δὲ τὸ σχῆμα. εἰ τὸ α παντὶ τῷ γ. καὶ τὸ γ παντὶ τῷ β. ὁμοίως δὲ καὶ εἰ τινὶ δέδεικται ὑπάρχον. ἢ μὲν γὰρ ὑποθεσις ἦν μηδενὶ τῷ β τὸ α ὑπάρχειν. εἴληπται δὲ τὸ α παντὶ τῷ γ. καὶ τὸ γ τινὶ τῷ β. εἰ δὲ συμπερασματικὸς ὁ συλλογισμός, ἢ μὲν ὑποθεσις τὸ α τινὶ τῷ β ὑπάρχειν. εἴληπται δὲ, καὶ τὸ α μηδενὶ τῷ γ. καὶ τὸ γ παντὶ τῷ ε. ὥστε γίνεται τὸ α σχῆμα. καὶ εἰ μὴ καθόλου ὁ συλλογισμὸς, ἀλλὰ τὸ α τινὶ τῷ β δέδεικται μὴ ὑπάρχειν, ὡσαύτως. ὑποθεσις μὲν γὰρ παντὶ τῷ β τὸ α ὑπάρχειν. εἴληπται δὲ τὸ α μηδενὶ τῷ γ. καὶ τὸ γ τινὶ τῷ β. οὕτως γὰρ τὸ πρῶτον σχῆμα.

Περὶ τοῦ τρίτου σχήματος.

Πάλιν δὲ τῷ γ σχήματι δεδείχθω τὸ α παντὶ τῷ β ὑπάρχειν. οὐκοῦν, ἢ μὲν ὑποθεσις ἦν μὴ παντὶ τῷ β τὸ α ὑπάρχειν. εἴληπται δὲ τὸ γ παντὶ τῷ β. καὶ τὸ α παντὶ τῷ γ. οὕτως γὰρ ἔσται τὸ ἀδύνατον. δῆλον δὲ τὸ σχῆμα. ὡσαύτως δὲ καὶ εἰ ἐπί τινος ἢ ἀποδειξις. ἢ μὲν γὰρ ὑποθεσις ἔσται, μηδενὶ τῷ ε τὸ α ὑπάρχειν. εἴληπται δὲ τὸ γ τινὶ τῷ β, καὶ τὸ α παντὶ τῷ γ. εἰ δὲ συμπερασματικὸς ὁ συλλογισμός, ὑποθεσις μὲν τὸ α τινὶ τῷ β ὑπάρχειν. εἴληπται δὲ τὸ γ, τῷ μὲν α, μηδενί. τῷ δὲ ε, παντί. δῆλον δὲ τὸ μέσον σχῆμα. ὁμοίως δὲ καὶ εἰ μὴ καθόλου ἡ ἀποδειξις. ὑποθεσις μὲν γὰρ ἔσται παντὶ τῷ β τὸ α ὑπάρχειν. εἴ-

λη πται δὲ τὸ γ τῷ μὲν α μηδενί· τῷ δὲ β τινί. τοιτο δὲ τὸ μέσον σχῆ=
μα. φανερὸν οὖν ὅτι διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς ἐστι δεικνύ
ναι τῶν προβλημάτων ἕκαστον. καὶ διὰ τοι ἀδυνάτου. ὁμοίως δὲ ἔσται καὶ
δεικτικῶν ὄντων τῶν συλλογισμῶν εἰς ἀδύνατον ἀπάγειν ἐν τοῖς εἰλημ
μένοις ὅροις, ὅταν, ἡ ἀντικειμένη πρότασις ἐν τῷ συμπερασματι λη=
φθῇ. γίνονται δὲ οἱ αὐτοὶ συλλογισμοὶ, τοῖς διὰ τῆς ἀντιστροφῆς. ὥστε
εὐθὺς ἔχομεν καὶ τὰ σχήματα, δι' ὧν ἔσται ἕκαστον. δῆλον οὖν ὅτι πᾶν
πρόβλημα δείκνυται κατ' ἀμφοτέρους τοὺς τρόπους, διά τε τοι ἀδυνά
του καὶ δεικτικῶς, καὶ οὐκ ἐνδέχετε χωρίζεσθε τὸν ἕτερον τῶν ἑτέρου.

Περὶ τοι ἐξ ἀντικειμένων συλλογίσασθαι.

Εν ποίῳ δὲ σχήματι ἐστὶν ἐξ ἀντικειμένων προτάσεων συλλογίσα
σθαι, καὶ ἐν ποίῳ οὐκ ἔστιν, ὧδ' ἔσται φανερόν. λέγω δὲ ἀντικειμένας
προτάσεις εἶναι, κατὰ μὲν τὴν λέξιν, τέτταρας. οἷον τὸ παντὶ, τῷ οὐδε-
νί. καὶ τὸ παντὶ, τῷ οὐ παντί. καὶ τὸ τινὶ, τῷ οὐδενί. καὶ τὸ τινὶ τῷ οὐ
τινί· κατ' ἀλήθειαν δὲ τρεῖς. τὸ γὰρ τινὶ τῷ οὐ τινὶ κατὰ τὴν λέξιν ἀν
τίκειται μόνον. τούτων δ' ἐναντίας μὲν, τὰς καθόλου, τὸ παντὶ, τῷ μη
δενὶ ὑπάρχειν. οἷον τὸ πᾶσαν ἐπιστήμην εἶναι σπουδαίαν, τῷ μηδεμί
αν εἶναι σπουδαίαν. τὰς δὲ ἄλλας ἀντικειμένας. ἐν μὲν οὖν τῷ ἀ σχή
ματι οὐκ ἔστιν ἐξ ἀντικειμένων προτάσεων συλλογισμὸς, οὔτε καταφα
τικὸς, οὔτε ἀποφατικός. καταφατικὸς μὲν, ὅτι ἀμφοτέρας καταφα
τικὰς δεῖ εἶναι τὰς προτάσεις. αἱ δ' ἀντικείμεναι, φάσις καὶ ἀπόφασις.
στερητικὸς δὲ, ὅτι αἱ μὲν ἀντικείμεναι τὸ αὐτὸ τοι αὐτοι κατηγοροῦσι
καὶ ἀπαρνοῦνται. τὸ δ' ἐν τῷ πρώτῳ σχήματι μέσον, οὐ λέγεται κατ'
ἀμφοῖν. ἀλλ' ἐκείνου μὲν ἄλλο ἀπαρνεῖται. αὐτὸ δὲ ἄλλου κατηγορεῖ=
ται, αὗται δὲ οὐκ ἀντίκεινται.

Περὶ τοι δευτέρου σχήματος.

Εν δὲ τῷ μέσῳ σχήματι καὶ ἐκ τῶν ἀντικειμένων, καὶ ἐκ τῶν ἐναν
τίων

Αναλυτικῶν προτέρων, β.

τίων ἐνδέχετε γίνεσθε συλλογισμόν. ἔστω ἢ ἀγαθὸν μὲν ἐφ' οὗ α. ἐπι
στήμη δὲ, ἐφ' οὗ β καὶ γ. εἰ δὴ πᾶσαν ἐπιστήμην σπουδαίαν ἔλαβε καὶ
μηδεμίαν, τὸ α τῷ β παντὶ ὑπάρχει. καὶ τῷ γ οὐδενί. ὥστε τὸ β τῷ γ
οὐδενί. οὐδεμία ἄρα ἐπιστήμη, ἐπιστήμη ἐστίν. ὁμοίως δὲ καὶ εἰ πᾶσαν
λαβὼν σπουδαίαν, τὴν ἰατρικὴν μὴ σπουδαίαν ἔλαβε. τῷ μὲν δὲ β παν
τὶ τὸ α. τῷ δὲ γ, οὐδενί. ὥστε ἡ τὶς ἐπιστήμη, οὐκ ἔσται ἐπιστήμη, καὶ εἰ τὸ
μὲν γ παντὶ τὸ α. τῷ δὲ β μηδενί. ἔστι δὲ τὸ μὲν β ἐπιστήμη. τὸ δὲ γ ἰατρική.
τὸ δὲ α ὑπόληψις. οὐδεμίαν ἢ ἐπιστήμην ὑπόληψιν λαβὼν, εἴληφέτινα
ἐπιστήμην εἶναι ὑπόληψιν. διαφέρει δὲ τοι πάλαι, τῷ ἐπὶ τῶν ὅρων ἀν
τιστρέφεσθαι. πρότερον μὲν δὲ πρὸς τῷ β. νῦν δὲ πρὸς τῷ γ, τὸ κατα=
φατικόν. καὶ ἐὰν ᾖ δὲ μὴ καθόλου ἡ ἑτέρα πρότασις ὡσαύτως. ἀεὶ ἢ
τὸ μέσον ἐστὶν, ὃ ἀπὸ θατέρου μὲν, ἀποφατικῶς λέγεται. κατὰ θατέ
ρου δὲ, καταφατικῶς. ὥστ' ἐνδέχεται τὰ ἀντικείμενα περαίνεσθαι.
πλὴν οὐκ ἀεί. οὐδὲ πάντως. ἀλλ' ἐὰν οὕτως ἔχῃ τὰ ὑπὸ τὸ μέσον, ὥστ'
ἢ ταῦτα εἶναι, ἢ ὅλον πρὸς μέρος. ἄλλως δὲ ἀδύνατον. οὐ γὰρ ἔσον=
ται οὐδαμῶς αἱ προτάσεις, οὔτε ἐναντίαι, οὔτ' ἀντικείμεναι.

Περὶ τοι τρίτου σχήματος.

Εν δὲ τῷ τρίτῳ σχήματι καταφατικὸς μὲν συλλογισμὸς, οὐδέποτ'
ἔσται ἐξ ἀντικειμένων προτάσεων διὰ τὴν προειρημένην αἰτίαν, καὶ
ἐπὶ τοι πρώτου σχήματος. ἀποφατικὸς δὲ ἔσται συλλογισμὸς, καὶ καθό
λου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων. ἔστω γὰρ ἐπιστήμη ἐφ' οὗ β καὶ
γ. ἰατρικὴ δὲ, ἐφ' οὗ α. εἰ οὖν λάβοι πᾶσαν ἰατρικὴν ἐπιστήμην, καὶ μη=
δεμίαν ἰατρικὴν ἐπιστήμην, τὸ β παντὶ. τῷ α εἴληφε. καὶ τὸ γ οὐ=
δενί. ὥστ' ἔσται τὶς ἐπιστήμη οὐκ ἐπιστήμη. ὁμοίως δὲ καὶ ἐὰν μὴ κα
θόλου ληφθῇ ἡ α β πρότασις. εἰ γὰρ ἐστί τις ἰατρικὴ ἐπιστήμη, καὶ
πάλιν μηδεμία ἰατρικὴ ἐπιστήμη, συμβαίνει ἐπιστήμην τινὰ μὴ
εἶναι ἐπιστήμην. εἰσὶ δὲ καθόλου τῶν ὅρων μὲν λαμβανομέ=
νων ἐναν

ετερος ναν ἐναντίαι αἱ προτάσεις. εἰ δὲ ὧν μέρει ἄτερος, ἀντικείμεναι. δῆλον δὲ καταναοῆν ὅτι ἐνδέχεται μὴ οὕτως τὰ ἀντικείμενα λαμβάνειν, ὥσπερ εἰπομεν. πᾶσαν ἐπιστήμην σπουδαίαν εἶναι. καὶ πάλιν οὐδεμίαν ἢ τινὰ μὴ σπουδαίαν, ὅπερ οὐκ εἰωθε λανθάνειν. ἔστι δὲ καὶ δι' ἄλλων ἐρωτημάτων συλλογίσασθαι θάτερον. ἢ καὶ ὡς ἐν τοπικοῖς ἐλέχθη λαβεῖν. ἐπεὶ δὲ τῶν καταφάσεων αἱ ἀντιθέσεις τρεῖς, ἑξαχῶς συμβαίνει τὰ ἀντικείμενα λαμβάνειν, ἢ παντὶ καὶ μηδενί. ἢ παντὶ καὶ μὴ παντί, ἢ τινὶ καὶ μηδενί. καὶ τοῦτο ἀντισχέφαι ἐπὶ τῶν ὅρων. οἷον τὸ Α παντὶ τῷ Γ. τῷ Β μηδενί. ἢ τῷ Γ παντί. τῷ δὲ Β μηδενί, ἢ τῷ μὴ, παντὶ. τῷ δὲ, μὴ παντί. καὶ πάλιν τοῦτο ἀντισχέφαι κατὰ τοὺς ὅρους. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τρίτου σχήματος. ὥστε φανερὸν, ὁσαχῶς τε καὶ ἐν ποίοις σχήμασιν ἐνδέχεται διὰ τῶν ἀντικειμένων προτάσεων γενέσθαι συλλογισμόν. φανερὸν δ' ὅτι καὶ ἐκ ψευδῶν, ἔστιν ἀληθὲς συλλογίσασθαι. καθάπερ εἴρηται πρότερον. ἐκ δὲ τῶν ἀντικειμένων, οὐκ ἔστιν. ἀεὶ γὰρ ἐναντίος ὁ συλλογισμὸς γίνεται τῷ πράγματι. οἷον εἰ ἔστιν ἀγαθόν, μὴ εἶναι ἀγαθόν. ἢ εἰ χῶον, μὴ ξῶον, διὰ τὸ ἐξ ἀντιφάσεως εἶναι τὸν συλλογισμόν, καὶ τοὺς ὑποκειμένους ὅρους, ἢ τοὺς αὐτοὺς εἶναι. ἢ τὸν μὲν, ὅλον, τὸν δὲ, μέρος. δῆλον δὲ καὶ ὅτι ἐν τοῖς παραλογισμοῖς οὐθὲν κωλύει γίνεσθαι τῆς ὑποθέσεως τὴν ἀντίφασιν. οἷον εἰ ἔστι περιπάτῳ, μὴ εἶναι περιπάτον. ἐκ γὰρ τῶν ἀντικειμένων προτάσεων ἐναντίος ἦν ὁ συλλογισμός. ἐὰν οὖν λάβοις τοιαύτας, ἔστω τῆς ὑποθέσεως ἀντίφασις. δῆλον δὲ καταναοῆν ὅτι οὕτω μὲν οὐκ ἔστιν ἐναντία συμπεράνασθαι ἐξ ἑνὸς συλλογισμοῦ. ὥστε εἶναι τὸ συμπέρασμα τὸ μὴ ὂν ἀγαθὸν, ἀγαθόν. ἢ ἄλλοτι τοιοῦζον. ἐὰν μὴ εὐθὺς ἡ πρότασις τοιαύτη ληφθῇ. οἷον πᾶν ξῶον εἶναι λευκόν, καὶ μὴ λευκόν. τὸν δὲ ἄνθρωπον ξῶον. ἀλλ' ἢ προσλαβεῖν δεῖ τὴν ἀντίφασιν, οἷον, ὅτι πᾶσα ἐπιστήμη. ὑπό-

λαβῃς

λημψις

Αναλυτικῶν προτέρων, β.

ληψις καὶ οὐχ ὑπόληψις. εἶτα λαβεῖν ὅτι ἡ ἰατρικὴ ἐπιστήμη μὲν ἐστιν, οὐδεμία δὲ ὑπόληψις. ὥσπερ οἱ ἔλεγχοι γίνονται, ἢ ἐκ δύο συλλογισμῶν. ὥστε δὲ εἶναι ἐναντία κατ' ἀλήθειαν τὰ εἰλημμένα, οὐκ ἔστιν ἄλλον τρόπον, ἢ τοῦτον καθάπερ εἴρηται πρότερον.

Περὶ τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι.

Τὸ δὲ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν, ἔστι μὲν ὡς ἐν γένει λαβεῖν, ἐν τῷ μὴ ἀποδεικνύναι τὸ προκείμενον. τοῦτο δὲ ἐπισυμβαίνει πολλαχῶς· καὶ γὰρ εἰ ὅλως μὴ συλλογίζεται. καὶ εἰ δι' ἀγνωστοτέρων, ἢ ὁμοίως ἀγνώστων. καὶ εἰ διὰ τῶν ὑστέρων τὸ πρότερον. ἡ τὴν ἀπόδειξις ἐκ πιστοτέρων τε καὶ προτέρων ἐστί. τούτων μὲν οὖν οὐδέν ἐστι τὸ αἰτεῖσθαι τὸ ἐξ ἀρχῆς. ἀλλ' ἐπεὶ τὰ μὲν δι' αὐτῶν πέφυκε γνωρίζεσθαι, τὰ δὲ δι' ἄλλων. αἱ μὲν δὴ ἀρχαὶ, δι' ἑαυτῶν. τὰ δὲ ὑπὸ τὰς ἀρχὰς δι' ἄλλων, ὅταν τὸ μὴ τὸ δι' αὐτοῦ γνωστόν, ἑαυτοῦ τις ἐπιχειρῇ δεικνύναι, τότε αἰτεῖται τὸ ἐξ ἀρχῆς. τοῦτο δέ ἐστι μὲν οὕτως ποιεῖν· ὥστ' εὐθὺς ἀξιῶσαι τὸ προκείμενον. ἐνδέχεται δὲ καὶ μεταβάντας ἐπ' ἄλλα ἅττα τῶν πεφυκότων δι' ἐκείνων δείκνυσθαι, διὰ τούτων ἀποδεικνύναι τὸ ἐξ ἀρχῆς. οἷον εἰ τὸ α δεικνύοιτο, διὰ τοῦ β. τὸ δὲ β διὰ τοῦ γ. τὸ δὲ γ πεφυκὸς εἴη δείκνυσθαι, διὰ τοῦ α. συμβαίνει δὴ αὐτὸ δι' ἑαυτοῦ τὸ α δεικνύναι τοὺς οὕτω συλλογιζομένους. ὅπερ ποιοῦσιν οἱ τὰς παραλλήλους οἰόμενοι γράφειν. λανθάνουσι γὰρ αὐτοὶ ἑαυτοὺς τοιαῦτα λαμβάνοντες. ἃ οὐχ οἷόν τε ἀποδεῖξαι μὴ οὐσῶν τῶν παραλλήλων. ὥστε τοῖς οὕτω συλλογιζομένοις συμβαίνει, ἕκαστον λέγειν εἶναι, εἰ ἔστιν ἕκαστον. οὕτω δ' ἅπαν ἔσται, δι' αὐτοῦ γνωστόν. ὅπερ ἀδύνατον. εἰ οὖν τις ἀδήλου ὄντος ὅτι τὸ β ὑπάρχει τῷ γ. ὁμοίως δὲ καὶ ὅτι τὸ α τῷ β αἰτοῖτο τῷ γ ὑπάρχειν τῷ α, οὔπω δῆλον εἰ τὸ ἐν ἀρχῇ αἰτεῖται. ἀλλ' ὅτι οὐκ ἀποδείκνυσι, δῆλον. οὐ γάρ ἐστιν ἀρχὴ ἀποδείξεως, τὸ ὁμοίως ἄδηλον, εἰ μὲν τοι τὸ β πρὸς τὸ γ, οὕτως ἔχει, ὥστε ταὐτὸν, εἶναι, ἢ δῆλον ὅτι ἀντιστρέφουσιν

τὸ α ὑπάρχει τῷ γ. ὁμοίως δὲ καὶ ὅτι τὸ β τῷ γ. αἰτοῖτο δὲ τὸ α ὑπάρχειν τῷ β

φουσιν. ἢ ὑπάρχει, θάτερον θατέρῳ, τὸ ἐν ἀρχῇ αἰτεῖται. καὶ γὰρ ἂν ὅτι τῷ β τὸ α ὑπάρχει, δι' ἐκείνων δεικνύοι, εἰ ἀντιστρέφει. νῦν δὲ τοῦτο κωλύει, ἀλλ' οὐχ ὁ τρόπος. εἰ δὲ τοῦτο ποιεῖ, τὸ εἰρημένον ἂν ποιοῖ. καὶ ἀντιστρέφει διὰ τριῶν. ὡσαύτως δὲ κἂν εἰ τὸ β τῷ γ λαμβάνοι ὑπάρχειν, ὁμοίως ἄδηλον ὄν. καὶ εἰ τὸ α τῷ γ, οὔπω τὸ ἐξ ἀρχῆς αἰτεῖται. ἀλλ' οὐκ ἀποδείκνυσιν. ἐὰν δὲ ταυτὸν ᾖ τὸ α καὶ τὸ β, ἢ τὸ ἀντιστρέφειν, ἢ τὸ ἕπεσθαι τὸ α τῷ β, τὸ ἐξ ἀρχῆς αἰτεῖται διὰ τὴν αὐτὴν αἰτίαν. τὸ γὰρ ἐξ ἀρχῆς τὴ δύναται, πρότερον εἴρηται ἡμῖν, ὅτι τὸ δι' ἑαυτοῦ δεικνύναι τὸ μὴ δι' ἑαυτοῦ δῆλον, εἰ οὖν ἐστι τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, τὸ δι' ἑαυτοῦ δεικνύναι τὸ μὴ δι' ἑαυτοῦ δῆλον. τοῦτο δέ ἐστι, τὸ μὴ δεικνύναι, ὅταν ὁμοίως ἀδήλων ὄντων τοῦ δεικνυμένου καὶ δι' οὗ δείκνυται, ἢ τὸ ταυτὰ τῷ αὐτῷ. ἢ τῷ, ταυτὸν τοῖς αὐτοῖς ὑπάρχειν, ἐν μὲν τῷ μέσῳ σχήματι καὶ τρίτῳ, ἀμφοτέρως ἂν ἐνδέχοιτο ὁμοίως, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἐν δὲ κατηγορικῷ, συλλογισμῷ ἔν τε τῷ γ καὶ τῷ α. ἀποφατικῶς δὲ, ὅταν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ καὶ οὐχ ὁμοίως ἀμφότεραι αἱ προτάσεις. ὡσαύτως δὲ καὶ ἐν τῷ μέσῳ, διὰ τὸ μὴ ἀντιστρέφειν τοὺς ὅρους, κατὰ τοὺς ἀποφατικοὺς συλλογισμούς. ἔστι δὲ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἐν μὲν ταῖς ἀποδείξεσι, τὰ κατ' ἀλήθειαν οὕτως ἔχοντα. ἐν δὲ τοῖς διαλεκτικοῖς, τὰ κατὰ δόξαν.

τί

τῷ

Περὶ τοῦ μὴ παρὰ τοῦτο.

Τὸ δὲ μὴ παρὰ τοῦτο συμβαίνειν τὸ ψεῦδος. ὃ πολλάκις ἐν τοῖς λόγοις εἰώθαμεν λέγειν. πρῶτον μέν ἐστιν ἐν τοῖς εἰς τὸ ἀδύνατον συλλογισμοῖς. ὅταν πρὸς ἀντίφασιν ᾖ τούτου. ὃ ἐδείκνυτο τῇ εἰς τὸ ἀδύνατον. οὔτε γὰρ μὴ ἀντιφήσας τὶς ἐρεῖ τὸ οὐ παρὰ τοῦτο. ἀλλ' ὅτι ψεῦδός τι ἐτέθη τῶν πρότερον, οὔτ' ἐν τῇ δεικνυούσῃ. οὐ γὰρ τίθησι τὴν ἀντίφασιν. ἔτι δὲ ὅταν ἀναιρεθῇ τι δεικτικῶς διὰ τῶν α β γ, οὐκ ἔστιν εἰπεῖν ὡς οὐ παρὰ τὸ κείμενον γεγένηται ὁ συλλογισμός. τὸ δὲ μὴ παρὰ

τοῦτο

Αναλυτικῶν προτέρων, β.

τοῦτο γίνεσθαι τότε λέγομεν, ὅταν ἀναιρεθέντος τούτου μηδὲν ἧττον πε-
ραίνηται ὁ συλλογισμός. ὅπερ οὐκ ἔστιν ἐν τοῖς δεικτικοῖς. ἀναιρεθεί-
σης γὰρ τῆς θέσεως, οὐδ' ὁ πρὸς ταύτην ἔσται συλλογισμός. φανε-
ρὸν οὖν ὅτι ἐν τοῖς εἰς τὸ ἀδύνατον λέγεται τὸ μὴ παρὰ τοῦτο. καὶ ὅ-
ταν οὕτως ἔχῃ πρὸς τὸ ἀδύνατον ἡ ἐξ ἀρχῆς ὑπόθεσις, ὥστε καὶ οὔ-
σης καὶ μὴ οὔσης ταύτης, οὐδὲν ἧττον συμβαίνειν τὸ ἀδύνατον. ὁ μὲν
οὖν φανερώτερος τρόπος ἐστὶ τοῦ μὴ παρὰ τὴν ὑπόθεσιν εἶναι τὸ ψεῦ-
δος, ὅταν ἀπὸ τῆς ὑποθέσεως ἀσύναπτος ᾖ ἀπὸ τῶν μέσων πρὸς τὸ ἀ-
δύνατον ὁ συλλογισμός. ὥσπερ εἴρηται καὶ ἐν τοῖς τοπικοῖς. τὸ γὰρ τὸ
ἀναίτιον ὡς αἴτιον τιθέναι, τοῦτό ἐστιν. οἷον εἰ βουλόμενος δεῖξαι ὅτι
ἀσύμμετρος ἡ διάμετρος, ἐπιχειροίη τὸν Ζήνωνος λόγον δεικνύναι, ὡς οὐκ
ἔστι κινεῖσθαι. καὶ εἰς τοῦτο ἀπάγοι τὸ ἀδύνατον. οὐδαμῶς γὰρ οὐδαμῇ
συνεχές ἐστι τὸ ψεῦδος τῇ φάσει τῇ ἐξ ἀρχῆς. ἄλλος δὲ τρόπος εἰ συνε-
χὲς μὲν εἴη τὸ ἀδύνατον τῇ ὑποθέσει. μὴ μέντοι δι' ἐκείνην συμβαί-
νοι. τοῦτο γὰρ ἐγχωρεῖ γενέσθαι, καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω λαμβά-
νοντι τὸ συνεχές. οἷον εἰ τὸ α τῷ β κεῖται ὑπάρχον. τὸ δὲ β τῷ γ. τὸ δὲ
γ τῷ δ. τοῦτο δὲ εἴη ψεῦδος, τὸ, τὸ β τῷ δ ὑπάρχειν. εἰ γὰρ ἀ-
φαιρεθέντος τοῦ α, μηδὲν ἧττον ὑπάρχει τὸ β τῷ γ, καὶ τὸ γ τῷ δ,
οὐκ ἂν εἴη τὸ ψεῦδος δὲ διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ἢ πάλιν εἴτις ἐπὶ
τὸ ἄνω λαμβάνοι τὸ συνεχές. οἷον, εἰ τὸ μὲν α τῷ β. τῷ δὲ α τὸ ε. καὶ
τῷ ε τὸ ζ, ψεῦδος δὲ εἴη τὸ ὑπάρχειν τῷ α τὸ ζ. καὶ ἢ οὕτως οὐδὲν ἂν
ἧττον εἴη τὸ ἀδύνατον, ἀναιρεθείσης τῆς ἐξ ἀρχῆς ὑποθέσεως. ἀλλὰ
δεῖ πρὸς τοὺς ἐξ ἀρχῆς ὅρους συνάπτειν τὸ ἀδύνατον. οὕτως γὰρ
ἔσται διὰ τὴν ὑπόθεσιν. οἷον ἐπὶ μὲν τὸ κάτω λαμβάνοντι τὸ συνε-
χὲς, πρὸς τὸν κατηγορούμενον τῶν ὅρων. εἰ γὰρ ἀδύνατον τὸ α τῷ δ
ὑπάρχειν, ἀφαιρεθέντος τοῦ α οὐκ ἔσται τὸ ψεῦδος. ἐπὶ δὲ τὸ ἄνω, καθ'
οὗ κατηγορεῖται. εἰ γὰρ τῷ β μὴ ἐγχωρεῖ τὸ ζ ὑπάρχειν, ἀφαιρεθέντος

τοπικοὺς σοφιστικοὺς intelligit ·/· ἐλέγχους

τὸν ὅρον

τοι β οὐκέτι ἔσται τὸ ἀδάνατον. ὁμοίως δὲ καὶ εἰ στερητικῶν τῶν συλλογισμῶν ὄντων. φανερὸν οὖν ὅτι τοι ἀδυνάτου μὴ πρὸς τοὺς ἐξ ἀρχῆς

Obiectio ὅρους ὄντος, οὐ παρὰ τὴν θέσιν συμβαίνει τὸ ψεῦδος, ἢ οὐδ' οὕτως ἀεὶ διὰ τὴν ὑπόθεσιν ἔσται τὸ ψεῦδος. καὶ γὰρ εἰ μὴ τῷ β, ἀλλὰ τῷ κ ἐτέθη τὸ α ὑπάρχειν. τὸ δὲ κ τῷ γ, καὶ τοιτο τῷ δ, καὶ οὕτως μένει τὸ ἀδάνατον. ὁμοίως δὲ καὶ ἐπὶ τὸ ἄνω λαμβάνοντι τοὺς ὅρους. ὥστ' ἐπεὶ καὶ ὄντος καὶ μὴ ὄντος τούτου συμβαίνει τὸ ἀδάνατον, οὐκ ἂν εἴη

Solutio παρὰ τὴν θέσιν, ἢ τὸ μὴ ὄντος τούτου, μηθὲν ἧττον γίνεσθαι τὸ ψεῦδος, οὐχ οὕτως ληπτέον, ὥστ' ἄλλου τιθεμένου, συμβαίνειν τὸ ἀδάνατον, ἀλλ' ὅταν ἀφαιρεθέντος τούτου διὰ τῶν λοιπῶν προτάσεων τὸ αὐτὸ περαίνηται ἀδάνατον. ἐπεὶ τὸ αὐτό γε ψεῦδος συμβαίνειν διὰ πλειόνων ὑποθέσεων, οὐδὲν ἴσως ἄτοπον. οἷον τὸ τὰς παραλλήλους συμπίπτειν. καὶ εἰ μείζων ἐστὶν ἡ ἐντὸς τῆς ἐκτὸς, καὶ εἰ τὸ τρίγωνον ἔχει πλείους ὀρθὰς δυοῖν.

Περὶ λόγου ψευδοῦς.

Ο δὲ ψευδὴς λόγος, γίνεται παρὰ τὸ πρῶτον ψεῦδος. ἢ γὰρ ἐκ τῶν δύο προτάσεων, ἢ ἐκ πλειόνων πᾶς ἐστι συλλογισμός. εἰ μὲν οὖν ἐκ τῶν δύο τούτων, ἀνάγκη τὴν ἑτέραν, ἢ καὶ ἀμφοτέρας εἶναι ψευδεῖς. ἐξ ἀληθῶν ἢ, οὐκ ἦν ψευδὴς συλλογισμός. εἰ δ' ἐκ πλειόνων, οἷον τὸ γ διὰ τῶν α β. ταῦτα δὲ, διὰ τῶν δ ε ζ η, τούτων, τί ἐστι τῶν ἐπάνω ψεῦδος. καὶ παρὰ τοιτο ὁ λόγος. τὸ γὰρ α καὶ τὸ β, δι' ἐκείνων περαίνεται. ὥστε παρ' ἐκείνων τί συμβαίνει τὸ συμπέρασμα καὶ τὸ ψεῦδος.

Περὶ τοι μὴ κατασυλλογίζεσθαι.

Πρὸς δὲ τὸ μὴ κατασυλλογίζεσθαι παρατηρητέον. ὅταν ἄνευ τῶν συμπερασμάτων ἐρωτᾷ τὸν λόγον. ὅπως μὴ δοθῇ δὶς τὸ αὐτὸ ἐν ταῖς προτάσεσιν. ἐπειδὴ παρ' ἴσμεν ὅτι ἄνευ μέσου συλλογισμὸς οὐ γίνεται. μέσον δέ ἐστιν, τὸ πλεονάκις λεγόμενον. πῶς δὲ δεῖ

πρὸς

πρὸς ἕκαστον συμπέρασμα τηρεῖν τὸ μέσον, φανερὸν ἐκ τοῦ εἰδέναι ποῖον ἑκάστῳ χρήματι δείκνυται· τοῦτο δ' ἡμᾶς οὐ λήσεται. διὰ τὸ εἰδέναι πῶς ὑποκείμενον τὸν λόγον. χρὴ δ' ὅπερ φυλάττεσθαι παραγγέλλομεν ἀποκρινομένους, αὐτοὺς ἐπιχειροῦντας πειρᾶσθαι λανθάνειν τοῦτο δὲ ἔσται πρῶτον μέν, ἐὰν τὰ συμπέρασμα μὴ προσυλλογίζωνται. ἀλλ' εἰλημμένων τῶν ἀναγκαίων ἄδηλα εἴησαν. ἔτι δὲ ἐὰν μὴ τὰ σαφέστερα ἐρωτᾷ ἀλλ' ὅτι μάλιστα τὰ μέσα. οἷον ἔστω πλέον συμπεραίνεσθαι τὸ κατὰ τοῦ ζ. μέσα δὲ τὰ β γ δ ε. δεῖ οὖν ἐρωτᾶν. εἰ τὸ α τῷ β. καὶ πάλιν μή, εἰ τὸ ϛ, τῷ γ. ἀλλ' εἰ τὸ δ τῷ ε. καὶ ἔπειτα εἰ τὸ ϛ τῷ γ. καὶ οὕτως τὰ λοιπά. κἂν δ' ἐνὸς μέσου γίνηται ὁ συλλογισμός, ἀπὸ τοῦ μέσου ἄρξεσθαι. μάλιστα γὰρ ἂν οὕτως λανθάνοι τὸν ἀποκρινόμενον.

συμπερασματα

οὐ δεῖ. vel δεῖ οὖν μὴ ἐρωτᾶν

Περὶ ἐλέγχου.

Ἐπεὶ δὲ ἔχομεν πότε καὶ πῶς ἐχόντων τῶν ὅρων γίνεται ὁ συλλογισμός, φανερὸν καὶ πότε ἔσται, καὶ πότε οὐκ ἔσται ἔλεγχος. πάντων μὲν γὰρ συγχωρουμένων, ἢ ἐναλλὰξ τιθεμένων τῶν ἀποκρίσεων. οἷον, τῆς μὲν, ἀποφατικῆς. τῆς δὲ, κατηγορικῆς, ἐγχωρεῖ, γίνεσθαι ἔλεγχον. ἦν γὰρ συλλογισμὸς καὶ οὕτως καὶ ἐκείνως ἐχόντων τῶν ὅρων. ὥστε εἰ τὸ κείμενον εἴη ἐναντίον τῷ συμπεράσματι, ἀνάγκη γίνεσθαι ἔλεγχον. ὁ γὰρ ἔλεγχος ἀντιφάσεως συλλογισμός. εἰ δὲ μὴ δὲν συγχωροῖτο ἀληθῶς γίνεσθαι ἔλεγχον. οὐ γὰρ ἦν συλλογισμὸς, ἀπάντων τῶν ὅρων ἐρωτικῶν ὄντων. ὥστε οὐδ' ἔλεγχος. εἰ μὲν γὰρ ἔλεγχος, ἀνάγκη συλλογισμὸν εἶναι. συλλογισμοῦ δ' ὄντος, οὐκ ἀνάγκη ἔλεγχον. ὡσαύτως δὲ καὶ εἰ μηδὲν τεθείη κατὰ τὴν ἀπόκρισιν ἐν ὅλῳ. ἦ γὰρ αὐτὸς ἔσται διορισμὸς ἐλέγχου καὶ συλλογισμοῦ.

Περὶ τῆς κατὰ τὴν ὑπόληψιν ἀπάτης.

Συμβαίνει δ' ἐνίοτε καθάπερ ἐν τῇ θέσει τῶν ὅρων ἀπατᾶσθαι, καὶ κατὰ τὴν ὑπόληψιν γίνεσθαι τὴν ἀπάτην. οἷον εἰ ὑπολήψεται τὸ

αὐτὸ πλείοσι πρώτως ὑπάρχειν. καὶ τὸ μὲν λεληθέναι τινὰ καὶ οἴε-
σθαι μηδενὶ ὑπάρχειν. τὸ δὲ εἰδέναι. ἔστω δὲ τὸ α τῷ β καὶ τῷ γ, καθ'
αὑτὸ ὑπάρχον, καὶ ταῦτα παντὶ τῷ δ ὡσαύτως, εἰ δὴ τῷ μὲν β, τὸ
α παντὶ οἴεται ὑπάρχειν, καὶ τοῦτο τῷ δ. τῷ δὲ γ τὸ α μηδενὶ, καὶ
τοῦτο τῷ δ παντὶ, τοῦ αὐτοῦ κατὰ ταυτὸν, ἕξει ἐπιστήμην καὶ ἄγνοιαν.
πάλιν εἴτις ἀπατηθείη περὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας. οἷον εἰ τὸ α
ὑπάρχῃ τῷ β, τοῦτο δὲ τῷ γ, καὶ τὸ γ τῷ δ. ὑπολαμβάνει δὲ τὸ α παντὶ τῷ
β ὑπάρχειν, καὶ πάλιν μηδενὶ τῷ γ. ἅμα γὰρ εἴσεται καὶ οὐχ ὑπο-
λήψεται ὑπάρχειν. ἆρ' οὖν οὐδὲν ἄλλο ἀξιοῖ ἐκ τούτων, ἢ ὃ ἐπίσταται
τοῦτο μὴ ὑπολαμβάνειν. ἐπίσταται γάρ πως ὅτι τὸ α τῷ γ ὑπάρχον,
διὰ τοῦ β, ὡς ἐν τῇ καθόλου τὸ κατὰ μέρος. ὥστε ὅ πως ἐπίσταται,
τοῦτο ὅλως ἀξιοῖ ὑπολαμβάνειν ὅπερ ἀδύνατον. ἐπὶ δὲ τοῦ προτέρου
λεχθέντος εἰ μὴ ἐκ τῆς αὐτῆς συστοιχίας τὸ μέσον, καθ' ἑκάτερον μὲν
τῶν μέσων ἀμφοτέρας τὰς προτάσεις οὐκ ἐγχωρεῖ ὑπολαμβάνειν, οἷ-
ον εἰ τὸ α τῷ μὲν β παντὶ, τῷ δὲ γ μηδενὶ, ταῦτα δὲ ἀμφότερα παν-
τὶ τῷ δ. συμβαίνει γὰρ ἢ ἁπλῶς ἢ ἐπίτι λαμβάνεσθαι ἐναντίαν
τὴν πρώτην πρότασιν. εἰ γὰρ ᾧ τὸ β ὑπάρχει παντὶ, τὸ α ὑπολαμ-
τῷ δ. βάνει ὑπάρχειν. τὸ δὲ β τῷ δ οἶδε, καὶ ὅτι τὸ δ τὸ α οἶδεν. ὥστ' εἰ πά-
λιν, ᾧ τὸ γ μηδενὶ οἴεται τὸ α ὑπάρχειν. ᾧ τὸ β τινὶ ὑπάρχει, τούτῳ
οὐκ οἴεται τὸ α ὑπάρχειν. τὸ δὲ παντὶ οἰόμενον ᾧ τὸ β πάλιν τινὶ μὴ
οἴεσθαι ᾧ τὸ β ἢ ἁπλῶς, ἢ ἐπίτι ἐναντίον ἐστίν. οὕτως μὲν οὖν οὐκ ἐν-
ἑκάτερον δέχεται ὑπολαβεῖν. καθ' ἕτερον δὲ, τὴν μίαν, ἢ κατὰ τὸ ἕτερον ἀμ-
φοτέρας οὐδὲν κωλύει. οἷον τὸ α παντὶ τῷ β. καὶ τὸ β τῷ δ. καὶ πάλιν
τὸ α μηδενὶ τῷ γ. ὁμοία ἢ ἡ τοιαύτη ἀπάτη, καὶ ὡς ἀπατώμεθα πε-
ρὶ τὰ ἐν μέρει. οἷον, εἰ τῷ β παντὶ τὸ α ὑπάρχει. τὸ δὲ β τῷ γ παντὶ, τὸ
α παντὶ τῷ γ ὑπάρξει. εἰ οὖν τις οἶδεν ὅτι τὸ α ᾧ τὸ β ὑπάρχει παν-
τὶ, οἶδε καὶ ὅτι τῷ γ. ἀλλ' οὐδὲν κωλύει ἀγνοεῖν τὸ γ ὅτι ἐστίν.

οἷον

οἷον εἰ τὸ μὲν α δύο ἀρθαί. τὸ δ' ἐφ' ᾧ β τρίγωνον. τὸ δ' ἐφ' ᾧ γ αἰσθητὸν τρίγωνον. ὑπολάβοι γὰρ ἄντις μὴ εἶναι τὸ γ. εἰδὼς ὅτι πᾶν τρίγωνον ἔχει δύο ὀρθάς. ὥσθ' ἅμα εἴσεται καὶ ἀγνοήσει ταυτόν. τὸ γὰρ εἰδέναι ὅτι πᾶν τρίγωνον ἔχει δύο ὀρθὰς, οὐχ ἁπλοῦν ἐστι, ἀλλὰ τὸ μὲν τὴν καθόλου ἔχειν ἐπιστήμην. τὸ δὲ, τὴν καθέκαστον. οὕτω μὲν οὖν ὡς τῇ καθόλου, οἶδε τὸ γ ὅτι δύο ὀρθαί. ὡς δὲ τῇ καθέκαστον, οὐκ οἶδεν. ὥστ' οὐχ ἕξει τὰς ἐναντίας. ὁμοίως δὲ καὶ ὁ ἐν τῷ μένωνι λόγος. ὅτι ἡ μάθησις, ἀνάμνησις. οὐδαμοῦ γὰρ συμβαίνει προεπίστασθαι τὸ καθέκαστον. ἀλλ' ἅμα τῇ ἐπαγωγῇ λαμβάνειν, τὴν τῶν κατὰ μέρος ἐπιστήμην, ὥσπερ ἀναγνωρίζοντας. ἔνια γὰρ ἰδόντες, εὐθὺς ἴσμεν, ὅτι δύο ὀρθαῖς, ἐὰν εἰδῶμεν ὅτι τρίγωνον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τῇ μὲν οὖν καθόλου θεωροῦμεν τὰ ἐν μέρει. τῇ δὲ οἰκείᾳ, οὐκ ἴσμεν. ὥστ' ἐνδέχεται καὶ ἀπατᾶσθαι περὶ αὐτὰ, πλὴν οὐκ ἐναντίως. ἀλλ' ἔχειν μὲν τὴν καθόλου, ἀπατᾶσθαι δὲ, τῇ κατὰ μέρος. ὁμοίως οὖν καὶ ἐπὶ τῶν προειρημένων. οὐ γὰρ ἐναντία ἡ κατὰ τὸν μέσον ἀπάτη, τῇ κατὰ τὸν συλλογισμὸν ἐπιστήμῃ. οὐδ' ἡ καθ' ἑκάτερον τῶν μέσων ὑπόληψις. οὐδὲν δὲ κωλύει εἰδότα, καὶ ὅτι τὸ α ὅλῳ τῷ β ὑπάρχει. καὶ πάλιν τοῦτο τῷ γ, οἰηθῆναι μὴ ὑπάρχειν τὸ α τῷ γ. οἷον ὅτι πᾶσα ἡμίονος ἄτοκος. καὶ αὕτη ἡμίονος, οἴεσθαι κύειν ταύτην. οὐ γὰρ ἐπίσταται ὅτι τὸ α τῷ γ, μὴ συνθεωρῶν τὸ καθ' ἑκάτερον. ὥστε δῆλον ὅτι καὶ εἰ τὸ μὲν, οἶδε. τὸ δὲ, μὴ οἶδεν, ἀπατηθήσεται. ὅπερ ἔχουσιν αἱ καθόλου πρὸς τὰς κατὰ μέρος ἐπιστήμας. οὐδὲν γὰρ τῶν αἰσθητῶν ἔξω τῆς αἰσθήσεως γινόμενον ἴσμεν. οὐδ' ἂν ἠσθημένοι τυγχάνωμεν, εἰ μὴ ὡς τὸ καθόλου, καὶ τὸ ἔχειν τὴν οἰκείαν ἐπιστήμην, ἀλλ' οὐχ ὡς τῷ ἐνεργεῖν. τὸ γὰρ ἐπίπασθαι λέγεται τριχῶς. ἢ ὡς τῇ καθόλου, ἢ ὡς τῇ οἰκείᾳ, ἢ ὡς τῷ ἐνεργεῖν. ὥστε καὶ τὸ ἠπατῆσθαι, τοσαυταχῶς. οὐδὲν οὖν κωλύει καὶ τὸ εἰδέναι, καὶ

ἐπίστασθαι

ἠπατῆσθαι

ἁπατῆσθαι περὶ τὸ αὐτό. πολλὴν οὖν ἐναντίωσιν. ὅπερ συμβαίνει καὶ τῷ κακῶ ἑκατέραν εἰδότι τὴν πρότασιν. καὶ μὴ ἐπεσκεμμένῳ πρότερον. ὑπολαμβάνων γὰρ κύειν τὴν ἡμίονον, οὐκ ἔχει τὴν κατὰ τὸ ἐνεργεῖν ἐπιστήμην. οὐ δι' αὖ διὰ τὴν ὑπόληψιν. ἐναντίαν ἀσάτιλω τῇ ἐπιστήμῃ. συλλογισμὸς γὰρ ἡ ἐναντία ἀσάτη, τῇ καθόλου. ὁ δ' ὑπολαμβάνων τὸ, ἀγαθῷ εἶναι κακῷ εἶναι, τὸ αὐτὸ ὑπολήψεται ἀγαθῷ εἶναι καὶ κακῷ. ἔστω γὰρ τὸ μὴ ἀγαθῷ εἶναι, ἐφ' οὗ τὸ α. τὸ δὲ κακῷ εἶναι, ἐφ' οὗ τὸ β. πάλιν δὲ τὸ, ἀγαθῷ εἶναι, ἐφ' οὗ τὸ γ. ἐπεὶ οὖν ταυτὸν ὑπολαμβάνει τὸ β καὶ τὸ γ, καὶ εἶναι τὸ γ τὸ β ὑπολήψεται. καὶ πάλιν τὸ ε τὸ α εἶναι ὡσαύτως. ὥστε καὶ τὸ γ τὸ α. ὥσπερ γὰρ εἰ ἦν ἀληθὲς, κακῷ οὗ τὸ γ τὸ β. καὶ κακῷ οὗ τὸ β τὸ α. καὶ κατὰ τοῦ γ τὸ α ἀληθὲς ἦν, οὕτως καὶ ἐπὶ τοῦ ὑπολαμβάνειν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ εἶναι. τοῦ αὐτοῦ γὰρ ὄντος τοῦ γ καὶ τοῦ β. καὶ πάλιν τοῦ ε καὶ τοῦ α, καὶ τὸ γ τῷ α ταυτὸν ἦν.

ἀναγκαῖον

ὥστε καὶ ἐπὶ τοῦ ἀποξάζειν ὁμοίως ἂν οὕτω τοῦτο μὲν, ἀναγκαῖον εἶτις ἀνώσει τὸ πρῶτον. ἀλλ' ἴσως ἐκεῖνο ψεῦδος τὸ ὑπολαμβάνειν τινὰ κακῷ εἶναι καὶ ἀγαθῷ εἶναι, εἰ μὴ κατὰ συμβεβηκός. πολλαχῶς γὰρ ἐγχωρεῖ τοῦτο ὑπολαμβάνειν. ἐπισκεπτέον δὲ τοῦ ε βέλτιον.

Περὶ τῶν ἐν πρώτῳ σχήματι ἀντιστροφῶν.

Οταν δὲ ἀντιστρέφηται τὰ ἄκρα, ἀνάγκη καὶ τὸ μέσον ἀντιστρέφειν πρὸς ἄμφω. εἰ γὰρ τὸ α κατὰ τοῦ γ διὰ τοῦ ε ὑπάρχει, εἰ ἀντιστρέφει, καὶ ὑπάρχει ᾧ τὸ α ταυτὸ τὸ γ, καὶ τὸ ε, τῷ α, ἀντιστρέφει. καὶ ὑπάρχει ᾧ τὸ α ταυτὸ, τὸ ε διὰ μέσου τοῦ γ. καὶ τὸ γ τῷ ε ἀντιστρέφει, διὰ μέσου τοῦ α. καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ὡσαύτως. οἷον εἰ τὸ ε τῷ γ ὑπάρχει τῷ δὲ β τὸ α μὴ ὑπάρχει, οὐ δὲ τὸ α τῷ γ οὐχ ὑπάρξει. εἰ δὴ τὸ ε τῷ α ἀντιστρέφει, καὶ τὸ γ τῷ α ἀντιστρέψει. ἔστω γὰρ τὸ β μὴ ὑπάρχον τῷ α. οὐ δ' ἄρα τὸ γ. ταυτὸ γὰρ τῷ γ τὸ ε ὑπῆρχε. καὶ εἰ τῷ β τὸ γ

τὸ γ ἀντικεῖσθαι, καὶ τῷ α τὸ γ ἀντικεῖσθαι. καθ' οὗ γὰρ ἂν παντὸς τὸ β, καὶ τὸ γ. καὶ εἰ τὸ γ πρὸς τὸ α ἀντικεῖσθαι, καὶ τὸ ε ἀντικεῖσθαι. ᾧ γὰρ τὸ ε, καὶ τὸ γ. ᾧ δὲ τὸ ς, τὸ α οὐχ ὑπάρχει, καὶ μόνον τοῦτο ἀπὸ τοῦ συμπεράσματος ἄρχεται. τὰ δ' ἄλλα οὐχ ὁμοίως. ὡς καὶ ἐπὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ. πάλιν εἰ τὸ α καὶ τὸ β ἀντικεῖσθαι, καὶ τὸ γ καὶ τὸ δ ὡσαύτως. ἅπαντι δὲ ἀνάγκη τὸ α ἢ τὸ γ ὑπάρχειν. καὶ τὸ ε καὶ τὸ δ οὕτως ἔξει, ὥστε παντὶ θάτερον ὑπάρχειν. ἐπεὶ γὰρ ᾧ τὸ α, τὸ ε καὶ ᾧ τὸ γ, τὸ δ. παντὶ δὲ τὸ α ἢ τὸ γ καὶ οὐχ ἅμα, φανερὸν ὅτι καὶ τὸ ε ἢ τὸ δ παντὶ ᾧ οὐχ ἅμα. ὅσα οὖν ἐστὶ τὸ ἀγένητον ἄφθαρτον, καὶ τὸ ἄφθαρτον ἀγένητον, ἀνάγκη τὸ γενόμενον, φθαρτόν, καὶ τὸ φθαρτὸν γενόμενον. δύο γὰρ συλλογισμοὶ σύγκεινται. πάλιν εἰ παντὶ μὲν τὸ α, ἢ τὸ ε. καὶ τὸ γ, ἢ τὸ δ. ἅμα δὲ μὴ ὑπάρχει, εἰ ἀντικεῖσθαι τὸ α, καὶ τὸ γ καὶ τὸ β καὶ τὸ δ ἀντικεῖσθαι. ἐὰν γάρ τινι μὴ ὑπάρχει τὸ ε, ᾧ τὸ δ. δῆλον ὅτι τὸ α ὑπάρχει. εἰ δὲ τὸ α καὶ τὸ γ, ἀντικεῖσθαι γάρ. ὥστε ἅμα τὸ γ καὶ τὸ δ. τοῦτο δ' ἀδύνατον. ὅταν δὲ τὸ α ὅλῳ τῷ ε καὶ τῷ γ ὑπάρχει, καὶ μηδενὸς ἄλλου κατηγορῆται, ὑπάρχῃ δὲ καὶ τὸ ε παντὶ τῷ γ, ἀνάγκη τὸ α καὶ τὸ ε ἀντικεῖσθαι. ἐπεὶ δὲ κατὰ μόνων τὸ ε γ λέγεται τὸ α. κατηγορεῖται δὲ τὸ ε καὶ αὐτὸ ἑαυτοῦ καὶ τοῦ γ, φανερὸν ὅτι καθ' ὧν τὸ α, καὶ τὸ ε λεχθήσεται πάντων, πλὴν αὐτοῦ τοῦ α. πάλιν ὅτε τὸ α καὶ τὸ β ὅλῳ τῷ γ ὑπάρχει, ἀντικεῖσθαι δὲ τὸ γ τῷ β, ἀνάγκη τὸ α παντὶ τῷ β ὑπάρχειν. ἐπεὶ γὰρ παντὶ τῷ γ τὸ α. τὸ δὲ γ τῷ β δι' ἀμφοῖν, καὶ τὸ α παντὶ τῷ β ὑπάρξει. ὅταν δὲ δυοῖν ὄντοιν, οἷον τὸ α, τοῦ ε αἱρετώτερον ᾖ, ὄντων ἀντικειμένων, καὶ τὸ δ τοῦ γ ὡσαύτως. εἰ αἱρετώτερα τὰ α γ τοῦ ε δ, τὸ α τοῦ δ, αἱρετώτερον. ὁμοίως δὲ φευκτὸν τὸ α, καὶ φευκτὸν τὸ β. ἀντικείμενα γὰρ. καὶ τὸ γ τῷ δ. καὶ γὰρ καὶ ταῦτα ἀντίκειται. εἰ δύο τὰ α τῷ δ ὁμοίως αἱρετὸν, καὶ τὸ β τῷ γ φευκτόν. ἑκάτερον γὰρ ἑκατέρῳ ὁμοίως

φευκτὸν

φευκτὸν διωκτῷ. ὥστε καὶ τὰ ἄμφω τὰ α γ τοῖς β δ. ἐπεὶ δὴ μᾶλλον, οὐχ ὅιόν τε ὁμοίως. καὶ γὰρ ἂν τὰ β δ ὁμοίως ἴσα. εἰ δὲ τὸ δ τοῦ α αἱρετώτερον, καὶ τὸ β τοῦ γ ἧττον φευκτόν. τὸ γὰρ ἔλαττον, τῷ ἐλάττονι ἀντίκειται. αἱρετώτερον δὲ τὸ μεῖζον ἀγαθὸν, καὶ ἔλαττον κακὸν, ἤπερ τὸ ἔλαττον ἀγαθὸν καὶ μεῖζον κακόν. καὶ τὸ ἅπαν ἄρα τὸ β δ αἱρετώτερον τοῦ α γ. νῦν δὲ οὐκ ἔστι. τὸ α ἄρα αἱρετώτερον τοῦ δ. καὶ τὸ γ ἄρα τοῦ β ἧττον φευκτόν. εἰ δὴ ἔλοιτο πᾶς ὁ ἐρῶν κατὰ τὸν ἔρωτα τὸ α, τὸ οὕτως ἔχειν, ὥστε χαρίζεσθαι. καὶ τὸ μὴ χαρίζεσθαι τὸ ἐφ' οὗ γ. ἢ τὸ χαρίζεσθαι ἐφ' οὗ δ. καὶ τὸ μὴ τοιοῦτον εἶναι. ὅιον χαρίζεσθαι τὸ ἐφ' οὗ β, δῆλον ὅτι τὸ α τὸ τοιοῦτον εἶναι αἱρετώτερόν ἐστι ἤπερ τὸ χαρίζεσθαι. τὸ ἄρα φιλεῖσθαι τῆς συνουσίας αἱρετώτερον κατὰ τὸν ἔρωτα. μᾶλλον ἄρα ὁ ἔρως ἐπὶ τῆς φιλίας. ἤπερ τοῦ συνεῖναι. εἰ δὲ μάλιστα τούτου, καὶ τὸ τέλος τούτου. τὸ ἄρα συνεῖναι, ἢ οὐκ ἔστι ὅλως, ἢ τοῦ φιλεῖσθαι ἕνεκα. καὶ γὰρ αἱ ἄλλαι ἐπιθυμίαι καὶ τέχναι, οὕτως γίνονται. πῶς μὲν οὖν ἔχουσιν οἱ ὅροι κατὰ τὰς ἀντιστροφάς. καὶ τὸ αἱρετώτεροι ἢ φευκτότεροι εἶναι φανερόν. ὅτι δὲ οὐ μόνον οἱ διαλεκτικοὶ καὶ ἀποδεικτικοὶ συλλογισμοὶ διὰ τῶν προειρημένων γίνονται σχημάτων, ἀλλὰ καὶ οἱ ῥητορικοί. καὶ ἁπλῶς, ἡτισοῦν πίστις καὶ ἡ καθ' ὁποιανοῦν μέθοδον νῦν ἂν εἴη λεκτέον. ἅπαντα γὰρ πιστεύομεν, ἢ διὰ συλλογισμοῦ ἢ ἐξ ἐπαγωγῆς.

Περὶ ἐπαγωγῆς.

Επαγωγὴ μὲν οὖν ἐστι, καὶ ὁ ἐξ ἐπαγωγῆς συλλογισμὸς, τὸ διὰ τοῦ ἑτέρου θάτερον ἄκρον τῷ μέσῳ συλλογίσασθαι. ὅιον εἰ τῶν α γ μέσον τὸ β διὰ τοῦ γ δεῖξαι, τὸ α τῷ β ὑπάρχει. οὕτω γὰρ ποιούμεθα τὰς ἐπαγωγάς. ὅιον ἔστω τὸ α μακρόβιον. τὸ δ' ἐφ' ᾧ β, τὸ, χολὴν μὴ ἔχον. ἐφ' ᾧ δὲ γ, τὸ καθέκαστον μακρόβιον. ὅιον ἄνθρωπος καὶ ἵππος καὶ ἡμίονος. τῷ δὴ β ὅλῳ ὑπάρχει τὸ α, πᾶν γὰρ τὸ ἄχολον, μακρόβιον, ἀλλὰ καὶ τὸ β τὸ μὴ ἔχον χολήν. παντὶ ὑπάρχει τῷ γ. εἰ οὖν ἀντιστρέφει τὸ γ τῷ β,

καὶ μὴ

καὶ μὴ ὑπερτείνει τὸ μέσον, ἀνάγκη τὸ α τῷ ϛ ὑπάρχειν. δεδείκται γὰρ πρότερον, ὅτι ἐὰν δύο ἄκρα τῷ αὐτῷ ὑπάρχῃ, καὶ πρὸς θάτερον αὐτῶν ἀντιστρέφῃ τὸ ἄκρον, ὅτι τῷ ἀντιστρέφοντι καὶ θάτερον ὑπάρξει τῶν κατηγορουμένων. δεῖ δὲ νοεῖν τὸ γ τὸ ἐξ ἁπάντων τῶν κατὰ μέρος συγκείμενον. εἰ γὰρ ἐπαγωγὴ διὰ πάντων. ἔστι δὲ ὁ τοιοῦτος συλλογισμὸς, τῆς πρώτης καὶ ἀμέσου προτάσεως. ὧν μὲν γάρ ἐστι μέσον, διὰ τοῦ μέσου ὁ συλλογισμός· ὧν δὲ μή ἐστι, διὰ ἐπαγωγῆς. καὶ τρόπον τινὰ ἀντίκειται ἡ ἐπαγωγὴ τῷ συλλογισμῷ. ὁ μὲν γὰρ διὰ τοῦ μέσου τὸ ἄκρον τῷ τρίτῳ δείκνυσιν. ἡ δὲ διὰ τοῦ ἄκρου τὸ τρίτον τῷ μέσῳ. φύσει μὲν οὖν πρότερος καὶ γνωριμώτερος ὁ διὰ τοῦ μέσου συλλογισμός. ἡμῖν δὲ ἐναργέστερος, ὁ διὰ τῆς ἐπαγωγῆς. τοῦ τρίτου τὸ ἄκρον

Περὶ παραδείγματος.

Παράδειγμα δέ ἐστιν, ὅταν τῷ μέσῳ τὸ ἄκρον ὑπάρχον δειχθῇ, διὰ τοῦ ὁμοίου τῷ τρίτῳ. δεῖ δὲ καὶ τὸ μέσον τῷ τρίτῳ καὶ τὸ πρῶτον τῷ ὁμοίῳ γνωριμώτερον εἶναι ὑπάρχον. δοκεῖ ἔσω τὸ α κακόν. τὸ δὲ β πρὸς ὁμόρους ἀναιρεῖσθαι πόλεμον. ἐφ᾽ ᾧ δὲ γ, τὸ Ἀθηναίους πρὸς Θηβαίους. τὸ δ᾽ ἐφ᾽ ᾧ δ, Θηβαίους πρὸς Φωκεῖς. ἐὰν οὖν βουλώμεθα δεῖξαι ὅτι τὸ, Θηβαίοις πολεμεῖν κακόν ἐστι, λητέον ὅτι τὸ πρὸς τοὺς ὁμόρους πολεμεῖν, κακόν. τούτου δὲ πίστις, ἐκ τῶν ὁμοίων. οἷον ὅτι Θηβαίοις ὁ πρὸς Φωκεῖς. ἐπεὶ οὖν τὸ πρὸς τοὺς ὁμόρους, κακόν. τὸ δὲ πρὸς Θηβαίους, πρὸς τοὺς ὁμόρους ἐστί, φανερὸν ὅτι τὸ πρὸς Θηβαίους πολεμεῖν κακόν. ὅτι μὲν οὖν τὸ β τῷ γ, καὶ τῷ δ ὑπάρχει, φανερόν. ἄμφω γὰρ ἐστὶ πρὸς τοὺς ὁμόρους ἀναιρεῖσθαι πόλεμον. καὶ ὅτι τὸ α τῷ δ. Θηβαίοις γὰρ οὐ συμφέρον ὁ πρὸς Φωκεῖς πόλεμος. ὅτι δὲ τὸ α τῷ ϛ ὑπάρχει, διὰ τοῦ δ δειχθήσεται, τὸν αὐτὸν δὲ τρόπον κἂν εἰ διὰ πλειόνων τῶν ὁμοίων ἡ πίστις γένοιτο τοῦ μέσου πρὸς τὸ ἄκρον. φανερὸν οὖν ὅτι τὸ παράδειγμά ἐστιν οὔτε ὡς ὅλον πρὸς

μέρος, οὔτε ὡς μέρος πρὸς ὅλον. ἀλλ' ὡς μέρος πρὸς μέρος. ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ, γνώριμον δὲ θάτερον. καὶ διαφέρει τῆς ἐπαγωγῆς, ὅτι ἡ μὲν ἐξ ἁπάντων τῶν ἀτόμων τὸ ἄκρον ἐδείκνυον ὑπάρχειν τῷ μέσῳ, καὶ πρὸς τὸ ἄκρον οὐ συνῆπτε, τὸν συλλογισμὸν, τὸ δὲ καὶ συνύπτει, καὶ οὐκ ἐξ ἁπάντων δείκνυσι.

Περὶ ἀπαγωγῆς.

Απαγωγὴ δέ ἐστιν, ὅταν τῷ μὲν μέσῳ τὸ πρῶτον δῆλον ᾖ ὑπάρχον. τῷ δὲ ἐσχάτῳ τὸ μέσον, ἄδηλον μὲν, ὁμοίως δὲ πιστὸν ἢ μᾶλλον τοῦ συμπεράσματος. ἔτι ἐὰν ὀλίγα ᾖ τὰ μέσα τοῦ ἐσχάτου καὶ τοῦ μέσου, πάντως δὲ ἐγγύτερον εἶναι συμβαίνει τῆς ἐπιστήμης. οἷον ἔστω τὸ α τὸ διδακτόν. ἐφ' οὗ β ἐπιστήμη. τὸ δὲ γ, δικαιοσύνη. ἡ μὲν οὖν ἐπιστήμη, ὅτι διδακτὸν, φανερόν. ἡ δὲ δικαιοσύνη εἰ ἐπιστήμη, ἄδηλον. εἰ οὖν ὁμοίως, ἢ μᾶλλον πιστὸν τὸ β γ τοῦ α γ, ἀπαγωγή ἐστιν. ἐγγύτερον ἢ τοῦ ἐπίστασθαι διὰ τοῦ προσειληφέναι, τὴν α γ, ἐπιστήμην πρότερον οὐκ ἔχοντας. πάλιν ἐὰν ὀλίγα τὰ μέσα τῶν β γ. καὶ δὲ οὕτως ἐγγύτερον τοῦ εἰδέναι. οἷον, εἰ τὸ δεῖν τετραγωνίζεσθαι. τὸ δ' ἐφ' ᾧ ε, εὐθύγραμμον. τὸ δὲ ἐφ' ᾧ ζ κύκλος, εἰ τοῦ ε ζ ἓν μόνον εἴη μέσον τὸ μετὰ μηνίσκων ἴσον γίνεσθαι εὐθυγράμμῳ τὸν κύκλον, ἐγγὺς ἂν εἴη τοῦ εἰδέναι. ὅταν δὲ μήτε πιστότερον ᾖ τὸ β γ τοῦ α γ, μήτε ὀλίγα τὰ μέσα, οὐ λέγω ἀπαγωγήν. οὐδ' ὅταν ἄμεσον ᾖ τὸ β γ. ἐπιστήμη γὰρ τὸ τοιοῦτον.

Περὶ ἐνστάσεως.

Ενστασις δέ ἐστι, πρότασις προτάσει ἐναντία. διαφέρει δὲ τῆς προτάσεως, ὅτι τὴν μὲν ἔνστασιν ἐνδέχεται εἶναι καὶ ἐπὶ μέρους. τὴν δὲ πρότασιν ἢ ὅλως οὐκ ἐνδέχεται, ἢ οὐκ ἐν τοῖς καθόλου συλλογισμοῖς. φέρεται δὲ ἡ ἔνστασις διχῶς τε καὶ διὰ δύο σχημάτων, διχῶς μὲν, ὅτι ἢ καθόλου ἢ ἐν μέρει πᾶσα ἔνστασις. διὰ δύο δὲ σχημάτων, ὅτι ἀντικείμεναι φέρονται τῇ προτάσει. τὰ δὲ ἀντικείμενα, ἐν τῷ α

καὶ ἐν

καὶ ἐν τῷ γ σχήματι περαίνονται μόνοις. ὅταν γὰρ ἀξιώσῃ παντὶ ὑπάρχειν, ἐνίσάμεθα, ἢ ὅτι οὐδενὶ, ἢ ὅτι τινὶ οὐχ ὑπάρχει. τούτων δὲ τὸ μὲν μηδενὶ, ἐκ τοῦ πρώτου σχήματος. τὸ δὲ τινὶ μὴ, ἐκ τοῦ ἑκάτου. οἷον ἔστω τὸ α μίαν εἶναι ἐπιστήμην, ἐφ' ᾧ τὸ β ἐναντία. προτείνουσι δὴ μίαν εἶναι τῶν ἐναντίων ἐπιστήμην, ἢ ὅτι ὅλως οὐχ ἡ αὐτὴ τῶν ἀντικειμένων ἐνίστασται. τὰ δὲ ἐναντία ἀντικείμενα, ὥστε γίνεσθαι τὸ ἀρχὴ μα, ἢ ὅτι τοῦ γνωστοῦ καὶ ἀγνώστου οὐ μία. τοῦτο δὲ τὸ γ. κατὰ μὲν τὸ γ, τοῦ γνωστοῦ καὶ ἀγνώστου, τὸ μὲν ἐναντία εἶναι ἀληθὲς, τὸ δὲ μίαν αὐτῶν ἐπιστήμην εἶναι, ψεῦδος. πάλιν ἐπὶ τῆς ἑρωτικῆς προτάσεως ὡσαύτως. ἀξιοῦσι γὰρ τὸ μὴ εἶναι μίαν τῶν ἐναντίων, ἢ ὅτι πάντων τῶν ἀντικειμένων, ἢ ὅτι τινῶν τῶν ἐναντίων ἡ αὐτὴ λέγομεν. οἷον ὑγιεινῶν καὶ νοσωδῶν. τὸ μὲν οὖν πάντων ἐκ τοῦ α. τὸ δὲ τινῶν, ἐκ τοῦ τρίτου σχήματος. ἁπλῶς γὰρ ἐν πᾶσι καθόλου μὲν ἐνισταμένῳ ἀνάγκη πρὸς τὸ καθόλου τῶν προτεινομένων τῷ ἀντιφάσιν εἰπεῖν. οἷον εἰ μὴ τῷ αὐτῷ ἀξιοῖ τῶν ἐναντίων πάντων εἰ πόντα τῶν ἀντικειμένων μίαν. οὕτω δὴ ἀνάγκη τὸ ἁ εἶναι σχῆμα. μέσον δὲ γίνεται τὸ καθόλου πρὸς τὸ ἐξ ἀρχῆς. ἐν μέρει δὲ, πρὸς ὃ ἔστι καθόλου καὶ οὗ λέγεται ἡ πρότασις. οἷον γνωστοῦ καὶ ἀγνώστου μὴ τῷ αὐτήν. τὰ δὲ ἐναντία καθόλου πρὸς ταῦτα καὶ γίνεται τὸ γ σχῆμα μέσον γὰρ τὸ ἐν μέρει λαμβανόμενον. οἷον τὸ γνωστὸν καὶ ἄγνωστον. ἐξ ὧν γὰρ ἔστι συλλογίσασθαι τοὐναντίον, ἐκ τούτων καὶ τὰς ἐνστάσεις ἐπιχειροῦμεν λέγειν. διὸ καὶ ἐκ μόνων τῶν σχημάτων τούτων φέρομεν. ἐν μόνοις γὰρ τούτοις οἱ ἀντικείμενοι συλλογισμοί. διὰ τί τοῦ μέσου οὐκ ἦν καταφατικῶς. ἔτι δὲ κἂν λόγου δέοιτο τελείους, εἰ διὰ τοῦ μέσου σχήματος. οἷον εἰ μὴ δύο τῷ β ὑπάρχειν, διὰ τὸ μὴ ἀκολουθεῖν αὐτῷ τὸ γ. τοῦτο δὲ δι' ἄλλων προτάσεων δῆλον. οὐ δεῖ δὲ εἰς ἄλλα ἐκτρέπεσθαι τῷ ἔνστασιν, ἀλλ' εὐθὺς φανερὰν ἔχειν τῷ ἑτέραν πρότασιν. διὸ καὶ τὸ ση

μεῖον ἐκ μόνου τούτου τοῦ σχήματος οὐκ ἔστιν. ἐπισκεπτέον δὲ καὶ περὶ τῶν ἄλλων ἐνστάσεων, οἷον περὶ τῶν ἐκ τοῦ ἐναντίου. καὶ τοῦ ὁμοίου καὶ τοῦ κατὰ δόξαν, καὶ εἰ τὴν ἐν μέρει ἐκ τοῦ ά. ἢ τὴν στερητικὴν ἐκ τοῦ μέσου δυνατὸν λαβεῖν.

Περὶ εἰκότος καὶ σημείου.

Εἰκὸς δὲ καὶ σημεῖον οὐ ταυτόν ἐστιν. ἀλλὰ τὸ μὲν εἰκός ἐστι πρότασις ἔνδοξος. ὃ γὰρ ὡς ἐπιτοπολύ ἴσασιν οὕτως γινόμενον, ἢ μὴ γινόμενον, ἢ ὄν, ἢ μὴ ὄν, τοῦτό ἐστιν εἰκός. οἷον τὸ μισεῖν τοὺς φθονοῦντας, ἢ τὸ φιλεῖν τοὺς ἐρωμένους. Σημεῖον δὲ βούλεται εἶναι πρότασις ἀποδεικτικὴ, ἢ ἀναγκαία, ἢ ἔνδοξος. οὗ τὸ ὄντος ἐστίν. οὗ γονομένου πρότερον ἢ ὕστερον γέγονε, τὸ πρᾶγμα. τοῦτο σημεῖόν ἐστι τοῦ γεγονέναι ἢ εἶναι.

Περὶ ἐνθυμήματος.

Ενθύμημα μὲν οὖν ἐστι συλλογισμὸς ἀτελής, ἐξ εἰκότων ἢ σημείων. λαμβάνεται δὲ τὸ σημεῖον, τριχῶς. ὁσαχῶς καὶ τὸ μέσον ἐν τοῖς σχήμασιν, ἢ γὰρ ὡς ἐν τῷ πρώτῳ, ἢ ὡς ἐν τῷ μέσῳ, ἢ ὡς ἐν τῷ τρίτῳ. οἷον τὸ μὲν δεῖξαι κύουσαν διὰ τοῦ γάλα ἔχειν ἐκ τοῦ πρώτου σχήματος. μέσον γὰρ, τὸ γάλα ἔχειν. ἐφ' ᾧ τὸ α, τὸ κύειν. τὸ β, τὸ γάλα ἔχειν. γυνὴ δὲ, ἐφ' ᾧ τὸ γ. τὸ δ' ὅτι οἱ σοφοὶ, σπουδαῖοι. Πιττακὸς γὰρ σπουδαῖος. διὰ τοῦ ἐσχάτου. ἐφ' ᾧ τὸ α σπουδαῖον. ἐφ' ᾧ τὸ β, οἱ σοφοί. ἐφ' ᾧ τὸ γ, Πιττακός. ἀληθὲς δὴ καὶ τὸ α, καὶ τὸ β τοῦ γ κατηγορῆσαι. πλὴν τὸ μὲν, οὐ λέγουσι διὰ τὸ εἰδέναι. τὸ δὲ, λαμβάνουσι. τὸ δὲ κύειν, ὅτι ὠχρὰ διὰ τοῦ μέσου σχήματος βούλεται εἶναι. ἐπεὶ γὰρ ἕπεται ταῖς κυούσαις τὸ ὠχρόν. ἀκολουθεῖ δὲ καὶ ταύτῃ, δεδεῖχθαι οἴονται κύειν. ὠχρὸν, ἐφ' οὗ τὸ α. ἐφ' οὗ τὸ β κύειν. γυνὴ, ἐφ' οὗ τὸ γ. ἐὰν μὲν οὖν ἡ μία λεχθῇ πρότασις, σημεῖον γίνεται μόνον. ἐὰν δὲ καὶ ἡ ἑτέρα προσληφθῇ, συλλογισμός. οἷον ὅτι ὁ Πιττακὸς ἐλευθέριος. οἱ γὰρ φιλότιμοι ἐλευθέριοι, Πιττακὸς δὲ φιλότιμος. ἢ πάλιν ὅτι

οἱ σο

Αναλυτικῶν προτέρων, β.

οἱ σοφοὶ ἀγαθοί. Γιττακὸς γὰρ ἀγαθὸς, ἀλλὰ καὶ σοφός. οὕτως μὲν οὖν γίνονται οἱ συλλογισμοί. πλὴν ὁ μὲν διὰ τοῦ πρώτου σχήματος, ἄλυτος ἂν ἀληθὴς ᾖ. καθόλου γάρ ἐστιν. ὁ δὲ διὰ τοῦ ἐσχάτου, λύσιμος. κἂν ἀληθὲς ᾖ τὸ συμπέρασμα, διὰ τὸ μὴ εἶναι καθόλου. μὴ δὲ πρὸς τὸ πρᾶγμα τὸν συλλογισμόν· οὐ γὰρ εἰ Γιττακὸς σπουδαῖος, ἀνάγκη διὰ τοῦτο καὶ τοὺς ἄλλους σοφούς. ὁ δὲ διὰ τοῦ μέσου σχήματος, ἀεὶ καὶ πάντως λύσιμος. οὐδέποτε γὰρ γίνεται συλλογισμὸς, οὕτως ἐχόντων τῶν ὅρων. οὐ γὰρ εἰ ἡ κύουσα ὠχρὰ, ὠχρὰ δὲ καὶ ἥδε. κύειν ἀνάγκη ταύτην. ἀληθὲς μὲν οὖν ἐν ἅπασιν ὑπάρξει τοῖς σημείοις. διαφορὰς δὲ ἔχουσι τὰς εἰρημένας, ἢ δὴ οὕτως διαιρετέον τὸ σημεῖον; τούτων δὲ τὸ μέσον τεκμήριον ληπτέον. τὸ γὰρ τεκμήριον τὸ εἰδέναι ποιοῦν φάσιν εἶναι. τοιοῦτον δὲ μάλιστα τὸ μέσον, ἢ τὰ μὲν ἐκ τῶν ἄκρων, σημεῖον λεκτέον· τὰ δὲ ἐκ τοῦ μέσου, τεκμήριον. ἐνδοξότατον γὰρ καὶ μάλιστα ἀληθὲς, τὸ διὰ τοῦ πρώτου σχήματος. σημεῖα

Περὶ τοῦ φυσιογνωμονεῖν.

Τὸ δὲ φυσιογνωμονεῖν δυνατόν ἐστιν εἴτις δίδωσιν ἅμα μεταβάλλειν τὸ σῶμα καὶ τὴν ψυχὴν, ὅσα ἐστι φυσικὰ παθήματα. μαθὼν γὰρ ἴσως μουσικὴν, μεταβέβληκέ τι τὴν ψυχήν. ἀλλ' οὐ τῶν φύσει ἡμῖν ἐστι τοῦτο τὸ πάθος. ἀλλ' ὅιον ὀργαὶ καὶ ἐπιθυμίαι τῶν φύσει κινήσεων. εἰ δὴ τοῦτό τε δοθείη, καὶ ἓν ἑνὸς σημεῖον εἶναι. καὶ λαμβάνειν δυνάμεθα τὸ ἴδιον ἑκάστου γένους, πάθος, καὶ σημεῖον, δυνησόμεθα φυσιογνωμονεῖν· εἰ γάρ ἐστιν ἰδία τινὶ γένει, ὑπάρχον ἀτόμῳ πάθος· ὅιον τοῖς λέουσιν ἀνδρία. ἀνάγκη καὶ σημεῖον εἶναί τι. συμπάσχειν γὰρ ἀλλήλοις ὑπόκειται. καὶ ἔστω τοῦτο, τὸ μεγάλα ἀκρωτήρια ἔχειν. ὃ καὶ καὶ ἄλλοις ὑπάρχειν γένεσι μὴ ὅλοις, ἐνδέχεται. τὸ δὲ σημεῖον, οὕτως ἴδιόν ἐστιν, ὅτι ὅλου γένους ἴδιόν ἐστι τὸ πάθος. καὶ οὐ μόνου ἴδιον, ὥσπερ εἰώθαμεν λέγειν. ὑπάρξει δὴ καὶ

ἐν ἄλ

ἐν ἄλλῳ γένει ταὐτὸ. καὶ ἔστω ἀνδρεῖος ὁ ἄνθρωπος. καὶ ἄλλο τι ζῷον. ἔξει ἄρα τὸ σημεῖον. ἓν γὰρ ἑνὸς ἦν. εἰ τοίνυν ταὐτά ἐστι. καὶ συνισόμεθα τοιαῦτα σημεῖα συλλέξαι ἐπὶ τούτων τῶν ζώων, ἃ μόνον ἐν πάθος ἔχει καὶ ἴδιον. ἕκαστον δὲ ἓν ἔχει σημεῖον. ἐπεὶ περ ἓν ἔχειν ἀνάγκη, λαμβανόμενα φυσιογνωμονεῖν. εἰ δὲ πλείω ἔχει ἴδια ὅλον τὸ γένος. οἷον ὁ λέων ἀνδρεῖον καὶ μεταδοτικόν, πῶς γνωσόμεθα πότερον ποτέρου σημεῖον τῶν ἰδίων ἀκολουθούντων σημείων. ἢ εἴ τε ἄλλῳ τινὶ μὴ ὅλῳ, ἄμφω καὶ ἐν οἷς μὴ ὅλοις ἑκάτερον, ὃ ταὐτὸ μὲν ἔχη. τὸ δὲ, μή. εἰ γὰρ ἀνδρεῖος μὲν, ἐλευθέριος δὲ μή. ἔχει δὲ τῶν πλείω τοιαῦτα, πλεῖον ὅτι καὶ ἐπὶ τοῦ λέοντος τοῦτο σημεῖον τῆς ἀνδρείας. ἔστι δὲ τὸ φυσιογνωμονεῖν τῶν ἐν τῷ πρώτῳ σχήματι τὸ μέσον. τῷ μὲν πρώτῳ ἄκρῳ ἀντιζεύξειν. τῷ δὲ τρίτου ὑπερτείνειν καὶ μὴ ἀντιζεύξειν. οἷον, ἀνδρεία τὸ α. τὰ ἀκρωτήρια μεγάλα, ἐφ' οὗ β. ἐπὶ δὲ γ λέων. ᾧ μὲν τὸ γ τῷ β ταὐτὸ, καὶ ἄλλοις. ᾧ δὲ τὸ β, τὸ α ταὐτὸ, καὶ οὐ πολείοσιν, ἀλλ' ἀντιζεύξει. ἐπὶ δὲ μή, οὐκ ἔστιν ἓν ἑνὸς σημεῖον.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Ψ 100

ΑΡΙΣΤΟΤΕ-

ΛΟΥΣ ΑΝΑΛΥΤΙΚΩΝ ΥΣΤΕΡΩΝ ΗΤΟΙ ΤΗΣ ΑΠΟΔΕΙΚΤΙ-ΚΗΣ ΒΙΒΛΙΟΝ.

ΠΑΣΑ διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. φανερὸν δὴ τοῦτο θεωροῦσιν ἐπὶ πασῶν. Αἵ τε μὴν μαθηματικαὶ τῶν ἐπιστημῶν, διὰ τούτου τοῦ τρόπου περαίνονται. καὶ τῶν ἄλλων ἑκάστη τεχνῶν. ὁμοίως δὴ καὶ περὶ τοὺς λόγους οἵ τε διὰ συλλογισμῶν καὶ οἱ διὰ ἐπαγωγῆς. ἀμφότεροι δὲ διὰ προγινωσκομένων ποιοῦνται τὴν διδασκαλίαν. οἱ μὲν λαμβάνοντες ὡς παρὰ ξυνιέντων. οἱ δὲ δεικνύντες τὸ καθόλου διὰ τοῦ δῆλον εἶναι τὸ καθ' ἑκαστον. Ὡσαύτως καὶ οἱ ῥητορικοὶ συμπείθουσιν. ἢ γὰρ διὰ παραδείγματος ὅ ἐστιν ἐπαγωγή. ἢ διὰ ἐνθυμημάτων ὅπερ ἐστὶ συλλογισμός. Διχῶς δ' ἀναγκαῖον προγινώσκειν. Τὰ μὲν γὰρ ὅτι ἐστὶ πρυπολαμβάνειν ἀναγκαῖον. τὰ δὲ τί τὸ λεγόμενόν ἐστι, ξυνιέναι δεῖ. τὰ δ' ἄμφω. οἷον ὅτι μὲν ἅπασα ἢ φῆσαι ἢ ἀποφῆσαι ἀληθὲς, ὅτι ἐστί. τὸ δὲ τρίγωνον, ὅτι τοδὶ σημαίνει. τῷ δὲ μονάδι ἄμφω καὶ τί σημαίνει καὶ ὅτι ἐστίν. οὐ γὰρ ὁμοίως τούτων ἕκαστον δῆλον ἡμῖν. Ἐστι δὲ γνωρίζειν τὰ μὲν πρότερον γνωρίζοντα τὴν ἄμεσα λαμβάνοντα τὴν γνῶσιν. οἷον ὅσα τυγχάνει ὄντα ὑπὸ τὸ καθόλου, ὧν ἔχει τὴν γνῶσιν. ὅτι μὲν γὰρ τὰ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἴσας, προῄδει. ὅτι δὲ τόδε τὸ ἐν τῷ ἡμικυκλίῳ τρίγωνον ἐστίν, ἅμα ἐπαγόμενος ἐγνώρισεν. Ἐνίων δὲ τοῦτον τὸν τρόπον ἡ μάθησίς ἐστι, καὶ οὐ διὰ τοῦ μέσου τὸ ἔσχατον γνωρίζεται, ὅσα εἴδη τῶν καθ' ἕκαστα τυγχάνει ὄντα. ἢ μὴ καθ' ὑποκειμένου τινός. ἔστι δὲ ἐπαχθῆναι ἢ λαβεῖν συλλογισμόν, ὅπου μάλιστα ἴσως φανερόν

I

τέον ἐπίστασθαι. τρόπον δ' ἄλλον, οὔ. ὃ γὰρ μὴ ᾔδει εἰ ἐστὶν ἁπλῶς, τοῦτο πῶς εἰδείη. ὅτι δύο ὀρθὰς ἔχει ἁπλῶς. ἀλλὰ δῆλον ὡς ὡδὶ μὲν ἐπίσταται. ὅτι καθόλου ἐπίσταται. ἁπλῶς δὲ οὐκ ἐπίσταται. Εἰ δὲ μὴ, τὸ ἐν τῷ μένωνι ἀπόρημα συμβήσεται. ἢ γὰρ οὐδὲν μαθήσεται, ἢ ἃ οἶδεν. οὐ δὲ δὴ ὡς γέτινες ἐγχειροῦσι λύειν, λεκτέον. Αρα οἶδας ἅπασαν δυάδα ὅτι ἀρτίαν, ἢ οὔ. φήσαντος δὲ, προσήνεγκε τινὰ δυάδα ἣν οὐκ ᾤετο εἶναι ὥστ' οὐ δ' ἀρτίαν. λύουσι γὰρ, οὐ φάσκοντες πᾶσαν εἰδέναι δυάδα ἀρτίαν οὖσαν, ἀλλ' ἣν ἴσασιν ὅτι δυάς. καίτοι ἴσασι μὲν οὗπερ τὴν ἀπόδειξιν ἔχουσι καὶ οὗ ἔλαβον. ἔλαβον δ' οὐχὶ παντὸς οὗ ἂν εἰδῶσιν ὅτι τρίγωνον ἢ ὅτι ἀριθμὸς ἀλλ' ἁπλῶς κατὰ παντὸς ἀριθμοῦ καὶ τριγώνου. οὐδεμία γὰρ πρότασις λαμβάνεται τοιαύτη, ὅτι ὃν σὺ οἶδας ἀριθμόν. ἢ ὃ σὺ οἶδας εὐθύγραμμον, ἀλλὰ κατὰ παντός. ἀλλ' οὐδὲν οἶμαι κωλύει, ὃ μανθάνειτις, ἔστιν ὡς ἐπίστασθαι. ἔστι δ' ὡς ἀγνοεῖν.

γὰρ οὐκ, εἰ ὃ οἶδέ πως

Ατοπον γὰρ εἰ ὃ οὐκ οἶδέ πως μανθάνει, ἀλλ' εἰ ὡδὶ, οἷον ἢ μανθάνει καὶ
2 ὡς. Επίστασθαι δὲ οἰόμεθα ἕκαστον ἁπλῶς, ἀλλὰ μὴ τὸν σοφιστικὸν τρόπον τὸν κατὰ συμβεβηκὸς ὅταν τήν τ' αἰτίαν οἰώμεθα γινώσκειν δι' ἣν τὸ πρᾶγμά ἐστιν ὅτι ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεσθαι τοῦτ' ἄλλως ἔχειν. δῆλον τοίνυν ὅτι τοιοῦτόν τι τὸ ἐπίστασθαί ἐστι. Καὶ γὰρ καὶ οἱ μὴ ἐπιστάμενοι, καὶ οἱ ἐπιστάμενοι. οἱ μὲν οἴονται αὐτὸ οὕτως ἔχειν. οἱ δὲ ἐπιστάμενοι, καὶ ἔχουσιν. ὥστε οὗ ἁπλῶς ἐστιν ἐπιστήμη, τοῦτ' ἀδύνατον ἄλλως ἔχειν. Εἰ μὲν οὖν καὶ ἕτερός ἐστι τοῦ ἐπίστασθαι τρόπος, ὕστερον ἐροῦμεν. Φαμὲν δὲ καὶ δι' ἀποδείξεως εἰδέναι. ἀπόδειξιν δὲ λέγω, συλλογισμὸν ἐπιστημονικόν. ἐπιστημονικὸν δὲ λέγω, καθ' ὃν τῷ ἔχειν αὐτὸν ἐπιστάμεθα. εἰ τοίνυν ἔστι τὸ ἐπίστασθαι οἷον ἔθεμεν, ἀνάγκη καὶ τὴν ἀποδεικτικὴν ἐπιστήμην, ἐξ ἀληθῶν τ' εἶναι καὶ πρώτων καὶ ἀμέσων, καὶ γνωριμωτέρων, καὶ προτέρων, καὶ αἰτίων τοῦ συμπεράσματος. Οὕτως γὰρ ἔσονται καὶ αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου. συλλογισμὸς μὲν γὰρ ἔσται καὶ

ἄνευ

ἄνευ τούτων, ἀπόδειξις δὲ οὐκ ἔσται. οὐ γὰρ ποιήσει ἐπιστήμην. Αληθῆ μὲν οὖν δεῖ εἶναι ὅτι οὐκ ἔστι τὸ μὴ ὂν ἐπίστασθαι. ὅιον ὅτι ἡ διάμετρος, σύμμετρος. ἐκ πρώτων δ' ἀναποδείκτων, ὅτι οὐκ ἐπίσταται μὴ ἔχον ἀπόδειξιν αὐτῶν. τὸ γὰρ ἐπίστασθαι ὧν ἀπόδειξίς ἐστι μὴ κατὰ συμβεβηκός, τὸ ἔχειν ἀπόδειξίν ἐστιν. αἴτιά τε καὶ γνωριμώτερα δεῖ εἶναι καὶ πρότερα. αἴτια μὲν, ὅτι τότε ἐπιστάμεθα, ὅταν τὴν αἰτίαν εἰδῶμεν. Καὶ πρότερα εἴπερ αἴτια καὶ προγινωσκόμενα, οὐ μόνον τὸν ἕτερον τρόπον τῷ ξυνιέναι. ἀλλὰ καὶ τῷ εἰδέναι ὅ,τι ἐστί. Πρότερα δ' ἐστὶ καὶ γνωριμώτερα, διχῶς. οὐ γὰρ ταυτὸν πρότερον τῇ φύσει, καὶ πρὸς ἡμᾶς πρότερον. οὐ δὲ γνωριμώτερον, καὶ ἡμῖν γνωριμώτερον. λέγω δὲ πρὸς ἡμᾶς μὲν πρότερα καὶ γνωριμώτερα τὰ ἐγγύτερον τῆς αἰσθήσεως. ἁπλῶς δὲ πρότερα καὶ γνωριμώτερα, τὰ πορρώτερον. ἔστι δὲ πορρωτάτω μὲν, τὰ καθόλου μάλιστα. ἐγγυτάτω δὲ, τὰ καθέκαστα καὶ ἀντίκειται ταῦτ' ἀλλήλοις. Εκ πρώτων δ' ἔστι τὸ ἐξ ἀρχῶν οἰκείων. ταυτὸ δὲ λέγω πρῶτον καὶ ἀρχήν. Αρχὴ δ' ἔστιν ἀποδείξεως, πρότασις ἄμεσος. ἄμεσος δὲ, ἧς μή ἐστιν ἄλλη προτέρα. Πρότασις δ' ἐστὶν, ἀποφάνσεως τὸ ἕτερον μόριον ἓν καθ' ἑνός. Διαλεκτικὴ μὲν, ἡ ὁμοίως λαμβάνουσα ὁποτερονοῦν. ἀποδεικτικὴ δὲ, ἡ ὡρισμένως θάτερον ὅτι ἀληθές. Αποφάνσις δὲ, ἀντιφάσεως ὁποτερονοῦν μόριον. Αντίφασις δὲ, ἀντίθεσις. ἧς οὐκ ἔστι μεταξὺ καθ' αὑτήν. μόριον δ' ἀντιφάσεως, τὸ μὲν τὶ κατά τινος ἐστὶ, κατάφασις. τὸ δέ τι ἀπότινος ἀπόφασις. Αμέσου δ' ἀρχῆς συλλογιστικῆς θέσιν μὲν λέγω, ἣν μή ἐστι δεῖξαι, μὴ δ' ἀνάγκη ἔχειν τὸν μαθησόμενόντι. ἣν δ' ἀνάγκη ἔχειν τὸν ὁτιοῦν μαθησόμενον, ἀξίωμα. ἔστι δὲ ἔνια τοιαῦτα. τοῦτο γὰρ μάλιστ' ἐπὶ τοῖς τοιούτοις εἰώθαμεν λέγειν ὄνομα. θέσεως δ' ἡ μὲν ὁποτερονοῦν τῶν μορίων τῆς ἀποφάνσεως λαμβάνουσα, ὅιον λέγω τὸ εἶναι τὶ ἢ μὴ εἶναι τὶ, ὑπόθεσις. ἡ δ' ἄνευ τούτου, ὁρισμός. Ο γὰρ ὁρισμὸς, θέσις μέν ἐστι. τίθεται μὲν γὰρ ὁ ἀριθμητικὸς μο-

νάδικον ἀδιαίρετον εἶναι κατὰ ποσόν. ὑποθέσις δ' οὐκ ἔστι. τὸ γὰρ τί ἐστι μονὰς, καὶ τὸ εἶναι μονάδι, οὐ ταυτόν. ἔστω δὲ δεῖ πιστεύειν τὸ μὴ εἰδέναι τὸ πρᾶγμα, τῷ τοιοῦτον ἔχειν συλλογισμὸν ὃν μὴ λύων ἀποδείξειν. ἔστι δ' οὗτος τῷ τάδ' εἶναι ἐξ ὧν ὁ συλλογισμὸς, ἀνάγκη μὴ μόνον προϋπάρχειν τὰ πρῶτα, ἢ πάντα, ἢ ἔνια, ἀλλὰ καὶ μᾶλλον. ἀεὶ γὰρ δι' ὃ ὑπάρχει ἕκαστον, ἐκεῖνο μᾶλλον ὑπάρχει. οἷον δι' ὃ φιλοῦμεν, ἐκεῖνο μᾶλλον φίλον. ὥστ' εἰ περ ἴσμεν διὰ τὰ πρῶτα καὶ πιστεύομεν, ἐκεῖνα ἴσμεν τε καὶ πιστεύομεν μᾶλλον. ὅτι δι' ἐκεῖνα καὶ τὰ ὕστερον. οὐχ οἷόντε δὲ πιστεύειν μᾶλλον ἢ οἶδεν, ἃ μὴ τυγχάνει μήτε εἰδὼς, μήτε βέλτιον διακείμενος, ἢ εἰ ἐτύγχανεν εἰδώς. συμβήσεται δὲ τοῦτο, εἰ μή τις προγνώσεται τῶν δι' ἀποδείξεων πιστευόντων. μᾶλλον γ' ἀνάγκη πιστεύειν ταῖς ἀρχαῖς ἢ πᾶσαις ἢ τισὶ τῶν συμπερασμάτων.

Τὸν δὲ μέλλοντα ἕξειν τὴν ἐπιστήμην τὴν δι' ἀποδείξεως, οὐ μόνον δεῖ τὰς ἀρχὰς μᾶλλον γνωρίζειν, καὶ μᾶλλον αὐταῖς πιστεύειν ἢ τῷ δεικνυμένῳ, ἀλλὰ μηδ' ἄλλο αὐτῷ πιστότερον εἶναι, μηδὲ γνωριμώτερον τῶν ἀντικειμένων ταῖς ἀρχαῖς ἐξ ὧν ἔσται συλλογισμὸς ὁ τῆς ἐναντίας ἀπάτης. εἴπερ δεῖ τὸν ἐπιστάμενον ἁπλῶς ἀμετάπειστον εἶναι. ἐνίοις μὲν οὖν διὰ τὸ δεῖν τὰ πρῶτα πιστεύεσθαι, οὐ δοκεῖ ἐπιστήμη εἶναι. τοῖς δ' εἶναι μὲν, πάντων μέντοι ἀποδείξεις εἶναι. ὧν οὐδέτερον, οὔτ' ἀληθὲς, οὔτ' ἀναγκαῖον. οἱ μὲν γὰρ ὑποθέμενοι μὴ εἶναι ὅλως ἐπίστασθαι, οὗτοι εἰς ἄπειρον ἀξιοῦσιν ἀνάγεσθαι. ὡς οὐκ ἂν ἐπισταμένους τὰ ὕστερα διὰ τὰ πρότερα, ὧν μὴ ἔστι πρῶτα. ὀρθῶς λέγοντες. ἀδιάβατον γὰρ τὰ ἄπειρα διελθεῖν. εἰ δὲ ἵστανται καί εἰσιν ἀρχαὶ ταύτας ἀγνώστους εἶναι ἀποδείξεως γε μὴ οὔσης αὐτῶν. ὅπερ φασὶν εἶναι τὸ ἐπίστασθαι μόνον. εἰ δὲ μή ἐστι τὰ πρῶτα εἰδέναι, οὐδὲ τὰ ἐκ τούτων εἶναι ἐπίστασθαι οὐδὲ ἁπλῶς οὐδὲ κυρίως. ἀλλ' ἐξ ὑποθέσεως, εἰ ἐκεῖνά ἐστιν. οἱ δὲ, περὶ μὲν τοῦ ἐπίστασθαι ὁμολογοῦσι

λογοῦσι. δι' ἀποδείξεως γὰρ εἶναι μόνον. ἀλλὰ πάντων εἶναι ἀπό=
δειξιν, οὐδὲν κωλύει. ἐνδέχεσθαι γὰρ κύκλῳ γίνεσθαι τὴν ἀπόδει
ξιν. καὶ ἐξ ἀλλήλων. ἡμεῖς δὲ φαμὲν, οὔτε πᾶσαν ἐπιστήμην ἀποδεικτι
κὴν εἶναι, ἀλλὰ τὴν τῶν ἀμέσων, ἀναπόδεικτον. καὶ τοῦθ' ὅτι ἀναγκαῖ
ον, φανερόν. εἰ γὰρ ἀνάγκη μὲν ἐπίστασθαι τὰ πρότερα καὶ ἐξ ὧν ἡ ἀ=
πόδειξις, ἵσταται δέποτε τὰ ἄμεσα, ταῦθ' ἀναπόδεικτα ἀνάγκη εἶναι.
Ταῦτ' οὖν οὕτως λέγομεν. καὶ οὐ μόνον ἐπιστήμην, ἀλλὰ καὶ ἀρχὴν ἐ
πιστήμης εἶναί τινα φαμὲν, ᾗ τοὺς ὅρους γνωρίζομεν. κύκλῳ δ' ὅτι ἀ=
δύνατον ἀποδείκνυσθαι ἁπλῶς, δῆλον. εἴπερ ἐκ προτέρων δεῖ τὴν
ἀπόδειξιν εἶναι καὶ γνωριμωτέρων. ἀδύνατον γὰρ ἐστι τὰ αὐτὰ τῶν
αὐτῶν ἅμα πρότερα καὶ ὕστερα εἶναι. εἰ μὴ τὸν ἕτερον τρόπον. οἷον τὰ
μὲν πρὸς ἡμᾶς. τὰ δ' ἁπλῶς. ὅνπερ τρόπον ἡ ἐπαγωγὴ ποιεῖ γνώριμον.
εἰ δ' οὕτως, οὐκ ἂν εἴη τὸ ἁπλῶς εἰδέναι καλῶς ὡρισμένον, ἀλλὰ δι τ
τὸν, ἢ οὐχ ἁπλῶς ἡ ἑτέρα ἀπόδειξις, ἡ γενομένη ἐκ τῶν ἡμῖν γνωρι=
μωτέρων. συμβαίνει δὲ τοῖς λέγουσι κύκλῳ τὴν ἀπόδειξιν εἶναι. οὐ μό
νον τὸ νῦν εἰρημένον, ἀλλ' οὐδὲν ἄλλο λέγειν, ἢ ὅτι τοῦτ' ἐστὶν, εἰ τοῦτ' ἐ=
στίν. οὕτως δὲ πάντα ῥᾴδιον δεῖξαι. δῆλον δ' ὅτι τοῦτο συμβαίνει, τριῶν
ὅρων τεθέντων. τὸ μὲν δὲ διὰ πολλῶν ἢ δι' ὀλίγων ἀκανάμπτειν φᾶ
ναι, οὐδὲν διαφέρει. δι' ὀλίγων δ' ἢ δυοῖν. ὅταν δὲ τοῦ α ὄντος, ἐξ ἀ=
νάγκης ἢ τὸ β, τούτου δὲ, τὸ γ, τοῦ α ὄντος, ἔσται τὸ γ. Εἰ δὴ τοῦ α ὄντος, ἀνάγ
κη τὸ β εἶναι. τούτου δ' ὄντος, τὸ α. τοῦτο δὲ ἦν τὸ κύκλῳ, κείσθω τὸ α ἐφ' οὗ
τὸ γ. τὸ οὖν τοῦ β ὄντος, τὸ α εἶναι λέγειν, ἐστὶ τὸ γ λέγειν. τοῦτο δ' ὅτι τοῦ
α ὄντος, τὸ γ ἐστὶ, τὸ δὲ γ τῷ α τὸ αὐτὸ, ὥστε συμβαίνει τοὺς κύκλῳ φάσκον
τας εἶναι τὴν ἀπόδειξιν, οὐδὲν ἕτερον, πλὴν ὅτι τοῦ α ὄντος τὸ α ἐστίν.
οὕτω δὲ πάντα δεῖξαι ῥᾴδιον. οὐ μὴν ἀλλ' οὐδὲ τοῦτο δυνατὸν,
πλὴν ἐπὶ τούτων ὅσα ἀλλήλοις ἕπεται ὥσπερ τὰ ἴδια. ἑνὸς μὲν
οὖν κειμένου, δέδεικται ὅτι οὐδέποτ' ἀνάγκη τὶ εἶναι ἕτερον.

 Λέγω

Λέγω δ' ἔνιος, ὅτι οὔτε ὅρου ἑνὸς, οὔτε θέσεως μιᾶς τε θείσης. Ἐκ δυὸ δὲ θέσεων πρώτων καὶ ἐλαχίστων, ἐνδέχεται εἰ πορ καὶ συλλογίσασθαι. Ἐὰν μὲν οὖν τὸ α τῷ β καὶ τῷ γ ἔσηται· καὶ ταῦτα ἀλλήλοις, καὶ τῷ α. οὕτως μὲν οὖν ἐνδέχεται ἐξ ἀλλήλων δεικνύναι πάντα τὰ κείμενα ἐν πρώτῳ σχήματι ὡς δέδεικται ἐν τοῖς περὶ συλλογισμῶν. Δέδεικται δὲ καὶ ὅτι ἐν τοῖς ἄλλοις σχήμασιν ἢ οὐ γίνεται συλλογισμὸς, ἢ οὐ περὶ τῶν ληφθέντων. τὰ δὲ μὴ ἀντικατηγορούμενα οὐδαμῶς ἐστι δεῖξαι κύκλῳ. ὥστ' ἐπεὶ δὴ ὀλίγα ταῦτα ἐν ταῖς ἀποδείξεσι, φανερὸν ὅτι κενόντε καὶ ἀδιάτατον τὸ λέγειν ἐξ ἀλλήλων εἶναι τὴν ἀπόδειξιν. καὶ διὰ τοῦτο ἐνδέχεται πάντων εἶναι ἀπόδειξιν.

ἐνδέχεσθαι

4 Ἐπεὶ δ' ἀδιάτατον ἄλλως ἔχειν οὐ ἐστιν ἐπιστήμην ἁπλῶς. ἀναγκαῖον ἂν εἴη τὸ ἐπιστητὸν τὸ κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην. ἀποδεικτικὴ δ' ἔστιν, ἣν ἔχομεν τῷ ἔχειν ἀπόδειξιν. Ἐξ ἀναγκαίων ἄρα συλλογισμός ἐστιν ἡ ἀπόδειξις. Λεπτέον ἄρα ἐκ τίνων καὶ ποίων αἱ ἀποδείξεις εἰσί. πρῶτον ὑποστησώμεθα τί λέγομεν τὸ κατὰ παντὸς. καὶ τί τὸ καθ' αὐτό, καὶ τί τὸ καθόλου. καὶ κατὰ παντὸς μὲν οὖν λέγω, ὃ ἂν ᾖ μὴ ἐπίτινος μὲν, τινὸς δὲ μή, μὴ δέ ποτε μὲν, ποτὲ δὲ μή. οἷον εἰ κατὰ παντὸς ἀνθρώπου ζῷον. εἰ ἀληθὲς τὸν δ' εἰπεῖν ἄνθρωπον, ἀληθὲς καὶ ζῷον, καὶ εἰ νῦν θάτερον, καὶ θάτερον. καὶ εἰ ἐν πάσῃ γραμμῇ σιγμή, ὡς αὐτως. Σημεῖον δέ. καὶ γὰρ τὰς ἐνστάσεις οὕτως φέρομεν ὡς κατὰ παντὸς ἐρωτῶμενοι, ἢ εἰ ἐπίτινι μή. ἢ εἰ ποτὲ μή. καθ' αὑτὰ δ' ὅσα ὑπάρχει ἐν τῷ τί ἐστιν. οἷον τριγώνῳ γραμμή, καὶ γραμμῇ, σιγμή. ἢ ἡ οὐσία αὐτῶν, ἐκ τούτων ἐστί. καὶ ἐν τῷ λόγῳ τῷ λέγοντι τί ἐστιν ἐνυπάρχει. ἢ ὅσοις τῶν ἐνυπαρχόντων αὐτοῖς, αὐτὰ ἐν τῷ λόγῳ ἐνυπάρχουσι τῷ τί ἐστι δηλοῦντι. οἷον τὸ εὐθὺ ὑπάρχει γραμμῇ. καὶ τὸ περιφερὲς, καὶ τὸ περιττὸν καὶ ἄρτιον, ἀριθμῷ. καὶ τὸ πρῶτον καὶ σύνθετον. καὶ ἰσόπλευρον, καὶ ἑτερόμηκες, καὶ πᾶσι τούτοις ἐνυπάρχουσιν ἐν τῷ

λόγῳ

λόγῳ τῷ τί ἐστι λέγοντι. ἔνθα μὲν γραμμή, ἔνθα δ' ἀριθμός. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, τὰ τοιαῦθ' ἑκάστοις κατ' αὐτὰ λέγω. ὅσα δὲ μὴ λέγεται ὑπάρχει, συμβεβηκότα. οἷον τὸ μουσικὸν ἢ λευκὸν τῷ ζώῳ. ἔστι δ' ἃ μὴ καθ' ὑποκειμένου λέγεται ἄλλου τινός. οἷον τὸ βαδίζειν ἕτερόν τι ὂν βαδίζον ἐστὶ καὶ λευκόν. ἡ δ' οὐσία καὶ ὅσα τὸ τόδε τι σημαίνει, οὐχ ἕτερόν τι ὄντα ἐστίν, ὅπερ ἐστί. τὰ μὲν οὖν μὴ κατ' ὑποκειμένου, καθ' αὐτὰ λέγω. τὰ δὲ καθ' ὑποκειμένου, συμβεβηκότα. ἔτι δ' ἄλλον τρόπον, τὸ μὲν οὗ αὐτῷ ὑπάρχον ἑκάστῳ, κατ' αὐτό. τὸ δὲ μὴ οὗ αὐτό, συμβεβηκός. οὐδὲ διὰ τὸ βαδίζειν ἢ ἕζαφνα. ἀλλὰ σωέβη φαμὲν [illegible]. εἰ δὲ οὗ αὐτῷ, κατ' αὐτό. οἷον εἴ τις σφαπόμενος ἀπέθανε καὶ κατὰ πλὴν σφαγήν, ὅτι διὰ τὸ σφάπεσθαι. ἀλλ' οὐ σωέβη σφαπόμενον ἀποθανεῖν. τὰ ἄρα λεγόμενα ἐπὶ τῶν ἁπλῶς ἐπισητῶν οὕτως ἐνυπάρχειν ζῷῳ κατηγορουμένοις ἢ ἐνυπάρχεσθαι, οὗ αὐτά τέ ἐστι, καὶ ἐξ ἀνάγκης. οὐδὲ ἐνδέχεται μὴ ὑπάρχειν ἢ ἁπλῶς, ἢ τὰ ἀντικείμενα. οἷον γραμμῇ τὸ εὐθὺ ἢ τὸ κεκαμπύλον, καὶ ἀριθμῷ τὸ περισσὸν ἢ τὸ ἄρτιον. ἔστι δὲ τὸ ἐναντίον, ἢ στέρησις, ἢ ἀντίφασις ἐν τῷ αὐτῷ γένει. οἷον ἄρτιον τὸ μὴ περιττὸν, ἐν ἀριθμοῖς ἢ ἔπεται. ὥστε εἰ ἀνάγκη φάναι ἢ ἀποφῆναι, ἀνάγκη καὶ τὰ κατ' αὐτὰ ὑπάρχειν. τὸ μὲν οὖν κατὰ παντὸς καὶ καθ' αὐτὸ διωρίσθω τὸν τρόπον τοῦτον. καθόλου δὲ λέγω, ὃ ἂν κατὰ παντός τε ὑπάρχῃ. καὶ καθ' αὐτό, καὶ ᾗ αὐτό. φανερὸν ἄρα ὅσα καθόλου, ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασι. τὸ καθ' αὑτὸ δὲ καὶ ᾗ αὐτὸ, ταὐτὸν, οἷον καθ' αὑτὸ τῇ γραμμῇ ὑπάρχει στιγμὴ, καὶ τὸ εὐθύ. καὶ γὰρ ᾗ γραμμή, καὶ τῷ τριγώνῳ ἢ τρίγωνον, δύο ὀρθαί. καὶ γὰρ καθ' αὐτὸ τὸ τρίγωνον δύο ὀρθαῖς ἴσον. τὸ καθόλου δὲ ὑπάρχει τότε, ὅταν ἐπὶ τοῦ τυχόντος καὶ πρώτου λαμβάνηται. οἷον τὸ δύο ὀρθὰς ἔχειν, οὔτε τῷ σχήματι τί ἐστι καθόλου. καίτοι ἔστι λαβεῖν κατὰ σχήματος ὅτι δύο ὀρθὰς ἔχει, ἀλλ' οὐ τοῦ τυχόντος σχήματος. οὐδὲ χρῆται τῷ τυχόντι σχήματι ὁ

ματι ὁ δεικνύς. τὸ γὰρ τετράγωνον. σχῆμα μὲν, οὐκ ἔχει δὲ δύο ὀρθαῖς
ἴσας. τὸ δὲ ἰσοσκελὲς ἔχει μὲν τὸ τυχὸν δύο ὀρθαῖς ἴσας. ἀλλ' οὐ πρῶ=
τον. ἀλλὰ τὸ τρίγωνον πρότερον. ὃ τοίνυν τὸ τυχὸν πρῶτον δύο ὀρθὰς
ἔχον. ἢ ὁτιοῦν ἄλλο, τούτῳ πρώτῳ ὑπάρχει καθόλου, καὶ ἡ ἀπόδειξις
καθ' αὑτὸ τούτου καθόλου ἐστί. Τῶν δ' ἄλλων τρόπον τινὰ οὐ καθ'
5 αὑτό. οὐ δὲ τοῦ ἰσοσκελοῦς οὐκ ἔστι καθόλου, ἀλλ' ἐπὶ πλέον. Δεῖ δὲ
μὴ λανθάνειν, ὅτι πολλάκις συμβαίνει διαμαρτάνειν. καὶ μὴ ὑπάρχειν
τὸ δεικνύμενον πρῶτον καθόλου ἢ δοκεῖ δείκνυσθαι καθόλου πρῶτον.
ἀπατώμεθα δὲ ταύτην τὴν ἀπάτην, ὅταν ἢ μηδὲν ἢ λαβεῖν ἀνώτε=
ρον παρὰ τὸ καθέκαστον ἢ τὰ καθέκαστα. ἢ ἢ μὲν, ἀλλ' ἀνώνυμον ἢ ἐπὶ
διαφόροις εἴδει πράγμασιν. Ἡ τυγχάνῃ ὂν ὡς ἐν μέρει ὅλον ἐφ' ᾧ
δείκνυται. Τοῖς γὰρ ἐν μέρει ὑπάρξει μὲν ἡ ἀπόδειξις. καὶ ἔσται κατὰ
παντός. ἀλλ' ὅμως οὐκ ἔσται τούτου πρώτου καθόλου ἡ ἀπόδειξις. λέγω
δὲ τούτου πρώτου, ἢ τούτου ἀπόδειξιν ὅταν ᾖ πρώτου καθόλου. Εἰ οὖν τις
δείξειεν ὅτι αἱ ὀρθαὶ οὐ συμπίπτουσι, δόξειεν ἂν τούτου εἶναι ἡ ἀπόδειξις
διὰ τὸ ἐπὶ πασῶν εἶναι τῶν ὀρθῶν, οὐκ ἔστι δὲ, εἴπερ, μὴ ὅτι ὡδὶ ἴσαι γί=
νεται τοῦτο, ἀλλ' ἢ ὁπωσοῦν ἴσαι. Καὶ εἰ τρίγωνον μὴ ἦν ἄλλο ἢ ἰσοσκελὲς, ἰ=
σοσκελὲς ἂν ἐδόκει ὑπάρχειν. Καὶ τὸ ἀνάλογον, ὅτι ἐναλλὰξ ἢ ἀριθμοί.
καὶ ἢ γραμμαί. καὶ ἢ στερεὰ, καὶ ἢ χρόνοι. Ὥσπερ ἐδείκνυτόποτε χω=
ρὶς, ἐνδεχόμενόν γε κατὰ πάντων μιᾷ ἀποδείξει δειχθῆναι. ἀλλὰ διὰ
τὸ μὴ εἶναι ὠνομασμένον τὶ, πάντα ταῦτα ἓν, ἀριθμοὶ, μήκη, χρόνοι,
στερεὰ, καὶ εἴδει διαφέρειν ἀλλήλων, χωρὶς ἐλαμβάνετο. Νῦν δὲ καθό=
λου δείκνυται. Οὐ γὰρ ἢ γραμμαί. ἢ ἢ ἀριθμοὶ ὑπῆρχεν, ἀλλ' ἢ τοδί.
ὃ καθόλου ὑποτίθενται ὑπάρχειν. Διὰ τοῦτο οὐ δ' ἄντις δείξῃ
καθ' ἕκαστον τρίγωνον ἀποδείξει ἢ μιᾷ ἢ ἑτέρα ὅτι δύο ὀρθὰς ἔχει
ἕκαστον, τὸ ἰσόπλευρον χωρίς. καὶ τὸ σκαληνὸν, καὶ τὸ ἰσοσκελὲς, οὔ=
πω οἶδε τὸ τρίγωνον ὅτι δύο ὀρθαῖς ἴσον, εἰ μὴ τὸν σοφιστικὸν τρόπον.

ἢ ἰσοσκελὲς

οὐ δὲ

οὐ δὲ καθόλου τρίγωνον, οὐ δ' εἰ μηδέν ἐστι παρὰ ταῦτα τρίγωνον ἕτερον. οὐ γὰρ ἦ τρίγωνον οἶδεν. οὐ δὲ πᾶν τρίγωνον, ἀλλ' ἦ κατ' ἀριθμόν. κατ' εἶδος δ' οὐ πᾶν. καὶ εἰ μηδέν ἐστιν ὃ οὐκ οἶδε: πότ' οὖν οὐκ οἶδεν ὅτι καθόλου. καὶ πότ' οἶδεν ἁπλῶς; δῆλον δὴ, ὅτι εἰ ταυτὸν ἦν τριγώνῳ εἶναι καὶ ἰσοπλεύρῳ, ἢ ἑκάστῳ ἢ πᾶσιν. εἰ δὲ μὴ ταυτὸν, ἀλλ' ἕτερον. ὑπάρχει δ' ἦ τρίγωνον, οὐκ οἶδε. πότερον δ' ἦ τρίγωνον, ἢ ἦ ἰσοσκελὲς ὑπάρχει, καὶ πότε κατὰ τοῦθ' ὑπάρχει πρῶτον· καὶ καθόλου τινὸς ἡ ἀπόδειξις, δῆλον ὅτι ὅταν ἀφαιρουμένων, ὑπάρξῃ πρώτῳ, οἷον τῷ ἰσοσκελεῖ χαλκῷ τριγώνῳ, ὑπάρξουσι δύο ὀρθαί. ἀλλὰ καὶ τοῦ χαλκοῦ εἶναι ἀφαιρεθέντος. καὶ τῶν ἰσοσκελές. ἀλλ' οὐ τοῦ σχήματος, ἢ πέρατος. ἀλλ' οὐ πρώτων. τίνος οὖν πρώτου; εἰ δὴ τριγώνου, κατὰ τοῦτο ὑπάρχει καὶ τοῖς ἄλλοις. καὶ τούτου καθόλου ἐστὶν ἡ ἀπόδειξις. εἰ οὖν ἔστιν ἡ ἀποδεικτικὴ ἐπιστήμη ἐξ ἀναγκαίων ἀρχῶν. ὃ δὲ ἐπίστατο οὐδυνατὸν ἄλλως ἔχειν. τὰ δὲ καθ' αὑτὰ ὑπάρχοντα, ἀναγκαῖα τοῖς πράγμασιν. ἃ μὲν γὰρ ἐν τῷ τί ἐστιν ὑπάρχει, τοῖς δ' αὑτὰ ἐν τῷ τί ἐστιν ὑπάρχει κατηγορουμένοις αὐτῶν. ὧν θάτερον τῶν ἀντικειμένων ἀνάγκη ὑπάρχειν, φανερὸν ὅτι ἐκ τοιούτων τινῶν ἂν εἴη ὁ ἀποδεικτικὸς συλλογισμός. ἅπαν γὰρ ἢ οὕτως ὑπάρχει. ἢ κατὰ συμβεβηκός. τὰ δὲ συμβεβηκότα οὐκ ἀναγκαῖα. ἢ δὴ οὕτως λεκτέον, ἢ ἀρχὴν θεμένοις, ὅτι ἡ ἀπόδειξις ἀναγκαῖόν ἐστι. καὶ εἰ ἀποδέδεικται, οὐχ οἷόν τε ἄλλως ἔχειν. ἐξ ἀναγκαίων ἄρα δεῖ εἶναι τὸν συλλογισμόν. ἐξ ἀληθῶν μὲν γάρ ἐστι καὶ μὴ ἀποδεικνῦντα συλλογίσασθαι. ἐξ ἀναγκαίων δ' οὐκ ἔστιν, ἀλλ' ἢ ἀποδεικνῦντα. τοῦτο γὰρ ἤδη ἀποδείξεώς ἐστι. Σημεῖον δ' ὅτι ἡ ἀπόδειξις ἐξ ἀναγκαίων, ὅτι καὶ τὰς ἐνστάσεις οὕτω φέρομεν πρὸς τοὺς οἰομένους ἀποδεικνῦναι. ὅτι οὐκ ἀνάγκη ἂν οἰώμεθα ἢ ὅλως ἐνδέχεσθαι ἄλλως. ἢ ἕνεκά γε τοῦ λόγου. δῆλον δ' ἐκ τούτων καὶ ὅτι εὐήθεις οἱ λαμβάνειν οἰόμενοι καλῶς τὰς ἀρχὰς, ἐὰν ἔδοξος ᾖ ἡ πρότασις καὶ ἀληθής.

6

οἷον

δίον δι σοφισταί. ὅτι τὸ ἐπίστασθαι τὸ ἐπιστήμῃ ἔχειν. οὐ γὰρ τὸ ἔνδοξον ἢ μή, ἀρχή ἐστιν. Ἀλλὰ τὸ πρῶτον τοῦ γένους περὶ ὃ δείκνυται. καὶ τὰληθὲς οὐ πᾶν οἰκεῖον. ὅτι ἐξ ἀναγκαίων εἶναι δεῖ τὸν συλλογισμόν, φανερὸν καὶ ἐκ τῶνδε. εἰ γὰρ ὁ μὴ ἔχων λόγον τοῦ διὰτί, οὐσης ἀποδείξεως, οὐκ ἐπιστήμων. εἴη δ' ἂν ὥστε τὸ α, κατὰ τοῦ γ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ δὲ β μέσον. δι' οὗ ἀπεδείχθη μὴ ἐξ ἀνάγκης, οὐκ οἶδε διότι. οὐ γὰρ ἔστι τοῦτο διὰ τὸ μέσον. τὸ μὲν γὰρ, ἐνδέχεται μὴ εἶναι. τὸ δὲ συμπέρασμα ἀναγκαῖον. ἔτι εἴτις μὴ οἶδε ναῦν ἔχων τὸν λόγον καὶ σωζόμενος σωζομένου τοῦ πράγματος μὴ ἐπιλελησμένος, οὐ δὲ πρότερον ἤδει. φθαρείη δ' ἂν τὸ μέσον εἰ μὴ ἀναγκαῖον. ὥστε ἕξει μὲν τὸν λόγον σωζόμενον σωζομένου τοῦ πράγματος, οὐκ οἶδε δέ. οὐ δ' ἄρα πρότερον ἤδει. εἰ δὲ μὴ ἔφθαρται ἐνδέχεται δὲ φθαρῆναι, τὸ συμβαῖνον ἂν εἴη δυνατὸν καὶ ἐνδεχόμενον. ἀλλ' ἔστιν ἀδύνατον τὸν οὕτως ἔχοντα εἰδέναι. ὅταν μὲν οὖν τὸ συμπέρασμα ἐξ ἀνάγκης ᾖ, οὐδὲν κωλύει τὸ μέσον μὴ ἀναγκαῖον εἶναι. διὸ δεῖ ἐλείχθη. ἔστι γὰρ τὸ ἀναγκαῖον καὶ μὴ ἐξ ἀναγκαίων συλλογίσασθαι. ὥσπερ καὶ ἀληθὲς μὴ ἐξ ἀληθῶν. ὅταν δὲ τὸ μέσον ἐξ ἀνάγκης, καὶ τὸ συμπέρασμα ἐξ ἀνάγκης. ὥσπερ καὶ ἐξ ἀληθῶν ἐξ ἀνάγκης, ἀληθὲς ἀεί. ἔστω γὰρ τὸ α κατὰ τοῦ β ἐξ ἀνάγκης. καὶ τοῦτο κατὰ τοῦ γ. ἀναγκαῖον τοίνυν καὶ τὸ α τῷ γ ὑπάρχειν. ὅταν δὲ μὴ ἀναγκαῖον ᾖ τὸ συμπέρασμα. οὐ δὲ τὸ μέσον ἀναγκαῖον οἷόν τ' εἶναι. ἔστω γὰρ τὸ α τῷ γ μὴ ἐξ ἀνάγκης, ὑπάρχειν. τῷ δὲ β. καὶ τοῦτο τῷ γ ἐξ ἀνάγκης. καὶ τὸ α ἄρα τῷ γ ἐξ ἀνάγκης ὑπάρξει, ἀλλ' οὐχ ὑπέκειτο. ἐπεὶ τοίνυν εἰδέναι ἐστὶν ἀποδεικτικῶς, ὅταν ἐξ ἀνάγκης ὑπάρχειν, δῆλον ὅτι καὶ διὰ μέσου ἀναγκαίου ἔχειν τὴν ἀπόδειξιν. Ἢ οὐκ ἐπίστασθαι, οὔτε διότι. οὔτε ὅτι ἀνάγκη ἐκεῖνο εἶναι. ἀλλ' ἢ οἴεσθαι οὐκ εἰδὼς, ἐὰν ὑπολάβῃ ὡς ἀναγκαῖον τὸ μὴ ἀναγκαῖον. Ἢ οὐ δ' οἴεσθαι ὁμοίως, ἐάντε τὸ ὅτι εἰδῇ διὰ μέσων. ἐάντε τὸ διότι καὶ δι' ἀμέσων. Τῶν δὲ συμβεβηκότων

μὴ

μὴ καθ' αὑτὰ οὖν διὰ τόπον διαιρεῖθη τὰ καθ' αὑτά, οὐκ ἔστιν ἐπιστῆμη ἀποδεικτική. οὐ γὰρ ἔστιν ἐξ ἀνάγκης δεῖξαι τὸ συμπέρασμα. τὸ συμβεβηκὸς γὰρ οὐδέ ἐχεται μὴ ὑπάρχειν. περὶ τοιούτου γὰρ λέγω συμβεβηκότος. καίτοι ἀπορήσειεν ἄν τις ἴσως. τίνος ἕνεκα ταῦτα δεῖ ἐρωτᾶν περὶ τούτων, εἰ μὴ ἀνάγκη τὸ συμπέρασμα εἶναι. οὐδὲν γὰρ διαφέρει εἴτις ἐρωτῴη ὅλως τὰ τυχόντα, εἶτα εἰποι τὸ συμπέρασμα. δεῖ δὲ ἐρωτᾶν οὐχ ὡς ἀναγκαῖον ἔσται διὰ τὰ ἠρωτημένα, ἀλλ' ὅτι λέγειν ἀνάγκη τῷ ἐκεῖνα λέγοντι. μὴ ἀληθῶς λέγειν, ἐὰν ἀληθῶς ᾖ ὑπάρχοντα. ἐπεὶ δ' ἐξ ἀνάγκης ὑπάρχει περὶ ἕκαστον γένος ὅσα καθ' αὑτὰ ὑπάρχει. καὶ ᾗ ἕκαστον, φανερὸν ὅτι περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ ἐπιστῆμαι καὶ ἀποδείξεις. καὶ ἐκ τῶν τοιούτων εἰσί. τὰ μὲν γὰρ συμβεβηκότα οὐκ ἀναγκαῖα. ὥστ' οὐκ ἀνάγκη τὸ συμπέρασμα εἰδέναι διότι ὑπάρχει. οὐδ' εἰ ἀεί ἐστιν, μὴ καθ' αὐτό δὲ. οἷον οἱ διὰ σημείων συλλογισμοί. τὸ γὰρ καθ' αὑτό, οὐ καθ' αὑτὸ ἐπιστήσεται. οὐδὲ διότι. τὸ δὲ διότι ἐπίστασθαί ἐστι, τὸ διὰ τοῦ αἰτίου ἐπίστασθαι. δι' αὐτὸ ἄρα δεῖ καὶ τὸ μέσον τῷ τρίτῳ. καὶ τὸ πρῶτον τῷ μέσῳ ὑπάρχειν. οὐκ ἄρα ἐστὶν ἐξ ἄλλου γένους μεταβάντα δεῖξαι οἷον τὸ γεωμετρικὸν ἀριθμητικῇ. διὰ γὰρ ἐστὶ τὰ ἐν ταῖς ἀποδείξεσιν. ἓν μὲν τὸ ἀποδεικνύμενον συμπέρασμα. τοῦτο δ' ἔστι τὸ ὑπάρχον γένει τινὶ καθ' αὑτό. ἓν δὲ, τὰ ἀξιώματα, ἀξιώματα δέ ἐστιν, ἐξ ὧν. τρίτον τὸ γένος τὸ ὑποκείμενον οὗ τὰ πάθη καὶ τὰ καθ' αὑτὰ συμβεβηκότα δηλοῖ ἡ ἀποδειξις. ἐξ ὧν μὲν οὖν ἡ ἀποδειξις, οὗ δέ ἐχεται τὰ αὐτὰ εἶναι. ὧν δὲ τὸ γένος ἕτερον. ὥσπερ ἀριθμητικῆς καὶ γεωμετρίας, οὐκ ἔστι τὸν ἀριθμητικὴν ἀποδειξιν ἐφαρμόσαι ἐπὶ τὰ τῆς μεγέθεσι συμβεβηκότα, εἰ μὴ τὰ μεγέθη ἀριθμοί εἰσι. τοῦτο δ' ὡς συνέχεται ἐπίτινων, ὕστερον λεχθήσεται. ἡ δ' ἀριθμητικὴ ἀποδειξις ἀεὶ ἔχει τὸ γένος περὶ ὃ ἡ ἀποδειξις μὴ αἱ ἄλλαι ὁμοίως. ὥστε καὶ ἁπλῶς ἀνάγκη τὸ αὐτὸ εἶναι γένος, ἢ ᾧ ἢ εἰ μέλλει ἡ ἀποδειξις μεταβαίνειν. ἄλλως δ' ὅτι

ἀδάνατον, δῆλον. Ἐκ γὰρ τοῦ αὐτοῦ γένους, ἀνάγκη τὰ ἄκρα καὶ τὰ μέ-
σα εἶναι. εἰ γὰρ μὴ καθ' αὑτὰ, συμβεβηκότα ἔσται. διὰ τοῦτο τῇ γεωμε-
τρίᾳ οὐκ ἔστι δεῖξαι ὅτι τῶν ἐναντίων μία ἐπιστήμη. ἀλλ' οὐδ' ὅτι δύο
κύβοι κύβος, οὐδ' ἄλλη ἐπιστήμη τὸ ἑτέρας. ἀλλ' ἢ ὅσα οὕτως ἔχει πρὸς
ἄλληλα, ὥστ' εἶναι θάτερον ὑπὸ θάτερον· οἷον τὰ ὀπτικὰ πρὸς γεωμε-
τρίαν, καὶ τὰ ἁρμονικὰ πρὸς ἀριθμητικήν. οὐδ' εἴτι ὑπάρχει ταῖς
γραμμαῖς μὴ ἢ γραμμαί, καὶ ἢ ἐκ τῶν ἀρχῶν τῶν ἰδίων. οἷον ἡ καλ-
λίστη τῶν γραμμῶν ἡ εὐθεῖα, ἢ εἰ ἐναντίως ἔχει τῇ περιφερείᾳ· οὐδὲ
ἢ τὸ ἴδιον γένος αὐτῶν ὑπάρχει, ἀλλ' ἢ κοινόν τι. φανερὸν δὲ καὶ ἐὰν
ὦσιν αἱ προτάσεις καθόλου ἐξ ὧν ὁ συλλογισμός, ὅτι ἀνάγκη καὶ τὸ συμ-
πέρασμα ἀΐδιον εἶναι τῆς τοιαύτης ἀποδείξεως καὶ τῆς ἁπλῶς εἰ-
πεῖν ἀποδείξεως. οὐκ ἔστιν ἄρα ἀπόδειξις τῶν φθαρτῶν οὐδ' ἐπιστήμη
ἁπλῶς. ἀλλ' οὕτως ὥσπερ κατὰ συμβεβηκός, ὅτι οὐ καθόλου αὐτοῦ ἐ-
στίν. ἀλλὰ ποτὲ, καὶ πῶς ὅταν δ' ἢ τοιαύτη, ἀνάγκη τὴν ἑτέραν μὴ κα-
θόλου εἶναι πρότασιν καὶ φθαρτὴν, φθαρτὴν μὲν ὅτι καὶ τὸ συμπέρα-
σμα, οὔσης μὴ καθόλου δὲ, ὅτι ὃ μὲν ἔσται, ὃ δὲ οὐκ ἔσται ἐφ' ὧν. ὥστε οὐκ
ἔστι συλλογίσασθαι καθόλου, ἀλλ' ὅτι νῦν. ὁμοίως δ' ἔχει καὶ περὶ ὁ-
ρισμούς. ἐπείπερ ἐστὶν ὁ ὁρισμὸς ἢ ἀρχὴ ἀποδείξεως, ἢ ἀπόδειξις θέ-
σει διαφέρουσα, ἢ συμπέρασμά τι ἀποδείξεως. αἱ δὲ τῶν πολλάκις γι-
νομένων ἀποδείξεις καὶ ἐπιστῆμαι. οἷον σελήνης ἐκλείψεως, δῆλον ὅ-
τι ἢ μὲν τοιαίδε εἰσὶν, ἀεί εἰσιν ἢ δ' οὐκ ἀιεὶ, κατὰ μέρος εἰσὶν ὥσπερ
δ' ἡ ἔκλειψις, ὡσαύτως τοῖς ἄλλοις. ἐπεὶ δὲ φανερὸν ὅτι ἕκαστον ἀπο-
δεῖξαι οὐ ἔστιν, ἀλλ' εἰ ἐκ τῶν ἑκάστου ἀρχῶν, ἂν τὸ δεικνύμενον ὑπάρ-
χῃ ἢ ἐκεῖνο, οὐκ ἔστι τὸ ἐπίστασθαι τοῦτο ἂν ἐξ ἀληθῶν καὶ ἀναποδεί-
κτων δειχθῇ καὶ ἀμέσων. ἔστι γὰρ οὕτως δεῖξαι ὥσπερ βρύσων τὸν
τετραγωνισμόν. κατὰ κοινόν τε γὰρ δεικνύουσιν οἱ τειοῦτοι λόγοι, ὃ
καὶ ἑτέρῳ ὑπάρξει. δι' ὃ καὶ ἐπ' ἄλλων ἐφαρμόττουσιν οἱ λόγοι οὐ συγ-

τοιοῦτοι

γενῶ

γενῶν. οὐκοῦν οὐχ ἡ ἐκεῖνο ἐπίσταται, ἀλλὰ κατὰ συμβεβηκός. οὐ μὴν
ἂν ἐφήρμοττεν ἡ ἀπόδειξις. καὶ ἐπ' ἄλλο γένος. ἕκαστον δ' ἐπιστάμεθα
μὴ κατὰ συμβεβηκός, ὅταν κατ' ἐκεῖνο γινώσκωμεν καθ' ὃ ὑπάρχει ἐκ
τῶν ἀρχῶν τῶν ἐκείνου ἢ ἐκεῖνο. οἷον τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν ᾧ ὑπάρ
χει καθ' αὑτὸ, τὸ εἰηρμένον ἐκ τῶν ἀρχῶν τῶν τούτου. ὥστ' εἰ καθ' αὑτὸ
κἀκεῖνο ὑπάρχει, ᾧ ὑπάρχει, ἀνάγκη τὸ μέσον ἐν τῇ αὐτῇ συγγενείᾳ εἶ
ναι. εἰ δὲ μὴ, ἀλλ' ὡς τὰ ἁρμονικὰ δι' ἀριθμητικῆς. τὰ δὲ τοιαῦτα
δείκνυται μὲν ὡσαύτως. διαφέρει δέ. τὸ μὲν δὲ ὅτι, ἑτέρας ἐπιστήμης.
τὸ γὰρ ὑποκείμενον γένος, ἕτερον. τὸ δὲ διότι, τῆς ἄνω. ἧς καθ' αὑτὰ
τὰ πάθη ἐστίν. ὥστε καὶ ἐκ τούτων φανερὸν, ὅτι οὐκ ἔστιν ἀποδεῖξαι
ἕκαστον ἁπλῶς, ἀλλ' ἢ ἐκ τῶν ἰδίων ἀρχῶν. ἀλλὰ τούτων αἱ ἀρχαὶ
ἔχουσι τὸ κοινόν. εἰ δὲ φανερὸν τοῦτο, φανερὸν καὶ ὅτι οὐκ ἔστι τὰς ἑ=
κάστου ἰδίας ἀρχὰς ἀποδεῖξαι. ἔσονται μὲν ἐκεῖναι ἁπάντων ἀρχαὶ, καὶ
ἐπιστήμη ἡ ἐκείνων, κύρια πάντων. καὶ δὲ ἐπίστατο μᾶλλον ὁ ἐκ τῶν ἀ
νωτέρων αἰτίων εἰδώς. ἐκ τῶν προτέρων δὲ οἶδεν, ὅταν μὴ ἐξ αἴτια
τῶν εἰδῇ αἰτίων. ὥστ' εἰ μᾶλλον οἶδε καὶ μάλιστα, κἂν ἐπιστήμη ἐκείνη εἴη
καὶ μᾶλλον καὶ μάλιστα. ἡ δ' ἀπόδειξις, οὐκ ἐφαρμόττει ἐπ' ἄλλο γένος
ἀλλ' ἢ ὡς εἴρητο, αἱ γεωμετρικαὶ ἐπὶ τὰς ὀπτικὰς ἢ μηχανικάς. καὶ αἱ
ἀριθμητικαὶ ἐπὶ τὰς ἁρμονικάς. χαλεπὸν δ' ἐστὶ τὸ γνῶναι εἰ οἶδεν ἢ
μή. χαλεπὸν δὲ τὸ γνῶναι εἰ ἐκ τῶν ἑκάστου ἀρχῶν ἴσμεν ἢ μή. ὅπερ ἐστὶν τὸ
εἰδέναι. οἰόμεθα δ' ἂν ἔχωμεν ἐξ ἀληθῶν τινῶν συλλογισμῶν καὶ πρώτων
ἐπίστασθαι. τὸ δ' οὐκ ἔστιν. ἀλλὰ συγγενῆ δεῖ εἶναι τοῖς πρώτοις. λέγω δ' 8
ἀρχὰς ἐν ἑκάστῳ γένει ταύτας, ἃς ὅ, τι ἐστὶ μὴ ἐνδέχεται δεῖξαι. ὅτι μὲν
οὖν σημαίνει καὶ τὰ πρῶτα καὶ τὰ ἐκ τούτων, λαμβάνεται. ὅτι δ' ἔστι,
τὰς μὲν ἀρχὰς λαμβάνειν. τὰ δ' ἄλλα δεικνύναι οἷον τί μονὰς, ἢ τί τὸ
εὐθὺ, καὶ τρίγωνον. εἶναι δὲ τὴν μὲν μονάδα λαβεῖν, καὶ τὸ μέγεθος. τὰ δ' ἕ
τερα δυκνύναι. ἔστι δ' οἷς χρῶνται ἐν ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις.

 τὰ μὲν

τὰ μὲν ἴδια ἑκάστης ἐπιστήμης. τὰ δὲ, κοινά. κοινὰ δὲ, κατ' ἀναλογί-
αν. ἐπεὶ χρήσιμόν γε ὅσον ἐν τῷ ὑπὸ τὴν ἐπιστήμην γένει. ἴδια μὲν,
οἷον γραμμὴν τοιανδὶ, οὐ γὰρ εὐθύ. κοινὰ δ', οἷον τὸ, ἴσα ἀπὸ ἴσων ἴσα ἂν ἀ
φέλῃ, ὅτι ἴσα τὰ λοιπά. ἱκανὸν δ' ἕκαστον τούτων, ὅσον ἐν τῷ γένει. παν
τὸν γὰρ ποιήσει, κἂν μὴ κατὰ πάντων λάβῃ, ἀλλ' ἐπὶ μεγεθῶν μόνον
τῷ δ' ἀριθμητικῷ, ἐπ' ἀριθμῶν. ἔστι δ' ἴδια μὲν, καὶ ἃ λαμβάνεται ἕκα
στα. περὶ ἃ ἡ ἐπιστήμη θεωρεῖ τὰ ὑπάρχοντα καθ' αὑτά. οἷον μονάδος
ἡ ἀριθμητικὴ, ἡ δὲ γεωμετρία, σημεῖα καὶ γραμμάς. ταῦτα γὰρ λαμ-
βάνουσι τὸ εἶναι καὶ τοδὶ εἶναι. τὰ δὲ τούτων πάθη καθ' αὑτὰ τί μὲν
σημαίνει ἕκαστον λαμβάνουσιν. διὸ ἡ μὲν ἀριθμητικὴ, τί περισσόν, ἢ ἄρ
τιον, ἢ τετράγωνον, ἢ κύβος. ἡ δὲ γεωμετρία τί τὸ ἄλογον, ἢ τί τὸ κε-
κλᾶσθαι ἢ νεύειν. ὅτι δ' ἐστὶ λείκνυουσι διά τε τῶν κοινῶν καὶ ἐκ τῶν
ἀποδεδειγμένων, καὶ ἡ ἀστρολογία ὡσαύτως. πᾶσα γὰρ ἀποδεικτι
κή ἐστιν ἐπιστήμη, περὶ τρία ἐστίν. ὅσά τε εἶναι τίθεται. ταῦτα δ' ἔστι γέ-
νος, οὗ τῶν καθ' αὑτὰ παθημάτων ἐστὶ θεωρητική, καὶ τὰ κοινὰ ἃ λέ
γομεν ἀξιώματα, ἐξ ὧν πρώτων ἀποδείκνυσι, καὶ τρίτον τὰ πάθη, ὧν
τί σημαίνει ἕκαστον λαμβάνει. ἐνίας μέντοι ἐπιστήμας οὐδὲν κωλύει ἔκ-
νια τούτων παρορᾶν. διὸν τὸ γένος μὴ ὑποτίθεσθαι εἶναι, ἂν ᾖ φανε
ρὸν ὅτι ἐστίν. οὐ γὰρ ὁμοίως δῆλον, ὅτι ὁ ἀριθμός ἐστι, καὶ ὅτι θερ-
μὸν καὶ ψυχρόν. καὶ τὰ πάθη μὴ λαμβάνειν τί σημαίνει ἂν ᾖ δῆ
λα. ὥσπερ οὐδὲ τὰ κοινὰ, οὐ λαμβάνει τί σημαίνει τὸ ἴσα ἀπὸ ἴσων ἀ-
φελεῖν ὅτι γνώριμον. ἀλλ' οὐδὲν ἧττον τῇ γε φύσει τρία ταῦτά ἐστι
περὶ ὅ τε δείκνυσι, καὶ ἃ δείκνυσι, καὶ ἐξ ὧν. οὐκ ἔστι δ' ὑπόθεσις οὐ
δ' αἴτημα ὃ ἀνάγκη εἶναι δί' αὐτὸ καὶ δοκεῖν ἀνάγκη. οὐ γὰρ πρὸς
τὸν ἔξω λόγον ἡ ἀπόδειξις, ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ· ἐπεὶ οὐδὲ συλ
λογισμός. ἀεὶ γὰρ ἔστιν ἐνστῆναι πρὸς τὸν ἔξω λόγον, ἀλλὰ πρὸς τὸν
ἔσω λόγον οὐκ ἀεί. ὅσα μὲν οὖν δείκτ' ὄντα λαμβάνει αὐτὸς μὴ δεί

ξας, ταῦ

ξας, ταῦτα. ἐὰν μὴ λοιπῶν τὰ λαμβάνει, τῷ μανθάνοντι ὑποτίθεται καὶ ἔστιν οὐχ ἁπλῶς ὑπόθεσις, ἀλλὰ πρὸς ἐκεῖνον μόνον. ἐὰν δὲ ἢ μὴ λεμιᾶς συνούσης λόξης, ἢ καὶ συναντίας συνούσης λαμβάνῃ τὸ αὐτό, αἰτεῖται. καὶ τούτῳ διαφέρει ὑπόθεσις καὶ αἴτημα. ἔστι γὰρ αἴτημα τὸ ὑπεναντίον τοῦ μανθάνοντος τῇ δόξῃ. ἢ ὃ ἄντις ἀποδεικτὸν ὂν λαμβάνῃ καὶ χρῆται μὴ δείξας. οἱ μὲν οὖν ὅροι, οὐκ εἰσὶν ὑποθέσεις. οὐ δὲ γὰρ ἔστιν ἢ μὴ εἶναι λέγονται. ἀλλ' ἐν ταῖς προτάσεσιν αἱ ὑποθέσεις. τοὺς δ' ὅρους μόνον ξυνίεσθαι δεῖ. τοῦτο δ' οὐχ ὑπόθεσις. εἰ μὴ καὶ τὸ ἀκούειν ὑπόθεσίν τις φήσειεν εἶναι. ἀλλ' ὅσων ὄντων τῶν ἐκεῖνα εἶναι γίνεται τὸ συμπέρασμα. οὐδ' ὁ γεωμέτρης φθογγὴ ὑποτίθεται, ὥσπερ τινες ἔφασαν λέγοντες, ὡς οὐ δεῖ τῷ φθόγγῳ χρῆσθαι. τὸν δὲ γεωμέτρην ψεύδεσθαι λέγοντα πορείαν τὴν οὐ πορείαν, ἢ εὐθεῖαν τὴν γεγραμμένην, οὐκ εὐθεῖαν οὖσαν. ὁ δὴ γεωμέτρης οὐδὲν συμπεραίνεται τῷ τήνδε εἶναι γραμμήν, ἣν αὐτὸς ἔφθεγκται, ἀλλὰ τὰ διὰ τούτων δηλούμενα. ἔτι δὲ αἴτημα καὶ ὑπόθεσις πᾶσα ἢ ὡς ὅλον, ἢ ὡς ἐν μέρει. διοὶ ὅροι, οὐδέτερον τούτων. εἰ δὴ μὴ δεῖ εἶναι ἢ ἔντι παρὰ τὰ πολλά, οὐκ ἀνάγκη εἶναι ἀποδείξεις ἔσαι. εἶναι μὲν γὰρ ἔν τισι τὰ πολλῶν, ἀληθὲς εἰπεῖν ἀνάγκη. οὐδὲ ἔσαι τὸ καθόλου ἂν μὴ τοῦτο ᾖ. ἐὰν γὰρ τὸ καθόλου μὴ ᾖ τὸ μέσον οὐκ ἔσται. ὥστ' οὐδ' ἀποδείξεις. δεῖ ἄρα τι ἓν καὶ τὸ αὐτὸ ἐπί τινων εἶναι μὴ ὁμώνυμον. τὸ δὲ μὴ συνλέγεσθαι ἅμα φάναι καὶ ἀποφάναι, οὐδεμία λαμβάνει ἀποδείξεις. ἀλλ' ἢ ἐὰν δείξῃ δεῖξαι καὶ τὸ συμπέρασμα οὕτως. δείκνυται δὲ λαβοῦσι τὸ πρῶτον καθ' ἑκάστου, ὅτι ἀληθές. ἀποφάναι δ' οὐκ ἀληθές. τὸ δὲ μέσον οὐδὲν διαφέρει εἶναι καὶ μὴ εἶναι λαβεῖν. ὡς δ' αὕτως καὶ τὸ τρίτον. εἰ δὲ ἐδόθη καθ' οὗ ἄνθρωπον ἀληθὲς εἰπεῖν, εἰ καὶ μὴ ἄνθρωπον ἀληθές, ἀλλ' ἢ μόνον ἄνθρωπον ζῷον εἶναι, μὴ ζῷον ᾖ μή. ἔσαι δὲ ἀληθὲς εἰπεῖν καθ' ἑκάστου εἰ καὶ μὴ καθ' ἑκάστου, ὅμως ζῷον, μὴ ζῷον δ' ὄν. αἴτιον δ', ὅτι τὸ πρῶτον οὐ μόνον καθ' ἑκάστου λέγεται

γεται, ἀλλὰ καὶ κατ' ἄλλου, διὰ τὸ εἶναι ἐπὶ πλειόνων. ὥστ' οὐδ' εἰ τὸ μέσον, καὶ αὐτό ἐστι καὶ μὴ αὐτὸ, πρὸς τὸ συμπέρασμα οὐδὲν διαφέρει. Τὸ δ' ἅπαν φᾶναι ἢ ἀποφᾶναι, ἡ εἰς τὸ ἀδύνατον ἀπόδειξις λαμβάνει. καὶ ταῦτα, οὐδ' ἀιεὶ καθόλου. ἀλλ' ὅσον ἱκανόν. ἱκανὸν δ' ἐπὶ τοῦ γένους. λέγω δ' ἐπὶ τοῦ γένους, οἷον περὶ ὃ γένος τὰς ἀποδείξεις φέρει ὥσπερ εἴρηται καὶ πρότερον. Επικοινωνοῦσι δὲ πᾶσαι αἱ ἐπιστῆμαι ἀλλήλαις κατὰ τὰ κοινά. Κοινὰ δὲ λέγω οἷς χρῶνται ὡς ἐκ τούτων ἀποδεικνύντες. ἀλλ' οὐ περὶ ὧν δεικνύουσιν. οὐδ' ὃ δεικνύουσι. Καὶ ἡ διαλεκτικὴ πάσαις. καὶ εἴ τις καθόλου πειρῶτο δεικνῦναι τὰ κοινά. οἷον ὅτι ἅπαν φᾶναι ἢ ἀποφᾶναι. ἢ ὅτι ἴσα ἀπὸ ἴσων. ἢ τῶν τοιούτων ἅττα. ἡ δὲ διαλεκτικὴ, οὐκ ἔστιν οὕτως ὡρισμένων τινῶν. οὐδὲ γένους ἑνός τινος. οὐ γὰρ ἂν ἠρώτα. ἀποδεικνύντα γὰρ οὐκ ἔστιν ἐρωτᾶν, διὰ τὸ τῶν ἀντικειμένων ὄντων μὴ δείκνυσθαι τὸ αὐτό. δέ-
9 δεικται δὲ τοῦτο ἐν τοῖς περὶ συλλογισμοῦ. εἰ δὲ τὸ αὐτό ἐστιν ἐρώτημα συλλογιστικόν. καὶ πρότασις ἀντιφάσεως. προτάσεις δὲ καθ' ἑκάστην ἐπιστήμην ἐξ ὧν ὁ συλλογισμὸς ὁ καθ' ἑκάστην. εἴη ἄντι ἐρώτημα ἐπιστημονικόν. ἐξ ὧν ὁ καθ' ἑκάστην οἰκεῖος γίνεται συλλογισμός. δῆλον ἄρα ὅτι οὐ πᾶν ἐρώτημα γεωμετρικὸν ἂν εἴη. οὐδ' ἰατρικόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Αλλ' ἐξ ὧν ἢ δείκνυταί τι περὶ ὧν ἡ γεωμετρία ἐστὶν, ἢ ἐκ τῶν αὐτῶν δείκνυται τῇ γεωμετρίᾳ ὥσπερ τὰ ὀπτικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ περὶ μὲν τούτων, καὶ λόγον ὑφεκτέον ἐκ τῶν γεωμετρικῶν ἀρχῶν καὶ συμπερασμάτων. περὶ δὲ τῶν ἀρχῶν λόγον οὐχ ὑφεκτέον τῷ γεωμέτρῃ ἢ γεωμέτρης. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν. Οὔτε πᾶν ἄρα ἕκαστον ἐπιστήμονα ἐρώτημα ἐρωτητέον, οὔθ' ἅπαν τὸ ἐρωτώμενον ἀποκριτέον περὶ ἑκάστου. ἀλλὰ τὰ κατὰ τὴν ἐπιστήμην διορισθέντα. Εἰ δὲ διαλέξεται γεωμέτρῃ ἢ γεωμέτρης οὕτως, φανερὸν ὅτι καὶ καλῶς, ἐὰν ἐκ τούτων τὶ δεικνύῃ. εἰ δὲ μὴ, οὐ καλῶς. Δῆλον

δ' ὅτι

δ' ὅτι οὐ ὀλεγέχει γεωμετρίαν, ἀλλ' ἢ κατὰ συμβεβηκός. ὥστ' οὐκ ἂν εἴη
ἐν ἀγεωμετρήτοις περὶ γεωμετρίας διαλεκτέον. λύσει γὰρ ὁ φαῦλος δὴ
κλεγόμενος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν. Επεὶ δ' ἔστι γεω-
μετρικὰ ἐρωτήματα, ἆρ' ἐστὶ καὶ ἀγεωμέτρητα; καὶ περὶ ἑκάστην ἐπιστήμην
τὰ κατὰ τὴν ἄγνοιαν τὴν ποίαν γεωμετρικά ἐστι. Καὶ πότερον ὃ κατὰ
τὴν ἄγνοιαν συλλογισμός, ὁ ἐκ τῶν ἀντικειμένων συλλογισμός, ἢ ὁ πα-
ραλογισμός. Κατὰ γεωμετρίαν δή, ἢ ἐξ ἄλλης τέχνης. Οἷον τὸ μεσικόν ἐστιν
ἐρώτημα. ἀγεωμέτρητον παρὰ γεωμετρίας. Τὸ δὲ τὰς παραλλήλους συμ-
πίπτειν οἴεσθαι, γεωμετρικόν πως καὶ ἀγεωμέτρητον ἄλλον τρόπον. δῆ-
λον γὰρ τοῦτο. ὥσπερ τὸ ἄρρυθμον, καὶ τὸ μὴ ἕτερον ἀγεωμέτρητον τῷ
μὴ ἔχειν. ὥσπερ τὸ ἄρρυθμον τὸ μὴ ἕτερον, τῷ φαύλως ἔχειν· καὶ ἡ ἄγνοια
αὕτη ἢ ἐκ τῶν τοιούτων ἀρχῶν ἐναντία. ᾧ δὲ τοῖς μαθήμασιν,
οὐκ ἔστιν ὁμοίως ὁ παραλογισμός, ὅτι τὸ μέσον ἔστιν ἀεὶ διῃρόν· κατ-
ά γε γὰρ ζύτου τοῦτό τοι. καὶ τοῦτο πάλιν κατ' ἄλλου λέγεται τοῦ-
τό. τὸ δὲ κατηλρυμμένον οὐ λέγεται τοῦτο. ταῦτα δ' ἐστὶν οἷον ὁ-
ρᾶν τῇ νοήσει. ᾧ δὲ τοῖς λόγοις λανθάνει, ἆρα πᾶς κύκλος σχῆμα; ἂν
δὲ γράψῃ, δῆλον. τί δὲ; τὰ ἔσω κύκλος; φανερόν ὅτι οὐκ ἔστιν. οὐ δῆλ-
ον δ' ἔνστασιν εἰς αὐτὸ φέρειν, ἂν ᾖ ἡ πρότασις ἐπακτική. ὥσπερ γὰρ οὐδὲ
πρότασίς ἐστιν, ἢ μή ἐστιν ἔσω πλείονων· οὐ γὰρ ἔστι ἐπὶ πάντων. ἐκ
τῶν κατὰ δὲ συλλογισμός, δῆλον ὅτι οὐ δ' ἔνστασις. αἱ αὐταὶ δὲ προ-
τάσεις καὶ ἐνστάσεις. ὧν δὲ φέρει ἔνστασιν, αὕτη γένοιτ' ἂν πρότασις. ἢ ἀποδει-
κτικὴ ἢ διαλεκτική. Συμβαίνει δ' ἐνίοτε ἀσυλλογίστως λέγειν. διὰ τὸ
λαμβάνειν ἀμφοτέροις τὰ ἐσόμενα. οἷον καὶ ὁ Καινεὺς ποιεῖ. ὅτι τὸ πῦρ
ἐν τῇ πολλαπλασίονι ἀναλογίᾳ. καὶ δὴ τὸ πῦρ ταχὺ γεννᾶται ὥσφησι.
καὶ αὕτη ἡ ἀναλογία οὕτως δ' οὐκ ἔστι συλλογισμός. ἀλλ' εἰ τῇ ταχί-
στῃ ἀναλογίᾳ ἕπεται ἡ πολυπλάσιος καὶ τῷ πυρί, ἡ ταχίστη ἐν τῇ
κινήσει. ἀναλογία, ἐνίοτε μὲν γὰρ οὐκ ἐνδέχεται συλλογίσα-

σθαι

σθαι ἐκ τῶν εἰλημμένων. ὅτε δὲ ἐνδέχεται, ἀλλ' οὐχ ὁρᾶται. εἰ δ' ἦν ἀδύνατον ἐκ ψευδῶν ἀληθὲς δεῖξαι, ῥᾴδιον ἂν ἦν τὸ ἀναλύειν. ἀντέστρεφε γὰρ ἂν ἐξ ἀνάγκης. ἔστω γὰρ τὸ α ὄν. τούτου δ' ὄντος, τάδι ἐστὶν ἃ οἶδα ὅτι ἐστίν. οἷον τὸ β ἐκ τούτων ἄρα δείξω ὅτι ἔστιν ἐκεῖνο. ἀντιστρέφει δὲ μᾶλλον τὰ ἐν τοῖς μαθήμασιν, ὅτι οὐδὲν συμβεβηκὸς λαμβάνουσιν, ἀλλὰ καὶ τούτῳ διαφέρουσι τῶν ἐν τοῖς διαλόγοις, ἀλλ' ὁρισμούς. αὔξεται δ' οὐ διὰ τῶν μέσων. ἀλλὰ τῷ προσλαμβάνειν, οἷον τὸ α τοῦ β. τοῦτο δὲ τοῦ γ. πάλιν τοῦτο τοῦ δ. καὶ τοῦτ' εἰς ἄπειρον. καὶ εἰς τὸ πλάγιον. οἷον τὸ α καὶ κατὰ τοῦ β, καὶ κατὰ τοῦ ε, οἷον ἔστιν ἀριθμὸς ποσός. ἢ καὶ ἄπειρος, τοῦτο ἐφ' ᾧ α. ὁ περιττὸς ἀριθμὸς ~~ποσός~~, ἐφ' οὗ β, ἀριθμὸς περιττὸς, ἐφ' οὗ γ. ἔστιν ἄρα τὸ α κατὰ τοῦ γ. καὶ ἔστιν ὁ ἄρτιος ~~ποσός~~, ἀριθμὸς, ἐφ' οὗ δ. ὁ ἄρτιος ἀριθμὸς, ἐφ' οὗ ε. ἔστιν ἄρα τὸ α κατὰ τοῦ ε. Τὸ δ' ὅτι διαφέρει καὶ τὸ διότι ἐπίστασθαι. πρῶτον μὲν ἐν τῇ αὐτῇ ἐπιστήμῃ, καὶ ἐν ταύτῃ διχῶς. ἕνα μὲν τρόπον, ἐὰν μὴ δι' ἀμέσων γίνηται ὁ συλλογισμός. οὐ γὰρ λαμβάνεται τὸ πρῶτον αἴτιον. ἡ δὲ τοῦ διότι ἐπιστήμη, κατὰ τὸ πρῶτον αἴτιον. ἄλλον δι' ἀμέσων μὲν, ἀλλὰ μὴ διὰ τοῦ αἰτίου. ἀλλὰ τῶν ἀντιστρεφόντων, διὰ τοῦ γνωριμώτερου κωλύει γὰρ οὐδὲν τῶν ἀντικατηγορουμένων γνωριμωτέρον εἶναι ἐνίοτε τὸ μὴ αἴτιον. ὥστ' ἔσται διὰ τούτου ἡ ἀπόδειξις. οἷον, ὅτι ἐγγὺς οἱ πλάνητες, διὰ τοῦ μὴ στίλβειν. ἔστω ἐφ' ᾧ γ, πλάνητες. ἐφ' ᾧ β, τὸ μὴ στίλβειν. ἐφ' ᾧ α, τὸ ἐγγὺς εἶναι. ἀληθὲς δὲ τὸ β κατὰ τοῦ γ εἰπεῖν. οἱ γὰρ πλάνητες οὐ στίλβουσιν. ἀλλὰ καὶ τὸ α κατὰ τοῦ β. τὸ γὰρ μὴ στίλβον, ἐγγύς ἐστι. τοῦτο δ' εἰλήφθω δι' ἐπαγωγῆς, ἢ δι' αἰσθήσεως. ἀνάγκη οὖν τὸ α τῷ γ ὑπάρχειν. ὥστ' ἀποδέδεικται ὅτι οἱ πλάνητες ἐγγὺς εἰσὶν, οὗτος οὖν ὁ συλλογισμὸς, οὐ τοῦ διότι. ἀλλὰ τοῦ ὅτι ἐστίν. οὐ γὰρ διὰ τὸ μὴ στίλβειν, ἐγγύς εἰσιν. ἀλλὰ διὰ τὸ ἐγγὺς εἶναι, οὐ στίλβουσιν. Εγχωρεῖ δὲ καὶ διὰ θατέρου, θάτερον δειχθῆναι. καὶ ἔσται τοῦ διότι ἡ ἀπόδειξις. οἷον ἔστω τὸ γ,

πλάνη

πλάνητες. ἐφ' ᾧ β, τὸ ἐγγὺς εἶναι. τὸ α, τὸ μὴ στίλβειν. ὑπάρχει δὴ καὶ τὸ β τῷ γ καὶ τὸ α τῷ β τὸ μὴ στίλβειν ὥστε, καὶ τὸ α τῷ γ. καὶ ἔστι τοῦ διότι ὁ συλλογισμός. εἴληπται γὰρ τὸ πρῶτον αἴτιον. πάλιν ὡς τὴν σελήνην δεικνύουσιν ὅτι σφαιροειδὴς διὰ τῶν αὐξήσεων. εἰ γὰρ τὸ αὐξανόμενον οὕτως, σφαιροειδές. αὐξάνει δ' ἡ σελήνη, φανερὸν, ὅτι σφαιροειδής. οὕτως μὲν οὖν τοῦ ὅτι γέγονεν ὁ συλλογισμός. ἀνάπαλιν δὲ τεθέντος τοῦ μέσου τοῦ διότι. οὐ γὰρ διὰ τὰς αὐξήσεις, σφαιροειδής ἐστιν. ἀλλὰ διὰ τὸ σφαιροειδὴς εἶναι, λαμβάνει τὰς αὐξήσεις τοιαύτας. σελήνη, ἐφ' ᾧ γ. σφαιροειδὴς, ἐφ' ᾧ β. αὔξησις, ἐφ' ᾧ α. ἐφ' ὧν δὲ τὰ μέσα μὴ ἀντιστρέφει, καὶ ἔστι γνωριμώτερον ἀναίτιον, τὸ ὅτι μὲν δείκνυται τὸ διότι δ' οὔ. Ετι ἐφ' ὧν τὸ μέσον ἔξω τίθεται, καὶ γὰρ ἐν τούτοις, τοῦ ὅτι, καὶ οὐ τοῦ διότι ἡ ἀπόδειξις οὐ γὰρ λέγεται τὸ αἴτιον. οἷον διατὶ οὐκ ἀναπνέει ὁ τοῖχος, ὅτι οὐ ζῶν. εἰ γὰρ τοῦτο τοῦ μὴ ἀναπνέειν αἴτιον, ἔδει τὸ ζῶον, εἶναι αἴτιον τοῦ ἀναπνεῖν. οἷον εἰ ἡ ἀπόφασις αἰτία τοῦ μὴ ὑπάρχειν, ἡ κατάφασις αἰτία τοῦ ὑπάρχειν. ὥσπερ εἰ τὸ ἀσύμμετρα εἶναι τὰ θερμὰ καὶ ψυχρὰ τοῦ μὴ ὑγιαίνειν, τὸ, σύμμετρα εἶναι, τοῦ ὑγιαίνειν. ὁμοίως δὲ καὶ εἰ ἡ κατάφασις τοῦ ὑπάρχειν, ἡ ἀπόφασις τοῦ μὴ ὑπάρχειν. ἐπὶ δὲ τῶν οὕτως ἀποδεδομένων, οὐ συμβαίνει τὸ λεχθέν. οὐ γὰρ ἅπαν ἀναπνεῖ ζῶον. ὁ δὲ συλλογισμὸς γίνεται τῆς τοιαύτης αἰτίας, ἐν τῷ μέσῳ σχήματι. οἷον ἔστω τὸ α ζῶον. ἐφ' οὗ τὸ β, τὸ ἀναπνεῖν, ἐφ' ᾧ γ τοῖχος. τῷ μὲν οὖν β παντὶ ὑπάρχει τὸ α. πᾶν γὰρ τὸ ἀναπνέον ζῶον. τῷ δὲ γ οὐδενὶ ὥστε τὸ β τῷ γ οὐδενί. οὐκ ἄρα ἀναπνεῖ ὁ τοῖχος. Εοίκασι δὲ αἱ τοιαῦται τῶν αἰτιῶν, τοῖς καθ' ὑπερβολὴν εἰρημένοις. τοῦτο δ' ἔστι τὸ πλέον ἀποστήσαντα τὸ μέσον, εἰπεῖν. οἷον τὸ τοῦ ἀναχάρσιδος. ὅτι ἐν σκύθαις οὐκ εἰσὶν αὐλητίδες. οὐ δὲ τὰ ἄμπελοι κατὰ μὲν δὴ τὴν αὐτὴν ἐπιστήμην, καὶ κατὰ τὴν τῶν μέσων θέσιν, αὗτε διαφοραί εἰσιν τὸ ὅτι πρὸς τὸν διότι συλλογισμόν.

πλεῖον τὸν

ἄλλον δὲ τρόπον διαφέρει τὸ διότι τοῦ ὅτι, τὸ δὲ ἄλλης ἐπιστήμης ἑκάτερον θεωρεῖν. τοιαῦτα δ' ἐστίν, ὅσα οὕτως ἔχει πρὸς ἄλληλα, ὥστε εἶναι θάτερον, ὑπὸ θάτερον. οἷον τὰ ὀπτικὰ, πρὸς γεωμετρίαν, καὶ τὰ μηχανικὰ πρὸς στερεομετρίαν, καὶ τὰ ἁρμονικὰ πρὸς ἀριθμητικήν. καὶ τὰ φαινόμενα πρὸς ἀστρολογικήν, σχεδὸν δὲ συνώνυμοί εἰσι. τούτων τῶν ἐπιστημῶν ἕνιαι. οἷον ἀστρολογία, ἥτε μαθηματικὴ καὶ ἡ ναυτικὴ, καὶ ἁρμονικὴ, ἥτε μαθηματικὴ, καὶ ἡ κατὰ τὴν ἀκοήν. ἐνταῦθα μὲν ὅτι, τῶν αἰσθητικῶν εἰδέναι, τὸ δὲ διότι, τῶν μαθηματικῶν· οὗτοι γὰρ ἔχουσι τῶν αἰτίων τὰς ἀποδείξεις. καὶ πολλάκις οὐκ ἴσασι τὸ ὅτι, καθάπερ οἱ τὸ καθόλου θεωροῦντες, πολλάκις ἔνια τῶν καθ' ἕκαστον οὐκ ἴσασι διὰ ἀνεπισκεψίαν. ἔστι δὲ ταῦτα ὅσα ἕτερόν τι ὄντα τῇ οὐσίαν κέχρηται τοῖς εἴδεσι. τὰ γὰρ μαθήματα, περὶ εἴδη ἐστίν. οὐ γὰρ καθ' ὑποκειμένου τινός. εἰ γὰρ καὶ καθ' ὑποκειμένου τινὸς τὰ γεωμετρικά ἐστιν, ἀλλ' οὐχ ἡ γεωμετρικὰ, καθ' ὑποκειμένου. ἔχει δὲ καὶ πρὸς τὴν ὀπτικὴν, ὡς αὕτη πρὸς τὴν γεωμετρίαν, ἄλλη πρὸς ταύτην. οἷον τὸ περὶ τῆς ἴριδος. τὸ μὲν γὰρ ὅτι, φυσικῆς εἰδέναι. τὸ δὲ διότι, ὀπτικῆς, ἢ ἁπλῶς ἢ κατὰ μάθημα. πολλαὶ δὲ καὶ τῶν μὴ ὑπ' ἀλλήλας ἐπιστημῶν, ἔχουσιν οὕτως, οἷον ἰατρικὴ πρὸς γεωμετρίαν. ὅτι μὲν γὰρ τὰ ἕλκη τὰ περιφερῆ βραδύτερον ὑγιάζεται, τοῦ ἰατροῦ εἰδέναι. διότι δὲ, τοῦ γεωμέτρου. II Τῶν δὲ σχημάτων, ἐπιστημονικώτατόν ἐστι τὸ πρῶτον. αἵ τε γὰρ μαθηματικαὶ τῶν ἐπιστημῶν διὰ τούτου φέρουσι τὰς ἀποδείξεις. οἷον ἀριθμητικὴ καὶ γεωμετρία καὶ ὀπτικὴ, καὶ σχεδὸν ὡς εἰπεῖν, ὅσαι τοῦ διότι ποιοῦνται τὴν σκέψιν. ἢ γὰρ ὅλως, ἢ ὡς ἐπὶ τὸ πολύ, καὶ ἐν ταῖς πλείοσις, διὰ τούτου τοῦ σχήματος ὁ τοῦ διότι γίνεται συλλογισμός. ὥστε κἂν διὰ τοῦτ' εἴη μάλιστα ἐπιστημονικόν. κυριώτατον γὰρ τοῦ εἰδέναι, τὸ, διότι θεωρεῖν. εἶτα τῇ τοῦ τί ἐστιν, ἐπιστήμῃ διὰ ταύτης μόνης θηρεύσαι δυνατόν. ἐν

τόν. ἐν

τόν. ἐν μὲν γὰρ τῷ μέσῳ σχήματι, οὐ γίνεται κατηγορικὸς συλλογι=
σμός. ἡ δὲ τοῦ τί ἐστιν ἐπιστήμη καταφάσεως. ἐν δὲ τῷ ἐσχάτῳ γίνετ
μὲν, ἀλλ' οὐ καθόλου. τὸ δὲ τί ἐστι τῶν καθόλου ἐστίν. οὐ γὰρ πῆ ἐστι ζῶ=
ον δίπουν ὁ ἄνθρωπος. ἔτι τοῦτο μὲν εἰκείνων οὐδὲν προσδεῖται. ἐκεῖ ἐκείνων
να δὲ διὰ τούτου καταπυκνοῦται καὶ αὔξετ. ἕως ἂν, εἰς τὰ ἄμετα ἔλθῃ.
φανερὸν οὖν ὅτι κυριώτατον τοῦ ἐπίστασθαι τὸ πρῶτον σχῆμα. ὥσπερ
δὲ ὑπάρχειν τὸ α τῷ β ἐνεδέχετο ἀτόμως, οὕτω καὶ μὴ ὑπάρχειν ἐγ
χωρεῖ. λέγω δὲ τὸ ἀτόμως ὑπάρχειν ἢ μὴ ὑπάρχειν, τῷ μὴ εἶναι αὐτῶν
μέσον. οὕτως γὰρ, οὐκ ἔσται κατ' ἄλλο τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ὅ=
ταν μὲν οὖν ἢ τὸ α ἢ τὸ β ἐν ὅλῳ τινὶ ᾖ ἢ καὶ ἄμφω, οὐκ ἐνδέχετ τὸ
α τῷ β πρώτως μὴ ὑπάρχειν. ἔστω γὰρ τὸ α ἐν ὅλῳ τῷ γ. οὐκοῦν εἰ τὸ β
μή ἐστιν ἐν ὅλῳ τῷ γ. ἐγχωρεῖ γὰρ τὸ μὲν α εἶναι ἔντινι ὅλῳ. τὸ δὲ β
μὴ εἶναι ἐν τούτῳ, συλλογισμὸς ἔσται, τοῦ μὴ ὑπάρχειν τὸ α τὸ β. εἰ γὰρ τ τῷ
τῷ μὲν α παντὶ τὸ γ. τῷ δὲ β μηδενὶ, οὐδενὶ τῷ β τὸ α. ὁμοίως δὲ καὶ
εἰ τὸ μὲν β ἐν ὅλῳ τινί ἐστιν. δῖον ἐν τῷ δ. τὸ μὲν γὰρ δ παντὶ τῷ β
ὑπάρχει. τῷ δὲ α οὐδενὶ τὸ δ. ὥστε τὸ α οὐδενὶ τῷ β ὑπάρξει διὰ
συλλογισμοῦ. τὸν αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἰ ἄμφω ἐν ὅλῳ τι
νί ἐστιν. ὅτι ἐνδέχεται τὸ β μὴ εἶναι, ἐν ᾧ ὅλῳ ἐστὶ τὸ α, ἢ πάλιν τὸ α ἐν
ᾧ τὸ β. φανερὸν ἐκ τῶν συστοιχιῶν. ὅσαι μὴ ἐπαλλάττουσιν ἀλλήλαις.
εἰ γὰρ μηδὲν τῶν ἐν τῇ α γ δ συστοιχίᾳ καὶ κατὰ μηδενὸς κατηγο
ρεῖται τῶν ἐν τῇ β ε ζ, τὸ δ α ἐν ὅλῳ ἐστὶ τῷ θ φανερὸν ὅτι τὸ β οὐκ
ἔσται ἐν τῷ θ, ἐπαλλάξουσι δὲ αἱ συστοιχίαι. ὁμοίως δὲ καὶ εἰ τὸ β ἐν
ὅλῳ τινί ἐστιν. ἐὰν δὲ μηδέτερον ᾖ ἐν ὅλῳ μηδενὶ, μὴ ὑπάρχῃ δὲ τὸ
α τῷ β, ἀνάγκη ἀτόμως μὴ ὑπάρχειν· εἰ γὰρ ἔσται τι μέσον, ἀνάγκη θά
τερον αὐτῶν ἐν ὅλῳ τινὶ εἶναι. ἢ δὲ ἐν τῷ πρώτῳ σχήματι, ἢ ἐν τῷ μέ=
σῳ ἔσται ὁ συλλογισμός. εἰ μὲν οὖν ἐν τῷ πρώτῳ, τὸ β ἔσται ἐν ὅλῳ τι
νί. καταφατικὴν δὲ δεῖ τὴν πρὸς τοῦτο γίνεσθαι πρότασιν. εἰ δ' ἐν τῷ

 μέσῳ

μέσῳ, ὁποτέρου ἔτυχε. πρὸς ἀμφοτέροις γὰρ ληφθέντος τοῦ συμπε-
ρασμοῦ, γίνεται συλλογισμός. ἀμφοτέρων δ' ἀποφατικῶν οὐσῶν, οὐκ ἔ-
στι. φανερὸν δὲ καὶ ὅτι ἐνδέχεταί τι ἄλλο ἄλλῳ μὴ ὑπάρχειν ἀτόμως
12 καὶ ποτὲ ἐνδέχεται, καὶ πῶς, εἰρήκαμεν. ἄγνοια δ' ἡ μὴ κατὰ ἀπο-
φάσιν, ἀλλὰ κατὰ διάθεσιν λεγομένη, ἔστι μὲν ἡ διὰ συλλογισμοῦ
γινομένη ἀπάτη. αὕτη δ' ἐν μὲν τοῖς πρώτοις ὑπάρχουσιν, ἢ μὴ ὑπάρ-
χουσι συμβαίνει διχῶς. ἢ γὰρ ὅταν ἁπλῶς ὑπολάβῃ ὑπάρχειν, ἢ μὴ
ὑπάρχειν, ἢ ὅταν διὰ συλλογισμοῦ λάβῃ τιὼ ὑπόληψιν. τῆς μὲν οὖν
ἁπλῆς ὑπολήψεως, ἀπλῆ ἡ ἀπάτη. τῆς δὲ διὰ συλλογισμοῦ, πλεί-
ους. μὴ ὑπαρχέτω γὰρ τὸ α μηδενὶ τῷ β ἀτόμως. οὐκοῦν ἐὰν συλ-
λογίζηται ὑπάρχειν τὸ α τῷ ε. μέσον λαβὼν τὸ γ ἠπατημένος ἔσται
διὰ συλλογισμοῦ. ἐνδέχεται μὲν οὖν ἀμφοτέρας τὰς προτάσεις εἶναι
ψευδεῖς. ἐνδέχεται δὲ τιὼ ἑτέραν μόνον. εἰ γὰρ μήτε τὸ α μηδενὶ
τῷ γ ὑπάρχει, μήτε τὸ γ μηδενὶ τῷ β, εἴληπται δ' ἑκατέρα ἀνάπα-
λιν, ἄμφω ψευδεῖς ἔσονται. ἐγχωρεῖ δ' οὕτως ἔχειν τὸ γ πρὸς τὸ α
καὶ τὸ β, ὥστε μήτε ὑπὸ τὸ α εἶναι, μήτε καθόλου τῷ β. τὸ μὲν
γὰρ β ἀλλάττον εἶναι ἐνίοτε τινί. πρώτοις γὰρ ἐλέγετο αὐτῷ τὸ
α μὴ ὑπάρχειν. τὸ δὲ α οὐκ ἀνάγκη πᾶσι τοῖς οὖσιν εἶναι καθόλου.
ὥστε ἀμφότερα ψευδεῖς, ἀλλὰ καὶ τιὼ ἑτέραν ἐνδέχεται ἀληθῆ
λαμβάνειν. οὐ μέντοι ὁποτέραν ἔτυχεν, ἀλλὰ τιὼ α γ. ἡ γὰρ γ β
πρότασις ἀεὶ ψευδὴς ἔσται, διὰ τὸ ἐν μηδενὶ εἶναι τὸ β. τιὼ δὲ α γ
ἐγχωρεῖ. οἷον εἰ τὸ α καὶ τῷ γ καὶ τῷ β ὑπάρχει ἀτόμως. ὅταν γὰρ
πρῶτον τὸ αὐτὸ πλείοσιν κατηγορῆται, οὐδέτερον οὐδετέρου ἔσται.
διαφέρει δ' οὐδέν, οὐδ' εἰ μὴ ἀτόμως ὑπάρχει. ἢ μὲν τοι ὑπάρχειν ἀ-
πάτη, διὰ τούτων γε καὶ οὕτως γίνεται μόνως. οὐ γὰρ ἦν ἐν ἄλλῳ σχή-
ματι τοῦ ὑπάρχειν συλλογισμός. ἢ ἴσως μὴ ὑπάρχειν ἔντε τῷ πρώτῳ
καὶ ἐν τῷ μέσῳ σχήματι. πρῶτον οὖν εἰπωμεν ποσαχῶς ἐν τῷ πρώ-

τῳ γέ

τῷ γίνεται, καὶ ὡς ἐχόντων τῶν προτάσεων. ἐνδέχεται μὴν οὕτω ἀμφοτέρων φθειρῶν οὐσῶν. οἷον εἰ τὸ α καὶ τῷ γ, μὴ τῷ β ὑπάρχῃ ἀτόμως. ἐὰν δὲ λημφθῇ τὸ μὲν α τῷ γ μηδενί, τὸ δὲ γ παντὶ τῷ β, φθειρεῖς αἱ προτάσεις. ἐνδέχεται δὴ καὶ τῆς ἑτέρας φθειρομένης οὔσης. καὶ ταύτης ὁποτέρας ἔτυχεν. ἐγχωρεῖ δὲ τὴν μὲν α γ ἀληθῆ εἶναι. τὴν δὲ β γ, φθειρῆ. τὴν μὲν α γ ἀληθῆ, ὅτι οὐ παῖσι τοῖς οὖσιν ὑπάρχει τὸ α. τὴν δὲ γ β φθειρῆ, ὅτι ἀναιρούμενον ὑπάρχειν τῷ β τὸ γ, ᾧ μηδενὶ ὑπάρχει τὸ α. οὐ δ' ἔτι ἀληθὴς ἔσται ἡ α γ πρότασις. ἅμα δὲ εἰ καί εἰσιν ἀμφότεραι ἀληθεῖς, καὶ τὸ συμπέρασμα ἔσται ἀληθές. ἀλλὰ καὶ τὴν γ β ἐνδέχεται ἀληθῆ εἶναι, τῆς ἑτέρας οὔσης φθειρᾶς. οἷον εἰ τὸ β καὶ ἐν τῷ γ καὶ ἐν τῷ α ἐσίν. ἀνάγκη μὲν θάτερον ὑπὸ θάτερον εἶναι, ὥστε ἂν λάβῃ τὸ α μηδενὶ τῷ γ ὑπάρχειν, φθειρὴς ἔσται ἡ πρότασις. φανερὸν οὖν ὅτι καὶ ἡ ἑτέρας φθειρᾶς οὔσης καὶ ἀμφοῖν, ἔσται φθειρὴς ὁ συλλογισμός. ἐν δὲ τῷ μέσῳ σχήματι, ὅλας μὲν εἶναι ἀμφοτέρας τὰς προτάσεις φθειρᾶς, οὐκ ἐνδέχεται. ὅταν γὰρ τὸ α παντὶ τῷ β ὑπάρχῃ, οὐδὲν ἔσται λαβεῖν ὃ τῷ μὲν ἑτέρῳ παντί. θατέρῳ δ' οὐδενὶ ὑπάρξει. δεῖ δ' οὕτως λαμβάνειν τὰς προτάσεις, ὥστε τῷ μὲν ὑπάρχειν, τῷ δὲ μὴ ὑπάρχειν εἰ περ ἔσται συλλογισμός. εἰ δὴ οὕτως λαμβανόμεναι φθειρεῖς, δῆλον ὡς ἐναντίας ἀνάπαλιν ἔξουσι. τοῦτο δ' ἀδύνατον. ἔστι δ' ἑκάτερον οὐδὲν κωλύει φθειρᾷ εἶναι, οἷον εἰ τὸ r καὶ τῷ α καὶ τῷ β τινὶ ὑπάρχει. ἂν δὲ τῷ μὲν α ληφθῇ παντὶ ὑπάρχον, τῷ δὲ β μηδενί, φθειρεῖς μὲν ἀμφότεραι αἱ προτάσεις, οὐ μὴν τοι ὅλαι ἀλλ' ἔστι, καὶ ἀνάπαλιν δὲ τεθέντος τοῦ σεριστικοῦ, ὡσαύτως. τὴν δ' ἑτέραν εἶναι φθειρᾷ καὶ ὁποτερανοῦν ἐνδέχεται. ὃ δὲ ὑπάρχει τῷ α παντὶ, καὶ τῷ β ὑπάρχει. ἐὰν οὖν ληφθῇ τῷ μὲν α ὅλῳ ὑπάρχειν τὸ γ. τῷ δὲ β ὅλῳ μὴ ὑπάρχειν, ἡ μὲν γ α, ἀληθὴς ἔσται. ἡ δὲ γ β, φθειρὴς. πάλιν ὃ τῷ β μηδενὶ ὑπάρχει, οὐδὲ τῷ α παντὶ ὑπάρξει. εἰ δὲ τῷ α, καὶ τῷ β. ἀλλ' οὐχ ὑπῆρχον. ἐὰν οὖν ληφθῇ τὸ γ τῷ μὲν α ὅλῳ ὑ

α ὅλῳ ὑπάρχειν. τῷ δὲ β μηδενὶ, ἡ μὲν γ β πρότασις, ἀληθής. ἡ δὲ ἑτέρα, ψευδής. ὁμοίως δὲ καὶ μεταθέντος τοῦ στερητικοῦ. ὁ γὰρ μηδενὶ ὑπάρχει τῷ α, οὐδὲ τῷ β οὐδενὶ ὑπάρξει. ἐὰν οὖν ληφθῇ τὸ γ τῷ μὲν α ὅλῳ μὴ ὑπάρχειν τῷ δὲ β ὅλῳ ὑπάρχειν, ἡ μὲν α γ πρότασις, ἀληθὴς ἔσται. ἡ δ' ἑτέρα ψευδής. καὶ πάλιν ὁ παντὶ τῷ β ὑπάρχει. μηδενὶ λαβεῖν τῷ α ὑπάρχον ψεῦδος. ἀνάγκη γὰρ εἰ τῷ β παντὶ καὶ τῷ α τινὶ ὑπάρχειν. ἐὰν οὖν ληφθῇ τῷ μὲν β παντὶ ὑπάρχειν τὸ γ. τῷ δὲ α μηδενί. ἡ μὲν γ β ἀληθὴς ἔσται. ἡ δὲ γ α, ψευδής. φανερὸν οὖν ὅτι καὶ ἀμφοτέρων οὐσῶν ψευδῶν, καὶ τῆς
13 ἑτέρας μόνον, ἔσται συλλογισμὸς ἀποδεικτικὸς ἐν τοῖς ἀτόμοις. ἐν δὲ τοῖς μὴ ἀτόμως ὑπάρχουσιν ἢ μὴ ὑπάρχουσιν, ὅταν μὲν διὰ τοῦ οἰκείου μέσου γίνηται τὸ ψεύδους ὁ συλλογισμός, οὐχ οἷόν τε ἀμφοτέρας ψευδεῖς εἶναι τὰς προτάσεις. ἀλλὰ μόνον τὴν πρὸς τῷ μείζονι ἄκρῳ. λέγω δ' οἰκεῖον μέσον, ὃ οὐ γίνεται τῆς ἀντιφάσεως ὁ συλλογισμός. ὑπαρχέτω γὰρ τὸ α τῷ β διὰ μέσου τοῦ γ. ἐπεὶ οὖν ἀνάγκη τὴν γ β καταφατικὴν λαμβάνεσθαι συλλογισμοῦ γινομένου. δῆλον ὅτι ἀεὶ αὕτη ἔσται ἀληθής. οὐ γὰρ ἀντιστρέφεται. ἡ δὲ α γ ψευδής. ταύτης γὰρ ἀντιστρεφομένης, ἐναντίος γίνεται ὁ συλλογισμός. ὁμοίως δὲ καὶ εἰ ἐξ ἄλλης συστοιχίας ληφθείη τὸ μέσον οἷον τὸ λ. εἰ καὶ ἐν τῷ α ὅλῳ ἐστί. καὶ κατὰ τοῦ ε κατηγορεῖται παντός. ἀνάγκη γὰρ τὴν μὲν λ ε πρότασιν μένειν. τὴν δ' ἑτέραν ἀντιστρέφεσθαι. ὥσθ' ἡ μὲν ἀεὶ ἀληθής. ἡ δ' ἀεὶ ψευδής. καὶ σχεδὸν ἥκιστοι αὕτη ἀπάτη ἢ ἀντίστιξις διὰ τοῦ οἰκείου μέσου. ἐὰν δὲ μὴ διὰ τοῦ οἰκείου μέσου γίνηται ὁ συλλογισμός, ὅταν μὲν ὑπὸ τὸ αὐτὸ τὸ μέσον. τῷ δὲ β μηδενὶ, ὑπάρχειν ἀνάγκη ψευδεῖς εἶναι ἀμφοτέρας. ληπτέα γὰρ ἐναντίως ἢ ὡς ἔχουσιν αἱ προτάσεις, εἰ μέλλοι συλλογισμὸς ἔσεσθαι. οὕτως γὰρ λαμβανομένων ἀμφοτέρων γίνονται ψευδεῖς. οἷον εἰ τὸ μὲν α ὅλῳ τῷ λ ὑπάρχει,

τὸ δὲ

τὸ δὲ δ μηδενὶ τῷ β, ἀντιστραφέντων τῶν τούτων. συλλογισμὸς ἔσται. καὶ αἱ
προτάσεις ἀμφότεραι, ψευδεῖς. ὅταν δὲ μὴ ᾖ ὑπὸ τὸ α τὸ μέσον οἷον τὸ δ,
ἡ μὲν α δ ἀληθὴς ἔσται. ἡ δὲ δ β, ψευδής. ἡ μὲν γὰρ α δ ἀληθὴς, ὅτι οὐκ
ἦν ἐν τῷ α τὸ δ. ἡ δὲ δ β ψευδὴς, ὅτι εἰ ἦν ἀληθὴς, καὶ τὸ συμπέρασμα
ἦν ἀληθὲς. ἀλλ' ἦν ψεῦδος. διὰ δὲ τῶν μέσου σχήματος γινομένης τῆς ἀπά=
της, ἀμφοτέρας μὲν οὐκ ἐνδέχεται ψευδεῖς εἶναι τὰς προτάσεις ὅλας.
ὅταν γὰρ ᾖ τὸ β ὑπὸ τὸ α, οὐδὲν ἐνδέχεται τῷ μὲν παντὶ, τῷ δὲ μηδε
νὶ ὑπάρχειν. καθάπερ ἐλέχθη καὶ πρότερον. τὴν ἑτέραν δ' ἐγχωρεῖ. καὶ
ὁποτέραν ἔτυχεν. εἰ τὸ γ καὶ τῷ α καὶ τῷ β ὑπάρχει, ἐὰν ληφθῇ τῷ μὲν
α ὑπάρχειν, τῷ δὲ β μὴ ὑπάρχειν, ἡ μὲν α γ ἀληθὴς ἔσται. ἡ δ' ἑτέρα ψευ
δής. πάλιν εἰ τῷ μὲν β ληφθείη τὸ γ ὑπάρχειν, τῷ δὲ α μηδενί. ἡ μὲν
γ β ἀληθὴς ἔσται. ἡ δ' ἑτέρα, ψευδής. ἐὰν μὲν οὖν στερητικὸς ᾖ τῆς ἀπά
της ὁ συλλογισμὸς, εἴρητο πότε καὶ διὰ τίνων ἔσται ἡ ἀπάτη. ἐὰν δὲ κατα
φατικὸς, ὅταν μὲν διὰ τῶν οἰκείου μέσου, ἀδύνατον ἀμφοτέρας εἶναι ψευ=
δεῖς. ἀνάγκη δὲ τὴν γ β μένειν, εἴπερ ἔσται συλλογισμός. καθάπερ ἐλέ
χθη καὶ πρότερον. ὥστε ἡ γ α ἀεὶ ἔσται ψευδής. αὕτη γάρ ἐστιν ἡ ἀντιστρε
φομένη. ὁμοίως δὲ καὶ εἰ ἐξ ἄλλης συστοιχίας λαμβάνοιτο τὸ μέσον, ὥσπερ
ἐλέχθη καὶ ἐπὶ τῆς στερητικῆς ἀπάτης, ἀνάγκη δὲ τὴν μὲν δ β μένειν, τὴν
δὲ α δ ἀντιστρέφεσθαι. καὶ ἡ ἀπάτη ἡ αὐτὴ τῇ πρότερον. ἐλάττων, ἀεὶ ἀλη=
θής ἐστιν. ἡ δὲ μείζων ὅταν δὲ μὴ διὰ τῶν οἰκείου ἐὰν μὲν ᾖ τὸ δ ὑπὸ τὸ α, αὕτη
μὲν ἔσται ἀληθής. ἡ ἑτέρα δὲ ψευδής. ἐγχωρεῖ δὲ τὸ α πλείοσιν ὑπάρχειν,
ἃ οὐκ ἔστιν ὑπάλληλα. ἐὰν δὲ μὴ ᾖ τὸ δ ὑπὸ τὸ α, αὕτη μὲν, ἀεὶ δῆλον ὅ=
τι ἐστὶ ψευδής. καταφατικὴ τῶν λαμβάνεται. τὴν δὲ δ β ἐνδέχετο
καὶ ἀληθῆ εἶναι καὶ ψευδῆ. οὐδὲν γὰρ κωλύει τὸ μὲν α τῷ δ μηδενὶ
ὑπάρχειν. τὸ δὲ δ τῷ β παντί. οἷον ζῷον. ἐπιστήμη. ἐπιστήμη δὲ, μουσικῇ.
οὐδ' αὖ μήτε τὸ α μηδενὶ τῷ δ. μήτε τὸ δ μηδενὶ τῷ β. φανερὸν οὖν
ὅτι μὴ ὄντος τοῦ μέσου ὑπὸ τὸ α, καὶ ἀμφοτέρας ἐγχωρεῖ ψευ=
δεῖς

δῆς εἶναι. καὶ ὁποτέραν ἔτυχε. ποσαχῶς μὲν οὖν καὶ διὰ τίνων ἔγ-
χωρεῖ γίνεσθαι τὰς κατὰ συλλογισμὸν ἀπάτας, ἔντε τοῖς ἀμέσοις καὶ
14 αὐτοῖς διὰ ἀποδείξεως, φανερόν. φανερὸν δὲ καὶ ὅτι ἔστις αἴσθησις
ἐκλέλοιπεν, ἀνάγκη καὶ ἐπιστήμων τινὰ ἐκλελοιπέναι. ἦν ἀδιώατον
λαβεῖν. εἴτε μανθάνομεν, ἢ ἐπαγωγῇ ἢ ἀποδείξει. ἔστι δ' ἡ μὲν ἀπόδει-
ξις ἐκ τῶν καθόλου. ἡ δ' ἐπαγωγὴ ἐκ τῶν κατὰ μέρος. ἀδιώατον δὲ
τὰ καθόλα θεωρῆσαι, μὴ διὰ ἐπαγωγῆς. ἐπεὶ καὶ τὰ ἐξ ἀφαιρέσεως λε-
γόμενα, ἔσται διὰ ἐπαγωγῆς γνώριμα. πάντες βάλλονται γνώριμα ποιεῖν, ὅ
τι ὑπάρχει ἑκάστῳ γένει ἔνια καὶ εἰ μὴ χωρισά ἐισιν, ἢ τοιοῦτον ἕκαστον.
ἐπαχθῆναι δὲ μὴ ἔχοντας αἴσθησιν, ἀδιώατον. τῶν γὰρ καθ' ἕκαστον ἡ
αἴσθησις. οὐδὲ ἐνδέχεται λαβεῖν αὐτῶν τὴν ἐπιστήμων. οὔτε δὲ ἐκ τῶν
καθόλα ἄνευ ἐπαγωγῆς. οὔτε διὰ τῆς ἐπαγωγῆς ἄνευ τῆς αἰσθήσεως.
15 ἔστι δὲ πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων. καὶ ὁ μὲν δεικνύναι δυνάμε-
νος, ὅτι ὑπάρχει τὸ α τῷ γ, διὰ τὸ ὑπάρχειν τῷ β καὶ τοῦτο τῷ γ. ὁ δὲ ζη-
τητικός, τὸν μὲν ἑτέραν πρότασιν ἔχων, ὅτι ὑπάρχει τὶ ἄλλο ἄλλῳ.
τὸν δ' ἕτερον, ὅτι οὐχ ὑπάρχει. φανερὸν οὖν ὅτι αἱ μὲν ἀρχαὶ καὶ αἱ
λεγόμεναι ὑποθέσεις, αὗταί εἰσι. λαβόντα δὲ ταῦτα, οὕτως ἀνάγκη δει-
κνῦσαι. οἷον ὅτι τὸ α τῷ γ ὑπάρχει διὰ τοῦ β. πάλιν δ' ὅτι τὸ α τῷ β,
διὰ ἄλλου μέσου. καὶ ὅτι τὸ β τῷ γ ὡσαύτως. κατὰ μὲν οὖν λόγον συλ-
λογιζομένοις καὶ μόνον διαλεκτικῶς, δῆλον ὅτι τοῦτο μόνον σκεπτέον,
εἰ ἐξ ὧν ἐνδέχεται ἐνδοξοτάτων γίνεσθαι συλλογισμός. ὥστε εἰ καὶ
ἔστι τῇ ἀληθείᾳ τῶν α β μέσον, δοκεῖ δὲ μὴ εἶναι ὁ διὰ τούτου συλλογιζό-
μενος, συλλελόγισται διαλεκτικῶς. πρὸς δ' ἀλήθειαν, ἐκ τῶν ὑπαρχόν-
των δεῖ σκοπεῖν. ἔχει δ' οὕτως. ἐπεὶ δή ἐστιν ὃ αὐτὸ μὲν κατ' ἄλλο κατη-
γορεῖται μὴ κατὰ συμβεβηκός. λέγω δὲ τὸ κατὰ συμβεβηκός. οἷον τὸ λευ-
κὸν ὅτι ἐκεῖνο φαμὲν εἶναι ἄνθρωπον, οὐχ ὁμοίως λέγοντες καὶ τὸν ἄν-
θρωπον λευκόν. ὁ μὲν γὰρ οὐχ ἕτερόν τι ὤν, λευκόν ἐστι. τὸ δὲ λευκόν, ὅτι

συμβέ

συμβέβηκε τῷ ἀνθρώπῳ εἶναι λευκὸν, ἔστιν οὖν ἔνια τοιαῦτα. ὥστε καθ' αὑτὰ κατηγορεῖσθαι. ἔστω δὴ τὸ γ τοιοῦτον, ὃ αὐτὸ μὲν μηκέτι ὑπάρχει ἄλλῳ. τούτῳ δὲ τῷ β πρώτῳ. καὶ οὐκ ἔστιν ἄλλο μεταξύ. καὶ πάλιν τὸ ε τῷ ζ ὡσαύτως. καὶ τοῦτο τῷ β. ἆρ' οὖν τοῦτο ἀνάγκη στῆναι, ἢ ἐνδέχεται εἰς ἄπειρον ἰέναι. καὶ πάλιν εἰ τοῦ μὲν α μηδὲν κατηγορεῖται καθ' αὑτό. τὸ δὲ α τῷ θ ὑπάρχει πρώτῳ. μεταξὺ δὲ μηδενὶ προτέρῳ καὶ τὸ θ τῷ η. καὶ τοῦτο τῷ β, ἄρα καὶ τοῦτο ἵσταται ἀνάγκη, ἢ καὶ τοῦτ' ἐνδέχεται εἰς ἄπειρον ἰέναι. διαφέρει δὲ τοῦτο τοῦ πρότερον τοσοῦτον, ὅτι τὸ μὲν, ἐστίν. ἆρα ἐνδέχεται ἀρξαμένῳ ἀπὸ τοιούτου ὃ μηδενὶ ὑπάρχει ἑτέρῳ. ἀλλ' ἄλλο ἐκείνῳ ἐπὶ τὸ ἄνω εἰς ἄπειρον ἰέναι. θάτερον δὲ ἀρξάμενον ἀπὸ τοιούτου. ὃ αὐτὸ μὲν ἄλλου. ἐκείνου δὲ μηδὲν κατηγορεῖται ἐπὶ τὸ κάτω σκοπεῖν, εἰ ἐνδέχεται εἰς ἄπειρον ἰέναι. ἔτι τὰ μεταξὺ ἆρα ἐνδέχεται ἄπειρα εἶναι ὡρισμένων τῶν ἄκρων. λέγω δ' οἷον εἰ τὸ α τῷ γ ὑπάρχει. μέσον δ' αὐτῶν τὸ β. τοῦ δὲ β καὶ τοῦ α ἕτερα. τούτων δ' ἄλλα. ἆρα καὶ ταῦτα εἰς ἄπειρον ἐνδέχεται ἰέναι, ἢ ἀδύνατον. ἔστι δὲ τοῦτο σκοπεῖν τ' αὐτὸ, καὶ εἰ αἱ ἀποδείξεις εἰς ἄπειρον ἔρχονται. καὶ εἰ ἔστιν ἀπόδειξις ἅπαντος, ἢ πρὸς ἄλληλα περαίνεται. ὁμοίως δὲ λέγω καὶ ἐπὶ τῶν στερητικῶν συλλογισμῶν καὶ προτάσεων. οἷον εἰ τὸ α μὴ ὑπάρχει τῷ β μηδενὶ, ἤτοι πρώτῳ, ἢ ἔσται τὶ μεταξὺ ᾧ προτέρῳ οὐχ ὑπάρχει. οἷον εἰ τὸ η τῷ β ὑπάρχει παντί. καὶ πάλιν τούτου ἔτι ἄλλῳ προτέρῳ, οἷον τὸ θ, ᾧ τὸ η παντὶ ὑπάρχει. καὶ γὰρ ἐπὶ τούτων ἢ ἄπειρα οἷς οὐχ ὑπάρχει προτέροις, ἢ ἵσταται. ἐπὶ δὲ τῶν ἀντιστρεφόντων οὐχ ὁμοίως ἔχει. οὐ γὰρ ἔστιν ἐν τοῖς ἀντικατηγορουμένοις οὗ πρώτου κατηγορεῖται ἢ τελευταίου. πάντα γὰρ πρὸς πάντα, ταύτηγε ὁμοίως ἔχει, εἴτ' ἔστιν ἄπειρα τὰ κατ' αὐτοῦ κατηγορούμενα, εἴτ' ἀμφότερά ἐστι τὰ ἀπορηθέντα ἄπειρα. πλὴν εἰ μὴ ὁμοίως ἐνδέχεται ἀντιστρέφειν. ἀλλὰ τὸ μὲν, ὡς συμβε-

τὸ β.

16. βηκός. τὸ δ' ὡς κατηγορίαν. ὅτι μὲν οὖν μεταξὺ οὐχ ἐνδέχεται ἄπει
ρα εἶναι, εἰ ἐπὶ τὸ κάτω, καὶ τὸ ἄνω ἵσταντι αἱ κατηγορίαι, δῆλον. λέγω
δ' ἄνω μὲν, τὴν ἐπὶ τὸ καθόλου μᾶλλον. κάτω δὲ, τὴν ἐπὶ τὸ κάτω μέ
ρος. εἰ ἡ τοῦ α κατηγορουμένου κατὰ τοῦ ζ, ἄπειρα τὰ μεταξὺ ἐφ' ὧν β
δῆλον ὅτι ἐνδέχοιτ' ἄν· ὥστε καὶ ἀπὸ τοῦ α ἐπὶ τὸ κάτω, ἕτερον ἑτέ
ρου κατηγορεῖσθαι εἰς ἄπειρον. πρὶν ἢ ἐπὶ τὸ ζ ἐλθεῖν, ἄπειρα τὰ με
ταξὺ καὶ ἀπὸ τοῦ ζ ἐπὶ τὰ ἄνω ἄπειρα, πρὶν ἐπὶ τὸ α ἐλθεῖν. ὥστ' εἰ ταῦ
τα ἀδύνατα, καὶ τοῦ α καὶ τοῦ ζ, ἀδύνατον ἄπειρα εἶναι τὰ μεταξὺ, οὐδὲ
τοῦ εἴτις λέγοι ὅτι τὰ μὲν ἔστι τῶν α β γ ἐχόμενα ἀλλήλων, ὥστε μὴ
εἶναι μεταξύ. τάδ' οὐκ ἔστι λαβεῖν οὐδὲν διαφέρει. ὃ γὰρ ἂν λάβω τῶν
β ἔσται πρὸς τὸ α ἢ πρὸς τὸ ζ, ἢ ἄπειρα τὰ μεταξύ, ἢ οὔ. ἀφ' οὗ δὲ πρῶ=
τον ἄπειρα, εἴτ' εὐθὺς, εἴτε μὴ εὐθὺς, οὐδὲν διαφέρει. τὰ γὰρ μετὰ ταῦ
17 τα ἄπειρά ἐστι. φανερὸν δὲ καὶ ἐπὶ τῆς στερητικῆς ἀποδείξεως ὅτι
στήσεται εἴπερ ἐπὶ τῆς κατηγορικῆς ἵσταται ἐπ' ἀμφότερα. ἔστω
γὰρ μὴ ἐνδεχόμενον μήτε ἐπὶ τὸ ἄνω ἀπὸ τοῦ ὑστάτου εἰς ἄπειρον ἰ=
έναι. λέγω δ' ὕστατον, ὃ αὐτὸ μὲν ἄλλῳ μηδενὶ ὑπάρχει. ἐκεῖνο δὲ ἄλ=
λο οἷον τὸ ζ μήτε ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ὕστατον. λέγω δὲ πρῶτον, ὃ
αὐτὸ μὲν κατ' ἄλλου. κατ' ἐκείνου δὲ μηδὲν ἄλλο. εἰ δὴ ταῦτ' ἐστὶ, δῆ
λον ὡς καὶ ἐπὶ τῆς ἀποφάσεως στήσεται. τριχῶς γὰρ δείκνυται μὴ ὑ
πάρχον. ἢ γὰρ ᾧ μὲν τὸ γ τὸ β ὑπάρχει παντὶ, ᾧ δὲ τὸ β οὐδενὶ τὸ α.
τοῦ μὲν τοίνυν β γ καὶ ἀεὶ τοῦ ἑτέρου διαστήματος, ἀνάγκη βαδίζειν
εἰς ἄμεσα. κατηγορικὸν γὰρ τοῦτο τὸ διάστημα. τὸ δ' ἕτερον δῆλον ὅ=
τι εἰ ἄλλῳ οὐχ ὑπάρχει προτέρῳ. οἷον τῷ δ, τοῦτο δεήσει τῷ β παν=
τὶ ὑπάρχειν. καὶ εἰ πάλιν ἄλλῳ προτέρῳ τῷ δ οὐχ ὑπάρχει, ἐκεῖνο δε
ήσει τῷ δ παντὶ ὑπάρχειν. ὥστ' ἐπεὶ ἡ ἐπὶ τὸ κάτω ἵστατι ὁδὸς, καὶ
ἡ ἐπὶ τὸ ἄνω στήσετι, καὶ ἔσται τι πρώτῳ ᾧ οὐχ ὑπάρχει. πάλιν εἰ τὸ
μὲν β παντὶ τῷ α. τῷ δὲ γ μηδενὶ, τὸ α τῷ γ οὐδενὶ ὑπάρχει. πάλιν

Ἐκείνῳ

τοῦτο

τοῦτο εἰ δεῖ δεῖξαι, δῆλον ὅτι ἢ διὰ τοῦ ἄνω τρόπου δειχθήσεται, ἢ διὰ τούτου, ἢ διὰ τοῦ τρίτου. ὁ μὲν οὖν πρῶτος εἴρηται. ὁδὶ δὲ δεύτερος δειχθήσεται. οὕτω δ' ἂν δειχνύοι, οἷον ὅτι τὸ Α τῷ μὲν Β παντὶ ὑπάρχει. τῷ δὲ Γ οὐδενί. εἰ ἀνάγκη ὑπάρχειν τι τῷ Β. καὶ πάλιν εἰ τῷ Ζ τῷ γ μὴ ὑπάρξει, ἄλλο τῷ Α ὑπάρχει ὃ τῷ γ οὐχ ὑπάρχει. οὐκοῦν ἐστὶ τὸ ὑπάρχειν ἀεὶ τῷ ἀνωτέρω ἵστασθαι, στήσεται καὶ τὸ μὴ ὑπάρχειν. ὁδὶ δὲ ζίζος ζόπος ἦν, εἰ τὸ μὲν Α τῷ Β παντὶ ὑπάρχει. τὸ δὲ Γ μὴ ὑπάρχει, οὐ παντὶ ὑπάρχει τὸ γῷ τὸ Α. πάλιν δὲ τοῦτο ἢ διὰ τῶν ἄνω εἰρημένων, ἢ ὁμοίως δειχθήσεται. ἐκεῖνος μὲν δὴ ἵστασθαι. εἰ δ' οὕτως πάλιν λέγεται τὸ Β τῷ ε ὑπάρχειν, ᾧ τῷ γ μὴ παντὶ ὑπάρχει. καὶ τοῦτο πάλιν ὁμοίως. ἐπεὶ δ' ὑποκειται ἵστασθαι καὶ ἐπὶ τὸ κάτω, δῆλον ὅτι στήσεται καὶ τὸ γ οὐχ ὑπάρχον. φανερὸν δ' ὅτι καὶ ἐὰν μὴ μιᾷ ὁδῷ δείκνυται, ἀλλὰ πάσαις ὁτὲ μὲν ἐκ τοῦ πρώτου σχήματος. ὁτὲ δὲ ἐκ τοῦ δευτέρου, ἢ τρίτου, ὅτι καὶ οὕτως στήσεται. πεπερασμέναι γάρ εἰσιν αἱ ὁδοί. τὰ δὲ πεπερασμένα πεπερασμένοις, ἀνάγκη πεπεράνθαι πάντα. ὅτι μὲν οὖν ἐπὶ τῆς στήσεως εἴσω καὶ ἐπὶ τοῦ ὑπάρχειν ἵστασθαι, δῆλον. ὅτι δ' ἔσω ἐκείνων λογικῶς μὲν θεωροῦσιν, ὥδε φανερόν. ἐπὶ μὲν οὖν τὸ τί ἐστι κατηγορουμένων, δῆλον. εἰ γάρ ἐστιν ὁρίσασθαι, ἢ εἰ γνωστὸν τὸ τί ἦν εἶναι. τὰ δ' ἄπειρα μή ἐστι διελθεῖν, ἀνάγκη πεπεράνθαι τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα. καθόλου δὲ ὥδε λέγομεν. ἔστι γὰρ εἰπεῖν ἀληθῶς τὸ λευκὸν βαδίζειν, καὶ τὸ μέγα ἐκεῖνο, εἶναι ξύλον. καὶ πάλιν τὸ ξύλον μέγα εἶναι, καὶ τὸν ἄνθρωπον βαδίζειν. ἕτερον δὴ ἐστὶ τὸ οὕτως εἰπεῖν, καὶ τὸ ἐκείνως. ὅταν μὲν δὴ τὸ λευκὸν εἶν φῶ ξύλον, τότε λέγω, ὅτι ᾧ συμβέβηκε λευκῷ εἶναι, ξύλον ἐστίν. ἀλλ' οὐχ ὡς τὸ ὑποκείμενον τῷ ξύλῳ τὸ λευκόν ἐστι. καὶ δ οὔτε λευκὸν ὄν, οὔθ' ὅπερ λευκόν τι, ἐγένετο ξύλον. ὥστ' οὐκ ἔστιν, ἀλλ' ἢ κατὰ συμβεβηκός. ὅταν δὲ τὸ ξύλον λευκὸν

18.

ἐκείνῳ

λευκὸν εἶναι φῶ, οὐχ ὅτι ἕτερόν τί ἐστι λευκόν. ἐκεῖνο δὲ συμβέβηκε ξύ-
λῳ εἶναι, οἷον ὅταν τὸν μουσικὸν λευκὸν εἶναι φῶ. τότε τοῦ ὅτι ὁ ἄνθρω-
πος λευκός ἐστιν, ᾧ συμβέβηκεν εἶναι μουσικῷ λέγω, ἀλλὰ τὸ ξύλον ἐστὶ
τὸ ὑποκείμενον, ὅπερ καὶ ἐγένετο. οὐχ ἕτερόν τι ὄν, ἢ ὅπερ ξύλον, ἢ ξύλον
τί. εἰ δὴ δεῖ νομοθεθῆσαι, ἔστω τὸ οὕτω λέγειν κατηγορεῖν. τὸ δ' ἐκεί-
νως, ἤτοι μηδαμῶς κατηγορεῖν, ἢ κατηγορεῖν μὲν μὴ ἁπλῶς. κατὰ συμ-
βεβηκὸς δὲ κατηγορεῖν ἔστι δ' ὡς μὲν τὸ λευκὸν, τὸ κατηγορούμενον.
ὡς δὲ τὸ ξύλον τὸ οὗ κατηγορεῖται. ὑποκείσθω δὴ τὸ κατηγορούμενον
κατηγορεῖσθαι ἀεὶ οὗ κατηγορεῖται, ἁπλῶς. ἀλλὰ μὴ κατὰ συμβεβη-
κός. οὕτω δὲ αἱ ἀποδείξεις ἀποδεικνύουσιν. ὥστε ἢ ἐν τῷ τί ἐστιν, ἢ ὅτι
ποιὸν, ἢ ποσὸν, ἢ πρός τι, ἢ ποιοῦν, ἢ πάσχον, ἢ ποῦ, ἢ πότε, ὅταν ἓν καθ'
ἑνὸς κατηγορηθῇ. ἔτι τὰ μὲν οὐσίαν σημαίνοντα, ὅπερ ἐκεῖνο, ἢ ὅπερ
ἐκεῖνό τι σημαίνει καθ' οὗ κατηγορεῖται. ὅσα δὲ μὴ οὐσίαν σημαίνει, ἀλλὰ
κατ' ἄλλου ὑποκειμένου λέγεται ὃ μή ἐστι, μήτε ὅπερ ἐκεῖνο, μήτε ὅπερ
ἐκεῖνό τι συμβεβηκότα. οἷον κατὰ τοῦ ἀνθρώπου τὸ λευκόν. οὐ γάρ ἐστιν
ὁ ἄνθρωπος, οὔτε ὅπερ λευκὸν, οὔτε ὅπερ λευκόν τι, ἀλλὰ ζῶον ἴσως. ὅ-
περ δὲ ζῶον ἐστὶν ὁ ἄνθρωπος. ὅσα δὲ μὴ οὐσίαν σημαίνει, δεῖ κατά τινος
ὑποκειμένου κατηγορεῖσθαι καὶ μὴ εἶναί τι λευκὸν, ὃ οὐχ ἕτερόν τι ὂν
λευκόν ἐστι. τὰ δὲ εἴδη χαιρέτω. τερετίσματα γάρ ἐστι καὶ εἰ ἔστιν, οὐ-
τὸν δὲν πρὸς τὸ λόγον ἐστίν. αἱ δὲ ἀποδείξεις περὶ τῶν τοιούτων εἰσίν. ἔτι εἰ
μή ἐστι τοῦτο τουδὶ ποιότης, κἀκεῖνο τούτου, μήδε ποιότητος ποιότης
ἀδύνατον ἀντικατηγορεῖσθαι ἀλλήλων οὕτως. ἀλλ' ἀληθὲς μὲν εἰπεῖν
ἐνδέχεται. ἀντικατηγορῆσαι δὲ ἀληθῶς οὐκ ἐνδέχεται. ἢ δὲ ὡς οὐσία κα-
τηγορηθήσεται. οἷον εἰ γένος ὂν ἢ διαφορὰ τοῦ κατηγορουμένου. ταῦτα
δὲ δέδεικται ὅτι οὐκ ἔσται ἄπειρα, οὔτ' ἐπὶ τὸ κάτω, οὔτ' ἐπὶ τὸ ἄνω, οἷ-
ον ἄνθρωπος, δίπουν. τοῦτο ζῶον, τοῦτο δ' ἕτερον. οὐδὲ τὸ ζῶον κατ' ἀν-
θρώπου. τοῦτο δὲ κατὰ καλλίου. τοῦτο δὲ κατ' ἄλλου, ἐν τῷ τί ἐστι. τὴν μὲν

γὰρ οὐσί

ἢ οὐσίαν ἅπασαν ἔστιν ὁρίσασθαι τὴν τοιαύτην. τὰ δ' ἄπειρα οὐκ ἔστι δι
εξελθεῖν νοοῦντα. ὥστ' οὔτ' ἐπὶ τὸ ἄνω, οὔτ' ἐπὶ τὸ κάτω ἄπειρα. ἐκείνην
δὲ οὐκ ἔστι ὁρίσασθαι, ἧς τὰ ἄπειρα κατηγορεῖται. ὡς μὲν δὴ γένη ἀλλή=
λων οὐ κατηρηθήσεται. ἔσται δὲ αὐτὸ ὅπερ αὐτό τι. οὐδὲ μὴν τοιοῦ, ἢ
τῶν ἄλλων οὐδέν, ἂν μὴ κατὰ συμβεβηκὸς κατηγορηθῇ. πάντα δὲ ταῦ
τα συμβέβηκε, καὶ τὰ τῶν οὐσιῶν κατηγορεῖται. ἀλλὰ δὲ ὅτι οὐδ'
εἰς τὰ ἄνω ἄπειρα ἔσται. ἑκάστου δὲ κατηγορεῖται ὃ ἂν σημαίνῃ ἢ ποιόν
τι, ἢ τῶν τοιούτων, ἢ τὰ ἐν τῇ οὐσίᾳ. ταῦτα δὲ πεπέρανται, καὶ τὰ
γένη τῶν κατηγοριῶν πεπέρανται. ἢ δὲ ποιὸν, ἢ ποσὸν, ἢ πρόστι, ἢ ποι
οῦ, ἢ πάσχον, ἢ ποῦ, ἢ πότε, ὑπόκειται δὲ ἓν καθ' ἑνὸς κατηγορεῖσθαι.
αὐτὰ δὲ αὐτῶν ὅσα μὴ τί ἐστι, μὴ κατηγορεῖσθαι οὐ συμβεβηκότα γάρ
ἐστι πάντα. ἀλλὰ τὰ μὲν καθ' αὑτά. τὰ δὲ, καθ' ἕτερον τρόπον. ταῦτα δὲ
πάντα καθ' ὑποκειμένου τινὸς κατηγορεῖσθαι φαμέν. τὸ δὲ συμβεβη
κὸς οὐκ εἶναι ὑποκείμενον τί. οὐδὲν γὰρ τῶν τοιούτων τί θεμεν εἶναι,
ὃ οὐχ ἕτερόν τι ὂν λέγεται, ὃ λέγεται. ἀλλ' αὐτὸ ἄλλου, καὶ ἄλλ' ἅτ
τα καθ' ἑτέρου, οὔτ' εἰς τὸ ἄνω ἄρα ἓν καθ' ἑνός, οὔτ' εἰς τὸ κάτω ὑ=
πάρχειν λεχθήσεται. καθ' ὧν μὲν γὰρ λέγεται τὰ συμβεβηκότα ὅ=
σα ἐν τῇ οὐσίᾳ ἑκάστου. ταῦτα δὲ οὐκ ἄπειρα. ἄνω δὲ ταῦτα τὲ καὶ τὰ
συμβεβηκότα, ἀμφότερα οὐκ ἄπειρα. ἀνάγκη ἄρα εἶναί τι οὗ πρῶτόν
τι κατηγορεῖται. καὶ τούτου ἄλλο. καὶ τοῦτο ἵστασθαι, καὶ εἶναί τι
ὃ οὐκέτι οὔτε κατ' ἄλλου προτέρου, οὔτε κατ' ἐκείνου ἄλλο πρότερον
κατηγορεῖται. εἷς μὲν οὖν τρόπος λέγεται ἀποδείξεως οὗτος. ἔτι δὲ ἄλλος,
εἰ ὧν πρότερα ἅττα κατηγορεῖται, ἔστι τούτων ἀπόδειξις. ὧν δ' ἔστιν ἀ=
πόδειξις, οὔτε βέλτιον ἔχειν ἐγχωρεῖ πρὸς αὐτὰ τοῦ εἰδέναι, οὔτ'
εἰδέναι ἄνευ ἀποδείξεως. εἰ δὲ τόδε διὰ τῶνδε γνώριμον, τάδε δὲ
μὴ ἴσμεν, μὴ δὲ βέλτιον ἔχομεν πρὸς αὐτὰ τοῦ εἰδέναι, οὐδὲ τὸ διὰ
τούτων γνώριμον ἐπιστησόμεθα. εἰ οὖν ἔστι τὶ εἰδέναι δι' ἀποδείξεως

ἁπλῶς

ἁπλῶς, καὶ μὴ ἔκτινων μὴ δ' ἐξ ὑποθέσεως, ἀνάγκη ἵστασθαι τὰς κατηγορίας τὰς μεταξύ, εἰ γὰρ μὴ ἵστανται, ἀλλ' ἔστιν ἀεὶ τοῦ ληφθέντος ἐπάνω, ἁπάντων ἔσται ἀπόδειξις. ὥστ' εἰ τὰ ἄπειρα μὴ ἐγχωρεῖ διελθεῖν, ὧν ἐστὶν ἀπόδειξις, ταῦτ' οὐκ εἰσόμεθα δι' ἀποδείξεως. εἰ οὖν μὴ δὲ βέλτιον ἔχομεν πρὸς αὐτὰ τοῦ εἰδέναι, οὐκ ἔστιν ἐπίστασθαι δι' ἀποδείξεως ἁπλῶς, ἀλλ' ἐξ ὑποθέσεως. Λογικῶς μὲν οὖν ἐκ τούτων ἄντις πιστεύσειε περὶ τοῦ λεχθέντος. ἀναλυτικῶς δὲ διὰ τῶνδε συντομώτερον, ὅτι οὔτ' ἐπὶ τὸ ἄνω οὔτ' ἐπὶ τὸ κάτω ἄπειρα τὰ κατηγορούμενα ἐνδέχεται εἶναι ἐν ταῖς ἀποδεικτικαῖς ἐπιστήμαισ· περὶ ὧν ἡ σκέψις ἐστίν. ἡ μὲν γὰρ ἀπόδειξίς ἐστι τῶν ὅσα ὑπάρχει καθ' αὑτὰ τοῖσ πράγμασι. καθ' αὑτὰ δὲ διχῶς. ὅσα τὲ γὰρ ἐν ἐκείνοις ἐνυπάρχει ἐν τῷ τί ἐστι. καὶ οἷς αὐτὰ ἐν τῷ τί ἐστιν ὑπάρχουσιν αὐτοῖς· οἷον τῷ ἀριθμῷ τὸ περιττόν. ὃ ὑπάρχει μὲν ἀριθμῷ. ἐνυπάρχει δ' αὐτὸς ὁ ἀριθμὸς ἐν τῷ λόγῳ αὐτοῦ. καὶ πάλιν πλῆθος ἢ τὸ διαιρετὸν ἐν τῷ λόγῳ τῷ τοῦ ἀριθμοῦ ἐνυπάρχει. τούτων δ' οὐδέτερα ἐνδέχεται ἄπειρα εἶναι, οὔτε ὡς τὸ περιττὸν, τοῦ ἀριθμοῦ. πάλιν γὰρ ἂν ἐν τῷ περιττῷ ἄλλο εἴη ᾧ ἐνυπῆρχεν ὑπάρχοντι τοῦτο δ' εἰ ἔστι, πρῶτον ὁ ἀριθμὸς ἐνυπάρξει. εἰ μὲν οὖν μὴ ἐνδέχεται τὰ ἄπειρα τοιαῦτα ὑπάρχειν τῷ ἑνὶ, οὐ δ' ἐπὶ τὸ ἄνω ἔσται ἄπειρα. ἀλλὰ μὴν ἀνάγκη γε πάντα ὑπάρχειν τῷ πρώτῳ, οἷον τῷ ἀριθμῷ. κἀκείνοις τὸν ἀριθμόν. ὥστ' ἄντιστρέφοντα ἔσται, ἀλλ' οὐχ ὑπερτείνοντα. οὐ δὴ μὴν ὅσα ἐν τῷ τί ἐστιν ἐνυπάρχει, οὐ δὴ ταῦτα ἄπειρα. οὐ δὲ γὰρ ἂν εἴη ὁρίσασθαι ὥστ' εἰ τὰ μὲν κατηγορούμενα καθ' αὑτὰ, πάντα λέγεται. ταῦτα δὴ μὴ ἄπειρα, ἵσταιτο ἂν τὰ ἐπὶ τὸ ἄνω. ὥστε καὶ ἐπὶ τὸ κάτω. εἰ δ' οὕτως, καὶ τὰ ἐν τῷ μεταξὺ δύο ὅρων ἀεὶ πεπερασμένα. εἰ δὲ τοῦτο, δῆλον ἤδη καὶ τῶν ἀποδείξεων ὅτι ἀνάγκη ἀρχὰς τὲ εἶναι καὶ μὴ πάντων εἶναι ἀπόδειξιν, ὅπερ ἔφαμεν τινὰς λέγειν κατ' ἀρχάς. εἰ γὰρ

Origo principiorum et immediatarum propositionum

εἰσιν

εἰσιν ἀρχαὶ οὔτε πάντα ἀποδεικτὰ, οὔτ' εἰς ἄπειρον οἷόν τε βαδίζειν, τὸ δὲ
εἶναι τούτων ὁποτουρονοῦν, οὐδὲν ἄλλο ἔστιν, ἢ τὸ εἶναι μηδὲν διάστημα ἄμεσον
καὶ ἀδιαίρετον. ἀλλὰ πάντα διαιρετά. τῷ τε ἐντὸς ἐμβάλλεσθαι ὅρον ἀλλ'
οὐ τῷ προσλαμβάνεσθαι, ἀποδείκνυται τὸ ἀποδεικνύμενον. ὥστ' εἰ τοῦτ'
εἰς ἄπειρον ἐνδέχεται ἰέναι. ἐνδέχοιτ' ἂν δύο ὅρων ἄπειρα μεταξὺ εἶ-
ναι μέσα. ἀλλὰ τοῦτ' ἀδύνατον, εἰ ἵστανται αἱ κατηγορίαι ἐπὶ τὸ ἄνω καὶ
τὸ κάτω. ὅτι δὲ ἵστανται, δέδεικται λογικῶς μὲν πρότερον. ἀναλυτικῶς δὲ
νῦν. Δεδειγμένων δὲ τούτων, φανερὸν ὅτι ἐάντι τὸ αὐτὸ δυσὶν ὑπάρχῃ, οἷ- 19.
ον τὸ α τῷ τε γ καὶ τῷ δ, μὴ κατηγορουμένου θατέρου κατὰ θατέρου. ἢ μη-
δαμῶς, ἢ μὴ κατὰ παντὸς, οὐκ ἀεὶ κατὰ κοινόντι ὑπάρξει. οἷον τῷ ἰσο-
σκελεῖ καὶ τῷ σκαληνῷ, εἰ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν κατὰ κοινόντι ὑ-
πάρχει. ἢ δὲ σχῆμάτι ὑπάρχει, καὶ οὐχ ἢ ἕτερον. τοῦτο δ' οὐκ ἀεὶ οὕτως ἔ-
χει. ἔστω δὲ τὸ β, καθ' ὃ τὸ α, τῷ γ δ ὑπάρξει. δῆλον τοίνυν ὅτι καὶ τὸ β τῷ γ
καὶ τῷ δ κατ' ἄλλο κοινόν. κἀκεῖνο, καθ' ἕτερον. ὥστε δύο ὅρων μετα-
ξύ, ἄπειροι ἂν ἐμπίπτοιεν ὅροι, ἀλλ' ἀδύνατον. κατὰ μὲν τοίνυν κοινόντι
ὑπάρχειν οὐκ ἀνάγκη ἀεὶ τὸ αὐτὸ πλείοσιν. ἐπείπερ ἔσται μέσα διαστήμα-
τα. Εν μέντοι τῷ αὐτῷ γένει καὶ ἐκ τῶν αὐτῶν ἀτόμων ἀνάγκη τοὺς ὅρους εἶναι,
εἴπερ τῶν καθ' αὑτὰ ὑπαρχόντων, ἔσται τὸ κοινόν. οὐ δὲ ἦν ἐξ ἄλλου γένους εἰς
ἄλλο γένος διαβῆναι τὰ δεικνύμενα. φανερὸν δὲ καὶ ὅτι ὅταν τὸ α τῷ β ὑ-
πάρχῃ, εἰ μὲν ἐστί τι μέσον, ἔστι δεῖξαι ὅτι τὸ α τῷ β ὑπάρχει. καὶ στοιχεῖα
τούτου ἐστὶ ταῦτα καὶ τοσαῦτ' ὅσα μέσα ἐστίν. αἱ δὲ ἄμεσοι προτάσεις, στοιχεῖα.
ἢ πᾶσαι, ἢ αἱ καθόλου. εἰ δὲ μὴ ἔστιν οὐκέτι ἐστὶν ἀπόδειξις. ἀλλὰ ἡ ἐπὶ
τὰς ἀρχὰς ὁδὸς, αὕτη ἐστίν. Ομοίως δὲ καὶ εἰ τὸ α τῷ β μὴ ὑπάρχει. εἰ μὲν ἔ-
στιν ἢ μέσον ἢ πρότερον ᾧ οὐχ ὑπάρχει ἔστιν ἀπόδειξις. εἰ δὲ μὴ, οὐκ ἔστιν. ἀλ-
λ' ἀρχαὶ καὶ στοιχεῖα τοσαῦτ' ἐστὶν, ὅσοι ὅροι. αἱ δὲ τούτων προτάσεις, ἀρχαὶ τῆς
ἀποδείξεώς εἰσι. καὶ ὥσπερ ἔνιαι ἀρχαί εἰσιν ἀναπόδεικτοι, ὅτι ἔστι τόδε
τωδί. καὶ ὑπάρχει τόδε τωδί. οὕτως, οὐκ ἔστι τόδε τωδί. οὐ δ' ὑπάρχει

τόδε

τόδε τωδί. ὥστε αἱ μὲν εἶναί τι, αἱ δὲ μὴ εἶναί τι ἔσονται ἀρχαί.
Οταν δὲ δέῃ τὶ δεῖξαι, ληπτέον. ὃ τοῦ β πρῶτον κατηγορεῖται, ἔστω τὸ γ.
καὶ τούτου ὁμοίως τὸ α καὶ οὕτως ἀεὶ βαδίζοντι, οὐδέποτε ἐξωτέ-
ρω πρότασις. οὐδ' ὑπάρχον λαμβάνεται, τοῦ α ἐν τῷ δεικνύναι. ἀλλ'
ἀεὶ τὸ μέσον πυκνοῦται ἕως ἀδιαίρετα γένηται καὶ ἕν. ἔστι δ' ἕν, ὅταν ἄμε-
σον γένηται, καὶ μία πρότασις ἁπλῶς, ἡ ἄμεσος. καὶ ὥσπερ ἐν τοῖς ἄλ-
λοις ἡ ἀρχὴ, ἁπλοῦν. τοῦτο δ' οὐ πανταχοῦ τὸ αὐτό. ἀλλ' ἐν βάρει μὲν,
μνᾶ. ἐν δὲ μέλει, δίεσις ἄλλο δ' ἐν ἄλλῳ, οὕτως ἐν συλλογισμῷ τὸ ἕν,
πρότασις ἄμεσος. ἐν δ' ἀποδείξει καὶ ἐπιστήμῃ, ὁ νοῦς. ἐν μὲν οὖν τοῖς
δεικτικοῖς συλλογισμοῖς τοῦ ὑπάρχοντος, οὐδὲν ἔξω πίπτει. ἐν δὲ τοῖς
στερητικοῖς, ἔνθα μὲν ὃ δεῖ ὑπάρχειν, οὐδὲν τούτου ἔξω πίπτει. οἷον εἰ
τὸ α τῷ β διὰ τοῦ γ μή. εἰ γὰρ τῷ μὲν β παντὶ τὸ γ. τὸ δὲ γ μηδενὶ τὸ α.
πάλιν ἂν δέῃ ὅτι τῷ γ τὸ α οὐδενὶ ὑπάρχει, μέσον ληπτέον τοῦ α καὶ γ.
καὶ οὕτως ἀεὶ πορεύσεται. Εὰν δὲ δέῃ δεῖξαι ὅτι τὸ δ τῷ ε οὐχ
ὑπάρχει, τῷ, τὸ γ τῷ μὲν δ παντὶ ὑπάρχειν. τῷ δὲ ε μηδενί. ἢ μὴ παν-
τὶ, τοῦ ε οὐ δέτ' ἔξω πεσεῖται. τοῦτο δ' ἔστιν ᾧ οὐ δεῖ ὑπάρχειν. ἐπὶ δὲ τοῦ
τρίτου τρόπου, οὔτε ἀφ' οὗ δεῖ, οὔτε ὃ δεῖ στερῆσαι, οὐ δέποτ' ἔξω βα-
20. δεῖται. Οὔσης δ' ἀποδείξεως. τῆς μὲν, καθόλου. τῆς δὲ, κατὰ μέρος.
καὶ τῆς μὲν κατηγορικῆς, τῆς δὲ στερητικῆς, ἀμφισβητεῖται, ποτέρα
βελτίων. ὡς δ' αὕτως καὶ περὶ τῆς ἀποδεικνύναι λεγομένης, καὶ τῆς
εἰς τὸ ἀδύνατον ἀγούσης ἀποδείξεως. πρῶτον μὲν οὖν ἐπισκεψώμεθα πε-
ρὶ τῆς καθόλου καὶ τῆς κατὰ μέρος. δηλώσαντες δὲ τοῦτο, καὶ περὶ τῆς
δεικνύναι λεγομένης, καὶ τῆς εἰς τὸ ἀδύνατον εἴπωμεν. Δόξειε μὲν οὖν
τάχ' ἄντισιν ὡδισκοποῦσιν, ἡ κατὰ μέρος εἶναι βελτίων. εἰ γὰρ καθ' ἣν
μᾶλλον ἐπιστάμεθα ἀπόδειξιν, βελτίων ἀπόδειξις. αὕτη γὰρ ἀρετὴ ἀπο-
δείξεως. μᾶλλον δ' ἐπιστάμεθα ἕκαστον, ὅταν αὐτὸ εἰδῶμεν καθ' αὑτὸ, ἢ
ὅταν κατ' ἄλλο. οἷον τὸν μουσικὸν κουρίσκον, ὅταν ὅτι ὁ κουρίσκος ἢ ὅταν

ὅτι

ἔσονται
Principia quedam affirmativa quedam negativa.
ὅταν.
Medium primae figurae nunquam cadit extra utrumque extremum
.i. nunquam de utroque praedicatur

ἔξω πίπτειν τε ἐπὶ πλέον εἶναι
In secunda figura

In secunda figura

In tertia

Sitne vtilis demonstratio melior particulari

Quidquibusdam visum sit
prima Ratio illorum

ὅτι ὁ ἄνθρωπος μουσικός. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἡ δὲ καθόλου, ὅτι ἄλλο, οὐχ ὅτι αὐτὸ τετύχηκεν ἐπιδείκνυσιν. οἷον ὅτι ἰσοσκελὲς, οὐχ ὅτι ἰσοσκελὲς, ἀλλ' ὅτι τρίγωνον. ἡ δὲ κατὰ μέρος, ὅτι αὐτό. εἰ δὴ βελτίων μὲν ἡ καθ' αὑτὸ, τοιαύτη δ' ἡ κατὰ μέρος, τῆς καθόλου μᾶλλον καὶ βελτίων ἂν ἡ κατὰ μέρος ἀπόδειξις εἴη. Ετι εἰ τὸ μὲν καθόλου μή ἐστί τι παρὰ τὰ καθέκαστα. ἡ ἀπόδειξις δόξαν ἐμποιεῖ εἶναί τι τοῦτο καθ' ὃ ἀποδείκνυσι. καί τινα φύσιν ὑπάρχειν ἐν τοῖς οὖσι τοιαύτην. οἷον τριγώνου περὶ τὰ τινά. καὶ σχήματος περὶ τὰ τινά. καὶ ἀριθμοῦ περὶ τοὺς τινὰς ἀριθμούς. βελτίων δ' ἡ περὶ ὄντος ἢ μὴ ὄντος. καὶ δι' ἣν μὴ ἀπατηθήσεται, ἢ δι' ἣν. ἔστι δ' ἡ μὲν καθόλου τοιάδε. προϊόντες γὰρ δεικνύουσιν ὥσπερ περὶ τοῦ ἀνάλογον. οἷον ὅ, τι ἂν ᾖ τοιοῦτον, ἔσται ἀνάλογον, ὃ οὔτε γραμμή. οὔτε ἀριθμός. οὔτε στερεόν. οὔτ' ἐπίπεδον, ἀλλὰ παρὰ ταῦτά τι. εἰ οὖν καθόλου μὲν μᾶλλον αὕτη, περὶ ὄντος δ' ἧττον ἡ καθόλου τῆς κατὰ μέρος, καὶ ἐμποιεῖ δόξαν ψευδῆ, χείρων ἂν εἴη ἡ καθόλου τῆς κατὰ μέρος. Καὶ πρῶτον μὲν, οὐδὲν μᾶλλον ἐπὶ τοῦ καθόλου ἢ τοῦ κατὰ μέρος, ἅτερος λόγος ἐστίν. εἰ γὰρ τὸ, δυσὶν ὀρθαῖς ὑπάρχειν, μὴ ἦ ἰσοσκελές. ἀλλ' ἦ τρίγωνον, ὁ εἰδὼς ὅτι ἰσοσκελὲς ἧττον οἶδεν ἢ αὐτὸ, εἰ ὁ εἰδὼς ὅτι τρίγωνον. Ολως τὲ εἰ μὲν μὴ ὄντος ἦ τρίγωνον. εἶτα δείκνυσιν, οὐκ ἂν εἴη ἀπόδειξις. εἰ δὲ ὄντος, ὁ εἰδὼς ἕκαστον ἦ ἕκαστον ὑπάρχει, μᾶλλον οἶδεν. εἰ δὴ τὸ τρίγωνον ἐπὶ πλέον ἐστί. καὶ ὁ αὐτὸς λόγος καὶ μὴ καθ' ὁμωνυμίαν τὸ τρίγωνον. καὶ ὑπάρχει παντὶ τριγώνῳ, τὸ δύο, οὐκ ἂν τὸ τρίγωνον ἦ ἰσοσκελὲς, ἀλλὰ τὸ ἰσοσκελὲς ἦ τρίγωνον ἔχει τοιαύτας τὰς γωνίας. ὥστε ὁ καθόλου εἰδὼς, μᾶλλον οἶδεν ἦ ὑπάρχει, ἢ ὁ κατὰ μέρος. βελτίων ἄρα ἡ καθόλου τῆς κατὰ μέρος.

Secunda Ratio

Dilutio prioris rationis

Ετι εἰ μὲν εἴη τὶς λόγος, καὶ μὴ ὁμωνυμία τὸ καθόλου, εἴη ἂν οὐδὲν ἧττον ἐνίων τῶν κατὰ μέρος, ἀλλὰ καὶ μᾶλλον, ὅσῳ τὰ ἄφθαρτα ἐν ἐκείνοις ἐστί. τὰ δὲ κατὰ μέρος ἄφθαρτα μᾶλλον. Ετι τὲ οὐδεμία ἀνάγκη ὑπολαμβάνειν

Dilutio posterioris rationis

φθαρτὰ

λαμβάνειν τὶ εἶναι τοῦτο παρὰ ταῦτα, ὅτι ἓν δηλοῖ οὐδὲν μᾶλλον ἢ ἐπὶ τῶν ἄλλων, ὅσα μήτι συμαίνει, ἀλλ' ἢ ποιὸν, ἢ πρός τι, ἢ ποιεῖν. εἰ δὲ ἄρα, οὐχ ἡ ἀπόδειξις αἰτία, ἀλλ' ὁ ἀκούων. ἔτι εἰ ἡ ἀπόδειξις μὲν ἐστι συλλογισμὸς δεικτικὸς γινόμενος τῆς αἰτίας καὶ τοῦ διατί. τὸ καθόλου δ' αἰτιώτερον. ᾧ γὰρ καθ' αὑτὸ ὑπάρχει τὶ, τοῦτο αὐτὸ αὐτῷ αἴτιον. τὸ δὲ καθόλου πρῶτον. αἴτιον ἄρα τὸ καθόλου. ὥστε καὶ ἡ ἀπόδειξις βελτίων. μᾶλλον γὰρ τοῦ αἰτίου καὶ τοῦ διατί ἐστιν. ἔτι μέχρι τούτου ζητοῦμεν τὸ διατί· καὶ τότε οἰόμεθα εἰδέναι, ὅταν μὴ ᾖ τι ἄλλο, ἢ τοῦτο, ἢ γινόμενον, ἢ ὄν. τέλος γὰρ καὶ πέρας τὸ ἔσχατον ἤδη οὕτως ἐστίν. οἷον τίνος ἕνεκα ἦλθεν. ὅπως λάβῃ τὸ ἀργύριον. τοῦτο δ' ὅπως ἀποδῶ ὃ ὤφειλε. τοῦτο δ' ὅπως μὴ ἀδικήσῃ. καὶ οὕτως ἰόντες ὅταν μηκέτι δι' ἄλλο μὴ δ' ἄλλου ἕνεκα, διὰ τοῦτο. ὡς τέλος φαμὲν ἐλθεῖν καὶ εἶναι καὶ γίνεσθαι. καὶ τότε εἰδέναι μάλιστα διατὶ ἦλθεν. εἰδὴ ὁμοίως ἔχει ἐπὶ πασῶν τῶν αἰτιῶν, καὶ τῶν διατί. ἐπὶ δὲ τῶν ὅσα αἴτια οὕτως ὡς οὗ ἕνεκα, οὕτως ἴσμεν μάλιστα, καὶ ἐπὶ τῶν ἄλλων ἄρα τότε μάλιστα ἴσμεν, ὅταν μηκέτι ὑπάρχῃ τοῦτο, ὅ, τι ἄλλο. ὅταν μὲν οὖν γινώσκωμεν, ὅτι τέτταρσιν αἱ ἔξω ἴσαι ὅτι ἰσοσκελὲς, ἔτι λείπεται διατὶ τὸ ἰσοσκελὲς, ὅτι τρίγωνον. καὶ τοῦτο, ὅτι σχῆμα εὐθύγραμμον. εἰ δὲ τοῦτο μηκέτι δι' ἄλλο, τότε μάλιστα ἴσμεν. καὶ καθόλου δὲ τότε, ἡ καθόλου ἄρα βελτίων. ἔτι ὅσα ἂν μᾶλλον κατὰ μέρος ᾖ, εἰς τὰ ἄπειρα ἐμπίπτει. ἡ δὲ καθόλου, εἰς τὸ ἁπλοῦν καὶ τὸ πέρας. ἔστι δ' ἦ μὲν ἄπειρα, οὐκ ἐπιστητὰ, ἦ δὲ πεπέραν ται, ἐπιστητά. ἦ ἄρα καθόλου, μᾶλλον ἐπιστητὰ, ἢ ἦ κατὰ μέρος, ἀποδεικτὰ ἄρα μᾶλλον τὰ καθόλου. τῶν ἀποδεικτῶν μᾶλλον ἀπόδειξις. ἅμα γὰρ μᾶλλον τὰ πρός τι. βελτίων ἄρα ἡ καθόλου, ἐπείπερ καὶ μᾶλλον ἀπόδειξις. ἔτι εἰ αἱρετωτέρα εἴη καθ' ἣν τοῦτο καὶ ἄλλο ἢ καθ' ἣν τοῦτο μόνον οἶδεν. ὁ δὲ τὴν καθόλου ἔχων, οἶδε καὶ τὴν κα

τὰ μέρος

τὰ μέρος. οὗτος δὲ τὸ καθόλου οὐκ οἶδεν. ὥστε κἂν οὕτως αἱρετωτέρα εἴη. ἔτι δὲ ὧδε. τὸ γὰρ καθόλου μᾶλλον εἰδηκέναι ἐστί, τῷ διὰ μέσου δυκνύναι ἐγγυτέρω ὄντος τῆς ἀρχῆς. ἐγγυτάτω δὲ, τὸ ἄμεσον. τοῦτο δ' ἀρχὴ, εἰ οὖν ἡ ἐξ ἀρχῆς τῆς μὴ ἐξ ἀρχῆς, ἡ μᾶλλον ἐξ ἀρχῆς, τῆς ἧττον. ἀκριβεστέρα ἀπόδειξις. ἔστι δὲ τοιαύτη ἡ καθόλου μᾶλλον, κρείττων ἂν εἴη ἡ καθόλου. οἷον εἰ εἴδει ἀποδεῖξαι τὸ α κατὰ τὸ δ, μέσα τὰ ἐφ' ὧν β γ. ἀνωτέρω δὴ τὸ β. ὥστε ἡ διὰ τούτου, καθόλου μᾶλλον. Αλλὰ τῶν μὲν εἰρημένων ἔνια, λογικά ἐστι. μάλιστα δὲ δῆλον ὅτι ἡ καθόλου κυριωτέρα, ὅτι τῶν προτάσεων, τὴν μὲν προτέραν ἔχοντες, ἴσμεν πῶς καὶ τὴν ὑστέραν. καὶ ἔχομεν δυνάμει. οἷον εἴτις οἶδεν ὅτι πᾶν τρίγωνον δυσὶν ὀρθαῖς, οἶδέπως καὶ εἰ μὴ οἶδε τὸ ἰσοσκελὲς, ὅτι τρίγωνον. ὁ δὲ ταύτην ἔχων τὴν πρότασιν, τὸ καθόλου οὐδαμῶς οἶδε, οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ, καὶ ἡ μὲν καθόλου, νοητή. ἡ δὲ κατὰ μέρος, εἰς αἴσθησιν τελευτᾷ. ὅτι μὲν οὖν ἡ καθόλου βελτίων τῆς τατὰ μέρος, τοσαῦθ' ἡμῖν εἰρήσθω. Οτι δ' ἡ δεικτικὴ τῆς στερητικῆς κρείττων, ἐντεῦθεν δῆλον. ἔστω γὰρ αὕτη ἡ ἀπόδειξις βελτίων, τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων. ἡ ἐξ ἐλαττόνων αἰτημάτων, ἢ ὑποθέσεων, ἢ προτάσεων. εἰ γὰρ γνώριμοι ὁμοίως, τὸ θᾶττον γνῶναι διὰ τούτων ὑπάρξει. τοῦτο δ' αἱρετώτερον. λόγος δὲ τῆς προτάσεως ὅτι βελτίων, ἡ ἐξ ἐλαττόνων, καθόλου ὅδε. εἰ γὰρ ὁμοίως εἴη τὸ γνώριμα εἶναι τὰ μέσα. τὰ δὲ πρώτερα γνωριμώτερα, ἔστω ἡ μὲν διὰ μέσων ἀπόδειξις τῶν β γ δ, ὅτι τὸ α τῷ ε ὑπάρχει. ἡ δὲ, διὰ τῶν ζη, ὅτι τὸ α τῷ ε. ὁμοίως δὲ ἔχει ὅτι τὸ α τῷ δ ὑπάρχει. καὶ τὸ α τῷ ε. τὸ δ' ὅτι τὸ α τοῦ δ πρότερον καὶ γνωριμώτερον, ἢ ὅτι τὸ α τῷ ε. διὰ γὰρ τούτου, ἐκεῖνο ἀποδείκνυται. πιστότερον δὲ τὸ δι' οὗ. καὶ ἡ διὰ τῶν ἐλαττόνων ἄρα ἀπόδειξις βελτίων, τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων. ἀμφότεραι μὲν οὖν διάτε ὅρων τριῶν καὶ δύο προτάσεων. δείκ-

εἰδέναι

εἰ δεῖ

2. T. Affirmativa demonstratio prestantior negativa

τῷ δ.

 νυνται

νωνται. ἀλλ' ἡ μὲν εἶναί τι λαμβάνει. ἡ δὲ καὶ εἶναι καὶ μὴ εἶναί τι. διὰ πλειόνων ἄρα. ὥστε χείρων. Ετι ἐπειδὴ δέδεικται ὅτι ἀδύνατον ἀμφοτέρων οὐσῶν στερητικῶν τῶν προτάσεων γίνεσθαι συλλογισμόν, ἀλλὰ τὴν μὲν δεῖ τοιαύτην εἶναι, τὴν δ' ὅτι ὑπάρχει. Ετι πρὸς τούτῳ δεῖ τόδε λαβεῖν. τὰς μὲν ϛ κατηγορικὰς, αὐξανομένης τῆς ἀποδείξεως, ἀναγκαῖον γίνεσθαι πλείους. τὰς δὲ στερητικὰς ἀδύνατον εἶναι πλείους μιᾶς ἐν ἅπαντι συλλογισμῷ. ἔστω γὰρ μηδενὶ ὑπάρχον τὸ α ἐφ' ὅσων τὸ β. τῷ δὲ γ ὑπάρχον παντὶ, τὸ β. ἂν δὲ δέῃ πάλιν αὔξειν

τὸ δ. τὰς προτάσεις, μέσον ἐμβλητέον. τοῦ μὲν, α β ἔστω τῷ δ. τοῦ δὲ β γ, τὸ ε. τὸ μὲν δὴ ε φανερὸν ὅτι κατηγορικόν. τὸ δὲ δ τοῦ μὲν β κατηγορικόν. πρὸς δὲ τὸ α ὡς στερητικὸν κεῖται. τὸ μὲν γὰρ δ παντὶ τῷ β. τὸ δὲ α οὐδενὶ δεῖ τῷ δ ὑπάρχειν. γίνεται οὖν μία στερητικὴ πρότασις. ὁ δ' αὐτὸς τρόπος καὶ ἐπὶ τῶν ἑτέρων συλλογισμῶν. ἀεὶ γὰρ τὸ μέσον τῶν κατηγορικῶν ὅρων, κατηγορικὸν ἐπ' ἀμφότερα. τοῦ δὲ στερητικοῦ, ἐπὶ θάτερα στερητικὸν ἀναγκαῖον εἶναι. ὥστε αὕτη μία τοιαύτη γίνηται πρότασις, αἱ δ' ἄλλαι κατηγορικαί. εἰ δὴ γνωριμώτερον δι' ὃ δείκνυται καὶ πιστότερον. δείκνυται δ' ἡ μὲν στερητικὴ διὰ τῆς κατηγορικῆς. αὕτη δὲ δι' ἐκείνης οὐ δείκνυται. προτέρα καὶ γνωριμωτέρα οὖσα, καὶ πιστοτέρα, βελτίων ἂν εἴη. Ετι εἰ ἀρχὴ συλλογισμοῦ, ἡ καθόλου πρότασις ἄμεσος. ἔστι δ' ἐν μὲν τῇ δεικτικῇ, καταφατική. ἐν δὲ τῇ στερητικῇ ἀποφατικῇ, ἡ καθόλου πρότασις. ἡ δὲ καταφατικὴ τῆς ἀποφατικῆς προτέρα καὶ γνωριμωτέρα. διὰ γὰρ τὴν κατάφασιν ἡ ἀπόφασις γνώριμος, καὶ προτέρα ἡ κατάφασις. ὥσπερ καὶ τὸ εἶναι, τοῦ μὴ εἶναι. ὥστε βελτίων ἡ ἀρχὴ τῆς δεικτικῆς, ἢ τῆς στερητικῆς. ἡ δὲ βελτίοσιν ἀρχαῖς χρωμένη, βελτίων. ἔτι καὶ ἀρχοειδεστέρα.

22 ἄνευ γὰρ τῆς δεικνυούσης οὐκ ἔστιν ἡ στερητική. Επεὶ δ' ἡ κατη-

γορικὴ

γορικὴ τῆς σερητικῆς βελτίων, δῆλον ὅτι καὶ τῆς εἰς τὸ ἀδιάλυτον ἀγούσης. δεῖ δὲ εἰδέναι τίς ἡ διαφορὰ αὐτῶν. ἔστω δὴ τὸ α μηδενὶ ὑπάρχον τῷ β. τῷ δὲ γ τὸ β παντί, ἀνάγκη δὴ τῷ γ μηδενὶ ὑπάρχειν τὸ α. οὕτως μὲν οὖν ληφθέντων, δεικτικὴ ἡ σερητικὴ ἀνεῖη ἀποδείξεως. ὅτι τὸ α τῷ γ, οὐχ ὑπάρχει. ἡ δὲ εἰς τὸ ἀδιάλυτον, ὧδε ἔχει. εἰ δέοι δεῖξαι ὅτι τὸ α τῷ β οὐχ ὑπάρχει, λητέον δὴ ὑπάρχειν, καὶ τὸ β τῷ γ. ὥστε συμβαίνει τὸ α τῷ γ ὑπάρχειν. τοῦτο δὲ ἔστω γνώριμον καὶ ὁμολογούμενον, ὅτι ἀδιάλυτον. οὐκ ἄρα δυνατόν τι τὸ α τῷ β ὑπάρχειν. εἰ δὲ μὴ τὸ β τῷ γ ὁμολογεῖται ὑπάρχειν, τὸ α τῷ β ἀδιάλυτον ὑπάρχειν. οἱ μὲν οὖν ὅροι, ὁμοίως τὰ τοιαῦτα. διαφέρει γὰρ ὁποτέρα ἂν ᾖ γνωριμωτέρα ἡ πρότασις ἡ σερητική. πάντῃ δὲ ὅτι τὸ α τῷ β οὐχ ὑπάρχει, ἢ ὅτι τὸ α τῷ γ. ὅταν μὲν οὖν ᾖ τὸ συμπέρασμα γνωριμώτερον ὅτι οὐκ ἔστι, ἢ εἰς ἀδιάλυτον γίνεται ἀποδειξις. ὅταν δὲ ᾖ τῷ συλλογισμῷ ᾖ, ἀποδεικτική. φύσει δὲ πρότερα, ὅτι τὸ α, τῷ β, ἢ ὅτι τὸ α, τῷ γ. πρότερα γάρ ἐστι τοῦ συμπεράσματος, ἐξ ὧν τὸ συμπέρασμα. ἔστι δὲ τὸ μὲν α τῷ γ μὴ ὑπάρχειν, συμπέρασμα. τὸ δὲ α τῷ β, ἐξ οὗ τὸ συμπέρασμα. οὐ χαίρει δὲ συμβαίνει ἀναιρεῖσθαί τι, τοῦτο συμπέρασμά ἐστιν. ἐκεῖνα δὲ ἐξ ὧν. ἀλλὰ τὸ μὲν ἐξ οὗ, συλλογισμός ἐστιν ὃς ἂν οὕτως ἔχῃ. ὥστε ἢ ὅλον πρὸς μέρος, ἢ μέρος πρὸς ὅλον ἔχειν, αἱ δὲ τὸ α β. καὶ α γ προτάσεις, οὐχ ἕξουσιν οὕτως πρὸς ἀλλήλας. εἰ δὲ μὴ ἐκ γνωριμωτέρων, καὶ προτέρων, κρεῖττον. εἰσὶ δ' ἀμφότερα ἐκ τοῦ μὴ εἶναί τι ποιεῖσαι, ἀλλ' ἡ μὲν ἐκ προτέρου. ἡ δ' ἐξ ὑστέρου βελτίων. ἀπλῶς δ' ἂν εἴη τῆς εἰς τὸ ἀδιάλυτον, ἡ σερητικὴ ἀποδειξις. ὥστε καὶ εἰ ταύτης βελτίων ἡ κατηγορική, δῆλον ὅτι καὶ τῆς εἰς τὸ ἀδιάλυτον ἐστὶ βελτίων. ἀκριβεστέρα δ' ἐπιστήμη ἐπιστήμης. καὶ προτέρα ἥτε τοῦ ὅτι καὶ διότι ἡ αὐτή, ἀλλὰ μὴ χωρὶς τοῦ ὅτι τῆς τοῦ διότι.

Ostensiua negatiua vsitatior obliqua. Pro affirmatiua ostensiua demōstratio

23. Grammaticus legendū est χωρίς, καὶ ἡ ὧδε βαλῶν. ſ. reſpicit. ad τῆς τοῦ διότι.

καὶ ἡ μὴ καθ' ὑποκειμένου τῆς καθ' ὑποκειμένου. οἷον ἀριθμητικὴ ἁρμονικῆς. καὶ ἡ ἐξ ἐλαττόνων τῆς ἐκ προσθέσεως. οἷον γεωμετρίας ἀριθμητική. λέγω δὴ ἐκ προσθέσεως, οἷον μονὰς οὐσία ἄθετος. στιγμὴ δὲ οὐσία θετή. ταύτην ἐκ προσθέσεως. Μία δ' ἐπιστήμη ἐστὶν, ἡ ἑνὸς γένους. ὅσα ἐκ τῶν πρώτων σύγκειται. καὶ μέρη ἐστὶν ἢ πάθη τούτων καθ' αὑτά. ἑτέρα δ' ἐπιστήμη ἐστὶν ἑτέρας. ὅσων αἱ ἀρχαί, μήτε ἐκ τῶν αὐτῶν, μήθ' ἕτεραι ἐκ τῶν ἑτέρων. τούτου δὲ σημεῖον, ὅταν εἰς τὰ ἀναπόδεικτα ἔλθῃ. δεῖ γὰρ αὐτὰ ἐν τῷ αὐτῷ γένει εἶναι τοῖς ἀποδεδειγμένοις. σημεῖον δὲ καὶ τούτου, ὅταν τὰ δεικνύμενα δι' αὐτῶν ἐν τῷ αὐτῷ γένει ὦσι καὶ συγγενῆ. Πλείους δ' ἀποδείξεις εἶναι τοι αὐτοι ἐγχωρεῖ. οὐ μόνον ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνοντι μὴ τὸ συνεχὲς μέσον, οἷον τῶν α β, τὸ γ. καὶ δ. καὶ ζ, ἀλλὰ καὶ ἐξ ἑτέρας. οἷον ἔστω τὸ α μεταβάλλειν. τὸ δὲ ἐφ' ᾧ δ, κινεῖσθαι. τὸ δὲ β, ἥδεσθαι. καὶ πάλιν τὸ η. ἠρεμίζεσθαι. ἀληθὲς οὖν καὶ τὸ δ τοι β. καὶ τὸ α τοι δ κατηγορεῖσθαι. ὁ γὰρ ἡδόμενος κινεῖται. καὶ τὸ κινούμενον, μεταβάλλει. πάλιν τὸ α τοι η. καὶ τὸ η τοι β. ἀληθὲς κατηγορεῖν. πᾶς γὰρ ὁ ἡδόμενος, ἠρεμίζεται. καὶ ὁ ἠρεμιζόμενος μεταβάλλει. ὥστε δι' ἑτέρων μέσων, καὶ οὐκ ἐκ τῆς αὐτῆς συστοιχίας ὁ συλλογισμός. οὐ μὴν ὥστε μηδέτερον κατὰ μηδετέρου λέγεσθαι τῶν μέσων. ἀνάγκη γὰρ τῷ αὐτῷ τινὶ ἄμφω ὑπάρχειν. ἐπισκέψασθαι δὲ καὶ διὰ τῶν ἄλλων σχημάτων, ὁσαχῶς ἐνδέχεται τοι αὐτοι γενέσθαι συλλογισμόν. τοι δ' ἀπὸ τύχης οὐκ ἔστιν ἐπιστήμη δι' ἀποδείξεως. οὔτε γὰρ ὡς ἀναγκαῖον, οὐ δ' ὡς ἐπὶ τὸ πολὺ τὸ ἀπὸ τύχης ἐστίν. ἀλλὰ τὸ παρὰ ταῦτα γινόμενον. ἡ δ' ἀπόδειξις θατέρου τούτων. πᾶς γὰρ συλλογισμὸς, ἢ δι' ἀναγκαίων, ἢ διὰ τῶν ὡσεπιτοπολὺ προτάσεων. καὶ εἰ μὲν αἱ προτάσεις ἀναγκαῖαι, καὶ τὸ συμπέρασμα ἀναγκαῖον. εἰ δ' ὡς ἐπιτοπολὺ, καὶ τὸ συμπέρασμα τοιοῦτον. ὥστε εἰ τὸ

Que scientia vna et que nō vna ;

Eiusdem plures sunt demōstrationes ;

24.

fortuitorū non est scientia

ἐι δ' ἀπὸ τύχης μήθ' ὡς ἐπὶ τὸ πολὺ μήτ' ἀναγκαῖον, οὐκ ἂν εἴη αὐτῳ ἀπό
δειξις. οὐ δὲ δι' αἰσθήσεως ἐστὶν ἐπίστασθαι. εἰ γὰρ μὴ ἔστιν ἡ αἴσθη scientia nō est in sensu
σις τοῦ τοιόνδε, μὴ μὴ τοῦ δέ τινος, ἀλλ' αἰσθάνεσθαί γε ἀναγκαῖον τὸ δέ positus:
τι. καὶ ποῦ καὶ νῦν. τὸ δὲ καθόλου καὶ ἐπὶ πᾶσιν, ἀδύνατον αἰσθάνε
σθαι. οὐ γὰρ τόδε. οὐ γὰρ νῦν. οὐ δ' ἂν ἦν καθόλα. τὸ γὰρ ἀεὶ μὴ πανταχοῦ,
καθόλα φαμὲν εἶναι. ἔπειδὴ ὅταν αἱ μὲν ἀποδείξεις καθόλα. ταῦτα δὲ οὐκ
ἔστιν αἰσθάνεσθαι, φανερὸν ὅτι οὐ δι' ἐπίστασθαι δὴ αἰσθήσεώς ἐστιν. Αλ=
λὰ δῆλον ὅτι μὴ εἰ ἦν αἰσθάνεσθαι ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας
ἔχει τὰς γωνίας, ἐζητοῦμεν ἂν ἀπόδειξιν. καὶ οὐχ ὥς φασί τινες ἴσμεν
μεθα. αἰσθάνεσθαι μὲν γὰρ ἀνάγκη καθ' ἕκαστον. ἡ δ' ἐπιστήμη τῷ τὸ καθό=
λου γνωρίζειν ἐστί. διὸ μὴ εἰ ἐπὶ τῆς σελήνης ὄντες ἐθεωροῦμεν ἀντιφράτ
τουσαν τὴν γῆν, οὐκ ἂν ἴσμεν τὴν αἰτίαν τῆς ἐκλείψεως. ἀισθανόμεθα
γὰρ ὅτι ἐκλείπει. καὶ οὐ δι' ὅτι ὅλως. οὐδ' ἦν τοῦ καθόλου ἡ αἴσθησις.
οὐ μὴν ἀλλὰ ἐκ τοῦ θεωρεῖν πολλάκις τοῦτο συμβαῖνον, τὸ καθόλου ἂν ἦμε
ρεύσαντες, ἀποδείξιν εἴχομεν. ἐκ γὰρ τῶν καθ' ἕκαστα πλειόνων, τὸ κα
θόλου δῆλον. τὸ δὲ καθόλου τίμιον, ὅτι δῆλοι τὸ αἴτιον. ὥστε περὶ τῶν
τοιούτων, ἡ καθόλου τιμιωτέρα τῶν αἰσθήσεων. καὶ τῆς νοήσεως ὅσῳ
ἕτερον τὸ αἴτιον. περὶ δὲ τῶν πρώτων, ἄλλος λόγος. φανερὸν δὲ ὅτι ἀ
δύνατον τῷ αἰσθάνεσθαι, ἐπίστασθαί τι τῶν ἀποδεικτικῶν. εἰ μήτις τὸ
αἰσθάνεσθαι τοῦτο λέγει, τὸ ἐπίσταμαι ἔχειν δι' ἀποδείξεως. ἔστι μὲν τοι
ἔνια ἀναγόμενα εἰς αἴσθησιν ἔκλειψιν ᾧ τοῖς προβλήμασιν. ἔνια
γὰρ εἰ ἐωρῶμεν, οὐκ ἂν ἐζητοῦμεν, οὐχ ὡς εἰδότες τῷ ὁρᾶν, ἀλλ' ὡς
ἔχοντες τὸ καθόλου ἐκ τοῦ ὁρᾶν. ὅτιον εἰ τῷ ὕελον τετρυπημένῳ ἐ
ωρῶμεν. καὶ τὸ φῶς διιὸν, δῆλον ἂν ἦν καὶ διατὶ φωτίζει. διὰ τὸ
ὁρᾶν μὲν χωρὶς ἑφ' ἑκάστης. νοῆσαι δ' ἅμα ὅτι ἐπὶ πασῶν οὕτως.
Τὰς δ' αὐτὰς ἀρχὰς ἁπάντων εἶναι τῶν συλλογισμῶν, ἀληθεύειν. πρῶτον 25.
μὲν λογικῶς θεωρεῖσθαι. ὅτι μὲν γὰρ ἀληθεῖς εἰσι τῶν συλλογισμῶν. ὅτι Neq; omn̄ syllogismi neq
δὲ ἀλη= omn̄ scientiam eadem
sunt principia

δὲ ψευδεῖς. κἂν γὰρ εἴη ἀληθὲς ἐκ ψευδῶν συλλογίσασθαι, ἀλλ' ἅπαξ τοῦτο γίνεται. οἷον εἰ τὸ α κατὰ τοῦ γ ἀληθές. τὸ δὲ μέσον τὸ β ψεῦδος. οὔτε γὰρ τὸ α τῷ β ὑπάρχει, οὔτε τὸ β τῷ γ. ἀλλ' ἐὰν τούτων, μέσα λαμβάνηται τῶν προτάσεων, ψευδεῖς ἔσονται. διὰ τὸ πᾶν συμπέρασμα ψευδὲς ἐκ ψευδῶν εἶναι. τὰ δ' ἀληθῆ ἐξ ἀληθῶν. ἕτερα δὲ τὰ ψευδῆ καὶ τ' ἀληθῆ. εἶτα οὐ δὲ τὰ ψευδῆ ἐκ τῶν αὐτῶν ἑαυτοῖς. ἔστι τὰ ψευδῆ ἀλλήλοις. καὶ ἐναντία. καὶ ἀδύνατα ἅμα εἶναι. οἷον τὸ τὴν δικαιοσύνην εἶναι ἀδικίαν, ἢ δειλίαν. καὶ τὸν ἄνθρωπον, ἵππον, ἢ βοῦν. καὶ τὸ ἴσον, ἢ μεῖζον ἢ ἔλαττον. Εκ δὲ τῶν κειμένων ὧδε οὐ δὲ γὰρ τῶν ἀληθῶν αἱ αὐταὶ ἀρχαὶ πάντων. ἕτεραι γὰρ πολλῶν τῷ γένει αἱ ἀρχαὶ, καὶ οὐ δ' ἐφαρμόττουσαι. οἷον αἱ μονάδες ταῖς στιγμαῖς οὐκ ἐφαρμόττουσιν. αἱ μὲν γὰρ οὐκ ἔχουσι θέσιν. αἱ δὲ ἔχουσιν. ἀνάγκη δέ γε ἢ εἰς μέσα ἐφαρμόττειν, ἢ ἄνωθεν ἢ κάτωθεν. ἢ τοὺς μὲν εἴσω ἔχειν, τοὺς δ' ἔξω τῶν ὅρων. ἀλλ' οὐ δὲ τῶν κοινῶν ἀρχῶν οἷόν τ' εἶναι τινὰς, ἐξ ὧν ἅπαντα δειχθήσεται. λέγω δὲ κοινὰς, οἷον τὸ πᾶν φᾶναι ἢ ἀποφᾶναι. τὰ γὰρ γένη τῶν ὄντων ἕτερα. καὶ τὰ μὲν, τοῖς ποσοῖς. τὰ δὲ, τοῖς ποιοῖς ὑπάρχει μόνοις. μεθ' ὧν, δείκνυται διὰ τῶν κοινῶν. Ετι αἱ ἀρχαὶ, οὐ πολλῷ ἐλάττους τῶν συμπερασμάτων. ἀρχαὶ μὲν γὰρ, αἱ προτάσεις αἱ δὲ προτάσεις ἢ προσλαμβανομένου ὅρου, ἢ ἐμβαλλομένου ὅρου εἰσίν. Ετι τὰ συμπεράσματα, ἄπειρα. οἱ δὲ ὅροι πεπερασμένοι. Ετι αἱ ἀρχαὶ, αἱ μὲν, ἐξ ἀνάγκης. αἱ δὲ, ἐνδεχόμεναι. οὕτω μὲν οὖν σκοπουμένοις, ἀδύνατον τὰς αὐτὰς ἀρχὰς εἶναι, πεπερασμένας ἀπείρων ὄντων τῶν συμπερασμάτων. εἰ δ' ἄλλως πῶς λέγοι τίς. οἷον ὅτι αἱ δὶ μὲν, γεωμετρίας. αἱ δὶ δὲ, ἀριθμῶν. αἱ δὶ δὲ, ἰατρικῆς, τὶ ἂν εἴη τὸ λεγόμενον ἄλλο, πλὴν ὅτι εἰσὶν ἀρχαὶ τῶν ἐπιστημῶν. τὸ δὲ τὰς αὐτὰς φᾶναι γελοῖον. ὅτι αὐταὶ αὐταῖς αἱ αὐταί. πάντα γὰρ οὕτως γίνεται ταυτά. ἀλλὰ μὴν οὐ δὲ τὸ ἐξ ἁπάντων δείκνυσθαι ὁτιοῦν, τοῦτό ἐστι τὸ ζητεῖν ἁπάντων εἶναι

τὰς

hoc est ἀληθῶν καὶ ἀποδεικτικῶν

ἀρχὰς

deest ἕτεραι

τὰς αὐτὰς ἀρχάς. λίαν γὰρ εὐηθες. οὔτε γὰρ ἐν τοῖς φανεροῖς μαθήμασι ῥᾴδιον γίνεται, οὔτε ἐν τῇ ἀναλύσει ῥᾳστον. αἱ γὰρ ἄμεσοι προτάσεις ἀρχαί. ἕτερον δὲ συμπέρασμα προσληφθείσης γίνεται προτάσεως ἀμέσου. Εἰ δέ λέγοι τις τὰς πρώτας ἀμέσους προτάσεις, τὰς αὐτὰς εἶναι ἀρχὰς, μία ἂν ἑκάστῳ γένει εἴη. εἰ δὲ μήτε ἐξ ἁπασῶν ὡς πλέον πλείκνυσθαι ὅτιοὖν μὴ δ' οὕτως ἑτέρας ὥστε ἑκάστης ἐπιστήμης εἶναι ἑτέρας, λείπεται εἰ συγγενεῖς αἱ ἀρχαὶ πάντων. ἀλλ' ἐκ τωνδὶ μὲν, ταδί. ἐκ δὲ τωνδὶ, ταδί. φανερὸν δὲ καὶ ῥᾴδιον, ὅτι οὐκ ἐνδέχεται. πέδειγται γὰρ ὅτι ἄμαι ἀρχαὶ τῷ γένει εἰσίν, αἱ τῶν διαφόρων τῷ γένει. αἱ γὰρ ἀρχαὶ διῃρημέναι ἐξ ὧν τε, καὶ περὶ ὃ. αἱ μὲν οὖν ἐξ ὧν, κοιναί, αἱ δὲ περὶ ὃ, ἴδιαι. οἷον ἀριθμός, μεγέθους. Τὸ δ' ἐπιστήμην καὶ ἐπιστήμη. διαφέρει τοῦ δοξαστοῦ τῇ δόξης. ὅτι ἡ μὲν ἐπιστήμη καθόλου καὶ διὰ ἀναγκαίων. τὸ δὲ ἀναγκαῖον, οὐκ ἐνδέχεται ἄλλως ἔχειν. ἔστι δέ τινα ἀληθῆ μὲν καὶ ὄντα, ἐνδεχόμενα δὲ καὶ ἄλλως ἔχειν. δῆλον οὖν ὅτι περὶ μὲν ταῦτα ἐπιστήμη οὐκ ἔστιν. εἴη γὰρ ἂν ἀδιώατον ἄλλως ἔχειν. ἀλλὰ μὴν οὐ δὲ νοῦς. λέγω γὰρ νοῦν ἀρχὴν ἐπιστήμης. οὐ δ' ἐπιστήμη ἀναπόδεικτος. ῥᾴδιον δ' ἐστὶν ὑποθέσθαι τῆς ἀμέσου προτάσεως. ἀληθὴς δ' ἐστὶ νοῦς καὶ ἐπιστήμη καὶ δόξα. καὶ τὸ διὰ τούτων λεγόμενον. ὥστε λείπεται δόξαν εἶναι, περὶ τὸ ἀληθὲς μὲν ἢ τὸ ψεῦδος. ἐνδεχόμενον δὲ καὶ ἄλλως ἔχειν. τοῦτο δ' ἐστὶν ὑποθέσθαι τῆς ἀμέσου προτάσεως, καὶ μὴ ἀναγκαίας. καὶ ὁμολογούμενον δ' οὕτως τοῖς φαινομένοις. ἥτε γὰρ δόξα, ἀβέβαιον. καὶ ἡ φύσις ἡ τοιαύτη. πρὸς δὲ τούτοις, οὐδεὶς οἴεται δοξάζειν, ὅταν οἴηται ἀδιώατως ἄλλως ἔχειν, ἀλλ' ἐπίστασθαι. ἀλλ' ὅταν εἶναι μὲν οὕτως, οὐ μὴν ἀλλὰ καὶ ἄλλως, οὐδὲν κωλύει τότε δοξάζειν. ὡς τοῦ μὲν τοιούτου δόξαν οὖσαν. τοῦ δ' ἀναγκαίου ἐπιστήμην. ῥᾳδίως οὖν οὐκ ἔστι τὸ αὐτὸ, δοξάσαι καὶ ἐπίστασθαι. καὶ διατί οὐκ ἔστιν ἡ δόξα

Dubitatio

δόξα ἐπιστήμη, εἴτις θήσει ἅπαν ὃ οἶδεν ἐνδέχεσθαι δοξάζειν. ἀ=
κολουθήσει γὰρ ὁ μὲν εἰδώς. ὁ δὲ δοξάζων διὰ τῶν μέσων, ἕως εἰς
τὰ ἄμεσα ἔλθῃ. ὥστ' εἴπερ ἐκείνως οἶδε, καὶ ὁ δοξάζων οἶδεν. ὥσπερ
ἐπὶ καὶ τὸ ὅτι δοξάζειν ἐστὶ, καὶ τὸ διότι. τοῦτο δὲ τὸ μέσον. ἢ εἰ μὲν οὕτως
ὑπολήψεται τὰ μὴ ἐνδεχόμενα ἄλλως ἔχειν, ὥσπερ ἔχειν τοὺς ὁρι=
σμούς, δι' ὧν αἱ ἀποδείξεις, οὐδὲ δοξάσει. ἀλλ' ἐπιστήσεται. εἰ δ' ἀλη
θῆ μὲν εἶναι, οὐ μέν τοι ταῦτά γε αὐτοῖς ὑπάρχειν κατ' οὐσίαν καὶ
κατὰ τὸ εἶδος, δοξάσει καὶ οὐκ ἐπιστήσεται ἀληθῶς καὶ τὸ ὅτι καὶ τὸ
διότι. ἐὰν μὲν διὰ τῶν ἀμέσων, δοξάσει. ἐὰν δὲ μὴ διὰ τῶν ἀμέσων
τὸ ὅτι μόνον δοξάσει. τοῦ αὐτοῦ δόξα καὶ ἐπιστήμη οὐ πάντως ἐστίν.
ἀλλ' ὥσπερ καὶ ψευδὴς καὶ ἀληθὴς τοῦ αὐτοῦ τρόπον τινὰ, οὕτως
καὶ ἐπιστήμη καὶ δόξα τοῦ αὐτοῦ, καὶ δόξαν ἀληθῆ καὶ ψευδῆ. ὡς
μέν τινες λέγουσιν τοῦ αὐτοῦ εἶναι, ἄτοπα συμβαίνει αἱρεῖσθαι, ἄλλά
τε καὶ μὴ δοξάζειν ὃ δοξάζει ψευδῶς. ἐπεὶ δὲ τὸ αὐτὸ πλεοναχῶς λέ
γεται, ἔστι μὲν ὡς ἐνδέχεται. ἔστι δ' ὡς οὔ. τὸ μὲν γὰρ σύμμετρον εἶ=
ναι τὴν διάμετρον ἀληθῶς δοξάζειν, ἄτοπον. ἀλλ' ὅτι ἡ διάμετρος
περὶ ἣν αἱ δόξαι τὸ αὐτὸ, οὕτως τοῦ αὐτοῦ. τὸ δέτι ἦν εἶναι ἑκατέ=
ρῳ κατὰ τὸν λόγον, οὐ τὸ αὐτό. ὁμοίως δὲ καὶ ἐπιστήμη καὶ δόξα
τοῦ αὐτοῦ. ἡ μὲν γὰρ οὕτως τοῦ ζώου, ὥστε μὴ ἐνδέχεσθαι μὴ εἶ=
ναι ζῶον. ἡ δ' ὥστ' ἐνδέχεσθαι. οἷον εἰ μὲν ὅπερ ἀνθρώπου ἐστὶν, ἡ
δὲ, ἀνθρώπου μέν. μὴ ὅπερ δ' ἀνθρώπου. τὸ αὐτὸ γὰρ ὅτι ἄνθρωπος,
τὸ ὡς, οὐ τὸ αὐτό. φανερὸν δ' ἐκ τούτων, ὅτι οὐδὲ δοξάζειν ἅμα τὸ
αὐτὸ καὶ ἐπίστασθαι ἐνδέχεται. ἅμα γὰρ ἂν ἔχοι ὑπόληψιν, τοῦ ἄλ
λως ἔχειν καὶ μὴ ἄλλως τὸ αὐτό. ὅπερ οὐκ ἐνδέχεται. ἐν ἄλλῳ μὲν
γὰρ ἑκάτερον εἶναι ἐνδέχεται τοῦ αὐτοῦ ὡς εἴρηται. ἐν δὲ τῷ αὐ=
τῷ, οὐδ' οὕτως οἷόν τε. ἕξει γὰρ ὑπόληψιν ἅμα. οἷον ὅτι ὁ ἄνθρω=
πος. ὅπερ ζῶον. τοῦτο γὰρ ἦν τὸ μὴ ἐνδέχεσθαι εἶναι μὴ ζῶον καὶ
μὴ ὅπερ

τὸ διότι supple solutio,

μὴ ὅπερ ζῶον. τοῦτο γὰρ ἔσται τὸ συλλέγεσθαι. τὰ δὲ λοιπὰ πῶς διὰ
διανοίας ἐστὶ διανοίας καὶ νοῦ, καὶ ἐστιν ἡ μὲν, καὶ τέχνης, καὶ
φρονήσεως, καὶ σοφία. τὰ μὲν φυσικῆς. τὰ δὲ, ἠθικῆς θεωρίας μᾶλ
λον ἐστίν. ἡ δ' ἀγχίνοια ἔστιν εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ τοῦ 27
μέσου. οἷον εἴτις ἰδὼν ὅτι ἡ σελήνη τὸ λαμπρὸν ἀεὶ ἔχει πρὸς τὸν ἥ
λιον, ταχὺ ἐνενόησε διατὶ τοῦτο, ὅτι διὰ τὸ λάμπειν ἀπὸ τοῦ ἡλίου,
ἢ διαλεγόμενον πλουσίῳ, ἔγνω διότι διαπέπεικεν, ἢ διότι φίλοι,
ὅτι ἐχθροὶ, τοῦ αὐτοῦ. πάντα γὰρ τὰ αἴτια τὰ μέσα, ὁ ἰδὼν τὰ ἄ-
κρα, ἐγνώρισε. τὸ λαμπρὸν εἶναι τὸ, πρὸς τὸν ἥλιον, ἐφ' οὗ α.
τὸ λάμπειν ἀπὸ τοῦ ἡλίου, β. σελήνη, τὸ γ. ὑπάρχει
διὰ τὴν μὲν σελήνην τῷ γ, τὸ β, τὸ λάμ-
πειν ἀπὸ τοῦ ἡλίου. τῷ δὲ
β, τὸ α, τὸ
πρὸς
τοῦτ' εἶναι τὸ λαμπρὸν
ἐφ' οὗ λάμπει. ὥστε καὶ τῷ γ τὸ α, διὰ τοῦ β.

27 Colligentia summa abeq; remis colligere media et ab effectu colligere in promptu tam

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ
ΤΩΝ ΥΣΤΕΡΩΝ
ΑΝΑΛΥΤΙ
ΚΩΝ.

ΑΡΙΣΤΟΤΕ

ΛΟΥΣ ΑΝΑΛΥΤΙΚΩΝ

ὕστερων πρότερον.

1 ΤΑ ζητούμενά ἐστιν ἴσα τὸν ἀριθμόν, ὅσα περ ἐπιστάμεθα. ζητοῦμεν δὲ τέτταρα· τὸ ὅτι, τὸ διότι, εἰ ἔστι, τί ἐστιν. ὅταν μὲν γὰρ πότερον τόδε ἢ τόδε ζητῶμεν εἰς ἀριθμὸν θέντες, οἷον πότερον ἐκλείπει ὁ ἥλιος ἢ οὔ, τὸ ὅτι ζητοῦμεν. σημεῖον δὲ τούτου. εὑρόντες γὰρ ὅτι ἐκλείπει, πεπαύμεθα ἂν ἐὰν ἐξ ἀρχῆς εἰδῶμεν ὅτι ἐκλείπει, οὐ ζητοῦμεν πότερον. ὅταν δὲ εἰδῶμεν τὸ ὅτι, τὸ διότι ζητοῦμεν. οἷον εἰδότες ὅτι ἐκλείπει καὶ ὅτι κινεῖται ἡ γῆ, τὸ διότι ἐκλείπει, ἢ διότι κινεῖται, ζητοῦμεν. ταῦτα μὲν οὕτως. ἔνια δ' ἄλλον τρόπον ζητοῦμεν. οἷον εἰ ἔστιν, ἢ μὴ ἔστι κένταυρος, ἢ θεός. τὸ δ' εἰ ἔστιν ἢ μή, ἁπλῶς λέγω. ἀλλ' οὐκ εἰ λόγος, ἢ μή. γνόντες δὲ ὅτι ἔστι, τί ἐστι ζητοῦμεν. οἷον τί οὖν ἐστι θεός, ἢ τί ἐστιν ἄνθρωπος. ἃ μὲν οὖν ζητοῦμεν, καὶ ἃ εὑρόντες ἴσμεν, ταῦτα
2 καὶ τοσαῦτά ἐστι. ζητοῦμεν δὲ, ὅταν μὲν ζητῶμεν τὸ ὅτι ἢ τὸ εἰ ἔστιν ἁπλῶς, ἆρά ἐστι μέσον αὐτοῖς, ἢ οὐκ ἔστιν. ὅταν δὲ γνόντες, ἢ τὸ ὅτι ἢ τὸ εἰ ἔστιν, ἢ τὸ ἐπὶ μέρους, ἢ τὸ ἁπλῶς, πάλιν τὸ διατί ζητῶμεν, ἢ τὸ τί ἐστι, τότε ζητοῦμεν τί τὸ μέσον. λέγω δὲ τὸ ὅτι, ἢ τὸ εἰ ἔστιν, ἐπὶ μέρους καὶ ἁπλῶς, ἐπὶ μέρους μὲν, ἆρ' ἐκλείπει ἡ σελήνη, ἢ αὔξεται; ἢ γὰρ ἔστι τι ἢ μὴ ἔστι τι, ἐν τοῖς τοιούτοις ζητοῦμεν. ἁπλῶς δὲ, εἰ ἔστιν, ἢ μὴ σελήνη ἢ νύξ. συμβαίνει ἄρα ἐν ἁπάσαις ταῖς ζητήσεσι ζητεῖν, ἢ εἰ ἔστι μέσον, ἢ τί ἐστι τὸ μέσον. τὸ μὲν γὰρ αἴτιον, τὸ μέσον. ἐν ἅπασι δὲ τοῦτο ζητεῖται. ἆρ' ἐκλείπει; ἆρ' ἔστι τι αἴτιον, ἢ οὔ; μετὰ ταῦτα γνόντες ὅτι ἔστι τι, τί οὖν τοῦτ' ἐστὶ ζητοῦμεν. τὸ γὰρ αἴτιον τοῦ εἶναι μὴ

ζητεῖ

τοδί, ἢ τοδί, ἀλλ' ἁπλῶς πλὴν οὐσίαν, ἢ τὸ μὴ ἁπλῶς. ἀλλά τι τῶν κατ' αὐτὸ ἢ κατὰ συμβεβηκός, τὸ μέσον ἐστί. λέγω δὲ τὸ μὲν ἁπλῶς τὸ ὑποκείμενον. οἷον σελήνῃ, ἢ γῇ, ἢ ἥλιον, ἢ τρίγωνον. τὸ δέ τι, ἔκλειψιν, ἰσότητα ἀνισότητα, εἰ ἐν μέσῳ ἢ μή. ἐν ἅπασι δὲ τούτοις φανερόν ἐστιν ὅτι τὸ αὐτό ἐστι, τὸ τί ἐστι. καὶ διατί ἐστι. τί ἐστιν ἔκλειψις, στέρησις φωτὸς ἀπὸ σελήνης ὑπὸ γῆς ἀντιφράξεως. διατί ἐστιν ἔκλειψις, ἢ διατὶ ἐκλείπει ἡ σελήνη, διὰ τὸ ἀπολείπειν τὸ φῶς, ἀντιφραττούσης τῆς γῆς. τί ἐστι συμφωνία, λόγος ἀριθμῶν ἐν ὀξεῖ ἢ βαρεῖ. διατὶ συμφωνεῖ τὸ ὀξὺ τῷ βαρεῖ, διὰ τὸ λόγον ἔχειν ἀριθμῶν τὸ ὀξὺ καὶ τὸ βαρύ. ἅ ἐστὶ συμφωνοῦντα τὸ ὀξὺ καὶ τὸ βαρύ. ἅ ἐστιν ἐν ἀριθμοῖς λόγος αὐτῶν; λαβόντες δ' ὅτι ἐστί, τί ὅτι ἐστιν ὁ λόγος. ὅτι δ' ἔστιν τὸ μέσου ἡ ζήτησις, δῆλοι ὅσων τὸ μέσον αἰσθητόν. ζητοῦμεν γὰρ, μὴ αἰσθημενοί. οἷον τῆς ἐκλείψεως εἰ ἔστιν ἢ μή. εἰ δ' ἡμῖν ἐστὶ τῆς σελήνης, οὐκ ἂν ἐζητοῦμεν, οὔτ' εἰ γίνεται, οὔτε διατί. ἀλλ' ἅμα δῆλον ἂν ἦν. ἐκ γὰρ τοῦ αἰσθάνεσθαι, καὶ τὸ καθόλου ἐγένετο ἂν ἡμῖν εἰλέναι. ἡ μὲν γὰρ αἴσθησις, ὅτι νῦν ἀντιφράττει. καὶ γὰρ δῆλον ὅτι νῦν ἐκλείπει. ἐκ δὲ τούτου, τὸ καθόλου ἂν ἐγένετο. ὥσπερ οὖν λέγομεν τὸ τί ἐστιν εἰλέναι, τὸ αὐτό ἐστι καὶ διατί ἐστι. τοῖς δ' ἁπλῶς καὶ μὴ τῶν ὑπαρχόντων τί, ἢ τῶν ὑπαρχόντων, οἷον ὅτι δύο ὀρθαὶ, ἢ ὅτι μεῖζον, ἢ ἔλαττον. τὶ μὲν οὖν πάντα τὰ ζητούμενα μέσου ζήτησις ἐστί, δῆλον. ὅτι 3

πῶς δὲ τὸ τί ἐστι δείκνυται. καὶ τίς ὁ τρόπος τῆς ἀναγωγῆς, καὶ τί ἐστιν ὁρισμὸς καὶ τίνων, εἴπωμεν. διαπορήσαντες πρῶτον περὶ αὐτῶν. ἀρχὴ δ' ἔστω τῶν μελλόντων ἥπερ ἐστὶν οἰκειοτάτη τῶν ἐχομένων λόγων. ἀπορήσειε γὰρ ἄντις ἆρ' ἐστὶ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ὁρισμῷ εἰδέναι καὶ ἀποδείξει, ἢ ἀδύνατον. ὁ μὲν γὰρ ὁρισμὸς τοῦ τί ἐστιν ἔοικε δοκεῖ. τὸ δὲ τί ἐστιν ἅπαν καθόλου καὶ κατηγορικόν. συλλογισμοὶ δ' εἰσὶν, οἱ μὲν στερητικοί. οἱ δ' οὐ καθόλου.

οἷον

ὅιον οἱ μὲν ἐν τῷ δευτέρῳ σχήματι, στερητικοὶ πάντες. οἱ δ' ἐν τῷ τρί-
τῳ οὐ καθόλου εἶτα οὐδὲ τῶν ἐν τῷ πρώτῳ σχήματι κατηγορικῶν ἁ-
πάντων ἐστὶν ὁρισμός. ὅιον ὅτι πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει. τοῦ
του δὲ λόγος ὅτι τὸ ἐπίστασθαί ἐστιν, τὸ ἀποδεικτὸν, τὸ ἀπόδειξιν ἔχειν.
ὥστ' εἰ ἐπὶ τῶν τοιούτων ἀπόδειξίς ἐστι δῆλον ὅτι οὐκ ἂν εἴη αὐτῶν καὶ
ὁρισμός. ἐπίσταιτο γὰρ ἄντις καὶ κατὰ τὸν ὁρισμὸν οὐκ ἔχων τὴν ἀ-
πόδειξιν. οὐδὲν γὰρ κωλύει μὴ ὅμα ἔχειν. ἱκανὴ δὲ πίστις, καὶ ἐκ τῆς
ἐπαγωγῆς. οὐδὲν γὰρ πώποτε ὁρισάμενοι ἔγνωμεν, οὔτε τῶν καθ' αὑ-
τὸ ὑπαρχόντων οὔτε τῶν συμβεβηκότων. ἔτι εἰ ὁ ὁρισμὸς οὐσίας τὶς
γνωρισμὸς, τάγε τοιαῦτα φανερὸν ὅτι οὐκ οὐσίαι. ὅτι μὲν οὖν οὐκ ἔστιν
ὁρισμὸς ἅπαντος ὅυπερ καὶ ἀπόδειξις δῆλον. τὶ δ' ὅυ ὁρισμὸς ἆρα
παντὸς ἀπόδειξίς ἐστιν, ἢ οὔ; εἷς μὲν δὴ λόγος καὶ περὶ τούτου ὁ αὐ-
τός. τοι γὰρ ἑνὸς ἢ ἓν, μία ἐπιστήμη. ὥστ' εἴπερ τὸ ἐπίστασθαι τὸ ἀποδει-
κτόν ἐστι τὸ τὴν ἀπόδειξιν ἔχειν, συμβήσεταί τι ἀδύνατον. ὁ γὰρ τὸν
ὁρισμὸν ἔχων, ἄνευ ἀποδείξεως ἐπιστήσεται. ἔτι αἱ ἀρχαὶ τῶν ἀποδεί-
ξεων, ὁρισμοὶ ὧν ὅτι οὐκ ἔσονται ἀποδείξεις, δέδεικται πρότερον.
ἢ ἔσονται αἱ ἀρχαὶ ἀποδεικταί. καὶ τῶν ἀρχῶν ἀρχαί· καὶ τοῦτ' εἰς
ἄπειρον βαδιεῖται, ~~καὶ~~ τὰ πρῶτα, ὁρισμοὶ ἔσονται ἀναπόδεικτοι.
ἀλλ' ἆρα εἰ μὴ παντὸς τοι αὐτοῦ, ἀλλά τινος τοι αὐτοῦ ἐστὶν ὁρισμὸς καὶ
ἀπόδειξις, ἢ ἀδύνατον, οὐ γὰρ ἐστιν ἀπόδειξις ὅυ ὁρισμός. ὁρισμὸς μὲν
φαίνονται γὰρ τοι τί ἐστι. καὶ οὐσίας. αἱ δ' ἀποδείξεις φαίνονται πᾶσαι ὑποτι-
θέμεναι καὶ λαμβάνουσαι τό τί ἐστιν ὅιον αἱ μαθηματικαί. τὶ μονάς.
καὶ τὶ τὸ περιττόν. καὶ αἱ ἄλλαι ὁμοίως. ἔτι πᾶσα ἀπόδειξις τὶ κα-
τά τινος δείκνυσιν. ὅιον ὅτι ἔστιν ἢ οὐκ ἔστιν. ἐν δὲ τῷ ὁρισμῷ, οὐδὲν ἕ-
τερον ἑτέρου κατηγορεῖται. ὅιον οὔτε τὸ ζῶον κατὰ τοι δίποδος. οὔτε
τοῦτο κατὰ τοι ζώου οὐδὲ δὴ κατὰ τοι ἐπιπέδου τὸ σχῆμα. οὐ γὰρ
ἐστι τὸ ἐπίπεδον σχῆμα. ἔτι ἕτερον τὸ τί ἐστι. καὶ ὅτι ἔστι δεῖξαι. ὁ μὲν
οὖν

οὖν ὁρισμὸς, τί ἐστι δηλοῖ, ἡ δὲ ἀπόδειξις, ὅτι ἢ ἐστὶ τόδε κατὰ τοῦδε, ἢ οὐκ ἔστιν. ἑτέρου δὲ ἑτέρα ἀπόδειξις, ἐὰν μὴ ὡς μέρος ἢ τι τῆς ὅλης. οὗτος δὲ λέγω, ὅτι δέδεικται τὸ ἰσοσκελὲς δύο ὀρθαῖς, εἰ πᾶν τρίγωνον δέδεικται. μέρος γὰρ τὸ δ' ὅλον. ταῦτα δὲ πρὸς ἄλληλα οὐκ ἔχει οὕτως, τὸ ὅτι ἐστί. καὶ τὸ τί ἐστιν. οὐ γὰρ ἐστι θατέρου θάτερον μέρος. φανερὸν ἄρα ὅτι οὔτε οὗ ὁ ὁρισμὸς, τούτου πάντως ἀπόδειξις. οὔτε οὗ ἀπόδειξις, τούτου πάντως ὁρισμός. ὥστε ὅλως τοῦ αὐτοῦ οὐδενὸς ἐνδέχετο ἄμφω ἔχειν. ὥστε δῆλον ὡς οὐ τὸ ὁρισμὸς καὶ ἀπόδειξις, οὔτε τὸ αὐτὸ ἂν εἴη. οὔτε θάτερον ἐν θατέρῳ. καὶ δὴ ἂν τὰ ὑποκείμενα ὁμοίως εἶχε. ταῦτα μὲν οὖν μέχρι τούτου διηπορήσθω. Τοῦ δὲ τί ἐστι πότερόν ἐστι 4
συλλογισμὸς καὶ ἀπόδειξις, ἢ οὐκ ἔστι καθάπερ νῦν ὁ λόγος ὑπέθετο. ὁ μὲν γὰρ συλλογισμὸς τὶ κατάτινος δείκνυσι διὰ τοῦ μέσου. τὸ δὲ τί ἐστιν, ἴδιόν τε, καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται. ταῦτα δ' ἀνάγκη ἀντιστρέφειν. εἰ δὴ τὸ α τῷ γ ἴδιον, δῆλον ὅτι καὶ τοῦ β. καὶ οὗτος, τοῦ γ. ὥστε πάντα ἀλλήλων. ἀλλὰ μὴν καὶ εἰ τὸ α ἐν τῷ τί ἐστιν ὑπάρχει παντὶ τῷ β. καὶ καθόλου τὸ β παντὸς τοῦ γ ἐν τῷ τί ἐστι λέγεται, ἀνάγκη καὶ τὸ α ἐν τῷ τί ἐστι τοῦ γ λέγεσθαι. εἰ δὲ μὴ οὕτω τὶς λήψεται διπλώσας, οὐκ ἀνάγκη ἔσται τὸ α τοῦ γ κατηγορεῖσθαι ἐν τῷ τί ἐστιν. εἰ τὸ μὲν α τοῦ β ἐν τῷ τί ἐστι, μὴ καθ' ὅσον δὲ τὸ β ἐν τῷ τί ἐστι. τὸ δὲ τί ἐστιν ἄμφω ταῦτα ἕξει. ἔσται ἄρα καὶ τὸ β κατὰ τῷ γ τὸ τί ἐστιν. εἰ δὴ τὸ τί ἐστι. καὶ τὸ τὶ ἦν εἶναι ἄμφω ἔχει, ἐπὶ τοῦ μέσου ὅρου ἔσται πρότερον τὸ τὶ ἦν εἶναι. ὅλως τε εἰ ἐστὶ δεῖξαι, τί ἐστιν ἄνθρωπος. ἔστω τὸ γ ἄνθρωπος. τὸ δὲ α τὸ τί ἐστιν, εἴτε ζῶον δίπουν. εἴτε ἄλλο τι. εἰ τοίνυν συλλογιεῖται, ἀνάγκη κατὰ τοῦ β τὸ α παντὸς κατηγορεῖσθαι. τούτου δ' ἔσται ἄλλος λόγος μέσος. ὥστε καὶ τοῦτο ἔσται, τί ἐστιν ἄνθρωπος. λαμβάνει οὖν ὃ δεῖ δεῖξαι καὶ γὰρ τὸ β ἐστὶ τί ἐστιν ἄνθρωπος. δεῖ δ' ἐν ταῖς δυσὶ προτάσεσι καὶ τοῖς πρώτοις καὶ ἀμέσοις σκοπεῖν μάλιστα δὴ φανερὸν τὸ λεγόμενον γίνεται. Οἱ μὲν οὖν διὰ τὸ ἀντιστρέφειν

δεικνῦντες

δεικνῦντες τί ἐστι ψυχὴ ἢ τί ἐστιν ἄνθρωπος ἢ ἄλλο ὁτιοῦν τῶν ὄντων, τὸ ἐξ ἀρχῆς αἰτοῦνται. οἷον εἴ τις ἀξιώσειε ψυχὴν εἶναι τὸ αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν. τοῦτο δ' ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα. ἀνάγκη γὰρ αἰτῆσαι τὴν ψυχὴν, ὅπερ ἀριθμὸν εἶναι αὐτὸν ἑαυτὸν κινοῦντα. οὕτως ὡς τὸ αὐτὸ ὄν. οὐ γὰρ εἰ ἀκολουθεῖ τὸ α τῷ β. καὶ τοῦτο τῷ γ, ἔσται τῷ γ τὸ α τὸ τὴν εἶναι, ἀλλ' ἀληθὲς εἰπεῖν ἔσται μόνον. οὐ δ' εἰ ἐστὶ τὸ α, ὅπερ τι κατὰ τοῦ β κατηγορεῖται παντός. καὶ γὰρ τὸ, ζώῳ εἶναι, κατηγορεῖται κατὰ τοῦ ἀνθρώπῳ εἶναι. ἀληθὲς γὰρ πᾶν τὸ ἀνθρώπῳ εἶναι, ζώῳ εἶναι. ὥσπερ καὶ πάντα ἄθρωπον ζῶον. ἀλλ' οὐχ οὕτως, ὥστε ἓν εἶναι. ἐὰν μὲν οὖν μὴ οὕτω λάβῃ οὐ συλλογιεῖται, ὅτι τὸ α ἐστὶ τοῦ γ τὸ τὴν εἶναι καὶ ἡ οὐσία. ἐὰν δὲ οὕτω λάβῃ, πρότερον ἔσται εἰληφὼς τῷ γ, ὅτι ἐστὶ τὸ τὴν εἶναι τὸ β. ὥστ' οὐκ ἀποδέδεικται. τὸ γὰρ ἐν ἀρχῇ εἴληφεν. ἀλλὰ μὴν οὐ δ' ἡ διὰ τῶν διαιρέσεων ὁδὸς συλλογίζεται, καθάπερ ἐν τῇ ἀναλύσει τῇ περὶ τὰ σχήματα, ὡς εἴρηται. οὐδαμοῦ γὰρ ἀνάγκη γίνεται τὸ πρᾶγμα ἐκεῖνο εἶναι, τῶνδι ὄντων. Αλλ' ὥσπερ οὐ δ' ὁ ἐπάτων ἀποδείκνυσιν. οὐ γὰρ δεῖ τὸ συμπέρασμα ἐρωτᾶν, οὐ δὲ τῷ δοῦναι εἶναι. ἀλλ' ἀνάγκη εἶναι ἐκείνων ὄντων, κἂν μὴ φῇ ὁ ἀποκρινόμενος. ἆρα ὁ ἄνθρωπος ζῶον, ἢ ἄψυχον. εἶτ' ἔλαβε ζῶον, οὐ συλλελόγισται, πάλιν ἅπαν ζῶον, ἢ πεζὸν ἢ ἔνυδρον. ἔλαβε πεζόν. καὶ τὸ εἶναι τὸν ἄνθρωπον τὸ ὅλον ζῶον πεζὸν, οὐκ ἀνάκη ἐκ τῶν εἰρημένων, ἀλλὰ λαμβάνει καὶ τοῦτο. διαφέρει δ' οὐδὲν ἐπὶ πολλῶν ἢ ὀλίγων οὕτω ποιεῖν. τὸ αὐτὸ γὰρ ἐστιν. ἀσυλλόγιστος μὲν οὖν καὶ ἡ χρῆσις γίνεται τοῖς οὕτω μετιοῦσι καὶ τῶν ἐνδεχομένων συλλογισθῆναι. τί γὰρ κωλύει τοῦτο ἀληθὲς μὲν τὸ πᾶν εἶναι κατὰ τοῦ ἀνθρώπου. μὴ μέντοι τὸ τί ἐστι. μὴ δὲ τὸ τὴν εἶναι δηλοῦν. Ετι τὶ κωλύει ἢ προσθεῖναί τι, ἢ ἀφελεῖν, ἢ ὑπερβεβηκέναι τῆς οὐσίας. ταῦτα μὲν οὖν παρίετε μὲν. ἐνδέχεται δὲ λῦσαι, τῷ λαμβάνειν τὰ ἐν τῷ τί ἐστι πάντα. καὶ τὸ ἐφεξῆς τῇ διαιρέσει ποιεῖν αἰτούμενον

μᾶλλον τὸ πρῶτον καὶ μηδὲν παραλείπειν. τοῦτο δὲ ἀναγκαῖον, εἰ ἅπασαι εἰς τὴν διαίρεσιν ἐμπίπτει. καὶ μηδὲν ἐλλείπει. ζητεῖ δ' ἀναγκαῖον. ἄτοπον γὰρ εἰδέναι δεῖ εἶναι. ἀλλὰ συλλογισμὸς ὅμως οὐκ ἔστιν. ἀλλ' ἔστιν ἄλλον τρόπον γνωρίζειν ποιεῖ. καὶ τοῦτο μὲν οὐδὲν ἄτοπον. οὐδὲ γὰρ ὁ ἐπάνω ἴσως ἀποδείκνυσιν. ἀλλ' ὅμως δῆλοῖ τι. συλλογισμὸν δ' οὐ λέγει ὁ ἐκ τῆς διαιρέσεως ἐκλέγων τὸν ὁρισμόν. ὥσπερ γὰρ ἐν τοῖς συμπεράσμασι τοῖς ἄνευ τῶν μέσων. ἐάν τις εἴπῃ ὅτι τούτων ὄντων ἀνάγκη τοδὶ εἶναι συλλέγεται ἐρωτήσας τὸ διατί, οὕτως καὶ ἐν τοῖς διαιρετικοῖς ὅροις. τί ἐστιν ἄνθρωπος, ζῷον θνητόν. ὑποποιῶ δίπουν ἄπτερον, διατὶ καθ' ἑκάστην πρόθεσιν. ἐρεῖ δ' καὶ λείξει τῇ διαιρέσει ὡς δεῖται, ὅτι πᾶν ἢ θνητὸν, ἢ ἀθάνατον. ὁ δὲ τοιοῦτος λόγος ἅπας, οὐκ ἔστιν ὁρισμός. ὥστε εἰ ἀπολείκνυτο τῇ διαιρέσει, ἀλλ' ὅμως ὁρισμὸς οὐ συλλογισμὸς γίνεται. ΑΛ' ἆρα ἐστὶ καὶ ἀποδεῖξαι τὸ τί ἐστι κατ' οὐσίαν, ἐξ ὑποθέσεως δὲ λαβόντα τὸ μὲν τὶ ἦν εἶναι, τὸ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων. ταδὶ δὲ ἐν τῷ τί ἐστι μόνα. καὶ ἴδιον τὸ πᾶν. ζητεῖ γάρ ἐστι τὸ εἶναι ἐκείνῳ, ἢ πάλιν εἰληφὲ τὸ τί ἦν εἶναι καὶ ἐν τούτῳ. ἀνάγκη γὰρ διὰ τοῦ μέσου δεῖξαι. Ετι ὥσπερ οὐδ' ἐν συλλογισμῷ λαμβάνεται τί ἐστι τὸ συμπεραίνεσθαι, δεῖ γὰρ ὅλη ἢ μέρος ἢ πρότασις ἐξ ὧν ὁ συλλογισμός, οὕτως οὐδὲ τὸ τὶ ἦν εἶναι δεῖ ἐνεῖναι ἐν τῷ συλλογισμῷ. ἀλλὰ χωρὶς ζητεῖ τῶν ἀναγκαίων εἶναι. καὶ πρὸς τὸν ἀμφισβητοῦντα, εἰ συμπεραίνεται ἢ μὴ τοῦτο, ἀπαντᾶν. ὅτι τοῦτο γὰρ ἦν συλλογισμός. καὶ πρὸς τὸν ὅτι οὐ τὸ τὶ ἦν εἶναι συμπεραίνεται, ὅτι ναί. τοδὶ γὰρ ἔκειτο ἡμῖν τὸ τὶ ἦν εἶναι. ὥστε ἀνάγκη καὶ ἄνευ τοῦ τὶ συλλογισμός, ἢ τοῦ τὶ ἦν εἶναι συμπεραίνεσθαί τι. κἂν ἐξ ὑποθέσεως δὲ δεικνύῃ. οἷον εἰ τῷ κακῷ ἐστι τὸ διαιρετῷ εἶναι. τῷ δ' ἐναντίῳ, τὸ τῷ ἐναντίῳ εἶναι. ὅσοις ἐστί τι ἐναντίον. Τὸ δ' ἀγαθὸν τῷ κακῷ ἐναντίον.

καὶ τὸ ἀδιαίρετον τῷ διαιρετῷ. ἔστιν ἄρα τἀγαθῷ εἶναι, τὸ ἀδιαιρέ=
τῳ εἶναι. καὶ γὰρ ἐνταῦθα λαβὼν τὸ τὶ ἦν εἶναι, δείκνυσι. λαμβάνει
δ' εἰς τὸ δεῖξαι. τὸ τὶ ἦν εἶναι. ἕτερον μὲν τοι ἔστω· καὶ γὰρ ἐν ταῖς ἀ
ποδείξεσιν, ἔστι τόδε κατὰ τοῦδε, ἀλλὰ μὴ αὐτό, μὴ δὲ οὗ ὁ αὐτὸς λό
γος, καὶ ἀντιστρέφει. πρὸς ἀμφοτέρους δὲ τόντε κατὰ διαίρεσιν δει
κνύντα, καὶ πρὸς τὸν οὕτω συλλογισμόν, τὸ αὐτὸ ἀπόρημα. Διατὶ ἔσται
ὁ ἄνθρωπος ζῶον δίπουν πεζόν. ἀλλ' οὐ ζῶον καὶ πεζόν. ἐκ γὰρ τῶν
λαμβανομένων, οὐδεμία ἀνάγκη ἐστὶν ἓν γίνεσθαι τὸ κατηγορούμενον.
ἀλλ' ὥσπερ ἂν ἄνθρωπος ὁ αὐτὸς εἴη καὶ μουσικὸς καὶ γραμματικός.
7 Πῶς οὖν δὴ ὁ ὁριζόμενος δείξει τὴν οὐσίαν, ἢ τὸ τί ἐστιν; οὔτε γὰρ ὡς
ἀποδεικνὺς ἐξ ὁμολογουμένων, εἶναι δῆλον ποιήσει, ὅτι ἀνάγκη ἐκεί
νων ὄντων, ἕτερόν τι εἶναι. ἀπόδειξις γὰρ τοῦτο, οὔθ' ὡς ἐπάγων διὰ
τῶν καθέκαστα, δήλων ὄντων, ὅτι πᾶν οὕτως. τῷ μηδὲν ἄλλως. οὐ γὰρ
τί ἐστι δείκνυσιν. ἀλλ' ὅτι ἢ ἐστὶν, ἢ οὐκ ἔστι. τὶς οὖν ἄλλος τρόπος
λοιπός; οὐ γὰρ δὴ δείξει γὲ τῇ αἰσθήσει. ἢ τῷ δακτύλῳ. Ετι
πῶς δείξει τὸ τί ἐστιν ἄνθρωπος. ἀνάγκη γὰρ τὸν εἰδότα τὸ τί ἐστιν
ἄνθρωπος ἢ ἄλλο ὁτιοῦν, εἰδέναι καὶ ὅτι ἐστί. τὸ γὰρ μὴ ὂν οὐδεὶς
ὅ,τι οἶδεν, ὅτι ἐστίν. ἄλλα τὶ μὲν σημαίνει ὁ λόγος, ἢ τὸ ὄνομα, ὅταν εἴπω
τραγέλαφος, τὶ δέ ἐστι τραγέλαφος, ἀδύνατον εἰδέναι. ἀλλὰ μὴν εἰ
δείξει τί ἐστι, καὶ ὅτι ἐστὶ, καὶ πῶς, τῷ αὐτῷ λόγῳ δείξει; ὅτε δὲ ὁρι
μὸς ἔντι δηλοῖ καὶ ἡ ἀπόδειξις, τόδε τί ἐστιν ἄνθρωπος, καὶ τὸ εἶναι
ἄνθρωπον, ἄλλο. εἶτα καὶ δι' ἀποδείξεως φαμὲν ἀναγκαῖον εἶναι δεί
κνυσθαι ἅπαν ὅτι ἐστὶν, εἰ μὴ οὐσία εἴη. τὸ δὲ εἶναι, οὐκ οὐσία
οὐδενί. οὐ γὰρ γένος τὸ ὄν. ἀπόδειξις ἄρα ἔσται ὅτι ἐστίν. ὅπερ
καὶ νῦν ποιοῦσιν αἱ ἐπιστῆμαι· τὶ μὲν γὰρ σημαίνει τὸ τρίγωνον ἔλα
βεν ὁ γεωμέτρης. ὅτι δ' ἔστι δείκνυσι. τὶ οὖν δείξει ὁ ὁριζόμενος
εἰ τί ἐστιν, ἢ τὸ τρίγωνον. εἰδὼς ἄρα τὶς ὁρισμῷ τί ἐστιν ἢ ἐστὶν οὐκ εἴσεται

ἀλλ'

ἀλλ' ἀδύνατον. φανερὸν δὲ καὶ κατὰ τοὺς νῦν τρόπους τῶν ὅρων, ὡς οὐ δεικνύουσιν οἱ ὁριζόμενοι ὅτι ἐστίν. εἰ δὲ καὶ ἔστιν ἐκ τοῦ μέσου τὸ ἴσον. ἀλλὰ διατί ἐστι τὸ ὁρισθέν. καὶ διατὶ τοῦτ' ἔστι κύκλος. εἴη δὲ ἂν καὶ ὀρθὴ χάλκου φᾶναι εἶναι αὐτόν. οὔτε δὲ ὅτι δυνατὸν εἶναι τὸ λεγόμενον προσδηλοῦσιν οἱ ὅροι οὔτε ὅτι ἐκεῖνο οὗ φασὶν εἶναι ὁρισμόν. ἀλλ' ἀεὶ ἔξεστι λέγειν τὸ διατί. εἰ ἄρα ὁ ὁριζόμενος δείκνυσιν. ἢ τί ἐστιν, ἢ τὶ σημαίνει τοὔνομα, ἢ μή ἐστι μηδαμῶς τοῦτί ἐστιν, εἴη ἂν ὁ ὁρισμὸς λόγος ὀνόματι τὸ αὐτὸ σημαίνων. ἀλλ' ἄτοπον· πρῶτον μὲν δὲ καὶ μὴ οὐσιῶν ἂν εἴη. καὶ τῶν μὴ ὄντων. σημαίνειν γὰρ ἐστι καὶ τὰ μὴ ὄντα. Ετι πάντες οἱ λόγοι ὁρισμοὶ ἂν εἶεν. εἴη δὲ ἂν ὄνομα θέσθαι ὁποιωοῦν λόγῳ. ὥστε ὅρους ἂν διαλεγοίμεθα πάντες, καὶ ἡ Ἰλιὰς ὁρισμὸς ἂν εἴη. ἔτι οὐδὲ μία ἐπιστήμη ἀποδείξειεν ἂν ὅτι τοῦτο τοὔνομα, τουτὶ δηλοῖ. οὐδ' οἱ ὁρισμοὶ τοίνυν τοῦτο προσδηλοῦσιν. Εκ μὲν τοίνυν τούτων, οὔτε ὁρισμὸς καὶ συλλογισμὸς φαίνεται ταυτὸν ὄν, οὔτε ταυτοῦ συλλογισμὸς καὶ ὁρισμός. πρὸς δὲ τούτοις, ὅτι οὐδὲ ὁ ὁρισμὸς οὐδὲν, οὔτε ἀποδείκνυσιν, οὔτε δείκνυσιν, οὔτε τὸ τί ἐστιν, οὔθ' ὁρισμῷ, οὔτ' ἀποδείξει ἐστὶ γνῶναι. πάλιν δὲ σκεπτέον τὶ τούτων λέγεται καλῶς. καὶ τὶ οὐ καλῶς. 8.
καὶ τί ἐστιν ὁ ὁρισμός. καὶ τοῦ τί ἐστιν ἄρα πῶς ἐστιν ἀπόδειξις καὶ ὁρισμὸς, ἢ οὐδαμῶς. ἐπεὶ δ' ἔστιν ὡς ἔφαμεν ταυτὸν τὸ εἰδέναι τί ἐστι. καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ εἰ ἐστι. λόγος δὲ τούτου ὅτι ἐστὶ τὶ αἴτιον, καὶ τοῦτο, ἢ τὸ αὐτὸ, ἢ ἄλλο. κἂν εἰ ἄλλο, ἢ ἀποδεικτὸν ἢ ἀνάπόδεικτον. εἰ τοίνυν ἐστὶν ἄλλο καὶ ἐνδέχεται ἀποδεῖξαι, ἀνάγκη μέσον εἶναι τὸ αἴτιον, καὶ ἐν τῷ σχήματι τῷ πρώτῳ δείκνυσθαι. καθόλου τὲ δὲ καὶ κατηγορικὸν τὸ δεικνύμενον. εἷς μὲν δὴ τρόπος ἂν εἴη ὁ νῦν ἐξητασμένος, τὸ δ' ἄλλου τὸ τί ἐστι δείκνυσθαι. τῶν τε γὰρ τί ἐστιν, ἀνάγκη τὸ μέσον εἶναι τί ἐστι, καὶ τῶν ἰδίων. ὥστε τὸ μὲν δείξει, τὸ δ' οὐ δείξει τῶν τὶ ἦν εἶναι τῷ αὐτῷ πράγματι· οὗτος μὲν οὖν ὁ τρόπος

ὅτι οὐκ ἂν εἴη ἀπόδειξις, εἴρηται πρότερον· ἀλλ' ἔστι λογικὸς συλ
9 λογισμὸς τοῦ τί ἐστιν. ὃν δὲ τρόπον ἐνδέχεται, λέγωμεν εἰπόντες πά
λιν ἐξ ἀρχῆς. Ὥσπερ γὰρ τὸ διότι, ζητοῦμεν ἔχοντες τὸ ὅτι. ἐνί=
οτε δὲ καὶ ἅμα δῆλα γίνεται. ἀλλ' οὔτι πρότερόν γε τὸ διότι δυ=
νατὸν γνωρίσαι τοῦ ὅτι, δῆλον ὅτι ὁμοίως καὶ τὸ τί ἦν εἶναι, οὐκ
ἄνευ τοῦ ὅτι ἐστίν. ἀδύνατον γὰρ εἰδέναι τί ἐστιν, ἀγνοοῦντας εἰ ἐ=
στί. τὸ δὲ εἰ ἐστίν, ὁτὲ μὲν κατὰ συμβεβηκὸς ἔχομεν. ὁτὲ δ' ἔχον-
τές τι τοῦ αὐτοῦ πράγματος. οἷον βροντὴν, ὅτι ψόφος τὶς νεφῶν. καὶ
ἔκλειψιν ὅτι στέρησις τοῦ φωτός. καὶ ἄνθρωπον ὅτι ζῶόν τι, καὶ ψυ=
χὴν, ὅτι αὐτὸ ἑαυτὸ κινοῦν. ὅσα μὲν οὖν κατὰ συμβεβηκὸς οἴδαμεν
ὅτι ἐστὶν, ἀναγκαῖον μηδαμῶς ἔχειν πρὸς τὸ τί ἐστιν. οὐδὲ γὰρ ὅτι
ἐστὶν ἴσμεν. τὸ δὲ ζητεῖν τί ἐστι μὴ ἔχοντας ὅτι ἐστὶ, μηδὲν ζητεῖν ἐ-
στι. καθ' ὅσων δ' ἔχομέν τι ῥᾷον. ὥστε ὡς ἔχομεν ὅτι ἐστὶν, οὕτως ἔ=
χομεν καὶ πρὸς τὸ τί ἐστιν. ὧν οὖν ἔχομέν τι τοῦ τί ἐστιν. ἔστω πρῶ=
τον μὲν ὧδε. ἔκλειψις, ἐφ' οὗ τὸ α. σελήνη, ἐφ' οὗ γ. ἀντίφραξις
γῆς. ἐφ' οὗ β. τὸ μὲν οὖν πότερον ἐκλείπει ἢ οὔ, τὸ β ζητεῖν ἐστίν.
ἆρ' ἐστὶν ἢ οὔ. τοῦτο δ' οὐδὲν διαφέρει ζητεῖν, ἢ εἰ ἐστὶ λόγος αὐτοῦ,
καὶ ἐὰν ᾖ τοῦτο, κἀκεῖνο φαμὲν εἶναι, ἢ ποτέρας τῆς ἀντιφάσεως ἐ=
στὶν ὁ λόγος. πότερον τοῦ ἔχειν δύο ὀρθὰς, ἢ τοῦ μὴ ἔχειν. ὅταν δ' εὕ
ρωμεν, ἅμα τὸ, ὅτι καὶ τὸ διότι ἴσμεν, ἂν διὰ μέσων ᾖ. Εἰ δὲ μὴ, τὸ
πανσελῆνον ὅτι. τὸ διότι δὲ, οὔ. σελήνη, γ. ἔκλειψις α. τὸ πανσελήνου σκιὰν μὴ
δύνασθαι ποιεῖν μηδενὸς ἡμῶν μεταξὺ ὄντος φανεροῦ, ἐφ' οὗ β. εἰ
τοίνυν τῷ γ ὑπάρχει τὸ β τὸ μὴ δύνασθαι. ποιεῖν σκιὰν μηδενὸς με
ταξὺ ἡμῶν ὄντος. τούτῳ δὲ τὸ α τὸ ἐκλελοιπέναι. ὅτι μὲν ἐκλείπει,
δῆλον. διό τι δ' οὔπω. καὶ ὅτι μὲν ἔκλειψίς ἐστιν, ἴσμεν. τί δέ ἐστιν,
οὐκ ἴσμεν. δήλου δ' ὄντος ὅτι τὸ α τῷ γ ὑπάρχει, ἀλλὰ διατὶ ὑ=
πάρχει, τὸ ζητεῖν τὸ β τί ἐστι. πότερον ἀντίφραξις, ἢ στροφὴ τῆς σελήνης

ἢ ἀπό

ἢ ἀπόσβεσις τοῦ φωτός. τοῦτο δ' ἐστὶν ὁ λόγος τοῦ ἑτέρου ἄκρου. οἷον ἐν τούτοις τοῦ α. ἐστὶ γὰρ ἡ ἔκλειψις, ἀντίφραξις ὑπὸ γῆς. τί ἐστι βροντή, πυρὸς ἀπόσβεσις ἐν νέφει. διατὶ βροντᾷ διὰ τὸ ἀποσβέννυσθαι τὸ πῦρ ἐν τῷ νέφει. νέφος, γ. βροντή, α. ἀπόσβεσις πυρός, τὸ β. τῷ δὲ γ τῷ νέφει ὑπάρχει τὸ β. ἀποσβέννυται γὰρ ἐν αὐτῷ τὸ πῦρ. τούτῳ δὲ, τὸ ἀφόφος. καὶ ἔστι γε λόγος τὸ β, τοῦ α τοῦ πρώτου ἄκρου. ἂν δὲ πάλιν τούτου ἄλλο μέσον εἴη, ἐκ τῶν παραλοίπων ἔσται λόγων. ὡς μὲν τοίνυν λαμβάνεται τὸ τί ἐστι καὶ γίνεται γνώριμον, εἴρηται. ὥστε συλλογισμὸς μὲν τοῦ τί ἐστιν οὐ γίνεται. οὐδ' ἀπόδειξις. δῆλον μὲν οὖτοι διὰ συλλογισμοῦ καὶ διὰ ἀποδείξεως. ὥστ' οὔτ' ἄνευ ἀποδείξεώς ἐστι γνῶναι τὸ τί ἐστιν, οὐ ἐστιν αἴτιον ἄλλο, οὔτ' ἔστιν ἀπόδειξις αὐτοῦ. ὥσπερ καὶ ἐν τοῖς διαπορήμασιν εἴπομεν. ἔστι δὲ τῶν μὲν τὸ ἕτερόν τι αἴτιον, τῶν δ' οὐκ ἔστιν. ὥστε δῆλον ὅτι καὶ τῶν τί ἐστι, τὰ μὲν, ἄμεσα καὶ ἀρχαί εἰσιν. ἃ καὶ εἶναι, καὶ τί ἐστιν ὑποθέσθαι δεῖ, ἢ ἄλλον τρόπον φανερὰ ποιῆσαι. ὅπερ ἀριθμητικὸς ποιεῖ. καὶ γὰρ τί ἐστι τὸ μονάδα ὑποτίθεται, καὶ ὅτι ἐστί. τῶν δ' ἐχόντων μέσον. καὶ ὧν ἐστί τι ἕτερον αἴτιον τῆς οὐσίας, ἔστι διὰ ἀποδείξεως. ὥσπερ εἴπομεν, δηλῶσαι, μὴ τὸ τί ἐστὶ ἀποδεικνύντας. ὁρισμὸς δ' ἐπεὶ λέγεται εἶναι λόγος τοῦ τί ἐστι. φανερὸν ὅτι ὁ μὲν τις ἔσται λόγος τοῦ τὸ σημαίνει τὸ ὄνομα, ἢ λόγος ἕτερος ὀνοματώδης. οἷον τὸ, τί σημαίνει τί ἐστιν ἡ τρίγωνον. ὅπερ ἔχοντες τί ἐστι, ζητοῦμεν διατί ἐστι. χαλεπὸν δ' οὕτως ἐστὶ λαβεῖν ἃ μὴ ἴσμεν ὅτι ἔστιν. ἢ δ' αἰτία εἴρηται πρότερον τῆς χαλεπότητος, ὅτι οὐδ' εἰ ἔστιν ἢ μὴ, ἴσμεν, ἀλλ' ἢ κατὰ συμβεβηκός. λόγος δὲ ἓν ἐστὶ διχῶς. ὁ μὲν σημαντικός, ὥσπερ ἡ τραγέλαφος. ὁ δὲ τῷ ἓν καθ' ἑνὸς δηλοῦν μὴ κατὰ συμβεβηκός. ἓν μὲν δὴ ὅρος ἐστὶν ὅρου, ὁ εἰρημένος. ἄλλος δ' ἔστιν ὅρος, λόγος ὁ δηλῶν διατί ἐστιν. ὥστε ὁ μὲν πρότερος, σημαίνει μᾶλλον, δείκνυσι δ' οὔ. ὁ δ' ὕστερος, φανερὸν

10.

νερὸν ὅτι ἔσται. οἷον ἀπόδειξις τοῦ τί ἐστι τῇ θέσει διαφέρων τῆς ἀποδείξεως. Διαφέρει γὰρ εἰπεῖν, διατὶ βροντᾷ. καὶ τί ἐστι βροντή. ἐρεῖ γὰρ οὕτω μὲν, διότι ἀποσβέννυται τὸ πῦρ ἐν τοῖς νέφεσι. τί δ' ἔστι βροντὴ, ψόφος ἀποσβεννυμένου πυρὸς ἐν τοῖς νέφεσιν. ὥστε ὁ αὐτὸς λόγος ἄλλον τρόπον λέγεται. καὶ ὡδὶ μὲν ἀπόδειξις συνεχής. ὡδὶ δὲ, ὁρισμός. ἔτι ἐστὶν ὅρος βροντῆς, ψόφος ἐν νέφεσι. τοῦτο δ' ἔστι τῆς τοῦ τί ἐστιν ἀποδείξεως συμπέρασμα. ὁ δὲ τῶν ἀμέσων ὁρισμὸς, θέσις ἐστὶ τοῦ τί ἐστιν ἀναπόδεικτος. ἔστιν ἄρα ὁρισμὸς εἷς μὲν, λόγος τοῦ τί ἐστιν ἀναπόδεικτος. εἷς δὲ, συλλογισμὸς τοῦ τί ἐστι, πτώσει διαφέρων τῆς ἀποδείξεως. τρίτος δὲ, τῆς τοῦ τί ἐστιν ἀποδείξεως συμπέρασμα. φανερὸν οὖν ἐκ τῶν εἰρημένων, καὶ πῶς ἐστι τοῦ τί ἐστιν ἀπόδειξις. καὶ πῶς οὐκ ἔστι. καὶ τίνων ἐστὶ, καὶ τίνων οὐκ ἔστιν. ἔτι δὲ ὁρισμὸς ποσαχῶς τε λέγεται, καὶ πῶς τὸ τί ἐστι δείκνυσι. καὶ πῶς οὔ. καὶ τίνων ἐστί. καὶ τίνων οὔ. ἔτι δὲ πρὸς ἀπόδειξιν πῶς ἔχει. καὶ πῶς ἐνδέχεται τοῦ αὐτοῦ εἶναι. καὶ πῶς οὐκ ἐνδέχεται.

II

Quatuor causæ per quas demonstramus

Επεὶ δὲ ἐπίστασθαι οἰόμεθα ὅταν εἰδῶμεν τὴν αἰτίαν. αἰτίαι δὲ τέσσαρες. μία μὲν, τὸ τὶ ἦν εἶναι μία δὲ, τὸ τίνων ὄντων, ἀνάγκη τοῦτ' εἶναι. ἑτέρα δὲ, ἢ τὶ πρῶτον ἐκίνησε. τετάρτη δὲ τὸ τίνος ἕνεκα, πᾶσαι αὗται διὰ τοῦ μέσου δείκνυνται. τότε γὰρ οὗ ὄντος τοδὶ ἀνάγκη εἶναι. μιᾶς μὲν προτάσεως ληφθείσης, οὐκ ἔστι. δυοῖν δὲ, τοὐλάχιστον. τοῦτο δ' ἔστιν ὅταν ἓν μέσον ἔχωσι. τούτου δὲ ἑνὸς ληφθέντος, ἀνάγκη τὸ συμπέρασμα εἶναι, δῆλον δὲ καὶ ὧδε.

demonstratio per causam materialem

διατὶ ὀρθὴ ἡ ἐν ἡμικυκλίῳ. τίνος ὄντος, ὀρθή. ἔστω δὴ ὀρθὴ, ἐφ' ἧς α. ἡμίσεια δυοῖν ὀρθαῖν, ἐφ' ἧς β. ἡ ἐν ἡμικυκλίῳ, ἐφ' ἧς γ. τῶν δὴ τὸ α τὴν ὀρθὴν ὑπάρχειν τῷ γ τῇ ἐν τῷ ἡμικυκλίῳ, αἴτιον τὸ β. αὕτη μὲν δὴ τῇ αἴσῃ. ἡ δὲ τὸ γ, τῇ β. δύο γὰρ ὀρθῶν ἡμίσεια. τοῦ β οὖν ὄντος ἡμίσεος δύο ὀρθῶν, τὸ α τῷ γ ὑπάρχει. τοῦτο δ' ἦν τὸ ἐν ἡμικυκλίῳ ὀρθὴν εἶναι.

τοῦτο

τουτο δὲ ταυτόν ἐστι τῷ τὶ ἦν εἶναι, τῷ τουτον σημαίνειν τὸν λόγον. ἀλλὰ μὴν καὶ τοῦ τὶ ἦν εἶναι αἴτιον δέδεικται τὸ μέσον. τὸ δὲ διατὶ ὁ μηδικὸς πόλεμος ἐγένετο ἀθηναίοις. τὶς αἰτία τοῦ πολεμεῖσθαι ἀθηναίους. ὅτι εἰς σάρδεις μετ' ἐρετριέων ἐνέβαλον. τουτο γὰρ ἐκινήθη πρῶτον. πόλεμος ἐφ' οὗ α. προτέρους εἰς βαλεῖν β, ἀθηναίοις γ. ὑπάρχει δὴ τὸ β τῷ γ. τὸ πρότερον ἐμβαλεῖν τοῖς ἀθηναίοις. τὸ δὲ α, τῷ β. πολεμοῦσι γὰρ τοῖς πρότερον ἀδικήσασιν. ὑπάρχει ἄρα τῷ μὲν β τὸ α τὸ πολεμεῖσθαι τοῖς πρότερον ἄρξασι. τουτο δὲ τὸ β, τῷ γ. ἤτοι τοῖς ἀθηναίοις. πρότεροι γὰρ ἦρξαν. μέσον ἄρα καὶ ἐνταῦθα τὸ αἴτιον τὸ πρῶτον κινῆσαν. Οσων δὲ αἴτιον τὸ ἕνεκά τινος. οἷον διατὶ περιπατεῖ, ὅπως ὑγιαίνῃ. διατὶ οἰκία ἐστίν, ὅπως σώζηται τὰ σκεύη. τὸ μὲν ἕνεκα τοῦ ὑγιαίνειν. τὸ δ' ἕνεκα τοῦ σώζεσθαι. διατὶ δὲ ἀπὸ δείπνου δεῖ περιπατεῖν. καὶ ἕνεκα τίνος δεῖ, οὐδὲν διαφέρει. Περίπατος δ' ἀπὸ δείπνου γ. τὸ μὴ ἐπιπολάζειν τὰ σιτία, ἐφ' οὗ β. τὸ ὑγιαίνειν, ἐφ' οὗ α. ἔστω δὴ τῷ ἀπὸ δείπνου περιπατεῖν ὑπάρχον τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. καὶ τοῦτο ὑγιεινόν. δοκεῖ γὰρ ὑπάρχειν τῷ περιπατεῖν τῷ γ, τὸ β τὸ μὴ ἐπιπολάζειν τὰ σιτία. τούτῳ δὲ τὸ α τὸ ὑγιεινόν· τὶ οὖν αἴτιον τῷ γ τοῦ τὸ α ὑπάρχειν τὸ οὗ ἕνεκα; τὸ β. τοῦτο δέ ἐστιν ὥσπερ ἐκείνου λόγος. τὸ γὰρ α οὕτως ἀποδοθήσεται. διατὶ δὲ τὸ β τῷ γ ἐστὶν, ὅτι τοῦτ' ἐστὶ τὸ ὑγιαίνειν, τὸ οὕτως ἔχειν. δεῖ δὲ μεταλαμβάνειν τοὺς λόγους, καὶ οὕτως ἕκαστα μᾶλλον φανεῖται. Αἱ δὲ γενέσεις ἀνάπαλιν ἐνταῦθα καὶ ἐπὶ τῶν κατὰ κίνησιν αἰτίων. ἐκεῖ μὲν γὰρ τὸ μέσον δεῖ γενέσθαι πρῶτον. ἐνταῦθα δὲ τὸ γ τὸ ἔσχατον. τελευταῖον δὲ, τὸ οὗ ἕνεκα, ἐνδέχεται δὴ τὸ αὐτὸ καὶ ἕνεκά τινος εἶναι καὶ ἐξ ἀνάγκης. οἷον διὰ τὶ δίεισι διὰ τοῦ λαμπτῆρος τὸ φῶς. καὶ τὸ ἐξ ἀνάγκης διέρχεται τὸ μικρομερέστερον διὰ τῶν μειζόνων πόρων, εἴπερ φῶς γίνεται τὸ διϊέναι. καὶ

per formale

per efficientem

per finalem.

dixit ἕνεκά τινος, vult grammaticus pro οὗ ἕνεκα.

per ἐξ ἀνάγκης intelligit ~~τελικὸν~~ αἴτιον ὑλικὸν

eadem res per causam materialem, et finalem monstrari potest

ναι. καὶ ἕνεκά τινος ὅπως μὴ πλαίωμεν. ἆρα οὖν εἰ ἔστιν ἐνδέχεται. καὶ γενέσθαι ἐνδέχεται, ὥσπερ εἰ βροντᾷ ἀποσβεννυμένου τοῦ πυρός, ἀνάγκη σῖξαι καὶ φοβεῖν, καὶ ὥσπερ οἱ πυθαγόρειοί φασιν ἀπειλῆς ἕνεκα τοῖς ἐν τῷ ταρτάρῳ ὅπως φοβῶνται. σωθῆσα δὲ τοιαῦτά ἐστι καὶ μάλιστα ἐν τοῖς κατὰ φύσιν σωιζομένοις καὶ σωιζῶσιν. ἡ μὲν γὰρ ἕνεκά του ποιεῖ φύσις. ἢ δὲ ἐξ ἀνάγκης. ἢ δ' ἀνάγκη, διττή. ἢ μὲν γὰρ κατὰ φύσιν καὶ τὴν ὁρμήν. ἢ ἡ βιαία, ἢ παρὰ τὴν ὁρμήν. ὥσπερ ὁ λίθος ἐξ ἀνάγκης καὶ ἄνω καὶ κάτω φέρεται, ἀλλ' οὐ διὰ τὴν αὐτὴν ἀνάγκην. Ἐν δὲ τοῖς ἀπὸ διανοίας, τὰ μὲν οὐδέποτε ἀπὸ τοῦ αὐτομάτου ὑπάρχει. οἷον οἰκία ἢ ἀνδριάς. οὐ δ' ἐξ ἀνάγκης. ἀλλ' ἕνεκά του. τὰ δὲ καὶ ἀπὸ τύχης. οἷον ὑγίεια καὶ σωτηρία. μάλιστα δὲ ἐν ὅσοις ἐνδέχεται καὶ ὤλεθρος καὶ ἄλλως, ὅταν μὴ ἀπὸ τύχης ἡ γένεσις ᾖ. ὥστε τὸ τέλος ἀγαθὸν ἕνεκά του γίνεται. καὶ ἡ φύσει ἢ τέχνῃ. ἀπὸ τύχης δ' οὐδὲν ἕνεκά του γίνεται. τὸ αὐτὸ δ' αἴτιόν ἐστι τοῖς γινομένοις. καὶ τοῖς γεγενημένοις καὶ τοῖς ἐσομένοις, ὅπερ καὶ τοῖς οὖσι. τὸ δὲ μέσον, αἴτιον. πλὴν τοῖς μὲν οὖσιν, ὄν. τοῖς δὲ γινομένοις, γινόμενον. τοῖς δὲ γεγενημένοις, γεγενημένον. τοῖς δὲ ἐσομένοις, ἐσόμενον. οἷον διατί γέλωσιν ἔκλειψις, διότι ἐν μέσῳ γέγονεν ἡ γῆ. γίνεται δέ, διότι γίνεται. ἔσται δέ, διότι ἔσται ἐν μέσῳ. καὶ ἔστι δέ, ὅτι ἐστί. τί ἐστι κρύσταλλος. εἰ λήφθω διὰ ὅτι ὕδωρ πεπηγός. ὕδωρ ἐφ' οὗ γ. πεπηγὸς ἐφ' οὗ α αἴτιον τὸ μέσον ἐφ' οὗ β, ἔκλειψις θερμοῦ παντελής. ὑπάρχει διὰ τῷ γ τὸ β. τούτῳ δὲ τὸ πεπηγέναι τὸ ἐφ' οὗ α. γίνεται δὲ κρύσταλλος, γινομένου τοῦ β. γεγένηται δὲ, γεγενημένου. ἔσται δὲ, ἐσομένου. τὸ μὲν οὖν οὕτως αἴτιον. καὶ οὐ αἴτιον, ἅμα γίνεται, ὅταν γίνηται. καὶ ἔστιν, ὅταν ᾖ. καὶ ἐπὶ τοῦ γεγονέναι καὶ ἑστάναι ὡσαύ-

12 τως. Ἐπὶ δὲ τῶν μὴ ἅμα, ἀεί ἐστιν ἐν τῷ συνεχεῖ χρόνῳ ὥσπερ δοκεῖ ἡμῖν ἄλλα ἄλλων αἴτιον εἶναι; τὸ δὲ γενέσθαι ἕτερον γενόμενον. καὶ τοῦ ἑστάναι ἕτερον ἑστάμενον, καὶ τοῦ γίνεσθαι ἢ ἔτι ἔμπροσθεν ἐγένετο. ἔστι ἢ ἀπὸ,

δὲ ἀπὸ τοῦ ὕστερον γενόντος ὁ συλλογισμός. ἀρχὴ δὲ καὶ τούτων τὰ γεγονότα. διὸ καὶ ἐπὶ τῶν γινομένων ὡσαύτως. ἀπὸ δὲ τοῦ πρότερου οὐκ ἔστιν. οἷον ἐπεὶ τόδε γέγονεν, ὅτι τὸ δ' ὕστερον γέγονε. καὶ ἐπὶ τοῦ ἔσεσθαι ὡσαύτως. οὔτε γὰρ ἀορίστου οὔθ' ὡρισθέντος ἔσται τοῦ χρόνου. ὥστ' ἐπεὶ τοῦτ' ἀληθὲς εἰπεῖν γεγονέναι, τὸ δ' ἀληθὲς εἰπεῖν γεγονέναι τὸ ὕστερον. ἐν γὰρ τῷ μεταξύ, ψεῦδος ἔσται τὸ εἰπεῖν τόδε, ἤδη θατέρου γεγονότος. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐσομένου. οὐ δ' ἐπεὶ τόδε γέγονε, τὸ δ' ἔσται. τὸ γὰρ μέσον, ὁμόγονον δεῖ εἶναι. τῶν γενομένων, γενόμενον. τῶν ἐσομένων, ἐσόμενον. τῶν γινομένων, γινόμενον. τῶν ὄντων, ὄν. τοῦ γὰρ γέγονε καὶ τοῦ ἔσται, οὐκ ἐνδέχεται εἶναι ὁμόγονον. ἔτι οὔτε ἀόριστον ἐνδέχεται εἶναι τὸν χρόνον τὸν μεταξύ, οὔτε ὡρισμένον. ψεῦδος γὰρ ἔσται τὸ εἰπεῖν ἐν τῷ μεταξύ. ἐπισκεπτέον δὲ τί τὸ συνέχον, ὥστε μετὰ τὸ γεγονέναι, τὸ γίνεσθαι ὑπάρχειν ἐν ἅπασι πράγμασιν. ἢ δῆλον ὅτι οὐκ ἔστιν ἐχόμενον γεγονότος γινόμενον. οὐ δὲ γὰρ γενόμενον γινομένου. πέρατα γὰρ καὶ ἄζυμα. ὥσπερ δοῦν οὐ δὲ στιγμαί εἰσιν ἀλλήλων ἐχόμεναι, οὐ δὲ γινόμεναι. ἄμφω γὰρ ἀδιαίρετα. οὐ δὲ δὴ γινόμενον γεγενημένου ἀλλὰ τὸ αὐτό. τὸ μὲν γὰρ γινόμενον, διαιρετόν. τὸ δὲ γεγονὸς ἀδιαίρετον. ὥσπερ δοῦν γραμμὴ πρὸς στιγμήν ἔχει, οὕτω τὸ γινόμενον πρὸς τὸ γεγονός. ἐνυπάρχει μὲν ἄπειρα γεγονότα ἐν τῷ γινομένῳ. μᾶλλον δ' φανερῶς ἐν τοῖς καθόλου περὶ κινήσεως δεῖ λεχθῆναι περὶ τούτων. περὶ μὲν οὖν τοῦ πῶς ἂν ἐφεξῆς γινομένης τῆς γενέσεως ἔχοι τὸ μέσον τὸ αἴτιον, εἰ λήφθω ἐπὶ τοσοῦτον. ἀνάγκη γὰρ ἢ ἐν τούτοις τὸ πρῶτον, καὶ τὸ μέσον ἄμεσα εἶναι. οἷον τὸ α γέγονεν, ἐπεὶ τὸ γ γέγονεν. ὕστερον δὲ τὸ γ γέγονεν. ἔμπροσθεν δὲ τὸ α. ἀρχὴ δὲ τὸ γ, διὰ τὸ ἐγγύτατον τοῦ ναῦν εἶναι. ὅ ἐστὶ ἀρχὴ τοῦ χρόνου. τὸ δὲ γ γέγονεν εἰ τὸ δ γέγονε. τοῦ δὲ δ γενομένου, ἀνάγκη, τὸ α γεγονέναι. αἴτιον δὲ τὸ γ. τοῦ μὲν δ γενομένου, ἀνάγκη τὸ γ γεγονέναι. τοῦ δὲ γ γεγονότος, ἀνάγκη πρότερον τὸ α

γεγονέναι. οὕτω δὲ λαμβάνοντι τὸ μέσον, στήσεταί που εἰς ἄμεσον, ἢ ἐὰν μὴ παρεμπεσεῖται διὰ τὸ ἄπειρον. οὐ γὰρ ἔστιν ἐχόμενον γεγονὸς γεγονότος, ὥσπερ ἐλέχθη. ἀλλ' ἄρξασθαί γε ὅμως ἀνάγκη ἀπὸ τοῦ μέσου καὶ ἀπὸ τοῦ νῦν πρώτου. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἔσται. εἰ δὴ ἀληθὲς εἰπεῖν ὅτι ἔσται τὸ δ, ἀνάγκη πρότερον ἀληθὲς εἰπεῖν. ὅτι τὸ α ἔσται τούτου δ' αἴτιον τὸ γ. εἰ μὲν δὴ τὸ δ' ἔσται, πρότερον τὸ γ ἔσται. εἰ δὴ τὸ γ ἔσται, πρότερον τὸ α ἔσται. ὁμοίως δ' ἄπειρος ἡ ζήτησις καὶ ἐν τούτοις. οὐ γὰρ ἔστιν ἐσόμενα ἐχόμενα ἀλλήλων. ἀρχὴ δὲ καὶ ἐν τούτοις ἄμεσος λεπτέα. ἔχει δὲ οὕτως ἐπὶ τῶν ἔργων. εἰ γέγονεν οἰκία, ἀνάγκη τεθεμεῖσθαι λίθους, καὶ γεγονέναι. τοῦδε διατί; ὅτι ἀνάγκη θεμέλιον γεγονέναι, εἴπερ καὶ οἰκίαν γεγονέναι. εἰ δὲ θεμέλιον, πρότερον γεγονέναι λίθους ἀνάγκη. πάλιν εἰ ἔσται οἰκία, ὧσαύτως πρότερον ἔσονται τοῖχοι. λείπνυται δὲ καὶ διὰ τοῦ μέσου ὁμοίως. ἔσται γὰρ θεμέλιον πρότερον. ἐπεὶ δ' ὁρῶμεν ἐν τοῖς γινομένοις κύκλῳ τινὰ γένεσιν οὖσαν ἐνδέχεσθαι τοῦτο εἶναι, εἴπερ ἔστιν τὰ μὲν ἀλλήλοις τὸ μέσον καὶ οἱ ἄκροι. ἐν δὲ τούτοις τὸ ἀντιστρέφειν ἐστί. δέδεικται δὲ τοῦτο ἐν τοῖς πρώτοις, ὅτι ἀντιστρέφει τὰ συμπεράσματα. τὸ δὲ κύκλῳ, τοῦτό ἐστιν. ἐπὶ δὲ τῶν ἔργων φαίνεται ὧδε. βεβρεγμένης τῆς γῆς, ἀνάγκη ἀτμίδα γίνεσθαι. τούτου δὲ γενομένου, νέφος. τούτου δὲ γενομένου, ὕδωρ. τούτου δὲ γενομένου, ἀνάγκη βρέχεσθαι τὴν γῆν. τοῦτο δ' ἦν τὸ ἐξ ἀρχῆς. ὥστε κύκλῳ περιελήλυθεν. ἑνὸς γὰρ αὐτῶν ὑπαρχόντος, ἕτερόν ἐστι, καὶ ἐκείνου, ἄλλο, καὶ τούτου τὸ πρῶτον. ἔστι δ' ἔνια μὲν γινόμενα καθόλου. ἀεί τε δὴ καὶ ἐπὶ πάντες ἢ ἔχει ἢ γίνεται. τὰ δὲ ἀεὶ μὲν οὔ. ὥστε πῶς τὸ πολύ. οἷον οὐ πᾶς ἄνθρωπος ἀξιῶ, τὸ γένειον τριχοῦται, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. τῶν δὲ τοιούτων, ἀνάγκη καὶ τὸ μέσον ὡς ἐπὶ τὸ πολὺ εἶναι. ἐὰν γὰρ τὸ α κατὰ τοῦ β καθόλου κατηγορῆται. καὶ τοῦτο κατὰ τοῦ γ καθόλου, ἀνάγκη καὶ τὸ α κατὰ τοῦ γ, ἀεὶ καὶ ἐπὶ πάντος καθόλου

13

λου κατηγορεῖσθαι. τοῦ γὰρ ἐστὶ τὸ καθόλου, καὶ ἔστι παντὸς καὶ ἀεί. ἀλλ' ὑπέκειτο ὡσεπὶ τοπολύ. ἀνάγκη ἄρα καὶ τὸ μέσον ὡσεπὶ τοπολὺ εἶναι. τὸ ἐφ' οὗ τὸ β ἔσονται τοίνυν καὶ τῶν ὡσεπὶ τοπολὺ ἀρχαὶ ἄμεσοι. ὅσα ὡσεπὶ τοπολὺ οὕτως ἐστὶν ἢ γίνεται. πῶς μὲν οὖν τὸ τί ἐστιν εἰς τοὺς ὅρους ἀποδίδοται, καὶ τίνα τρόπον ἐστὶν ἀπόδειξις ἢ ὁρισμός ἐστιν αὐτοῦ ἢ οὐκ ἔστιν, εἴρηται πρότερον. Πῶς δὲ δεῖ δηρεύειν τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα, νῦν λέγωμεν. τῶν δὴ ὑπαρχόντων ἀεὶ ἑκάστῳ, ἵνα ἐπεκτείνει ἐπὶ πλέον, οὐ μείζοι ἔξω τοῦ γένους. λέγω δὲ ἐπὶ πλέον ὑπάρχειν, ὅσα ὑπάρχει μὲν ἑκάστῳ καθόλου. οὐ μὴν ἀλλὰ καὶ ἄλλῳ. οἷον ἔστι τὸ πάσῃ τριάδι ὑπάρχει, ἀλλὰ καὶ μὴ τριάδι, ὥσπερ τὸ ὂν ὑπάρχει τῇ τριάδι. ἀλλὰ καὶ μὴ ἀριθμῷ. ἀλλὰ καὶ τὸ περιττὸν ὑπάρχει τε πάσῃ τριάδι. καὶ ἐπὶ πλέον ὑπάρχει. καὶ γὰρ τῇ πεντάδι ὑπάρχει. ἀλλ' οὐκ ἔξω τοῦ γένους ἡ μὲν γὰρ πεντὰς, ἀριθμός. οὐδὲν δὲ ἔξω ἀριθμοῦ, περιττὸν τὰ δὴ διαὐτὰ λεπτέον μέχρι δύο ἕως δισαὐτὰ ληφθῇ, πρῶτον ὧν ἕκαστον μὲν, ἐπὶ πλέον ὑπάρξει ἅπασαν τὰ δὲ μὴ ἐπὶ πλέον. ταύτῃ γὰρ ἀνάγκη οὐσίαν εἶναι τοῦ πράγματος. διὸ τριάδι ὑπάρχει πάσῃ, ἀριθμὸς τὸ περιττόν. τὸ πρῶτον ἀμφοτέρως, καὶ ὡς μὴ μεῖξθαι ἀριθμῷ, καὶ ὡς μὴ συγκεῖσθαι ἐξ ἀριθμῶν. τοῦτο τοίνυν ἤδη ἐστὶν ἡ διὰς, ἀριθμὸς περιττός. πρῶτος καὶ μόνῃ πρῶτος. τούτων γὰρ ἕκαστον, τὰ μὲν καὶ τοῖς περιττοῖς, πᾶσιν ὑπάρχει. τὸ δὲ τελευταῖον, καὶ τῇ μονάδι. πάντα δὲ οὐδὲν, ἐπεὶ διελήλεγται ἡμῖν ἐν τοῖς ἄνω, ὅτι ἀναγκαῖα μέν ἐστι τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα. τὰ καθόλου δὲ, ἀναγκαῖα. τῇ δὲ τριάδι καὶ ἐφ' οὗ ἄλλου οὕτως λαμβάνεται ἐν τῷ τί ἐστι τὰ λαμβανόμενα, οὕτως ἐξ ἀνάγκης μὲν ἂν εἴη, τριὰς ταῦτα, ὅτι δ' οὐσία, ἐκ τῶνδε δῆλον. ἀνάγκη γὰρ εἰ μὴ τοῦτο ἦν τριάδι εἶναι, διὸν γένος τῇ εἶναι τοῦτο. ἢ ὠνομασμένον, ἢ ἀνώνυμον. ἔσται τοίνυν ἐπὶ πλεῖον ἢ τῇ τριάδι

ὑπάρχον. ὑποκείσθω γὰρ τοιοῦτον εἶναι τὸ γένος, ὥστε ὑπάρχειν κα=
τὰ δύναμιν ἐπὶ πλεῖον. εἰ τοίνυν μηδὲν ὑπάρχει ἄλλῳ ἢ ταῖς ἀτό=
μοις τριάσι, τοῦτ' ἂν εἴη τριάδ' εἶναι. ὑποκείσθω ἢ καὶ τοῦτο ἡ οὐσία
ἡ ἑκάστου εἶναι, ἡ ἐπὶ ταῖς ἀτόμοις ἔσχατος τοιαύτη κατηγορία. ὥ=
στε ὁμοίως καὶ ἄλλῳ ὁτῳοῦν τῶν οὕτω δειχθέντων, τὸ αὐτῷ εἶναι, ἔ=
σται. Χρὴ δὲ ὅταν ὁλόντι πραγματεύηταί τις, διελεῖν τὸ γένος εἰς τὰ
ἄτομα τῷ εἴδει, τὰ πρῶτα. οἷον ἀριθμὸν εἰς τριάδα καὶ δυάδα. εἶθ' οὕ=
τως ἐκείνων ὁρισμοὺς πειρᾶσθαι λαμβάνειν. οἷον εὐθείας γραμμῆς, καὶ
κύκλου, καὶ ὀρθῆς γωνίας. μετὰ δὲ τοῦτο λαμβάνοντα τὶ τὸ γένος. οἷον
πότερον τῶν ποσῶν ἢ τῶν ποιῶν, τὰ ἴδια πάθη θεωρεῖν, διὰ τῶν κοι=
νῶν πρώτων. τοῖς δὲ σαυτιθεμένοις ἐκ τῶν ἀτόμων τὰ συμβαίνοντα,
ἐκ τῶν ὁρισμῶν ἔσται δῆλα. διὰ τὸ ἀρχὴν εἶναι πάντων τὸν ὁρισμόν, καὶ τὸ
ὑπάρχειν ἁπλοῦν, καὶ τοῖς ἁπλοῖς καθ' αὑτὰ ὑπάρχειν τὰ συμβαίνοντα μόνοις.
τοῖς δ' ἄλλοις, κατ' ἐκεῖνα. αἱ δὲ διαιρέσεις αἱ κατὰ τὰς διαφορὰς, χρή=
σιμοί εἰσιν εἰς τὸ οὕτως μετιέναι. ὡς μέντοι δεικνύουσιν, εἴρηται ἐν
τοῖς πρότερον. χρήσιμοι δ' ἂν εἶεν μόνον ὧδε πρὸς τὸ συλλογίζεσθαι
τὸ τί ἐστι. καί τοι δόξειεν ἂν οὐδέν. ἀλλ' εὐθὺς λαμβάνειν ἅπαντα ὥ=
σπερ εἰ ἐξ ἀρχῆς ἐλάμβανέτις ἄνευ τῆς διαιρέσεως. διαφέρει δέ
τι τὸ πρῶτον καὶ ὕστερον τῶν κατηγορουμένων κατηγορεῖσθαι, οἷον εἰ
πεῖν ζῶον ἥμερον δίπουν, ἢ δίπουν ζῶον ἥμερον. εἰ δὲ ἅπαν ἐκ δύο ἐ=
στὶ, καὶ ἔντι τὸ ζῶον ἥμερον. καὶ πάλιν ἐκ τούτου, καὶ τῆς διαφορᾶς, ἄν=
θρωπος, ἢ ὅτι δήποτέ ἐστι τὸ ἓν γινόμενον ἀναγκαῖον διελόμενον αἰ=
τεῖσθαι. Ἔτι πρὸς τὸ μηδὲν παραλιπεῖν ἐν τῷ τί ἐστιν, οὕτω μόνως εἰ=
δέχεται. ὅταν δὲ τὸ πρῶτον ληφθῇ γένος, ἂν μὲν τῶν κάτωθεν τινὰ δι=
αιρέσεων λαμβάνῃ, οὐκ ἐμπεσεῖται ἅπαν εἰς τοῦτο. οἷον οὐ πᾶν ζῶον ἢ
ὁλόπτερον, ἢ σχιζόπτερον, ἀλλὰ πτηνὸν ζῶον ἅπαν. τούτου δὲ διαφορὰ,
αὕτη. πρώτη δὲ διαφορά ἐστι ζώου, εἰς ἣν ἅπαν ζῶον ἐμπίπτει. ὁμοί=
ως δὲ

ως δὲ καὶ τῶν ἄλλων ἑκάστου, καὶ τῶν ἔξω γενῶν, καὶ τῶν ὑπ' αὐτό. οἷον ὄρνιθος εἶς ἦν ἅπας ὄρνις, καὶ ἰχθύος εἶς ἦν ἅπας ἰχθύς. οὕτω μὲν οὖν βαδίζοντι, ἔστιν εἰδέναι, ὅτι οὐδὲν παραλέλειπται. ἄλλως δὲ καὶ παραλιπεῖν ἀναγκαῖον καὶ μὴ εἰδέναι. οὐδὲν γὰρ ἕτερον ὁριζόμενον καὶ διαιρούμενον, ἅπαντα εἰδέναι τὰ ὄντα. καίτοι ἀδύνατόν φασιν εἶναί τινες τὰς διαφορὰς εἰδέναι, τὰς πρὸς ἕκαστον, μὴ εἰδότα ἕκαστον. ἄνευ δὲ τῶν διαφορῶν, οὐκ ἔστιν ἕκαστον εἰδέναι. οὐ γὰρ μὴ διαφέρειν ταὐτὸν εἶναι τούτῳ. οὐ δὲ διαφέρει, ἕτερον τούτου. πρῶτον μὲν οὖν τοῦτο, ψεῦδος. οὐ γὰρ κατὰ πᾶσαν διαφορὰν ἕτερον. πολλαὶ γὰρ διαφοραὶ ὑπάρχουσι τοῖς αὐτοῖς τῷ εἴδει, ἀλλ' οὐ κατ' οὐσίαν. οὐδὲ καθ' αὑτά, εἶτα ὅταν λάβῃ τὰ ἀντικείμενα κατὰ τὴν διαφοράν. καὶ ὅτι πᾶν ἐμπεσεῖται ξυταῦθα ἢ ξυταῦθα καὶ λάβῃ ἐν θατέρῳ τὸ ζητούμενον εἶδος καὶ τοῦτο γινώσκειν, οὐδὲν διαφέρει εἰδέναι ἢ μὴ εἰδέναι ἐφ' ὅσων κατηγορεῖται ἄλλων αἱ διαφοραί. φανερὸν γὰρ ὅτι ἂν οὕτω βαδίζων ἔλθῃ εἰς ταῦτα ὧν μηκέτι ἐστὶ διαφορά, ἔξει τὸν λόγον τῆς οὐσίας. τὸ δ' ἅπασαν, ἐμπίπτειν εἰς τὴν διαίρεσιν ἂν ᾖ ἀντικείμενα. ὧν μή ἐστι μεταξύ, οὐκ ἀίτιμα. ἀνάγκη γὰρ ἅπασαν, ἐν θατέρῳ αὐτῶν εἶναι, εἴπερ ἐκείνου, διαφορὰ ἔσται. εἰς δὲ τὸ κατασκευάζειν ὅρον διὰ τῶν διαιρέσεων, τριῶν δεῖ σχάζεσθαι, τὸ λαβεῖν τὰ κατηγορούμενα ἐν τῷ τί ἐστι. καὶ ταῦτα τάξαι τὶ πρῶτον ἢ δεύτερον, ἢ ὅτι ταῦτα πάντα. ἔστι δὲ τὸ τῶν ἓν πρῶτον, διὰ τὸ δύνασθαι ὥσπερ πρὸς τὸ συμβεβηκὸς συλλογίσασθαι ὅτι ὑπάρχει, καὶ διὰ τὸ γένους κατασκευάσαι. τὸ δὲ τάξαι ὡς δεῖ, ἔσται ἐὰν τὸ πρῶτον λάβῃ. τοῦτο δὲ ἔσται, ἐὰν ληφθῇ ὃ πᾶσιν ἀκολουθεῖ. ἐκείνῳ δὲ, μὴ πάντα. ἀνάγκη γὰρ εἶναί τι τοιοῦτον. ληφθέντος δὲ τούτου, ἢ δὴ ἐστὶ τῶν κάτω ὁ αὐτὸς λόγος. δεύτερον γὰρ, τὸ τῶν ἄλλων πρῶτον ἔσται. καὶ τρίτον, τὸ τῶν ἐχομένων. ἀφαιρεθέντος γὰρ τοῦ ἄνωθεν, τὸ ἐχόμενον τῶν ἄλλων πρῶτον ἔσται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν

πὶ τῶν ἄλλων. ὅτι δ' ἅπαντα ταῦτα, φανερὸν ἐκ τοῦ λαβεῖν τό, τε πρῶτον κατὰ διαίρεσιν. ὅτι ἅπαν ἢ τόδε ἢ τόδε, ὑπάρχει δὲ, τόδε. καὶ πάλιν τούτου ὅλου τὴν διαφοράν. τοῦ δὲ τελευταίου, μηκέτι εἶναι διαφοράν. ἢ καὶ εὐθὺς μετὰ τῆς τελευταίας διαφορᾶς, τοῦ συνόλου μὴ διαφέρειν εἴδει ἔστι δῆλον γὰρ ὅτι οὔτε πλεῖον πρόσκειται. πάντα γὰρ, ἐν τῷ τί ἐστιν εἴληπται τούτων, οὔτε ἀπολείπει οὐδέν. ἢ γὰρ γένος, ἢ διαφορὰ ἂν εἴη. γένος μὲν οὖν, τό, τε πρῶτον καὶ μετὰ τῶν διαφορῶν ἔστι προσλαμβανόμενον. αἱ διαφοραὶ δὲ πᾶσαι ἔχονται. οὐ γὰρ ἔτι ἐστὶν ὑστέρα. εἴδει γὰρ ἂν διέφερε τὸ τελευταῖον. ἔστι δ' εἴρηται μὴ διαφέρειν. ζητεῖν δὲ δεῖ ἐπιβλέποντα ἐπὶ τὰ ὅμοια καὶ ἀδιάφορα. πρῶτον, τὶ ἅπαντα ταυτὸν ἔχουσιν, εἶτα πάλιν ἐφ' ἑτέροις ἃ ἐν τῷ ταυτῷ μὲν γένει ἐκείνοις. εἰσὶ δὲ αὐτοῖς μὲν, ταυτὰ τῷ εἴδει. ἐκείνων δὲ, ἕτερα. ὅταν δὲ ἐπὶ τούτων λιφθῇ τὶ πάντα ταυτὸν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἐπὶ τῶν εἰλημμένων σκοπεῖν πάλιν, εἰ ταυτὸν, ἕως ἂν εἰς ἕνα ἔλθῃ λόγον. οὗτος γὰρ ἔσται τοῦ πράγματος ὁρισμός. ἐὰν δὲ μὴ βαδίξῃ εἰς ἕνα, ἀλλ' εἰς δύο ἢ πλείω, δῆλον ὅτι οὐκ ἂν εἴη ἕν τι εἶναι τὸ ζητούμενον, ἀλλὰ πλείω. οἷον λέγω εἰ τί ἐστι μεγαλοψυχία ζητοῦμεν, σκεπτέον ἐπί τινων μεγαλοψύχων οὓς ἴσμεν, τὶ ἔχουσιν ἓν πάντες ἢ τοιοῦτοι. οἷον εἰ ἀλκιβιάδης μεγαλόψυχος. ἢ ὁ Αχιλλεὺς, καὶ ὁ αἴας, τὶ ἓν ἅπαντες, τὸ μὴ ἀνέχεσθαι ὑβριζόμενοι. ὁ μὲν γὰρ ἐπολέμησεν. ὁ δὲ, ἐμήνισεν. ὁ δ' ἀπέκτεινεν ἑαυτόν. πάλιν ἐφ' ἑτέρων οἷον Λυσάνδρου ἢ Σωκράτους. εἰδὴ τὸ ἀδιάφοροι εἶναι ἐντυχοῦντες καὶ ἀτυχοῦντες. ταῦτα δύο λαβὼν, σκοπῶ τὶ τὸ αὐτὸ ἔχουσιν, ἥτε ἀπάθεια ἡ περὶ τὰς τύχας, καὶ ἡ μὴ ὑπομονὴ ἀτιμαζομένων. εἰ δὲ μηδὲν, δύο εἴδη ἂν εἴη τῆς μεγαλοψυχίας. αἰεὶ δ' ἔστι πᾶς ὅρος καθόλου. οὐ γὰρ τινὶ ὀφθαλμῷ λέγει τὸ ὑγιεινὸν ὁ ἰατρὸς, ἀλλ' ἢ παντὶ ἢ εἴδει ἀφορίσας. ῥᾷον τὲ, τὸ

15

καθέκαστον

καθέκαστον ὁρίσασθαι ἢ τὸ καθόλου. διὸ δεῖ ἀπὸ τῶν καθέκαστον ἐπὶ τὰ καθόλου μεταβαίνειν. καὶ γὰρ αἱ ὁμωνυμίαι λανθάνουσι μᾶλλον ἐν τοῖς καθόλου, ἢ ἐν τοῖς ἀδιαφόροις. ὥσπερ δὲ ἐν ταῖς ἀποδείξεσι δεῖ τόγε συλλογίσασθαι ὑπάρχειν, οὕτω καὶ ἐν τοῖς ὅροις τὸ σαφές. τοῦτο δ' ἔσται, ἐὰν διὰ τῶν καθ' ἕκαστον εἰρημένων ᾖ, τὸ ἐν ἑκάστῳ γένει ὁρίζεσθαι χωρίς. οἷον τὸ ὅμοιον μὴ πᾶν. ἀλλὰ τὸ ἐν χρώμασι καὶ σχήμασι. καὶ τὸ ὀξὺ τὸ ἐν φωνῇ. καὶ οὕτως ἐπὶ τὸ κοινὸν βαδίζειν, εὐλαβούμενον μὴ ὁμωνυμίᾳ ἐν τύχῃ. εἰ δὲ μὴ, διαλέγεσθαι δεῖ μεταφοραῖς, δῆλον ὅτι οὐ δὲ ὁρίζεσθαι οὔτε μεταφοραῖς, οὔτε ὅσα λέγεται μεταφοραῖς. διαλέγεσθαι γὰρ ἀνάγκη ἔσται μεταφοραῖς. πρὸς δὲ τὸ ἔχειν τὰ προ- 16.
βλήματα, ἐκλέγειν δεῖ τάς τε ἀνατομὰς καὶ τὰς διαιρέσεις. οὕτω δὲ ἐκλέγειν, ὑποτιθέμενον τὸ γένος τὸ κοινὸν ἁπάντων. οἷον εἰ ζῶα εἴη τὰ τεθεωρημένα, ποῖα παντὶ ζώῳ ὑπάρχει. ληφθέντων δὲ τούτων, πάλιν τῶν λοιπῶν τῷ πρώτῳ ποῖα παντὶ ἕπεται. οἷον εἰ τοῦτο ὄρνις, ποῖα παντὶ ἕπεται ὄρνιθι. καὶ οὕτως ἀεὶ τῷ ἐγγύτατα. δῆλον γὰρ ὅτι ἕξομεν ἤδη λέγειν τὸ διατὶ ὑπάρχει τὰ ἑπόμενα τοῖς ὑπὸ τὸ κοινόν. οἷον διατὶ ἀνθρώπῳ ἢ ἵππῳ ὑπάρχει. ἔστω δὴ ζῶον, ἐφ' οὗ α. τὸ δὲ β, τὰ ἑπόμενα παντὶ ζώῳ. ἐφ' ὧν δὲ γ, δ, ε, τὰ τινὰ ζῶα. δῆλον δὴ, διατὶ τὸ β ὑπάρχει τῷ δ. διὰ γὰρ τοῦ α. ὁμοίως δὲ καὶ τοῖς ἄλλοις. καὶ ἀεὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. νῦν μὲν οὖν κατὰ τὰ παραδεδομένα κοινὰ ὀνόματα λέγομεν. δεῖ δὲ μὴ μόνον ἐπὶ τούτων σκοπεῖν, ἀλλὰ καὶ ἂν ἄλλό τι ὀφθῇ κοινὸν ὑπάρχον ἐκλαμβάνοντα. εἶτα τίσι τοῦτ' ἀκολουθεῖ. καὶ ποῖα τούτῳ ἕπεται. οἷον τοῖς κέρατα ἔχουσι, τὸ ἔχειν ἐχῖνον. τὸ μὴ ἀμφόδοντα εἶναι. πάλιν τὸ κέρατα ἔχειν, τίσιν ἕπεται. δῆλον γὰρ διατὶ ἐκείνοις ὑπάρξει τὸ εἰρημένον. διὰ δὲ τὸ κέρατα ἔχειν ὑπάρξει. ἔτι δ' ἄλλος τρόπος ἐστὶ κατὰ τὸ ἀνάλογον ἐκλέγειν. ἓν δὲ λαβεῖν οὐκ ἔστι τὸ αὐτὸ ὃ δὲ καλέσαι σήπειον. καὶ ἄκανθαν. καὶ ὀστοῦν. ἔστι δ' ἑπόμενα δεῖ

καὶ τούτοις

καὶ τὸ ζῶις ὥσπερ μιᾶς τινος φύσεως τῆς ζωικὴς οὔσης. τὰ δ' αὐτὰ προβλήματά ἐστι, τὰ μὲν τῷ τὸ αὐτὸ μέσον ἔχειν, οἷον ὅτι πάντα ἀντιπε ίστασις. τὸ δὲ ταν δ' ἔνια τῷ γένει ταυτὰ, ὅσα ἔχει διαφορὰς τῶν ἄλλω' ἢ ἄλλως εἶναι. οἷον διατὶ ἠχεῖ, ἢ διατὶ ἐμφαίνεται. καὶ διατὶ ἶρις. ἅπαντα γὰρ ταῦτα τὸ αὐτὸ πρόβλημά ἐστι τῷ γένει. πάντα δ' ἀνάκλασις. ἀλλ' εἴδει ἕτερα. τὰ δὲ τῷ τὸ μέσον ὑπὸ τὸ ἕτερον μέσον εἶναι, διαφέ ρει τῶν προβλημάτων. οἷον διατὶ ὁ νεῖλος φθίνοντος τοῦ μηνὸς μᾶλλον ξηῖ. διότι χειμεριώτερος φθίναν καὶ διατὶ χειμεριώτερος φθίναν, διότι

quesha 17. ἡ σελήνη ἀπολείπει. ταῦτα δ' οὕτως ἔχει πρὸς ἄλληλα. περὶ δ' αἰτίας καὶ οὐ αἴτιον, ἀπορήσειεν ἄντις. ἆρα ὅτε ὑπάρχει τὸ αἰτιατὸν καὶ τὸ αἴτιον ὑπάρχει, ὥσπερ εἰ φυλοξξοεῖ ἢ ἐκλείπει. καὶ τὸ αἴτιον τοῦ ἐκλεί πειν ἢ φυλοξξοεῖν ἔστω, οἷον εἰ τοῦτό ἐστι, τὸ πλατέα ἔχειν τὰ φύλλα. τὸ δ' ἐκλείπειν, τοῦ τὴν γῆν ἐν μέσῳ εἶναι. εἰ γὰρ μὴ ὑπάρχει, ἅμα ὅτι ἔ= στω τὸ αἴτιον αὐτῶν. εἶτε δὲ αἴτιον ὑπάρχει ἅμα καὶ τὸ αἰτιατόν. οἷον εἰ ἐν μέσῳ ἡ γῆ, ἐκλείπει· ἢ εἰ πλατύφυλλον, φυλοξξοεῖ. εἰ δ' οὕτως, ἅμα ἂν εἴη καὶ διεκνύοιτο δὴ ἀλλήλων, ἔστω γὰρ τὸ φυλοξξοεῖν, ἐφ' οὗ α τὸ δὲ πλατύφυλλον, ἐφ' οὗ β. ἄμπελος γ', ἐφ' οὗ γ. εἰδὴ τῷ β ὑπάρχει τὸ α. πᾶν δὲ πλατύφυλλον φυλλοξξοεῖ. τῷ δὲ γ ὑπάρχει τὸ β. πᾶσα γὰρ ἄμπελος πλατύφυλλος, τῷ γ ὑπάρχει τὸ α. καὶ πᾶσα ἄμπελος φυλλοξ ξοεῖ· αἴτιον δὲ τὸ β τὸ μέσον. ἀλλὰ μὴ ὅτι πλατύφυλλον ἡ ἄμπελος, ἔ= στι δὲ διὰ τοῦ φυλοξξοεῖν ἀποδεῖξαι. ἔστω γὰρ τὸ μὲν δ πλατύφυλλον. τὸ δὲ ε τὸ φυλοξξοεῖν. ἄμπελος γ', ἐφ' οὗ ξ, τῷ δὴ ζ, ὑπάρχει τὸ ε. φυλοξ ξοεῖ γὰρ πᾶσα ἄμπελος. τῷ δὲ ε, τὸ δ. πᾶσαν δὴ τὸ φυλοξξοοῦν, πλατύ= φυλλον. πᾶσα ἄρα ἄμπελος, πλατύφυλλον. αἴτιον γ', τὸ φυλοξξοεῖν. εἰ

solutio δὲ μὴ ἀνδέχεται αἰτία εἶναι ἀλλήλων. τὸ γὰρ αἴτιον πρότερον ἐν αἴτιον. καὶ τοῦ μὲν ἐκλείπειν αἴτιον, τὸ ἐν μέσῳ τὴν γῆν εἶναι. τοῦ δ' ἐν μέσῳ τὴν γῆν εἶναι, οὐκ αἴτιον τὸ ἐκλείπειν. εἰ οὖν ἡ μὲν διὰ τοῦ αἰτίᾳ

ἀπόδειξις, τοῦ διατί. ἡ δὲ μὴ διὰ τοῦ αἰτίου, τοῦ ὅτι. ὅτι μὲν ἐν μέσῳ οἶ=
δε. διότι, δ' οὔ. ὅτι δ' οὐ τὸ ἐκλείπειν αἴτιον τοῦ ἐν μέσῳ. ἀλλὰ τοῦτο
τοῦ ἐκλείπειν, φανερόν. ἐν τῷ λόγῳ τῷ τοῦ ἐκλείπειν ἐνυπάρχει τὸ ἐν
μέσῳ. ὥστε δῆλον ὅτι διὰ τούτου ἐκεῖνο συνορίζετο. ἀλλ' οὐ τοῦτο δι' ἐκεί
νου. ἢ ἐνδέχετο ἑνὸς πλείω αἴτια εἶναι, καὶ δὲ εἰ ἐστὶ τὸ αὐτὸ πλειόνων κα- alia solutio
τηγορεῖσθαι πρώτως, ἔστω τὸ α τὸ β πρώτῳ ὑπάρχον. καὶ τῷ γ ἄλλῳ πρώ
τῳ. καὶ ταῦτα τοῖς δε. ὑπάρξει ἄρα τὸ α τοῖς δε. αἴτιον δὲ τῷ μὲν δ, τὸ
β. τῷ δὲ ε, τὸ γ. ὥστε τοῦ μὲν αἰτίου ὑπάρχοντος, ἀνάγκη τὸ πρᾶγμα ὑπάρ
χειν. τοῦ δὲ πράγματος ὑπάρχοντος, οὐκ ἀνάγκη πᾶν ὃ ἂν ᾖ αἴτιον. ἀλλ'
αἴτιον μὲν, οὐ μέντοι πᾶν. ἢ εἰ ἀεὶ καθόλου τὸ πρόβλημά ἐστι. καὶ τὸ αἴ- posterioris solutionis correctio
τιον ὅλον τί. καὶ οὗ αἴτιον, καθόλου. οἷον τὸ φυλλοῤῥοεῖν ὅλῳ τινὶ ἀφω=
ρισμένῳ, κἂν εἴδη αὐτοῦ ᾖ, καὶ τοῖς δε καθόλου. καὶ φυτοῖς. ἢ τοιοῖσδε φυ
τοῖς. ὥστε καὶ τὸ μέσον, ἴσον δεῖ εἶναι ἐπὶ τούτων. καὶ οὗ αἴτιον. καὶ ἀντι
στρέφειν. οἷον διατὶ τὰ δένδρα φυλλοῤῥοεῖ· εἰ δὴ διὰ πῆξιν τὴν ὑγροῦ, εἴτε
φυλλοῤῥοεῖ δένδρον, δεῖ ὑπάρχειν πῆξιν. εἴτε πῆξις ὑπάρχει μὴ ὁτῳοῦν
ἀλλὰ δένδρῳ, φυλλοῤῥοεῖν. πότερον δ' ἐνδέχεται μὴ τὸ αὐτὸ αἴτιον
εἶναι τοῦ αὐτοῦ πᾶσιν. ἀλλ' ἕτερον, ἢ οὔ, ἢ εἰ μὲν καθ' αὑτὸ ἀποδέδεικται,
καὶ μὴ κατὰ σημεῖον ἢ κατὰ συμβεβηκός, οὐχ οἷόν τε, ὁ τῶν λόγος τοῦ ἄ
κρου, τὸ μέγον ἐστίν. εἰ δὲ μὴ οὕτως, ἐνδέχετο· ἔστι δὲ καὶ οὗ αἴτιον, καὶ ᾧ μέσον
σκοπεῖν κατὰ συμβεβηκός. οὐ μὴν δοκεῖ προβλήματα εἶναι. εἰ δὲ μὴ, ὁ=
μοίως ἕξει τὸ μέσον, εἰ μὲν ὁμώνυμα. ὁμώνυμον τὸ μέσον. εἰ δ' ὡς ἐν γέ=
νει, ὁμοίως ἕξει. οἷον διατὶ καὶ ἐναλλὰξ ἀνάλογον. ἄλλο δὲ αἴτιον ἐν γραμ=
μαῖς. καὶ ἀριθμοῖς. καὶ τὸ αὐτό γε ἢ μὲν γραμμαί, ἄλλο. ἢ δ' ἔχον αὔξησιν
τοιαυδὶ τὸ αὐτό. οὕτως ἐπὶ πάντων. τοῦ δ' ὅμοιον εἶναι χρῶμα χρώμα
τι. καὶ σχῆμα σχήματι. ἄλλο ἄλλῳ. ὁμώνυμον τὸ τὸ ὅμοιον ἐπὶ τούτων.
ἔνθα μὲν τὸ ἴσως τὸ ἀνάλογον ἔχειν τὰς πλευρὰς, καὶ ἴσας τὰς γωνίας. ἐπὶ
δὲ χρωμάτων τὸ τὴν αἴσθησιν μίαν εἶναι. ἤτι ἄλλο τοιοῦτον. τὰ δὲ κατὰ

ἀναλογίαν τὰ αὐτὰ, καὶ τὸ μέσον ἕξει κατὰ ἀναλογίαν. Ἔχει δ' οὕτω διὰ τὸ παρακολουθεῖν τὸ αἴτιον ἀλλήλοις· καὶ οὐ αἴτιον, καὶ ᾧ αἴτιον. καθ' ἕκαστον μέντοι λαμβάνοντι, τὸ οὗ αἴτιον ἐπὶ πλέον. οἷον τὸ τέταρσιν ἴσας τὰς ἔξω ἐπιπλέον, ἢ τρίγωνον, ἢ τετράπονον, ἅπασι δὲ ἐπίσης. ὅσα δὲ τέτταρσιν ὀρθαῖς ἴσας τὰς ἔξω, καὶ τὸ μέσον ὁμοίως. ἔστι δὲ τὸ μέσον λόγος τοῦ πρώτου ἄκρου. διὸ πᾶσαι αἱ ἐπιστῆμαι δι' ὁρισμοῦ γίνονται. οἷον τὸ φυλλοῤῥοεῖν ἅμα ἀκολουθεῖ τῇ ἀμπέλῳ καὶ ὑπάρχει, καὶ συκῇ καὶ ὑπερέχει, ἀλλ' οὐ πάντων, ἀλλ' ἴσων. εἰ δὴ λάβοις τὸ πρῶτον μέσον, λόγος τοῦ φυλλοῤῥοεῖν ἐστιν. ἔσται δὲ πρῶτον μὲν ἐπὶ θάτερα μέσον, ὅτι τοιαδὶ ἅπαντα. εἶτα τούτου μέσον, ὅτι ὁ ὀπὸς πήγνυται. ἤτι ἄλλο τοιοῦτον. τί δ' ἐστὶ τὸ φυλλοῤῥοεῖν, τὸ πήγνυσθαι τὸν ἐν τῇ συνάψει τοῦ σπέρματος ὀπόν. Ἐπὶ δὲ τῶν σχημάτων ὧδε ἀποδώσει ζητοῦσι τὴν παρακολούθησιν τοῦ αἰτίου καὶ οὗ αἴτιον. ἔστω τὸ α τῷ β ὑπάρχον παντί. τὸ δὲ β ἑκάστῳ τῶν δ, ἐπὶ πλεῖον δὲ, τὸ μὲν δὴ β καθόλου ἂν εἴη τοῖς δ. τοῦτο δὲ λέγω καθόλου, ὃ μὴ ἀντιστρέφει. πρῶτον δὲ καθόλου, ᾧ ἕκαστον μὲν μὴ ἀντιστρέφει. ἅπαντα δὲ ἀντιστρέφει καὶ μὴ παρεκτείνει. τοῖς δὴ δ αἴτιον τοῦ α, τὸ β. δεῖ ἄρα τὸ α ἐπὶ πλέον τοῦ β παρεκτείνειν. εἰ δὲ μὴ τὶ μᾶλλον ἔσται αἴτιον τοῦτο ἐκείνου. εἰ δὴ πᾶσιν ὑπάρχει τοῖς ε τὸ α, ἔσταί τι ἐκεῖνα ἓν ἅπαντα ἄλλο τῶν β. εἰ δὲ μὴ, πῶς ἔσται εἰπεῖν ὅτι ᾧ τὸ ε τὸ α παντί. ᾧ δὲ τὸ α οὐ παντὶ τὸ ε. διατὶ δὲ οὐκ ἔσται τὶ αἴτιον. οἷον τὸ α ὑπάρχει πᾶσι τοῖς δ. ἀλλ' ἄρα καὶ τὰ ε ἔσται τὶ ἓν, ἐπισκέψασθαι δὴ τοῦτο, καὶ ἔστω τὸ γ. ἐνδέχεται δὴ τοῦ αὐτοῦ πλείω αἴτια εἶναι, ἀλλ' οὐ τοῖς αὐτοῖς τῷ εἴδει. οἷον τοῦ μακρόβια εἶναι τὰ μὲν τετράποδα, τὸ μὴ ἔχειν χολήν. τὰ δὲ πτηνὰ, τὸ ξηρὰ εἶναι ἢ ἕτερόν τι. εἰ δὲ εἰς τὸ ἄτομον μὴ εὐθὺς ἔρχοντι, καὶ μὴ μόνον ἓν τὸ μέσον, ἀλλ' εἰς πλείω, καὶ τὰ αἴτια πλείω. πότερον δ' αἴτιον τῶν μέσων τὸ πρὸς τὸ καθόλου πρῶτον; ἢ τὸ πρὸς τὸ καθέκαστον, τοῖς καθέκαστον; δῆλον δὴ ὅτι τὰ ἐγγύτατα ἑκάστῳ ᾧ αἴτιον.

ὑπερέχει

τοῦ γαρ

τοῦ δὲ τὸ πρῶτον ὑπάρχειν. τὸ αἴτιον. οἷον τῷ δ, τὸ γ τοῦ τὸ α ὑπάρχειν, αἴτιον. τῷ μὲν δὴ δ τὸ γ αἴτιον τοῦ, τὸ α. τῷ δὲ γ, τὸ β, τὰ τῷ ὑ, αὐτό. περὶ μὲν δὴ συλλογισμοῦ καὶ ἀποδείξεως, τίνες ἑκάτερόν ἐσι, καὶ πῶς γίνεται, φανερόν. ἅμα δὲ καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς. ταυτὸν γάρ ἐστι. περὶ δὲ τῶν ἀρχῶν, πῶς τε γίνονται γνώριμοι τῇ πῆς 18.
ἃ γνωρίζουσα ἕξις, αὐτὴ θεν ἐστὶ σαφέστερον προαποδείξασι, πρῶτον. ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἐπίστασθαι δι' ἀποδείξεως μὴ γινώσκοντι τὰς πρώτας ἀρχὰς τὰς ἀμέσους, εἴρηται πρότερον. τῶν δ' ἀμέσων τὴν γνῶσιν καὶ πότερον ἡ αὐτὴ ἐστιν ἢ οὐχ ἡ αὐτὴ, διαπορήσειεν ἄντις, ἢ πότερον ἐπιστήμη ἑκατέρου, ἢ οὔ. ἡ τοῦ μὲν, ἐπιστήμη· τοῦ δὲ ὑστέρου τι γένος, καὶ πότερον οὐκ ἐνδέχεται αἱ ἕξεις ἐγγίνονται, ἢ ἐνδέχεται λελήθασιν. εἰ μὲν μὴ ἔχομεν αὐτὰς, ἄτοπον. συμβαίνει δὲ ἀκριβεστέρας ἔχοντας γνώσεις ἀποδείξεως, λανθάνειν. εἰ δὲ λαμβάνομεν μὴ ἔχοντες πρότερον, πῶς ἂν γνωρίζοιμεν καὶ μανθάνοιμεν ἐκ μὴ προϋπαρχούσης γνώσεως. ἀπλῶς μὲν οὖν οὐδαμῶς ἐστὶν ἐνδέχεσθαι τῆς ἀποδείξεως ἐλέγομεν. φανερὸν τοίνυν ὅτι οὔτε ἔχειν δίον τε, οὔτε ἀγνοεῖσθαι καὶ μηδεμίαν ἔχουσιν ἕξιν ἐγγίνεσθαι. ἀνάγκη ἄρα ἔχειν μέν τινα δύναμιν, μὴ τοιαύτην δ' ἔχειν ἥ ἐστι τούτων τιμιωτέρα κατὰ ἀκρίβειαν. φαίνεται δὲ τοῦτο ὑπάρχον καὶ τοῖς ζώοις. ἔστι γὰρ δύναμίν σύμφυτον κριτικήν, ἣν καλοῦσιν αἴσθησιν. ἐνούσης δ' αἰσθήσεως, τοῖς μὲν τῶν ζώων ἐγγίνεται μονὴ τοῦ αἰσθήματος. τοῖς δ' οὐκ ἐγγίνεται. ὅσοις μὲν οὖν μὴ ἐγγίνεται, ἢ ὅλως, ἢ περὶ ἃ μὴ ἐγγίνεται, οὐκ ἔστι τούτοις γνῶσις ἔξω τοῦ αἰσθάνεσθαι. οἷς δὲ ἔνεστιν αἰσθανομένοις ἔχειν ἔννοιαν ἐν τῇ ψυχῇ. πολλῶν δὲ τοιούτων γινομένων ἡδὴ διαφορά τις γίνεται. ὥστε τοῖς μὲν γίνεσθαι λόγον ἐκ τῆς τῶν τοιούτων μνήμης· τοῖς δὲ, μή. ἐκ μὲν οὖν αἰσθήσεως γίνεται μνήμη, ὥσπερ λέγομεν. ἐκ δὲ μνήμης πολλάκις τοῦ αὐτοῦ γινομένης, ἐμπειρία. αἱ γὰρ

ἢ pro καὶ

πολλαὶ μνῆμαι τῷ ἀριθμῷ, ἐμπειρία μία ἐστίν. ἐκ δ' ἐμπειρίας, ἢ ἐκ πάν-
τος ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, ἢ τοῦ ἑνὸς παρὰ τὰ πολλά. ὃ
ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτὸ, τέχνης ἀρχὴ καὶ ἐπιστήμης. ἐὰν
μὲν περὶ γένεσιν, τέχνης. ἐὰν δὲ περὶ τὸ ὄν, ἐπιστήμης. οὔτε δὴ ἐνυπάρ-
χουσιν ἀφωρισμέναι αἱ ἕξεις, οὔτ' ἐπ' ἄλλων ἕξεων γίνοντι γνωριμωτέ-
ρων, ἀλλὰ ἀπὸ αἰσθήσεως, οἷον ἐν μάχῃ τροπῆς γενομένης, ἑνὸς στάντος,
ἕτερος ἔστη. εἶθ' ἕτερος. ἕως ἐπὶ ἀρχὴν ἦλθεν. ἡ δὲ ψυχὴ ὑπάρχει τοιαύ-
τη οὖσα, οἷα δύνασθαι πάσχειν τοῦτο. ὃ δὲ ἐλέχθη μὲν πάλαι, οὐ σαφῶς δὲ
ἐλέχθη, πάλιν εἴπωμεν. στάντος δὲ τῶν ἀδιαφόρων ἑνὸς, πρῶτον μὲν ἐν
τῇ ψυχῇ καθόλου. καὶ δὲ αἰσθάνετι μὲν τὸ καθέκαστον. ἡ δ' αἴσθησις τοῦ
καθόλου ἐστὶν, οἷον ἀνθρώπου, ἀλλ' οὐ καλλίου ἀνθρώπου, πάλιν ἐν τού-
τοις ἵσταται, ἕως ἂν τὰ ἀμερῆ στῇ, καὶ τὰ καθόλου. οἷον τοιονδὶ ζῶον ἕ-
ως ζῶον, καὶ ἐν τούτῳ ὡσαύτως. δῆλον δὴ ὅτι ἡμῖν τὰ πρῶτα ἐπαιτι-
γῇ γνωρίζειν ἀναγκαῖον. καὶ δὲ καὶ αἴσθησις οὕτως τὸ καθόλου ἐμποιεῖ.
ἐπεὶ δὲ τῶν περὶ τὴν διάνοιαν ἕξεων αἷς ἀληθεύομεν. αἱ μὲν ἀεὶ ἀληθεῖς
εἰσιν. αἱ δὲ ἐπιδέχονται τὸ ψεῦδος. οἷον δόξα καὶ λογισμός. ἀληθῆ δ'
ἀιεὶ ἐπιστήμη καὶ νοῦς, καὶ οὐδὲν ἐπιστήμης ἀκριβέστερον ἄλλο γένος ἢ
νοῦς. αἱ δ' ἀρχαὶ τῶν ἀποδείξεων γνωριμώτεραι. ἐπιστήμη δ' ἅπασα με
τὰ λόγου ἐστὶ τῶν ἀρχῶν. ἐπιστήμη μὲν οὐκ ἂν εἴη. ἐπεὶ δ' οὐδὲν ἀληθέστε-
ρον ἐνδέχετι εἶναι ἐπιστήμης, ἢ νοῦν, νοῦς ἂν εἴη τῶν ἀρχῶν. ἐκτὲ τούτων
σκοποῦσι, καὶ ὅτι ἀποδείξεως ἀρχὴ, οὐκ ἀπόδειξις. ὥστ' οὐδ' ἐπιστήμης
ἐπιστήμη εἰ οὖν μηδὲν ἄλλο παρὰ ἐπιστήμην ἔχομεν γένος ἀληθὲς, νοῦς
ἂν εἴη ἐπιστήμης ἀρχή. καὶ ἡ μὲν ἀρχὴ τῆς ἀρχῆς εἴη ἄν. εἰ δὲ πᾶσα,
ἡ
ὁμοίως ἔχει πρὸς τὸ ἅπαν πρᾶγμα.

explicatio
πᾶσα ἐπιστήμη δι' ἀποδείξεως, γινώσκει τὰ πράγματα ἐπιστητὰ
ὡς νοῦς τὰς ἀρχάς.

Τέλος τοῦ δευτέρου τῶν ὑστέρων ἀναλυτικῶν,
ἤτοι τῆς ἀποδεικτικῆς.

Αριστο

ΑΡΙΣΤΟΤΕ-
ΛΟΥΣ ΤΟΠΙΚΩΝ
ΠΡΩΤΟΝ.

ΗΜΕΝ Πρόθεσις τῆς πραγματείας, μέθοδον εὑρεῖν, I
ἀφ' ἧς δυνησόμεθα συλλογίζεσθαι περὶ παντὸς τοῦ
προτεθέντος προβλήματος ἐξ ἐνδόξων, καὶ αὐτοὶ λό-
γον ὑπέχοντες, μηθὲν ἐροῦμεν ὑπεναντίον. πρῶτον οὖν
ζητέον, τίς ἐστι συλλογισμὸς, καὶ τίνες αὐτοῦ διαφοραὶ, ὅπως ληφθῇ ὁ
διαλεκτικὸς συλλογισμός. τοῦτον γὰρ ζητοῦμεν κατὰ τὴν προκειμέ- Συλλογισμός.
νην πραγματείαν. ἔστι δὴ συλλογισμὸς, λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕ-
τερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει, διὰ τῶν κειμένων. ἀπό- Ἀπόδειξις.
δειξις μὲν οὖν ἐστιν. ὅταν ἐξ ἀληθῶν καὶ πρώτων ὁ συλλογισμὸς ᾖ. ἢ
ἐκ τοιούτων, ἃ διά τινων πρώτων καὶ ἀληθῶν τῆς περὶ αὐτὰ γνώσε-
ως τὴν ἀρχὴν εἴληφε. διαλεκτικὸς δὲ συλλογισμὸς, ὁ ἐξ ἐνδόξων συλ- Συλλογισμὸς διαλεκτικός.
λογιζόμενος. ἔστι δὴ ἀληθῆ μὲν καὶ πρῶτα, τὰ μὴ δι' ἑτέρων ἀλλὰ δι' Ἀληθῆ καὶ πρῶτα.
αὐτῶν ἔχοντα τὴν πίστιν. οὐ δεῖ δὲ ἐν ταῖς ἐπιστημονικαῖς ἀρχαῖς ἐπι-
ζητεῖσθαι τὸ διατί, ἀλλ' ἑκάστην τῶν ἀρχῶν, αὐτὴν καθ' ἑαυτὴν εἶναι
πιστήν. ἔνδοξα δὲ τὰ δοκοῦντα πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς. Ἔνδοξα.
καὶ τούτοις, ἢ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς μάλιστα γνωρίμοις
καὶ ἐνδόξοις. ἐριστικὸς δέ ἐστι συλλογισμὸς, ὁ ἐκφαινομένων ἐνδό- Συλλογισμὸς ἐριστικός.
ξων μὴ ὄντων δέ. καὶ ὁ ἐξ ἐνδόξων δὲ ἢ φαινομένων ἐνδόξων φαινό-
μενος. οὐ γὰρ πᾶν τὸ φαινόμενον ἔνδοξον, καὶ ἔστιν ἔνδοξον. οὐδὲν
γὰρ τῶν λεγομένων ἐνδόξων ἐπιπόλεων ἔχει παντελῶς τὴν φαν- +
τασίαν, καθάπερ περὶ τὰς τῶν ἐριστικῶν λόγων ἀρχὰς συμβέβη-
κεν ἔχειν. παραχρῆμα γὰρ καὶ ὡσεπιτοπολὺ τοῖς καὶ σμικρὰ
συνορᾶν

συνορᾶν ἀλλαχοῦ οἷς, κατάδηλος ἂν αὐτοῖς ἡ τοῦ ψεύδους ἐστὶ φύσις.
ὁ μὲν οὖν πρότερος τῶν ἐξητασμένων ἐριστικῶν συλλογισμῶν, καὶ συλλογισμὸς λεγέσθω. ὁ δὲ λοιπὸς, ἐριστικὸς μὲν συλλογισμός, συλλογισμὸς δ' οὔ. ἐπεισὶ φαίνεται μὲν συλλογίζεσθαι. συλλογίζεται δ' οὔ.

Ἔτι δὲ παρὰ τοὺς εἰρημένους ἅπαντας συλλογισμοὺς, οἱ ἐκ τῶν περὶ τινας ἐπιστήμας οἰκείων γινόμενοι παραλογισμοί. καθάπερ ἐπὶ τῆς γεωμετρίας καὶ τῶν ταύτης συγγενῶν, συμβέβηκεν ἔχειν. ἔοικε γὰρ ὁ τόπος οὗτος διαφέρειν τῶν εἰρημένων συλλογισμῶν. οὔτε δὲ ἐξ ἀληθῶν μὴ πρώτων συλλογίζεται ὁ ψευδογραφῶν, οὔτε ἐξ ἐνδόξων. εἰς δὲ τὴν ὅλην οὐκ ἐμπίπτει. οὔτε γὰρ τὰ πᾶσι δοκοῦντα λαμβάνει. οὔτε τὰ τοῖς πολλοῖς. οὔτε τὰ τοῖς σοφοῖς. μὴ τοῖς, οὔτε γὰρ πᾶσιν. οὔτε τοῖς πολλοῖς. οὔτε τοῖς ἐνδοξοτάτοις. ἀλλ' ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων οὐκ ἀληθῶν δὲ τὸν συλλογισμὸν ποιεῖται. τῷ δὲ καὶ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ. ἢ γραμμὰς τινὰς ἄγειν μὴ ὡς ἂν ἀχθείσας, τὸν παραλογισμὸν ποιεῖται. ἔστι μὲν οὖν τῶν συλλογισμῶν ὡς τύπῳ περιλαβεῖν, ἔστω τὰ εἰρημένα. καθόλου δ' εἰπεῖν περὶ πάντων τῶν εἰρημένων, μὴ τῶν μετὰ ταῦτα ἐξητασμένων, ἐπὶ τοσοῦτον ἡμῖν διωρίσθω. διόπερ περὶ οὐδενὸς αὐτῶν ἦν ἀκριβῆ λόγον ἀποδοῦναι προαιρούμεθα. ἀλλ' ὅσον τύπῳ περὶ αὐτῶν βουλόμεθα διελθεῖν, παντελῶς ἡγεμονικὸν ἡκόντων κατὰ τὴν προκειμένην μέθοδον, τὸ διωρίσθαι γνωρίζειν ὁπωσοῦν ἕκαστον αὐτῶν.

Ἐπόμενον δ' ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν, πρὸς ὅσα τε καὶ τίνα χρήσιμος ἡ πραγματεία· ἔστι δὴ πρὸς τρία. πρὸς γυμνασίαν. πρὸς τὰς ἐντεύξεις. πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας. ὅτι μὲν οὖν πρὸς γυμνασίαν χρήσιμος, ἐξ αὐτῶν καταφανές ἐστι. μέθοδον δ' ἔχοντες, ἕξομεν περὶ τὴν προτεθεῖσαν ἐπιχειρεῖν ἀνυπόπτως ἔχειν. πρὸς δὲ τὰς ἐντεύξεις, διότι τὰς τῶν πολλῶν κατηριθμημένοι λόγους, οὐκ ἐκ τῶν ἀλλοτρίων ἀλλ' ἐκ τῶν οἰκείων δογμάτων ὁμιλήσομεν πρὸς αὐτούς. μεταβιβάζοντες ὅτι ἂν μὴ καλῶς φαίνωνται

παραλογισμος ἢ συλλογισμος γεωμετρικῶν.

ἡ φ βάσιν sive ἀναγωγὴ γεωμετρικὴ omnes lineæ ductæ a centro ad circumferentiam sunt æquales vel omnes semidiametri circuli sunt æquales: illud principium cum de lineis rectis intelligat, tamen γεωμετρικὸν dicit, etiam cum de lineis curvis intelligi potest. hoc vario modo definitionis circulum interpretantibus intelligi potest. tamen etiam de semicirculi diagonium circulum pertinet.

α. περὶ γυμνασίαν intelligit Alexander quæ placent habere in scholis, quia apud antiquos nondum erat nunc haec nunc illa contendendi methodus, verbum ἔχειν explicat.

νοντι λέγειν ἡμῖν. Πρὸς δὲ τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας ὅτι δυνάμε
νοι πρὸς ἀμφότερα διαπορῆσαι, ῥᾷον ἐν ἑκάστοις κατοψόμεθα τἀληθές
τε καὶ τὸ ψεῦδος. Ἔτι δὲ πρὸς τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμην ἀρχῶν
ἐκ μὲν δὲ τῶν οἰκείων, τῶν κατὰ τὴν προτεθεῖσαν ἐπιστήμην ἀρχῶν, ἀδύ
νατον εἰπεῖν τι περὶ αὐτῶν. ἐπειδὴ πρῶτοι αἱ ἀρχαὶ ἁπάντων εἰσί. διὰ
δὲ τῶν περὶ ἕκαστα ἐνδόξων, ἀνάγκη περὶ αὐτῶν διελθεῖν. οὐκ δ' ἴδι=
ον ἢ μάλιστα οἰκεῖον τῆς διαλεκτικῆς ἐστιν. ἐξεταστικὴ γὰρ οὖσα, πρὸς
τὰς ἁπασῶν τῶν μεθόδων ἀρχὰς ὁδὸν ἔχει. Ἐξομεν δὲ τελέως τὴν
μέθοδον, ὅταν ὁμοίως ἔχωμεν. ὥσπερ ἐπὶ ῥητορικῆς καὶ ἰατρικῆς καὶ
τῶν τοιούτων δυνάμεων. οὐκ δ' ἐστὶ, τὸ ἐκ τῶν ἐνδεχομένων ποιεῖν ἃ
προαιρούμεθα. οὔτε γὰρ ὁ ῥητορικὸς ἐκ παντὸς τρόπου πείσει, οὔθ' ὁ ἰατρὸς
ὑγιάσει. ἀλλ' ἐὰν τῶν ἐνδεχομένων μηδὲν παραλίπῃ, ἱκανῶς αὐτὸν ἔ=
χειν τὴν ἐπιστήμην φήσομεν. πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἡ μέθοδος.
εἰ δὴ λάβοιμεν πρὸς πόσα, καὶ ποῖα. καὶ ἐκ τίνων οἱ λόγοι, καὶ πῶς τού=
των εὐπορήσομεν, ἔχοιμεν ἂν ἱκανῶς τὸ προκείμενον. ἔστι δὲ ἀριθμῷ ἴσα
καὶ τὰ αὐτὰ ἐξ ὧν τε οἱ λόγοι καὶ περὶ ὧν οἱ συλλογισμοί. γίνοντο μὲν γὰρ
οἱ λόγοι ἐκ τῶν προτάσεων. περὶ ὧν δὲ οἱ συλλογισμοί, τὰ προβλήμα
τά ἐστι. πᾶσα δὲ πρότασις, καὶ πᾶν πρόβλημα, ἢ γένος, ἢ ἴδιον, ἢ συμβε
βηκὸς δηλοῖ. καὶ δὲ τὴν διαφορὰν ὡς οὖσαν γενικὴν, ὁμοῦ τῷ γένει τακτέ
ον. ἐπεὶ δὲ τῶν ἰδίου τὸ μὲν τὸ τὶ ἦν εἶναι σημαίνει, τὸ δὲ οὐ σημαίνει, διῃρήσθω
τὸ ἴδιον εἰς ἄμφω τὰ προειρημένα μέρη. καὶ καλείσθω τὸ μὲν τὸ τὶ ἦν εἶναι
σημαῖνον, ὅρος. τὸ δὲ λοιπὸν, κατὰ τὴν κοινὴν περὶ αὐτῶν ἀποδοθεῖσαν ὀνομα
σίαν προσαγορευέσθω ἴδιον. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι κατὰ τὴν νῦν
διαίρεσιν, τέτταρα τὰ πάντα συμβαίνει γίνεσθαι, ἢ ἴδιον, ἢ ὅρος, ἢ γένος,
ἢ συμβεβηκός. μηδεὶς δὲ ἡμᾶς ὑπολάβῃ λέγειν ὅτι ἕκαστον τούτων καθ' αὑ=
τὸ λεγόμενον, πρότασις ἢ πρόβλημά ἐστιν. ἀλλ' ὅτι ἀπὸ τούτων καὶ τὰ προ
βλήματα καὶ αἱ προτάσεις γίνοντο. διαφέρει δὲ τὸ πρόβλημα καὶ ἡ πρότα=
σις τῷ

οὐ

finis dialectica

3.

περὶ καὶ περὶ ὧν οἱ συλλογισμοί

Πρόβλημα καὶ πρότασις διαφέρουσι.

σις τῷ ζῴῳ. οὕτως μὲν γὰρ ἐνθέντος, ἀφῄρηται τὸ ζῷον πεζὸν λίποιεν, ὁρισμός ἐστιν ἀνθρώπου καὶ ἄφαιρεῖται τὸ ζῷον γένος ἐστὶ τοῦ ἀνθρώπου, πρόσθεσις γίνεται. ἐὰν δὲ πότερον τὸ ζῷον πεζὸν λίποιεν ὁρισμός ἐστιν ἀνθρώπου ἢ οὔ, πρόβλημα γίνεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥστε εἰκότως ἴσα τῷ ἀριθμῷ τὰ προβλήματα καὶ αἱ προτάσεις εἰσίν. ἀπὸ πάσης γὰρ προτάσεως, πρόβλημα ποιήσεις μεταλαμβάνων τῷ τρόπῳ.

α. Definitio definitionis.

4. Λεκτέον δὲ τί ὅρος, τί γένος, τί ἴδιον, τί συμβεβηκός. Ἐστι δὲ ὅρος μὲν, λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνων. ἀποδίδοται δὲ, ἢ λόγος ἀντ' ὀνόματος, ἢ λόγος ἀντὶ λόγου. δῆλον γὰρ καὶ τῶν ὑπὸ λόγου τινὰ σημαινομένων ὀρίσασθαι. ὅσοι δ' ὁπωσοῦν ὀνόματι τῷ ἀποδίδοσιν ποιοῦσι, δῆλον ὡς οὐκ ἀποδιδόασιν ὃν ζητοῦσιν τοῦ πράγματος ὁρισμόν. ἐπειδὴ πᾶς ὁρισμός, λόγος τίς ἐστιν. ὁρικὸν μὲν ζητοῦσι καὶ τὸ τοιοῦτον θετέον. ἴδιον ὅτι καλόν ἐστι τὸ πρέπον. ὁμοίως δὲ καὶ τὸ, πότερον ταὐτὸν αἴσθησις καὶ ἐπιστήμη, ἢ ἕτερον. καὶ γὰρ περὶ τοὺς ὁρισμοὺς πότερον ταὐτὸν ἢ ἕτερον ἢ πλείω γίνεται διαιρεθέν. ἁπλῶς δὲ ὁρικὰ πάντα λεγέσθω, τὰ ὑπὸ τὴν αὐτὴν ὄντα μέθοδον τοῖς ὁρισμοῖς. ὅτι δὲ πάντα τὰ νῦν ἐνθέντα ζητούμενά ἐστι, δῆλον ἐξ αὐτῶν. διαπορήσειαν γὰρ ὅτι ταὐτόν. καὶ ὅτι ἕτερον διαλέγεσθαι, τῷ αὐτῷ τρόπῳ καὶ πρὸς τοὺς ὁρισμοὺς ἐπιχειρεῖν εὐπορήσομεν. λείψουσι γὰρ ὅτι οὐ ταὐτόν ἐστιν, ἀνηρηκότες ἐσόμεθα τὸν ὁρισμόν. οὐ μὴν ἀντιστρέφει τὸ νῦν ἐνθέν. οὐ γὰρ ἱκανὸν πρὸς τὸ κατασκευάσαι τὸν ὁρισμόν. τὸ λεῖψαι ταὐτὸν ὄν, πρὸς μὲν τοῦτο τὸ ἀνασκευάσαι ἀρκτέον τὸ λεῖψαι ὅτι οὐ ταὐτόν.

Progr. in definitio

Ἴδιον δέ ἐστιν, ὃ μὴ δηλοῖ μὲν τὸ τί ἦν εἶναι: μόνῳ δὲ ὑπάρχει καὶ ἀντικατηγορεῖται τοῦ πράγματος. διὸν ἴδιον ἀνθρώπου τὸ γραμματικῆς εἶναι λεκτικόν. εἰ γὰρ ἄνθρωπός ἐστι, γραμματικῆς δεκτικός ἐστι. καὶ εἰ γραμματικῆς δεκτικός ἐστιν, ἄνθρωπος ἐστίν. οὐδεὶς γὰρ ἴδιον λέγει τὸ ἐνδεχόμενον ἄλλῳ ὑπάρχειν. διὸν τὸ, κακοῦργον ἀνθρώπῳ οὐδ' ἂν τύχῃ κατά

τινα

B Sch. vt intelligerent Auct. lib. b Alex. quâ ratione definiendo aliquando ab re impositum nomen simpex aliquando non vt patibile qualibet sit dictum res ita definiri possit an ratio pro oratione.

τινα χρόνον μόνῳ ὑπάρχον. εἰ δ' ἄρα τὶ καὶ λέγοιτο τῶν τοιούτων ἴδιον, οὐχ ἁπλῶς, ἀλλὰ ποτέ. ἢ πρός τι ἴδιον ῥηθήσεται. τὸ μὲν γὰρ ἐκ δεξιῶν εἶναι, ποτὲ ἴδιόν ἐστι. τὸ δὲ δίπουν, πρός τι ἴδιον τυγχάνει λεγόμενον. ὅιον τῷ ἀνθρώπῳ, πρὸς ἵππον καὶ κύνα. ὅτι δὲ τῶν ἐνδεχομένων ἄλλῳ ὑπάρχειν, οὐδὲν ἀντικατηγορεῖται, δῆλον. οὐ μὴ ἀναγκαῖον, εἴτι καθεύδει ἄνθρωπον εἶναι. Γένος δέ ἐστι, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. ἐν τῷ τί ἐστι δὲ κατηγορεῖσθαι ταῦτα λεγέσθω. ὅσα ἁρμόττει ἐρωτηθέντας ἀποδοῦναι τί ἐστι τὸ προκείμενον. καθάπερ ἐπὶ τοῦ ἀνθρώπου ἁρμόττει. ἐρωτηθέντας τί ἐστι τὸ προκείμενον, εἰπεῖν ὅτι ζῶον. γενικὸν δὲ καὶ τὸ, πότερον ἐν τῷ αὐτῷ γένει ἄλλο ἄλλῳ, ἢ ἐν ἑτέρῳ. καὶ γὰρ τὸ τοιοῦτον ὑπὸ τὴν αὐτὴν μέθοδον πίπτει τῷ γένει. διαλεχθέντες γὰρ ὅτι τὸ ζῶον γένος τοῦ ἀνθρώπου, ὁμοίως δὲ καὶ τοῦ βοὸς, διειλεγμένοι ἐσόμεθα, ὅτι ταῦτα ἐν τῷ αὐτῷ γένει. ἐὰν δὲ τοῦ μὲν ἑτέρου δείξωμεν ὅτι γένος ἐστὶ, τοῦ δὲ ἑτέρου ὅτι οὐκ ἔστι. διειλεγμένοι ἐσόμεθα ὅτι οὐκ ἐν τῷ αὐτῷ γένει ταῦτά ἐστι. Συμβεβηκὸς δέ ἐστιν, ὃ μηδὲν μὲν τούτων ἐστί. μήτε ὅρος, μήτε ἴδιον, μήτε γένος. ὑπάρχει δὲ τῷ πράγματι, καὶ ὃ ἐνδέχεται ὑπάρχειν ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν. ὅιον τὸ καθῆσθαι ἐνδέχεται ὑπάρχειν τινὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ τὸ λευκόν. τὸ γὰρ αὐτὸ οὐδὲν κωλύει ὁτὲ μὲν λευκὸν, ὁτὲ δὲ μὴ λευκὸν εἶναι. ἔστι δὲ τῶν τοῦ συμβεβηκότος ὁρισμῶν ὁ δεύτερος, βελτίων. τοῦ μὲν δὲ πρώτου ῥηθέντος, ἀναγκαῖον, εἰ μέλλοι τῆς συνήσειν, προειδέναι τί ἐστιν ὅρος, καὶ γένος καὶ ἴδιον. ὁ δὲ δεύτερος, αὐτοτελής ἐστι πρὸς τὸ γνωρίζειν τί ποτέ ἐστι τὸ λεγόμενον καθ' αὑτό. Προσκείσθωσαν δὲ τῷ συμβεβηκότι, καὶ αἱ πρὸς ἄλληλα συγκρίσεις ὁπωσοῦν ἀπὸ τοῦ συμβεβηκότος λεγόμεναι. ὅιον πότερον τὸ καλὸν ἢ τὸ συμφέρον αἱρετώτερον. καὶ πότερον ὁ κατ' ἀρετὴν ἢ κατ' ἀπόλαυσιν, ἡδίων βίος. καὶ εἴτι ἄλλο

Accidentia possunt esse interdum propria et ad aliquid et interdum.

Accidentia non reciprocantur.

Generis definitio.

Quid sit praedicari in quid.

Quaestionum quaedam sunt in eodem genere an diverso est communis ita quaestioni generis.

Accidentis duae definitiones. Definitio per negationes non reijcienda cum alia ratione reseaplicari non possit.

τις

quaestiones num aliquod attributum insit uni subiecto magis quam alteri pertinent ad quaestiones accidentis.

Accidens videtur aliquando interdum aliquid.

παρακολουθήσειεν τυγχάνῃ τούτοις λεγόμενον. ἐπὶ πάντων δὲ τῶν τοιούτων ποτέρῳ μᾶλλον τὸ κατηγορούμενον συμβέβηκεν. ἡ ζήτησις γίνεται. δῆλον δ' ἐξ αὐτῶν ὅτι τὸ συμβεβηκὸς οὐδὲν κωλύει ποτὲ καὶ πρός τι ἴδιον γίνεσθαι. ἴδιον τὸ καθ' αὑτὸ συμβεβηκός ἐστιν, ὅταν τις μόνος κατηγορηται, τότε ποτὲ ἴδιον ἔσται. μόνου δὲ καθημμένου, πρὸς τοὺς μὴ καθημμένους ἴδιον, ὥστε καὶ πρός τι καὶ ποτὲ, οὐθὲν κωλύει τὸ συμβεβηκὸς ἴδιον γίνεσθαι. ἁπλῶς δ' ἴδιον οὐκ ἔσται. μὴ λανθανέτω δ' ἡμᾶς ὅτι τὰ

5. In quibus conueniat definitio cum aliis attributis.

πρὸς τὸ ἴδιον καὶ τὸ γένος καὶ τὸ συμβεβηκὸς πάντα λεγόμενα, καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόσει λέγεσθαι. δεῖ δὲ εἰδέναι ὅτι οὐ μόνῳ ὑπάρχει τῷ ὑπὸ τὸν ὁρισμὸν, ὥσπερ καὶ ἐπὶ τοῦ ἰδίου, ἢ ὅτι οὐ γένος τὸ ἀποδοθὲν οὐ τῷ ὁρισμῷ, ἢ ὅτι οὐχ ὑπάρχει τῇ οὐσίᾳ τῷ λόγῳ ἐκτεθέντων ὅπερ καὶ ἐπὶ τοῦ συμβεβηκότος ἂν ἐκτεθείη, ἀνειρηκότες ἐσόμεθα τὸν ὁρισμόν. ὥστε κατὰ τὸν ἔμπροσθεν ἀποδοθέντα λόγον, ἅπαντ' ἂν εἴη ἴδιον τινὰ ὁρικὰ τὰ κατηριθμημένα. ἀλλ' οὐ διὰ τοῦτο μίαν ἐπὶ πάντων καθόλου μέθοδον ζητητέον. οὔτε δὲ ῥᾴδιον εὑρεῖν τοῦτό ἐστιν, εἰ δ' ἐνδεθείη, πάντες ἁπλῶς ἀσαφῆς καὶ δύσχρηστος ἂν εἴη πρὸς τὴν προκειμένην πραγματείαν. ἰδίας δὲ καθ' ἕκαστον τῶν διορισθέντων γενῶν ἀποδοθείσης μεθόδους, ῥᾴδιον ἐκ τῶν περὶ ἕκαστον οἰκείων καὶ ἐξόδους τοῦ προκειμένου γένοιτ' ἄν. ὥστε καθόλου τοῦτο μὲν καθάπερ εἴρηται πρότερον διαιρετέον· τῶν δὲ λοιπῶν τὰ μάλιστ' ἑκάστοις οἰκεῖα προσαπτέον, ὁρικάτε καὶ γενικὰ προσαγορεύοντας ταῦτα. σχεδὸν δὲ προσήπαντα τὰ

6. Idem tribus modis dicitur.

ἐκτεθέντα πρὸς ἑκάστοις. πρῶτον δὲ πάντων περὶ ταὐτοῦ διορισέον ποσαχῶς λέγεται. δόξειε δ' ἂν τὸ ταὐτὸν ὡς τύπῳ λαβεῖν, διχῇ διαιρεῖσθαι. ἀριθμῷ δὴ ἢ εἴδει, ἢ γένει, τὸ ταὐτὸν εἰώθαμεν προσαγορεύειν. ἀριθμῷ μὲν, ὧν ὀνόματα πλείω, τὸ δὲ πρᾶγμα ἕν. ἴδιον λώπιον καὶ ἱμάτιον.

Idem numero.

εἴδει δὲ, ὅσα πλείω ὄντα, ἀδιάφορα κατὰ τὸ εἶδός ἐστι. καθάπερ ἄνθρωπος ἀνθρώπῳ, καὶ ἵππος ἵππῳ. τὰ δὲ τοιαῦτα τῷ εἴδει λέγεται

Idem specie.

ταυτά.

ταυτά. ὅσα ὑπὸ τὸ αὐτὸ εἶδος. ὁμοίως δὲ καὶ γένει ταυτὰ, ὅσα ὑπὸ τὸ αὐτὸ γένος ἐστίν, οἷον ἵππος ἀνθρώπῳ. σκόπει δ' ἂν τὸ ἀπὸ τῆς αὐτῆς κρήνης ὕδωρ ταυτὸν λεγόμενον ἔχειν τινὰ διαφορὰν παρὰ τοὺς εἰρημένους τόπους. οὐ μὴν, ἀλλὰ καὶ τὸ τοιοῦτόν γε ἐν τῷ αὐτῷ πτάχθω τοῖς καθ' ἓν εἶδος ὁπωσοῦν λεγομένοις. ἅπαντα δὲ τὰ τοιαῦτα συγγενῆ καὶ παραπλήσια ἀλλήλοις ἔοικεν εἶναι. πᾶν μὲν δὴ ὕδωρ, παντὶ ταυτὸν τῷ εἴδει λέγεται, διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα. τὸ δ' ἀπὸ τῆς αὐτῆς κρήνης ὕδωρ ταυτὸν λεγόμενον, οὐδενὶ ἄλλῳ διαφέρει, ἀλλ' ἢ τῷ σφοδρότεραν εἶναι τὴν ὁμοιότητα. διὸ οὐ χωρίζομεν αὐτὸ ἀπὸ τοῦ καθ' ἓν εἶδος ὁπωσοῦν λεγομένων. μάλιστα δ' ὁμολογεῖται τὸ ἓν ἀριθμῷ, ταυτὸν παρὰ πᾶσι δοκεῖ λέγεσθαι. εἴωθε δὲ καὶ τοῦτο ἀποδιδόσθαι πλεοναχῶς, καὶ κυριώτατα μὲν καὶ πρώτως, ὅταν ὀνόματι ἢ ὅρῳ τὸ ταυτὸν ἀποδιδῶμεν καθάπερ ἱματίῳ λώπιον, καὶ ζῴῳ πεζὸν δίπουν, ἀνθρώπῳ. δεύτερον δ' ὅταν τῷ ἰδίῳ καθάπερ τὸ ἐπιστήμης δεκτικόν, ἀνθρώπῳ, καὶ τὸ τῇ φύσει ἄνω φερόμενον πυρί. τρίτον δ' ὅταν ἀπὸ τῶν συμβεβηκότων. οἷον τὸ καθήμενον ἢ τὸ μουσικὸν Σωκράτει. πάντα δὲ ταῦτα, τὸ ἓν ἀριθμῷ βούλεται σημαίνειν. ὅτι δὲ ἀληθὲς τὸ νῦν ῥηθέν ἐστιν, ἐκ τῶν μεταβαλλόντων τὰς προσηγορίας μάλιστ' ἄν τις καταμάθοι. πολλάκις γὰρ πτάσαντες ὀνόματι καλέσαι τινὰ τῶν καθημένων μεταβάλλομεν ὅταν τύχῃ μὴ σωιεὶς ᾧ τὴν πρόσαξιν ποιοῦμεν, ὡς ἀπὸ τοῦ συμβεβηκότος, αὐτὸ μᾶλλον σωιήσοντες. καὶ κελεύομεν τὸν καθήμενον ἢ τὸν διαλεγόμενον καλέσαι πρὸς ἡμᾶς, δῆλον ὡς ταυτὸν ὑπολαμβάνοντες κατά τε τοὔνομα καὶ κατὰ τὸ συμβεβηκὸς σημαίνειν. τὸ μὲν οὖν ταυτὸν καθάπερ εἴρηται διῃρήσθω. ὅτι δὲ ἐκ τῶν πρότερον εἰρημένων οἱ λόγοι. καὶ διὰ τούτων καὶ πρὸς ταῦτα μία μὲν πίστις ἡ διὰ τῆς ἐπαγωγῆς. εἰ γάρ τις ἐπισκοποίη ἐκάστῳ τῶν προτάσεων καὶ τῶν προβλημάτων φαίνοιτ' ἂν ἢ ἀπὸ τοῦ ὅρου, ἢ ἀπὸ τοῦ ἰδίου, ἢ

Idem genere.

Aquæ eiusdem fontis partes sunt eadem specie non numero.

Idem numero quatuor modis dicitur, nomine, definitione, proprio, & accidente.

7. Probat omnes quæstiones ex propositionibus fieri ex quatuor illis attributis.

ἀπὸ τοῦ γένους ἢ ἀπὸ τοῦ συμβεβηκότος γεγενημμένη. ἄλλη δὲ πίστις, ἡ διὰ συλλογισμοῦ. ἀνάγκη δὲ πᾶν τὸ περί τινος κατηγορούμενον, ἢ τοῦ ἀντικατηγορεῖσθαι τοῦ πράγματος, ἢ μή. καὶ εἰ μὲν ἀντικατηγορῆται, ὅρος ἂν εἴη, ἢ ἴδιον. εἰ μὲν γὰρ σημαίνει τὸ τί ἦν εἶναι, ὅρος. εἰ δὲ μὴ σημαίνει ἴδιον. τοῦτο γὰρ ἦν ἴδιον τὸ ἀντικατηγορούμενον μὲν, μὴ σημαῖνον δὲ τὸ τί ἦν εἶναι. εἰ δὲ μὴ ἀντικατηγορῆται τοῦ πράγματος, ἤτοι τῶν ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου λεγομένων ἐστίν, ἢ οὔ. καὶ εἰ μὲν τῶν ἐν τῷ ὁρισμῷ λεγομένων, ἢ γένος, ἢ διαφορὰ ἂν εἴη. ἐπεὶ καὶ ὁ ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν ἐστιν. εἰ δὲ μὴ τῶν ἐν τῷ ὁρισμῷ λεγομένων ἐστί, δῆλον ὅτι συμβεβηκὸς ἂν εἴη. τὸ γὰρ συμβεβηκὸς ἐλέγετο, ὃ, μήτε ὅρος, μήτε γένος, μήτε ἴδιον, ὑπάρχει δὲ τῷ πράγματι. μετὰ τοίνυν ταῦτα, δεῖ διορίσασθαι τὰ γένη τῶν κατηγοριῶν, ἐν οἷς ὑπάρχουσιν αἱ ξηθεῖσαι τέτταρες διαφοραί. ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν, δέκα. τί ἐστι, ποσὸν, ποιὸν, πρός τι, ποῦ, ποτὲ, κεῖσθαι, ἔχειν, ποιεῖν, πάσχειν. ἀεὶ δὲ τὸ συμβεβηκὸς καὶ τὸ γένος, καὶ τὸ ἴδιον, καὶ ὁ ὁρισμὸς, ἐν μιᾷ τούτων τῶν κατηγοριῶν ἔσται. πᾶσαι γὰρ αἱ ἀπὸ τούτων προτάσεις, ἢ τί ἐστιν, ἢ ποιὸν, ἢ ποσὸν, ἢ τιν' ἄλλων κατηγοριῶν σημαίνουσι. δῆλον δὲ ἐξ αὐτῶν, ὅτι ὁ τὸ τί ἐστι σημαίνων, ὁτὲ μὲν, οὐσίαν σημαίνει. ὁτὲ δὲ, ποιὸν, ὁτὲ δὲ, τῶν ἄλλων τινὰ κατηγοριῶν. ὅταν μὲν δὲ ἐκκειμένου ἀνθρώπου φῇ τὸ ἐκκείμενον ἄνθρωπον εἶναι, ἢ ζῷον, τί ἐστι λέγει, καὶ οὐσίαν σημαίνει. ὅταν δὲ χρώματος λευκοῦ ἐκκειμένου φῇ τὸ ἐκκείμενον λευκὸν εἶναι χρῶμα, τί ἐστι λέγει, καὶ ποιὸν σημαίνει. ὁμοίως δὲ καὶ ἐὰν πηχυαίου μεγέθους ἐκκειμένου, φῇ τὸ ἐκκείμενον πηχυαῖον εἶναι μέγεθος, τί τέ ἐστι ἐρεῖ, καὶ ποσὸν σημαίνει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἕκαστον γὰρ τῶν τοιούτων, ἐάντε αὐτὸ περὶ ἑαυτοῦ λέγηται, ἐάντε τὸ γένος περὶ αὐτοῦ, τό τί ἐστι σημαίνει. ὅταν δὲ περὶ ἑτέρου, οὐ τό τί ἐστι σημαίνει, ἀλλ' ἢ ποσὸν, ἢ ποιὸν,

Porphyrius Isagoge in Aristotelem.

Ἀντικατηγορεῖται.

Ἀντικατηγορεῖται

Categoriarum enumeratio.

γ hoc optime explicavit Boëthius dixit substantiam tripliciter considerari, onomodo secundum se, alio modo secundum quid, tertio modo ad aliquid. Dicta genera categoriarum substantiæ significant substantiam quia in quid dicuntur, quod videtur proprium esse substantiæ et etiam rem substantiæ significant secundum se. Aliquid habet rem substantiæ et non magis quia ratione differentiæ substantiarum substantiæ magis quam minus, dicuntur magis et minus quia non in quid dicuntur. Tertio aliquid significat substantiam secundum se et non solum, sed quia ratione accidentia dicuntur substantiam significare, quia dicuntur in eis quæ hoc loco voluit Aristoteles.

ἢ ποιὸν, ἢ τινὰ τῶν ἄλλων κατηγοριῶν. ὥστε περὶ ὧν μὲν οἱ λόγοι, καὶ ἐξ ὧν, ταῦτα καὶ τοσαῦτά ἐστι. πῶς δὲ ληψόμεθα, καὶ δι' ὧν εὐπορήσομεν, μετὰ ταῦτα λεκτέον. Γρῶτον τοίνυν διωρίσθω τί ἐστι 8.
πρότασις διαλεκτική. καὶ τί πρόβλημα διαλεκτικόν. οὐ γὰρ πᾶσαν πρότασιν, οὐδὲ πᾶν πρόβλημα διαλεκτικὸν θετέον. οὐδεὶς γὰρ ἂν προτείνειε νοῦν ἔχων τὸ μηδενὶ δοκοῦν. οὐδὲ προβάλοι τὸ πᾶσι φανερὸν, ἢ τοῖς πλείστοις. τὰ μὲν γὰρ οὐκ ἔχει ἀπορίαν. τὰ δ' οὐθεὶς ἂν θείη. ἔστι δὲ πρότασις διαλεκτικὴ, ἐρώτησις ἔνδοξος, ἢ πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς. καὶ τούτων, ἢ πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς μάλιστα γνωρίμοις, καὶ μὴ παράδοξος. θείη γὰρ ἄν τις τὸ δοκοῦν τοῖς σοφοῖς. ἐὰν μὴ ἐναντίον ταῖς τῶν πολλῶν δόξαις ᾖ. εἰσὶ δὲ προτάσεις διαλεκτικαὶ, καὶ τὰ τοῖς ἐνδόξοις ὅμοια, καὶ τὰ ἐναντία κατ' ἀντίφασιν τοῖς δοκοῦσιν ἐνδόξοις εἶναι προτεινόμενα. καὶ ὅσαι δόξαι κατὰ τὰς τέχνας εἰσὶ τὰς εὑρημένας. εἰ γὰρ ἔνδοξον τὸ, τὴν αὐτὴν εἶναι τῶν ἐναντίων ἐπιστήμην. καὶ τὸ, αἴσθησιν τὴν αὐτὴν εἶναι τῶν ἐναντίων, ἔνδοξον ἂν φανείη, καὶ εἰ μίαν ἀριθμῷ γραμματικὴν εἶναι, καὶ αὐλητικὴν μίαν. εἰ δὲ πλείους γραμματικὰς, καὶ αὐλητικὰς πλείους. πάντα γὰρ ὅμοια καὶ συγγενῆ ταῦτα ἔοικεν εἶναι. ὁμοίως δὲ καὶ τὰ τοῖς ἐνδόξοις ἐναντία κατὰ ἀντίφασιν προτεινόμενα, ἔνδοξα φανεῖται. εἰ γὰρ ἔνδοξον ὅτι δεῖ τοὺς φίλους εὖ ποιεῖν, καὶ ὅτι οὐ δεῖ κακῶς ποιεῖν ἔνδοξον. ἔστι δὲ ἐναντίον μὲν, ὅτι δεῖ κακῶς ποιεῖν τοὺς φίλους. κατὰ ἀντίφασιν δὲ, ὅτι οὐ δεῖ καλῶς ποιεῖν. ὁμοίως δὲ, καὶ εἰ δεῖ τοὺς φίλους εὖ ποιεῖν, τοὺς ἐχθροὺς οὐ δεῖ. ἔστι δὲ καὶ τοῦτο κατὰ ἀντίφασιν τῶν ἐναντίων. τὸ γὰρ ἐναντίον, ἐστὶν, ὅτι δεῖ τοὺς ἐχθροὺς εὖ ποιεῖν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔνδοξον δὲ καὶ ἐν παραβολῇ φανεῖται, καὶ τὸ ἐναντίον, περὶ τοῦ ἐναντίου, οἷον εἰ τοὺς φί-

λους

Propositio dialectica quae nam dicatur.

α/ leaquae videntur peritis in sua arte.

β/ quae constant ex altero extremorum contrario cum negatione.

Κακῶς

γ/ Sch. extremis contrariis constat.

γ/ Sch. quando extrema sunt contraria.

λους δεῖ ἓυ ποιεῖν, καὶ τοὺς ἐχθροὺς δεῖ κακῶς. φανείη δ' ἂν καὶ ἀναπόν τὸ τοὺς φίλους ἓυ ποιεῖν, τῷ τοὺς ἐχθροὺς κακῶς. πότερον δὲ καὶ κατ' ἀλήθειαν οὕτως ἔχει ἢ οὔ, ἐν τοῖς ὑπὲρ τῶν ἐναντίων λεγομένοις ἐπισκεπτέον. δῆλον δ' ὅτι καὶ ὅσαι δόξαι κατὰ τέχνας εἰσί, διαλεκτικαὶ προτάσεις εἰσί· θεῖη μὲν ἄντις τὰ δικαιοῦντα τοῖς ὑπὲρ τούτων ἐπεσκεμμένοις. οἷον περὶ μὲν τῶν ἐν ἰατρικῇ, ὡς ὁ ἰατρός. περὶ δὲ τῶν ἐν γεωμετρίᾳ, ὡς ὁ γεωμέτρης. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. 9. Quaestio dialectica

Πρόβλημα δέ ἐστι διαλεκτικὸν θεώρημα τὸ συμφέρον, ἢ πρὸς αἵρεσιν καὶ φυγήν, ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ ἅμα, ἢ ὡς συμεργόν, πρός τι ἕτερον τῶν τοιούτων. περὶ οὗ, ἢ οὐδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ πολλοὶ τοῖς σοφοῖς. ἢ οἱ σοφοὶ τοῖς πολλοῖς, ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς. ἔνια γὰρ μὲν τῶν προβλημάτων χρήσιμον εἰδέναι πρὸς τὸ ἐλέσθαι, ἢ φυγεῖν. οἷον πότερον ἡ ἡδονὴ ἀγαθόν, ἢ οὔ. ἔνια δὲ πρὸς τὸ εἰδέναι μόνον. οἷον πότερον ὁ κόσμος ἀΐδιος, ἢ οὔ. ἔνια δὲ αὐτὰ μὲν καθ' αὑτὰ πρὸς οὐδέτερον τούτων. συμεργὰ δέ ἐστι πρός τινα τῶν τοιούτων. πολλὰ μὲν γὰρ αὐτὰ καθ' αὑτὰ οὐ βουλόμεθα γνωρίζειν. ἕτερων δ' ἕνεκα, ὅπως διὰ τούτων ἄλλό τι γνωρίσωμεν. ἔστι δὲ προβλήματα. καὶ ὧν αὐτοί εἰσιν οἱ συλλογισμοί. ἀπορίαν γὰρ ἔχει πότερον οὕτως ἔχει ἢ οὐχ οὕτως, διὰ τὸ περὶ ἀμφοτέρων εἶναι λόγους πιθανούς. καὶ περὶ ὧν λόγον μὴ ἔχομεν ὄντων μεγάλων, χαλεπὸν οἰόμενοι εἶναι διά τι ἀποδοῦναι. οἷον πότερον ὁ κόσμος ἀΐδιος ἢ οὔ. καὶ γὰρ ταῦτα ζητήσειεν ἄντις. τὰ μὲν οὖν προβλήματα καὶ αἱ προτάσεις καθάπερ εἴρηται διαιρείσθω. Θέσις δέ ἐστιν ὑπόληψις παράδοξος τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν. οἷον ὅτι οὐκ ἔστιν ἀντιλέγειν καθάπερ ἔφη Ἀντιφῶν, ἢ ὅτι πάντα κινεῖται καθ' Ἡράκλειτον, ἢ ὅτι ἓν τὸ ὄν, καθάπερ Μέλισσός φησι. τὸ

Positio quae sit

σι. ϗ γὰρ τοῦ τυχόντος ἐναντία ταῖς δόξαις ἀποφηναμένου, φρον
τίζειν, εὐηθές ἐστιν. ἢ περὶ ὧν λόγον ἔχομεν ἐναντίον ταῖς δόξαις.
διον ὅτι οὐ πᾶν τὸ ὂν ἢ γενόμενόν ἐστιν ἢ ἀίδιον, καθάπερ οἱ σοφι=
σταί φασι. ϗν μουσικὸν γὰρ ὄντα γραμματικὸν εἶναι, οὔτε γενό=
μενον οὔτε ἀίδιον ὄντα. ϛδὲ γὰρ εἰ καίτινι μὴ δοκεῖ δόξειεν ἂν
δὰ ϗ, λόγον ἔχειν πιθανόν. ἔστι μὲν οὖν καὶ ἡ θέσις πρόβλημα, οὐ Omnis positio quæ thesis est non contra.
πᾶν δὲ πρόβλημα θέσις. ἐπισκεπτὴ ἔνια τῶν προβλημάτων τοιαῦτ
ἐστί, περὶ ὧν οὐδετέρως δοξάζομεν. ὅτι δέ ἐστι καὶ ἡ θέσις πρό=
βλημα, δῆλον. ἀνάγκη γὰρ ἐκ τῶν εἰρημένων, ἢ τοὺς πολλοὺς τοῖς
σοφοῖς περὶ τῆς θέσιν ἀμφισβητεῖν, ὁποτερουσοῦν ἑαυτοῖς. ἐπει=
δὴ ὑπόληψίς τις παράδοξος ἡ θέσις ἐστί. χεδὸν δὲ νῦν πάντα τὰ Nunc conpendiantur hæc positio & quæstio.
τῆς διαλεκτικῆς προβλήματα, θέσεις καλοῦσιν. διαφερέτω δὲ μι
δὲν ὁπωσοῦν λεγόμενον. οὐ γὰρ ὀνοματοποιῆσαι βουλόμενοι διείλομεν
οὕτως αὐτά, ἀλλ' ἵνα μὴ λανθάνωσιν ἡμᾶς, τίνες αὐτῶν τυχάνουσιν
οὖσαι διαφοραί. οὐ δεῖ δὲ πᾶν πρόβλημα, οὐδὲ πᾶσαν θέσιν ἐπι=
σκοπεῖν, ἀλλ' ἣν ἀπορήσειεν ἄντις τῶν λόγου μεμοιραν, καὶ μὴ καλάστε
ως ἢ ἀϊδηστως. οἱ μὲν γὰρ ἀποροῦντες, πότερον δεῖ τοὺς θεοὺς τιμᾶν ἢ
τοὺς γονεῖς ἀγαπᾶν ἢ οὔ, κολάστεως δέονται. οἱ δὲ πότερον ἡχίαν λύκη ἢ
οὐ, ἀϊδηστεως. οὐδὲ μὴ ὧν σώφρων, ἢ ἀποδεκτὸς, οὐδὲ ὧν λίαν πο[illegible] τὰ
πολλὰ δυνατὸν ἔχει ἀποδίαν. τὰ δὲ, πολείω ἢ κατὰ γυμνασικήν. Διορισμέ= 10.
νων δὲ τούτων καὶ διειλέχθαι πόσα τῶν λόγων εἴδη τῶν διαλεκτικῶν. Ratiocinationis dialecticæ duo species inductio & ratiocinatio.
ἔστι δὲ τὸ μὲν, ἐπαγωγὴ. τὸ δὲ, συλλογισμός. καὶ συλλογισμὸς μὲν τί ἐστιν εἴ
ρηται πρότερον. ἐπαγωγὴ δὲ, ἡ ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου ἔφο= Inductio quid sit.
δος. οἷον εἰ ἔστι κυβερνήτης ὁ ἐπισάμενος κράτιστος, καὶ ἡνίοχος, καὶ ὅ=
λως ἐστὶν ὁ ἐπισάμενος περὶ ἕκαστον ἄριστος. ἔστι δὲ ἡ μὲν ἐπαγωγὴ πιθα=
νωτέρα καὶ σαφεστέρα καὶ κατὰ τὴν αἴσθησιν γνωριμωτέρα καὶ τοῖς πολ
λοῖς κοινόν. ὁ δὲ συλλογισμὸς δραστικώτερος καὶ πρὸς τοὺς ἀντιλογικοὺς
ἐνεργέστερος

ἐνεργέστερος. Τὰ μὲν οὖν γένη περὶ ὧν τε οἱ λόγοι καὶ ἐξ ὧν κατα-
II. σκευάζονται, διῃρήσθω. τὰ δὲ ὄργανα δι' ὧν εὐπορήσομεν
τῶν συλλογισμῶν, ἔστι τέτταρα. ἓν μέν, τὸ προτάσεις λαβεῖν, δεύτερον
δέ, τὸ πόσαχῶς ἕκαστον λέγεται διώρισθαι διειλεῖν. τρίτον, τὸ τὰς διαφορὰς
ἐυρεῖν. τέταρτον δέ, ἡ τοῦ ὁμοίου σκέψις. ἔστι δὲ τρόπον τινὰ καὶ
τὰ τρία τούτων, προτάσεις. ἔστι γὰρ καθ' ἕκαστον αὐτῶν ποιῆσαι πρό-
ταστν. οἷον ὅτι αἱρετόν ἐστι τὸ καλόν. ἢ τὸ ἡδὺ ἢ τὸ συμφέρον. καὶ ὅτι ἡ
ἀφέρεσις ἴσον ἐστὶ τῇ μισθοῦ. τοῦτο μὲν ἀποβαλόντι, δίκαιον εἶναι
πάλιν λαβεῖν. τοῦτο δὲ ἀδιώατον. καὶ ὅτι ὁμοίως ἔχει τὸ ὑγιεινὸν πρὸς
ὑγίειαν, καὶ τὸ εὐεκτικὸν πρὸς εὐεξίαν. ἔστι δὲ ἡ μὲν πρώτη πρότασις,
ἀπὸ τῶν πολλαχῶς λεγομένων. ἡ δὲ δευτέρα, ἀπὸ τῶν διαφορῶν. ἡ
12 δὲ τρίτη, ἀπὸ τῶν ὁμοίων, τὰς μὲν οὖν προτάσεις ἐκλεκτέον ὅσα-
χῶς διαῤῥήθη περὶ προτάσεως ἢ τὰς πάντων δόξας προχειριζόμε-
νον. ἢ τὰς τῶν πλείστων, ἢ τὰς τῶν σοφῶν. καὶ τούτων, ἢ πάντων, ἢ τῶν
πλείστων, ἢ τῶν γνωριμωτάτων, ἢ καὶ τὰς ἐναντίας ταῖς φαινομέ-
ναις κατὰ ἀντίφασιν καθάπερ εἴρηται πρότερον. χρήσιμον δέ, καὶ τὸ
ποιεῖν αὐτὰς ἐν τῷ ἐκλέγειν μὴ μόνον τὰς οὔσας ἐνδόξους, ἀλλὰ καὶ
τὰς ὁμοίας ταύτας. οἷον ὅτι τῶν ἐναντίων ἡ αὐτὴ αἴσθησις. καὶ γὰρ
ἡ ἐπιστήμη. καὶ ὅτι ὁρῶμεν, εἰσελεχόμενοί τι οὐκ ἐκπέμποντες. καὶ
γὰρ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ὡσαύτως. ἀκούομέν τε γὰρ εἰσ-
ελεχόμενοί τι οὐκ ἐκπέμποντες. καὶ γευόμεθα καὶ ὀσμώμεθα, ὡσαύ-
τως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔτι ὅσα ἐπὶ πάντων ἢ τῶν πλεί-
στων φαίνεται, ὑπολητέον ὡς ἀρχὴν καὶ δοκοῦσαι θέσιν. τιθέασι γὰρ οἱ
μὴ σωφρονοῦντες ἐπί τινος οὐχ οὕτως. ἐκλέγειν δὲ χρὴ καὶ ἐκ τῶν γε-
γραμμένων λόγων. τὰς δὲ διαγραφὰς ποιεῖσθαι περὶ ἑκάστου γένους ὑ-
ποτιθέντας χωρὶς, οἷον περὶ ἀγαθοῦ ἢ περὶ ζώου. καὶ περὶ ἀγαθοῦ πάν-
τως ἀρξάμενον ἀπό του τί ἐστι. παρασημαίνεσθαι δὲ καὶ τὰς ἑκάστου δόξας.

οἷον

α. Tria problema sunt vera
ad inuenienda, primum autem
dicatur, quibus finis ad quem alia
referantur, per sumptionem autem
propositionum non debet ea sumi
in aliquo quae sit ad aliquid pro-
bandum, hae enim nec ipsa ad
se ipsa propositionum quam hae
sunt paratam ante omnem
exhortationem.

Ἐναντίων

ὅιον ὅτι Εμπεδοκλῆς τέτταρά φησι τῶν σωμάτων στοιχεῖα εἶναι. θεὶν γὰρ ἄντις τὸ ὑπό τινος εἰρημένον ἐνδόξου. ἔστι δὲ ὡς τύπῳ περιλαβεῖν τῶν προτάσεων καὶ τῶν προβλημάτων μέρη τρία. αἱ μὲν γὰρ, ἠθικαὶ προτάσεις εἰσὶν, αἱ δὲ, φυσικαί. αἱ δὲ, λογικαί. ἠθικαὶ μὲν οὖν αἱ τοιαῦται. ὅιον πότερον δεῖ τοῖς γονεῦσι μᾶλλον πειθαρχεῖν ἢ τοῖς νόμοις, ἐὰν διαφωνῶσι. λογικαὶ δὲ, ὅιον πότερον τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, ἢ οὔ. φυσικαὶ δὲ, πότερον ὁ κόσμος, ἀΐδιος, ἢ οὔ. ὁμοίως δὲ καὶ τὰ προβλήματα. ὁποῖαι δ' ἕκασται τῶν προειρημένων, ὁρισμῷ μὲν, οὐκ εὐπετὲς ἀποδοῦναι περὶ αὐτῶν. τῇ δὲ διὰ τῆς ἐπαγωγῆς συνηθείᾳ πειρατέον γνωρίζειν ἑκάστην αὐτῶν, κατὰ τὰ προειρημένα παραδείγματα ἐπισκοποῦντας. Πρὸς μὲν οὖν φιλοσοφίαν κατ' ἀλήθειαν περὶ αὐτῶν πραγματευτέον. διαλεκτικῶς δὲ, πρὸς δόξαν. ληπτέον δὲ ὅτι μάλιστα, καθόλου πάσας τὰς προτάσεις, καὶ τὴν μίαν, πολλὰς ποιητέον. ὅιον ὅτι τῶν ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμη. εἶθ' ὅτι τῶν ἐναντίων. καὶ ὅτι τῶν πρόστι. τὸν αὐτὸν δὲ τρόπον καὶ ταύτας πάλιν διαιρετέον, ἕως ἂν ἐνδέχηται διαιρεῖν, ὅιον ὅτι ἀγαθοῦ καὶ κακοῦ καὶ λευκοῦ καὶ μέλανος, καὶ ψυχροῦ καὶ θερμοῦ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. περὶ μὲν οὖν προτάσεως, ἱκανὰ τὰ προειρημένα.

Τὸ δὲ ποσαχῶς, πραγματευτέον μὴ μόνον ὅσα λέγεται καθ' ἕτερον τρόπον, ἀλλὰ καὶ τοὺς λόγους αὐτῶν πειρατέον ἀποδιδόναι. ὅιον μὴ μόνον ὅτι ἀγαθὸν καθ' ἕτερον μὲν τρόπον λέγεται δικαιοσύνη καὶ ἀνδρία, εὐεκτικὸν δὲ καὶ ὑγιεινὸν καθ' ἕτερον, ἀλλ' ὅτι καὶ τὰ μὲν τῷ αὐτὰ ποιάτινα εἶναι, τὰ δὲ τῷ ποιητικά τινος. καὶ οὐ τῷ ποιὰ αὐτά τινα εἶναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πότερον δὲ πολλαχῶς ἢ μοναχῶς τῷ εἴδει λέγεται, διὰ τῶνδε θεωρητέον. Πρῶτον μὲν ἐπὶ τοῦ ἐναντίου σκοπεῖν εἰ πολλαχῶς λέγεται, ἐάν τε τῷ εἴδει, ἐάν τε καὶ τῷ ὀνόματι διαφωνῇ. ἔνια δὲ εὐθὺς καὶ τοῖς ὀνόμασιν ἕτερά ἐστιν.

Quaestionum tria genera.

13.12.

Quatuordecim modis quid dicitur multiplex.

Primus si eius contrarius est multiplex.

Ar[les] non voluit in universum in hac ille modo multiplicitatis illud esse multiplex cuius contrarium esset multiplex sed quotiescunque aliquid habet contrarium multiplex secundum omnem sui rationem, illud etiam esse multiplex. Unde quamuis dolor in siti habeat contrarium multiplex scilicet voluptatem, quae multiplex est, vt ijdicitur, non tamen est multiplex, quia voluptas ei non opponitur scilicet omnem sui rationem sed qua ratione tantum est voluptas in bibendo.

ὅιον τῷ ὀξεῖ ἐν φωνῇ μὲν ἐναντίον τὸ βαρύ. ἐν ὄγκῳ δὲ, τὸ ἀμβλύ. δῆλον οὖν ὅτι τὸ ἐναντίον τῷ ὀξεῖ πολλαχῶς λέγεται. εἰ δὲ τοῦτο, καὶ τὸ ὀξύ. καθ' ἑκάτερον γὰρ τούτων ἕτερον ἔσται τὸ ἐναντίον. οὐ γὰρ τὸ αὐτὸ ὀξὺ ἔσται τῷ ἀμβλεῖ καὶ βαρεῖ ἐναντίον. ἑκατέρῳ δὲ τὸ ὀξὺ ἐναντίον. Γάλιν τῷ βαρεῖ ἐν φωνῇ μὲν ἐναντίον τὸ ὀξύ. ἐν ὄγκῳ δὲ τὸ κοῦφον. ὥστε πολλαχῶς τὸ βαρὺ λέγεται. ἐπειδὴ καὶ τὸ ἐναντίον. ὁμοίως δὲ καὶ τῷ καλῷ. τῷ μὲν ἐπὶ τοῦ ζώου, τὸ αἰσχρόν. τῷ δὲ ἐπὶ τῆς οἰκίας, τὸ μοχθηρόν. ὥστε ὁμώνυμον τὸ καλόν. ἐπ' ἐνίων δὲ τοῖς μὲν ὀνόμασιν οὐδαμῶς διαφωνεῖ. τῷ δὲ εἴδει κατάδηλος ἐν αὐτοῖς εὐθέως ἡ διαφορά ἐστιν. ὅιον ἐπὶ τοῦ λευκοῦ, καὶ τοῦ μέλανος. φωνὴ γὰρ λευκὴ καὶ μέλαινα λέγεται. ὁμοίως δὲ καὶ τὸ χρῶμα. τοῖς μὲν οὖν ὀνόμασιν οὐδὲν διαφωνεῖ. τῷ δὲ εἴδει κατάδηλος ἐν αὐτοῖς εὐθέως ἡ διαφορά. οὐ γὰρ ὁμοίως τό, τε χρῶμα λευκὸν λέγεται καὶ ἡ φωνή. δῆλον δὲ τοῦτο καὶ διὰ τῆς αἰσθήσεως. τῶν γὰρ αὐτῶν τῷ εἴδει ἡ αὐτὴ αἴσθησις. τὸ δὲ λευκὸν τὸ ἐπὶ τῆς φωνῆς καὶ ἐπὶ τοῦ χρώματος, οὐ τῇ αὐτῇ αἰσθήσει κρίνομεν. ἀλλὰ τὸ μὲν ὄψει. τὸ δ' ἀκοῇ. ὁμοίως δὲ καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλὺ ἐν χυμοῖς καὶ ἐν ὄγκοις. ἀλλὰ τὸ μὲν ἁφῇ, τὸ δὲ γεύσει. οὐδὲ γὰρ ταῦτα διαφωνεῖ τοῖς ὀνόμασιν, οὔτ' ἐπ' αὐτῶν, οὔτ' ἐπὶ τῶν ἐναντίων. ἀμβλὺ γὰρ καὶ τὸ ἐναντίον ἑκατέρῳ. Ἔτι εἰ τῷ μὲν ἐστί τι ἐναντίον. τῷ δ' ἁπλῶς μηδὲν, ὅιον τῇ μὲν ἀπὸ τοῦ πίνειν ἡδονῇ, ἡ ἀπὸ τοῦ διψῆν λύπη ἐναντίον. τῇ δ' ἀπὸ τοῦ θεωρεῖν ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρος, οὐδέν. ὥστε πλεοναχῶς ἡ ἡδονὴ λέγεται. καὶ τῷ μὲν κατὰ διάνοιαν φιλεῖν, τὸ μισεῖν ἐναντίον. τῷ δὲ κατὰ τὴν σωματικὴν ἐνέργειαν, οὐδέν. δῆλον οὖν ὅτι τὸ φιλεῖν, ὁμώνυμον. Ἔτι καὶ ἐπὶ τῶν ἀνὰ μέσον, εἰ τῶν μὲν ἐστί τι ἀνὰ μέσον. τῶν δὲ, μηδὲν, ἢ εἰ ἀμφοῖν μὲν ἔστι, μὴ ταὐτὸν δέ.

Secundus modus si aliquid vt est in vno subiecto habet contrarium vt est in alio non habet.

Tertius si aliquid vt est in vno subiecto habet medium, vt est in alio non habet aut non habet id quod sit idem cum alio

ὅιον λευκοῦ

ἴσον λευκοῦ, καὶ μέλανος. ἐν χρώμασι μᾶλλον, τὸ φαιόν. ἐν φωνῇ δέ, οὐδέν· ἢ εἰ ἄρα τὸ συμφόν, καθάπερ τινές φασι συμφωνίαν φωνὴν ἀνὰ μέσον εἶναι. ὥστε ὁμώνυμον τὸ λευκόν. ὁμοίως δὲ καὶ τὸ μέλαν.

Quartum si vna est in vno subiecto habens plura.

Ἔτι εἰ τῶν μᾶλλον πλείω τὰ ἀνὰ μέσον, τῶν δὲ ἔλαττον. καθάπερ ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος. ἐπὶ μὲν γὰρ τῶν χρωμάτων, πολλὰ τὰ ἀνὰ μέσον. ἐπὶ δὲ τῆς φωνῆς, ἓν τὸ συμφόν. Πάλιν ἐπὶ τοῦ κατ' ἀντίφασιν ἀντικειμένου σκοπεῖν εἰ πλεοναχῶς λέγεται. εἰ γὰρ τοῦτο πλεοναχῶς λέγεται, καὶ τὸ τούτῳ ἀντικείμενον πλεοναχῶς ἐνθήσεται. οἷον τὸ μὴ βλέπειν πλεοναχῶς λέγεται. ἓν μὲν, τὸ μὴ ἔχειν ὄψιν. ἕτερον δέ, τὸ μὴ ἐνεργεῖν τὴν ὄψει. εἰ δὲ τοῦτο πλεοναχῶς, ἀναγκαῖον καὶ τὸ βλέπειν πλεοναχῶς λέγεσθαι. ἑκατέρῳ γὰρ τὸ μὴ βλέπειν ἀντικείσεταί τι. οἷον τῷ μὲν μὴ ἔχειν ὄψιν, τὸ ἔχειν. τῷ δὲ μὴ ἐνεργεῖν τὴν ὄψει, τὸ ἐνεργεῖν.

Quintum si quid opponitur alicui vt indistorum est multiplex ab illi opponitur.

Ἔτι ἐπὶ τῶν κατὰ σύρησιν καὶ ἕξιν λεγομένων ἐπισκοπεῖν. εἰ γὰρ θάτερον πλεοναχῶς λέγεται, καὶ τὸ λοιπόν, οἷον εἰ τὸ αἰσθάνεσθαι πλεοναχῶς λέγεται κατά τε τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ τὸ ἀναίσθητον εἶναι, πλεοναχῶς ἐνθήσεται κατά τε τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα. ὅτι δὲ κατὰ σύρησιν καὶ ἕξιν ἀντίκειται τὰ νῦν λεγόμενα, δῆλον. ἐπεὶ τὸ φυκὸν ἑκατέραν τῶν αἰσθήσεων ἔχειν τὰ ξῶα, καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα.

Sextum si quod opponitur primatis vt multiplex, id cui opponitur erit multiplex.

Ἔτι δ' ἐπὶ τῶν πλώσεων ἐπισκεπτέον. εἰ γὰρ τὸ δικαίως πλεοναχῶς λέγεται, καὶ τὸ ἄδικον πλεοναχῶς ἐνθήσεται. καθ' ἑκάτερον δὲ τῶν δικαίων ἐστὶν ἄδικον. οἷον εἰ τὸ δικαίως λέγεται, τό, τε κατὰ τὴν ἑαυτοῦ γνώμην κρῖναι, καὶ τὸ ὡς δεῖ, ὁμοίως καὶ τὸ ἄδικον. ὡσαύτως δὲ καὶ εἰ τὸ ὑγιεινὸν λέγεται. τὸ μὲν, ὑγιείας ποιητικόν, τὸ δέ, φυλακτικόν. τὸ δέ, σημαντικόν, καὶ τὸ ὑγιεινῶς, ἢ ποιητικῶς, ἢ φυλακτικῶς, ἢ σημαντικῶς ἐνθήσεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅταν αὐτὸ πλεοναχῶς λέγηται, καὶ ἡ πλῶσις ἡ ἀπ' αὐτοῦ

Septimum si quod opponitur alicui vt indistorum est multiplex ei id adquod se habet erit.

πλεοναχῶς ξηθήσεται, καὶ εἰ ἡ πῆσις, καὶ αὐτό. Σκοπεῖν δὲ καὶ τὰ γένη τῶν κατὰ τοὔνομα κατηγοριῶν, εἰ ταὐτά ἐσιν ἐπὶ πάντων. εἰ γὰρ μὴ ταυτὰ, δῆλον ὅτι ὁμώνυμον τὸ λεγόμενον. οἷον τὸ ἀγαθὸν, ἐν ἐλλέσματι μὲν, τὸ ποιητικὸν ἡδονῆς. ἐν ἰατρικῇ δὲ, τὸ ποιητικὸν ὑγιείας. ἐπὶ δὲ ψυχῆς, τὸ ποιὰν εἶναι. οἷον σώφρονα, ἢ ἀνδρίαν, ἢ δικαίαν. ὁμοίως δὲ καὶ ἐπὶ ἀνθρώπου. ἐνιαχοῦ δὲ, τὸ ποτέ. οἷον τὸ ἐν τῷ καιρῷ ἀγαθόν. ἀγαθὸν γὰρ λέγεται τὸ ἐν τῷ καιρῷ. πολλάκις δὲ τὸ ποσόν. οἷον τὸ ἐπὶ τοῦ μετρίου. λέγεται γὰρ καὶ τὸ μέτριον ἀγαθόν. ὥστε ὁμώνυμον τὸ ἀγαθόν. ὡταύτως δὲ καὶ τὸ λευκόν. ἐπὶ σώματος μὲν, χρῶμα. ἐπὶ δὲ φωνῆς τὸ εὐήκοον. παραπλησίως δὲ καὶ τὸ ὀξύ. οὐ γὰρ ὡσαύτως ἐπὶ πάντων τὸ αὐτὸ λέγεται οἷον. φωνὴ μὲν γὰρ ὀξεῖα, ἢ ταχεῖα. καθάπερ φασὶν οἱ κατ' ἀριθμοὺς ἁρμονικοί. γωνία δ' ὀξεῖα, ἢ ἐλάσσων ὀρθῆς. μάχαιρα δὲ, ἢ ὀξυγώνιος. σκοπεῖν δὲ καὶ τὰ γένη τῶν ὑπὸ τὸ αὐτὸ ὄνομα, εἰ ἕτερα καὶ μὴ ὑπάλληλα. οἷον ὄνος τότε ζῶον καὶ τὸ σκεῦος. ἕτερος γὰρ ὁ κατὰ τοὔνομα λόγος αὐτῶν. τὸ μὲν γὰρ ζῶον, ὁποῖόν τι ξηθήσεται. τὸ δὲ σκεῦος, ὁποῖόν τι. ἐὰν δ' ὑπάλληλα τὰ γένη ᾖ, οὐκ ἀναγκαῖον ἑτέρους τοὺς λόγους εἶναι. οἷον τοῦ κόρακος τὸ ζῶον καὶ τὸ ὄρνεον γένος ἐσίν. ὅταν οὖν λέγωμεν τὸν κόρακα ὄρνεον εἶναι, καὶ ζῶον ποιόν τι φαμὲν εἶναι αὐτόν. ὥστ' ἀμφότερα τὰ γένη περὶ αὐτοῦ κατηγορεῖται. ὁμοίως δὲ καὶ ὅταν ζῶον πλωτὸν λέγωμεν τὸν κόρακα λέγομεν, ὄρνεον αὐτὸν φαμὲν εἶναι, καὶ οὕτως οὖν ἀμφότερα τὰ γένη κατηγορεῖται κατὰ τοῦ κόρακος, καὶ ὁ λόγος αὐτῶν. ἐπὶ δὲ τῶν μὴ ὑπαλλήλων, οὐ συμβαίνει τοῦτο. οὔτε γὰρ ὅταν σκεῦος λέγωμεν, ζῶον λέγομεν, οὔθ' ὅταν ζῶον, σκεῦος.

Σκοπεῖν δὲ μὴ μόνον ἐπὶ τοῦ προκειμένου εἰ ἕτερα τὰ γένη, καὶ μὴ ὑπάλληλα, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐναντίου. εἰ γὰρ τὸ ἐναντίον πολ-

λαχῶς

Si hoc modo aliquid sit communi nomine nuncupatum non est eadem categoria est multiplex.

Homonyma quando aliquid est, ut plures species generibus eisdem categoriae, quorum unum subalterno non contrarietur.

Dicimus si contrarium alicuius est sub diuersis generibus eiusdem subalternum non subsistentibus, et illius contrarium erit multiplex.

λαχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ προκείμενον. χρήσιμον δὲ καὶ τὸ ἐπὶ τὸν ὁρισμὸν ἐπιβλέψειν τὴν ἐκ τοῦ συμπεπτωκότος γίνόμενον. οἷον λευκοῦ σώματος, καὶ λευκῆς φωνῆς. ἀφαιρουμένου γὰρ τοῦ ἰδίου, τὸν αὐτὸν δεῖ λόγον λείπεσθαι. τοῦτο δὲ οὐ συμβαίνει ἐπὶ τῶν ὁμωνύμων, οἷον ἐπὶ τῶν νεῦ εἰρημένων. τὸ μὲν γὰρ ἔσται σῶμα τοιόνδε χρῶμα ἔχον. τὸ δὲ φωνὴ εὐήκοος. ἀφαιρεθέντος οὖν τοῦ σώματος καὶ τῆς φωνῆς, οὐ ταυτὸν ἂν ἑκατέρῳ τὸ λειπόμενον. ἔοικε δέ γε, εἴπερ συνώνυμον ἦν τὸ λευκὸν τὸ ἐφ' ἑκατέρου λεγόμενον εἶναι ταυτόν. πολλάκις δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις λανθάνει παρακολουθοῦν τὸ ὁμώνυμον. διὸ καὶ ἐπὶ τὸν λόγον σκεπτέον, οἷον ἄν τις τὸ σημαντικὸν, καὶ τὸ ποιητικὸν ὑγιείας τὸ συμμέτρως ἔχον πρὸς ὑγίειαν φῇ εἶναι, οὐκ ἀποστατέον, ἀλλ' ἐπισκεπτέον τί τὸ συμμέτρως καθ' ἑκάτερον εἴρηκεν. ἆρα εἰ τὸ μὲν τῷ τοσοῦτον εἶναι ὥστε ποιεῖν ὑγείειαν, τὸ δὲ τῷ τοιοῦτον εἶναι οἷον σημαίνειν ποιάτης ἡ ἕξις. Ἔτι εἰ μὴ συμβλητὰ κατὰ τὸ μᾶλλον, ἢ ὁμοίως, οἷον λευκὴ φωνὴ, καὶ λευκὸν ἱμάτιον. καὶ ὀξὺς χυμὸς, καὶ ὀξεῖα φωνή. ταῦτα γὰρ οὔθ' ὁμοίως λέγεται λευκὰ ἢ ὀξέα, οὔτε μᾶλλον θάτερον. ὥσθ' ὁμώνυμον τὸ ὀξύ, καὶ τὸ λευκόν. τὸ γὰρ συνώνυμον ἁπάν συμβλητόν. ἢ γὰρ ὁμοίως ἐνθήσεται, ἢ μᾶλλον θάτερον. Ἐστὶ δὲ τῶν ἑτερογενῶν καὶ μὴ ὑπαλλήλα τεταγμένων ἕτερα τῷ εἴδει καὶ αἱ διαφοραί. οἷον ζῴου καὶ ἐπιστήμης. ἕτεραι γὰρ τούτων αἱ διαφοραί. σκοπεῖν εἰ τὰ ὑπὸ τὸ αὐτὸ ὄνομα, ἑτέρων γενῶν καὶ μὴ ὑπαλλήλα διαφοραί εἰσιν. οἷον τὸ ὀξὺ, φωνῆς καὶ ὄγκου. διαφέρει γὰρ φωνὴ φωνῆς. τῷ ὀξεῖα εἶναι, ὁμοίως δὲ καὶ ὄγκος ὄγκου. ὥστε ὁμώνυμον τὸ ὀξύ. ἑτέρων γὰρ γενῶν καὶ οὐχ ὑπαλλήλα διαφοραί εἰσι. Πάλιν εἰ αὐτῶν τῶν ὑπὸ τὸ αὐτὸ ὄνομα ἕτεραι αἱ διαφοραί. οἷον χρώματος τοῦτε ἐπὶ τῶν σωμάτων, καὶ τοῦ ἐν

Videremus si aliquid accipiatur quod dicitur de multis omnibus, non his de quibus dicitur, & singulorum definiones alibi cadant: hoc si sublato coleret proprium omnia, cadem non est communia, illud erit multiplex.

Duoderimus Aliquando in definitionibus solet latere ambiguitas.

Traderimus si ea quæ dicuntur ejus, aliquo non posse ut rectum comparari illud erit ambiguum.

A simili sumenda est ejus in categoria substantiæ.

Decimus quartus si aliqua differentia dicitur ejus cui est, si generibus quorum unum non continet aliud, neque utrumque subalterna continentur, talis differentia erit multiplex.

Quindecimus si cui in qua vocabulo sub eadem vocabulo varie sunt differentiæ nomen illud erit multiplex.

τῷ ἐν

τοῦ ἐν τοῖς μέλεσι. τοῦ μὲν γὰρ ἐπὶ τῶν σωμάτων, διακριτικὸν καὶ συγκριτικὸν ὄψεως. τοῦ δ' ἐπὶ τῶν μελῶν. οὐχ αἱ αὐταὶ διαφοραί. ὥστε ὁμώνυμον τὸ χρῶμα. τῶν γὰρ αὐτῶν αἱ αὐταὶ διαφοραί. Ἔτι ἐπεὶ τὸ εἶδος οὐδενός ἐστι διαφορὰ, σκοπεῖν χρὴ τῶν ὑπὸ τὸ αὐτὸ ὄνομα. εἰ τὸ μὲν εἶδός ἐστι. τὸ δὲ, διαφορά. οἷον τὸ λευκὸν τὸ μὲν ἐπὶ τοῦ σώματος, εἶδος χρώματος. τὸ δ' ἐπὶ τῆς φωνῆς, διαφορά. διαφέρει γὰρ φωνὴ φωνῆς τῷ λευκὴ εἶναι. Περὶ μὲν οὖν τῶν πολλαχῶς, διὰ τούτων καὶ τῶν τοιούτων σκεπτέον. τὰς δὲ διαφορὰς ἐν αὐτοῖς τοῖς γένεσι τοῖς πρὸς ἄλληλα θεωρητέον. οἷον τίνι διαφέρει δικαιοσύνη ἀνδρείας. καὶ φρόνησις σωφροσύνης. ταῦτα δὲ ἅπαντα ἐκ τῶν αὐτοῦ γένους ἐστὶ τῆς ἀρετῆς. καὶ ἐξ ἄλλου πρὸς ἄλλο, τῶν μὴ πολὺ λίαν διεστηκότων. οἷον τίνι διαφέρει αἴσθησις ἐπιστήμης. ἐπὶ γὰρ τῶν πολὺ διεστηκότων. κατάδηλοι παντελῶς αἱ διαφοραί. Τὴν δὲ ὁμοιότητα σκεπτέον ἐπί τε τῶν ἐν ἑτέροις γένεσιν, ὡς ἕτερον πρὸς ἕτερόν τι, οὕτως ἄλλο πρὸς ἄλλο. οἷον, ὡς ἐπιστήμη πρὸς ἐπιστητὸν, οὕτως αἴσθησις πρὸς αἰσθητόν. καὶ ὡς ἕτερον ἐν ἑτέρῳ τινὶ, οὕτως ἄλλο ἐν ἄλλῳ. οἷον ὡς ὄψις ἐν ὀφθαλμῷ, νοῦς ἐν τῇ ψυχῇ. καὶ ὡς γαλήνη ἐν θαλάττῃ, νενεμία ἐν ἀέρι, ἑκάτερον γὰρ ἡσυχία. μάλιστα δὲ ἐν τοῖς πολὺ διεστῶσι γυμνάζεσθαι χρή. ῥᾷον δὲ ἐπὶ τῶν λοιπῶν δυνησόμεθα τὰ ὅμοια συνορᾶν. Σκεπτέον δὲ καὶ τὰ ἐν τῷ αὐτῷ γένει ὄντα, εἴτι ἅπασιν ὑπάρχει ταυτόν. οἷον ἀνθρώπῳ. καὶ ἵππῳ. καὶ κυνὶ ἢ δὲ ὑπάρχει τὶ αὐτοῖς ταυτὸν ταύτῃ ὅμοιά ἐστι. Χρήσιμον δὲ τὸ μὲν ποσαχῶς λέγεται ἐπισκέφθαι, πρὸς τὸ σαφές. μᾶλλον δὲ ἄν τις εἰδείη τὶ τίθησιν ἐμφανισθέντος τῶν ποσαχῶς λέγεται. καὶ πρὸς τὸ γίνεσθαι κατ' αὐτὸ τὸ πρᾶγμα καὶ μὴ πρὸς τοὔνομα τοὺς συλλογισμούς. ἀδήλου δὲ ὄντος ποσαχῶς λέγεται, ἐνδέχεται μὴ ἐπὶ ταυτὸν τόν τε ἀποκρινόμενον καὶ τὸν ἐρωτῶντα φέρειν τὴν διάνοιαν. ἐμφανισθέντος δὲ ποσαχῶς λέγεται, καὶ ἐπί τι φέρων τίθησι, γελοῖος ἂν φαίνοιτο ὁ ἐρωτῶν, εἰ μὴ

πρὸς

13.

14.

14. εἰ

Sexdecimus modus si aliquid dicatur aliquando esse differentia aliquando species est multiplex.

Differentia consideranda in iis quae sunt eiusdem generis.

Similitudo consideranda in iis quae sunt diversorum generum, et aliquando eiusdem idque vel vere, vel secundum analogiam.

Distinctio multiplicis utilis ad tria.

πρὸς τοῦτο τὸν λόγον ποιοῖτο.

Χρήσιμον δὲ καὶ πρὸς τὸ μὴ παραλογισθῆναι. καὶ πρὸς τὸ παραλογίσασθαι. εἰδότες γὰρ ποσαχῶς λέγεται, οὐ μὴ παραλογισθῶμεν, ἀλλ' εἰδήσομεν ἐὰν μὴ πρὸς ταυτὸ τὸν λόγον ποιῆται ὁ ἐρωτῶν. αὐτοί τε ἐρωτῶντες. δυνησόμεθα παραλογίσασθαι. ἐὰν μὴ τυγχάνῃ εἰδὼς ὁ ἀποκρινόμενος ποσαχῶς λέγεται. τοῦτο δὲ οὐκ ἐπὶ πάντων ἀεὶ δυνατόν. ἀλλ' ὅταν ᾖ τῶν πολλαχῶς λεγομένων, τὰ μὲν ἀληθῆ τὰ δὲ ψευδῆ. ἔστι δὲ οὐκ οἰκεῖος ὁ τρόπος οὗτος τῆς διαλεκτικῆς. διὸ παντελῶς εὐλαβητέον τοῖς διαλεκτικοῖς τὸ τοιοῦτο τὸ πρὸς τοὔνομα διαλέγεσθαι, ἐὰν μήτις ἄλλως ἐξ ἀδυνατῇ περὶ τοῦ προκειμένου διαλέγεσθαι. Τὸ δὲ τὰς διαφορὰς, εὑρεῖν. πρός τε τοὺς συλλογισμοὺς τοὺς περὶ ταυτοῦ καὶ ἑτέρου. καὶ πρὸς τὸ γνωρίζειν τί ἐστιν ἕκαστον. ὅτι μὲν οὖν πρὸς τοὺς συλλογισμοὺς τοὺς περὶ ταυτοῦ καὶ ἑτέρου χρήσιμον, δῆλον. εὑρόντες δὲ διαφορὰν τῶν προκειμένων ὁ ποιανοῦν, δεδειχότες ἐσόμεθα, ὅτι οὐ ταυτόν. Πρὸς δὲ τὸ γνωρίζειν τί ἐστι, διότι τὸν ἴδιον τῆς οὐσίας ἑκάστου λόγον ταῖς περὶ ἕκαστον οἰκείαις διαφοραῖς χωρίζειν εἰώθαμεν. Ἡ δὲ τοῦ ὁμοίου θεωρία χρήσιμος πρός τε τοὺς ἐπακτικοὺς λόγους, καὶ πρὸς τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς, καὶ πρὸς τὴν ἀπόδοσιν τῶν ὁρισμῶν. πρὸς μὲν οὖν τοὺς ἐπακτικοὺς λόγους. διότι τῇ καθέκαστα ἐπὶ τῶν ὁμοίων ἐπαγωγῇ, τὸ καθόλου ἀξιοῦμεν ἐπάγειν. οὐ γὰρ ῥᾴδιόν ἐστιν ἐπάγειν, μὴ εἰδότας τὰ ὅμοια. πρὸς δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς, διότι ἔνδοξόν ἐστιν, ὥσ ποτε ἐφ' ἑνὸς τῶν ὁμοίων ἔχει, οὕτως καὶ ἐπὶ τῶν λοιπῶν. ὥστε πρὸς ὅ, τι ἂν αὐτῶν εὐπορῶμεν διαλέγεσθαι, προδιομολογησόμεθα, ὥσποτε ἐπὶ τούτων ἔχει. οὕτως καὶ ἐπὶ τοῦ προκειμένου ἔχειν. δείξαντες δὲ ἐκεῖνο, καὶ τὸ προκείμενον ἐξ ὑποθέσεως δεδειχότες ἐσόμεθα. ὑποθέμενοι δὲ ὥσποτε ἐπὶ τούτων ἔχει, οὕτως καὶ ἐπὶ τοῦ προκει-

μένου

Non differendum in dialectica de nomine.

Inventio differentiarum utilis ad duo.

Considerationis similitudinis utilis ad tria.

μένου ἔχειν, τὴν ἀπόδειξιν πεποιήμεθα. πρὸς δὲ τὴν τῶν ὁρισμῶν ἀπόδοσιν, διότι δυνάμενοι συνορᾶν τὶ ἐν ἑκάστῳ ταυτὸν, οὐκ ἀπορήσομεν εἰς τὶ δεῖ γένος ὁριζομένους τὸ προκείμενον τιθέναι. τῶν γὰρ κοινῶν τὸ μάλιστα ἐν τῷ τί ἐστι κατηγορούμενον, γένος ἂν εἴη. ὁμοίως δὲ καὶ ἐν τοῖς πολὺ διεστῶσι χρήσιμος πρὸς τοὺς ὁρισμοὺς ἡ τοῦ ὁμοίου θεωρία. οἷον ὅτι ταυτὸν γαλήνη μὲν ἐν θαλάττῃ. νινεμία δὲ ἐν ἀέρι. ἑκάτερον γὰρ ἡσυχία. καὶ ὅτι στιγμὴ ἐν γραμμῇ. καὶ μονὰς ἐν ἀριθμῷ. ἑκάτερον γὰρ ἀρχή. ὥστε τὸ κοινὸν ἐπὶ πάντων γένος ἀποδιδόντες, δόξομεν οὐκ ἀλλοτρίως ὁρίζεσθαι. σχεδὸν δὲ καὶ οἱ ὁριζόμενοι, οὕτως εἰώθασιν ἀποδιδόναι.

νινεμία

τήν τε γὰρ μονάδα ἀρχὴν ἀριθμοῦ φασὶν εἶναι, καὶ τὴν στιγμὴν, ἀρχὴν γραμμῆς. δῆλον οὖν ὅτι καὶ εἰς τὸ κοινὸν ἀμφοτέρων γένος τιθέασι. τὰ μὲν οὖν ὄργανα δι' ὧν οἱ συλλογισμοὶ, ταῦτά ἐστιν. οἱ δὲ τόποι πρὸς οὓς χρήσιμα τὰ λεγόμενα, οἵδε εἰσιν.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ΤΟΠΙΚΩΝ.

ΑΡΙ=

ΑΡΙΣΤΟΤΕ-

ΛΟΥΣ ΤΟΠΙΚΩΝ

ΔΕΥΤΕΡΟΝ.

ΕΣΤΙ δὲ τῶν προβλημάτων τὰ μὲν καθόλου. τὰ δὲ ἐπὶ μέρους. καθόλου μὲν, ὅτι πᾶσα ἡδονὴ ἀγαθόν. καὶ ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν. ἐπὶ μέρους δὲ, οἷον ὅτι ἐσί τις ἡδονὴ ἀγαθόν. καὶ ἔστιν ἡδονὴ οὐκ ἀγαθόν. ἔστι δὲ πρὸς ἀμφότερα τὰ γένη τῶν προβλημάτων κοινὰ τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικά. λείξαντες γὰρ ὅτι παντὶ ὑπάρχει, καὶ ὅτι τινὶ ὑπάρχει λελεκότες ἐσόμεθα. ὁμοίως δὲ κἂν ὅτι οὐδενὶ ὑπάρχη λείξωμεν, καὶ ὅτι οὐ παντὶ ὑπάρχει, λελεκότες ἐσόμεθα. πρῶτον οὖν περὶ τῶν καθόλου ἀνασκευαστικῶν ἐπιτέον, διότε μὲ κοινὰ εἶναι τὰ τοιαῦτα πρὸς τὰ καθόλου, καὶ τὰ ἐπὶ μέρους. καὶ διὰ μᾶλλον τὰς θέσεις κομίζειν ἐν τῷ ὑπάρχειν, ἢ μή. ῥᾷον δὲ διαλεγομένους ἀνασκευάζειν. ἔστι δὲ χαλεπώτατον τὸ ἀντιξέφειν τῷ ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν. τὸ γὰρ πῆ καὶ μὴ καθόλα, ἐπὶ μόνων ἐνδέχεται τῶν συμβεβηκότων. ἀπὸ μὲν γὰρ τοῦ ἰδίου καὶ τοῦ ὅρου καὶ τοῦ γένους, ἀναγκαῖον ἀντιξέφειν οἷον εἰ ὑπάρχει τινὶ ζώῳ, πεζῷ δίποδι εἶναι, ἀντιξέφαντι ἀληθὲς ἔσται λέγειν, ὅτι ζῶον πεζὸν δίπουν ἐσίν. ὁμοίως δὲ καὶ ἀπὸ τοῦ γένους. εἰ γὰρ ζώῳ ὑπάρχει τινὶ εἶναι, ζῶόν ἐσι. τὰ δ' αὐτὰ καὶ ἐπὶ τοῦ ἰδίου. εἰ γὰρ ὑπάρχει τινὶ γραμματικῆς δεκτικῷ εἶναι. γραμματικῆς δεκτικὸν ἔσαι. οὐδὲν γὰρ τούτων ἐνδέχεται κατά τι ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ἀλλ' ἁπλῶς ἢ ὑπάρχειν, ἢ μὴ ἀπάρχειν. ἐπὶ δὲ τῶν συμβεβηκότων, οὐδὲν κωλύει κατά τι ὑπάρχειν. οἷον λυπότητα, ἢ δικαιο-

1. Quæstionum aliæ universales, aliæ particulares.

2. Hoc sit intelligendum est quoties propositio universalis vera est, vera sit etiam quæ est in parte affirmans: at non quoties enertatur universa enertatur etiam quæ est in parte, nisi contraria sit universa enertatur pars sum contrarium universæ.

3. Hæc differentia vera est quando accidens non habet sufficientem gradum extensionem in subiecto, aut partium extensionem, aut diuturnitatem. Non est hominem sedere et vinum tantum subiecta parte sibi vendicat. Imo enim si quid horum deficiat subiectum ab accidente non denominatur.

σώλω. ὥστε οὐκ ἀπόχρη τὸ δεῖξαι ὅτι ὑπάρχει λευκότης ἢ δικαιοσώνη, πρὸς τὸ δεῖξαι ὅτι λευκός, ἢ δίκαιός ἐστιν. ἔχει γὰρ ἀμφισβήτησιν ὅτι κατά τι λευκός, ἢ δίκαιός ἐστιν. ὥστ' οὐκ ἀναγκαῖον ἐστὶ τῶν συμβεβηκότων τὸ ἀντιφέφειν. διορίσασθαι δὲ δεῖ καὶ τὰς ἁμαρτίας τὰς ἐν τοῖς προβλήμασιν, ὅτι εἰσὶ δι' ἃς, ἢ τῷ ψεύδεσθαι, ἢ τῷ παραβαίνειν τὴν καμμίλιον λέξιν. οἵ τε γὰρ ψευδόμενοι, καὶ τὰ μὴ ὑπάρχον ὑπάρχειν τινὶ λέγοντες ἁμαρτάνουσι, καὶ οἱ τοῖς ἀλλοτρίοις ὀνόμασι τὰ πράγματα προσαγορεύοντες, οἷον τὴν πλάτανον ἄνθρωπον, παραβαίνουσι τὴν καμμίλιον ὀνομασίαν. ἓν μὲν δὴ τόπος, τὸ ἐπιβλέπειν εἰ τὸ κατ' ἄλλον τινὰ τρόπον ὑπάρχον, ὡς συμβεβηκὸς ἀποδέδωκεν. ἁμαρτάνεται δὲ μάλιστα τοῦτο περὶ τὰ γένη. οἷον εἴτις τῷ λευκῷ φαίη συμβεβηκέναι χρώματι εἶναι. οὐ γὰρ συμβέβηκε τῷ λευκῷ χρώματι εἶναι, ἀλλὰ γένος αὐτοῦ τὸ χρῶμά ἐστιν. φυλέχεται μὲν οὖν κατὰ τὴν ὀνομασίαν διορίσαι τὸ ἐντιθέμενον. οἷον ὅτι συμβέβηκε τῇ δικαιοσώνῃ, ἀρετὴν εἶναι. πλεοναχῶς δὲ καὶ μὴ διορίσαντι, κατάδηλον ὅτι τὸ γένος ὡς συμβεβηκὸς ἀποδέδωκεν. οἷον εἴτις τὴν λευκότητα κεχρῶσθαι φήσειεν, ἢ τὴν βάδισιν, καὶ νεῖσθαι. ἀπὸ φυλομονὸς γὰρ γένους, παρωνύμως ἡ κατηγορία κατὰ τοῦ εἴδους λέγεται, ἀλλὰ πάντα συωνύμως τὰ γένη τῶν εἰδῶν κατηγορεῖται. καὶ ὃ τοὔνομα καὶ τὸν λόγον ἐπιλέχεται τῶν γονῶν, τὰ εἴδη. ὁ δὲν κεχρωσμένον εἰπὼν τὸ λευκὸν, οὔτε ὡς γένος ἀποδέδωκεν. ἐπεὶ παρωνύμως εἴρηκεν. οὔτε ὡς ἴδιον, ἢ ὡς ὁρισμόν. ὁ δὲ ὁρισμὸς, καὶ τὸ ἴδιον, οὐδενὶ ἄλλῳ ὑπάρχει. κέχρωσται δὲ πολλαχῶς καὶ τῶν ἄλλων. οἷον ξύλον, λίθος, ἄνθρωπος, ἵππος. δῆλον οὖν ὅτι ὡς συμβεβηκὸς ἀποδίδωσιν. ἄλλος τόπος, τὸ ἐπιβλέπειν εἰς ὑπάρχειν ἢ πᾶσιν, ἢ μηδενὶ εἴρηται. σκοπεῖν δὲ κατ' εἶδη καὶ μὴ ἐν τοῖς ἀπείροις ὅλῳ γὰρ μᾶλλον καὶ ἐν ἐλάττοσιν ἡ σκέψις. δεῖ δὲ σκοπεῖν καὶ ἄρχεσθαι ἀπὸ τῶν

Duo vitia in quæstionibus, Mendacium, & abusus verborum

Quia genus & accidens in hoc conueniunt quod vtrumque cum subiecto conproratur non quod habeant maiora similitudinem quam habeant genus proprium & accidens.

Proprium dicitur denominatiuè quia nullo alio modo dicitur.

Et quid dicatur aliquo subiecto massa in omnes suas partes inest vt probetur aliquem mensa subesse vt in partem mensa

τῶν πρώτων. εἶτα ἐφεξῆς ἕως τῶν ἀτόμων. οἷον εἰ τῶν ἀντικειμένων τὸ αὐτῷ ἐπισήμως ἔφησεν εἶναι σκεπτέον εἰ τῶν πρός τι καὶ τῶν ἐναντίων, καὶ τῶν κατὰ σέρησιν καὶ ἕξιν, καὶ τῶν κατ' ἀντίφασιν λεγομένων ἢ αὐτὴ ἐπιστήμη. κἂν ἐπὶ τούτων μήπω φανερὸν ᾖ, πάλιν ταῦτα διαιρετέον μέχρι τῶν ἀτόμων. οἷον εἰ τῶν δικαίων ἢ τῶν ἀδίκων, ἢ τοῦ διπλασίου καὶ τοῦ ἡμίσεος, ἢ τυφλότητος καὶ ὄψεως, ἢ τοῦ εἶναι, καὶ μὴ εἶναι. ἐὰν γὰρ ἐπίτινος διειχθῇ ὅτι οὐχ ἡ αὐτὴ ἀνηρηκότες ἐσόμεθα τὸ πρόβλημα. ὁμοίως δὲ καὶ εἰ μηδενὶ ὑπάρχει. ὄντος δὲ ὁ τόπος ἀντιστρέφει καὶ πρὸς τὸ κατασκευάζειν καὶ ἀνασκευάζειν. εἰ γὰρ ἐστὶ πάντων φαίνεται προενέγκασι διαίρεσιν, ἢ ἐπὶ πολλῶν, ἀξιωτέον καὶ καθόλου τιθέναι, ἢ ἔνστασιν φέρει ἐπί τινος οὐχ οὕτως. εἰ δὲ μηδέτερον τούτων ποιῇ, ἄτοπος φανεῖται μὴ τιθείς. Ἄλλος, τὸ λόγως ποιεῖν τοῦτο συμβεβηκότος καὶ ᾧ συμβέβηκεν, ἢ ἀμφοτέρων καθ' ἑκάτερον, ἢ τοῦ ἑτέρου. εἶτα σκοπεῖν εἴ τι μὴ ἀληθὲς ἐν τοῖς λόγοις ὡς ἀληθὲς εἴληπται. οἷον εἰ ἐστὶ θεὸν ἀδικεῖν, τὸ τὸ ἀδικεῖν. εἰ δὲ τὸ βλάπτειν ἐκουσίως, δῆλον ὡς οὐκ ἔστι θεὸν ἀδικεῖσθαι. οὐ δὲ συμβέβηκεν βλάπτεσθαι τὸν θεόν, καὶ εἰ φονερὸς ὁ σουλλαῖος, τὶς ὁ φονερός, καὶ τὶς ὁ φθόνος. εἰ δὲ ὁ φθόνος ἐστὶ λύπη ἐπὶ φαινομένῃ εὐπραγίᾳ τῶν ἐπιεικῶν τινός, δῆλον ὅτι ὁ σουλλαῖος οὐ φονερός. φαῦλος δὲ ἂν εἴη. καὶ εἰ ὁ νεμεσητικὸς φονερός, τὶς ἑκάτερος αὐτῶν. οὕτω δὲ κατα-φανὲς ἔσται πότερον ἀληθὲς ἢ ψεῦδος τὸ ξυθέν, οἷον εἰ φονερὸς μὲν ὁ λυπούμενος ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις. νεμεσητικὸς δ' ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις, δῆλον ὅτι οὐκ ἂν εἴη φονερὸς ὁ νεμεσητικός. λαμβάνειν δὲ καὶ ἀντὶ τῶν ἐν τοῖς λόγοις ὀνομάτων, λόγους. καὶ μὴ ἀφίστασθαι, ἕως ἂν εἰς γνώριμον ἔλθῃ. πολλάκις δὲ ὅλου μὲν τοῦ λόγου ἀποδοθέντος, οὐ δῆλον τὸ ζητούμενον. ἀντὶ δέ τινος τῶν ἐν τῷ λόγῳ ὀνομάτων λόγου ξυθέντος, κατάδηλον γίνεται.

§ 3 Si autem hoc aliquis attribuat non est definitionis subiecta attributum quæ meretur. Ramus non mauult.

ἀδικεῖσθαι pro ἀδικεῖσθαι ἀδικεῖσθαι ἀδικεῖσθαι Aldus dissentiens sine ratione de re ἐξεδόθαι posuit pro ἀδικεῖν actiue, pro βλάπτεσθαι pro βλάπτειν

Dum dicit ἀδικεῖν λόγον sit intelligit vt dixit Boëth. non solum definitionem veram sed etiam descriptionem vel nominis interpretationem quæ vera proponatur.

4 Ετι τὸ προβλημα πρότασιν ἑαυτῷ ποιοῦμενον, ἐνίστασθαι. ἡ γὰρ ἔνστασις ἔστω ἐπιχείρημα πρὸς τὴν θέσιν. ἔστι δὲ ὁ τόπος οὗτος, σκεπτὸν ὁ αὐτὸς τῷ ἐπιβλέπειν ὅτι ὑπάρχειν ἢ πᾶσιν ἢ μηδενὶ, εἴρηται. διαφέρει δὲ τῷ ἔδοξε. Ετι διορίζεσθαι ποῖα δεῖ καλεῖν ὡς οἱ πολλοὶ, καὶ ποῖα οὔ. χρήσιμον δὲ καὶ πρὸς τὸ κατασκευάζειν ἢ ἀνασκευάζειν. ὅτι ὅτι ταῖς μὲν ὀνομασίαις τὰ πράγματα προσαγορευτέον, καθάπερ οἱ πολλοί. ποῖα δὲ τῶν πραγμάτων ἐστὶ τοιαῦτα ἢ οὐ τοιαῦτα, οὐκέτι προσεκτέον τοῖς πολλοῖς. ὅτι ὑγιεινὸν μὲν ζητέον τὸ ποιητικὸν ὑγιείας ὡς οἱ πολλοὶ λέγουσι, πότερον δὲ τὸ προκείμενον, ποιητικὸν ὑγιείας ἢ οὔ, οὐκέτι ὡς οἱ πολλοὶ λεκτέον, ἀλλ' ὡς ἰατρός. Ετι ἐὰν πολλαχῶς λέγηται. κείμενον δὲ ἢ ὡς ὑπάρχει, ἢ οὐχ ὑπάρχει, θάτερον λευκνώσαι τῶν πολεοναχῶς λεγομένων, ἐὰν μὴ ἅμφω συλέχηται. χρησέον δὲ ἐπὶ τῶν λανθανόντων. εἰ γὰρ μὴ λανθάνει πολλαχῶς λεγόμενον, γνώσεται ὅτι οὐ διείλεκται. ὅπερ αὐτὸς ἠπόρει. ἀλλὰ θάτερον. οὗτος δὲ ὁ τόπος, ἀντιστρέφει καὶ πρὸς τὸ κατασκευάσαι καὶ ἀνασκευάσαι. κατασκευάζειν μὲν γὰρ βουλόμενοι, δείξομεν ὅτι θάτερον ὑπάρχει, ἐὰν μὴ ἅμφω λαμώμεθα. ἀνασκευάζοντες δὲ, ὅτι οὐχ ὑπάρχει θάτερον δείξομεν, ἐὰν μὴ ἅμφω λαμώμεθα. πλὴν ἀνασκευάζοντι μὲν, οὐδὲν δεῖ τῆς ὁμολογίας διαλέγεσθαι, οὔτε εἰ παντὶ, οὔτε εἰ μηδενὶ ὑπάρχειν εἴρηται. εἰ γὰρ δείξομεν ὅτι οὐχ ὑπάρχει ὁτῳοῦν, ἀνῃρηκότες ἐσόμεθα, τὸ παντὶ ὑπάρχειν. ὁμοίως δὲ κἂν ἑνὶ δείξωμεν ὑπάρχον, ἀναιρήσομεν τὸ μηδενὶ ὑπάρχον. κατασκευάζουσι δὲ προδιομολογητέον, ὅτι εἰ ᾧ ὁτῳοῦν ὑπάρχει, παντὶ ὑπάρχει. ἂν πιθανὸν ᾖ τὸ ἀξίωμα. οὐ γὰρ ἀπόχρη πρὸς τὸ δεῖξαι ὅτι παντὶ ὑπάρχει, τὸ ἐφ' ἑνὸς διαλεχθῆναι. οἷον εἰ ἡ τοῦ ἀνθρώπου ψυχὴ ἀθάνατος, καὶ ὅτι πᾶσα ψυχὴ ἀθάνατος. ὥστε προομολογητέον ὅτι εἰ ἡ τοῦ ἵππου ψυχὴ ἀθάνατος, πᾶσα ἀθάνατος.

τοῦτο

τοῦτο δὲ οὐκ ἀεὶ ποιητέον. ἀλλ' ὅταν μὴ εὐπορῶμεν κοινὸν ἕνα λό-
γον ἐπὶ πάντων εἰπεῖν. καθάπερ ὁ γεωμέτρης ὅτι τὸ τρίγωνον δυ-
σὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας. εἰ δὲ μὴ λανθάνοι πολλαχῶς γ
λεγόμενον, διειλέμενον ποσαχῶς λέγεται, καὶ ἀναιρεῖν καὶ κατασκευ-
άζειν. ὅλον εἰ τὸ πλέον ἐστὶ τὸ συμφέρον ἢ τὸ καλόν, πειρατέον ἄμφω
κατασκευάζειν ἢ ἀναιρεῖν, περὶ τοῦ προκειμένου. ὅλον ὅτι καλὸν καὶ
συμφέρον, ἢ ὅτι οὔτε καλόν, οὔτε συμφέρον. εἰ δὲ μὴ ᾠδλέχεται ἀμ-
φότερα θάτερον δεικτέον, ἐπισημαινόμενον ὅτι, τὸ μὲν, τὸ δ' οὔ. ὁ δ'
αὐτὸς, λόγος κἂν πλείω ᾖ εἰς ἃ διαιρεῖται. Πάλιν ὅσα μὴ κατὰ ὁμω β
νυμίαν λέγεται πολλαχῶς, ἀλλὰ κατ' ἄλλον τρόπον, ὅλον ἐπιστήμη μία
πλειόνων, ἢ ὡς τοῦ τέλους καὶ τοῦ πρὸς τὸ τέλος. ὅλον ἡ ἰατρικὴ, τοῦ
ὑγίειαν ποιῆσαι, καὶ τοῦ διαιτῆσαι, ἢ ὡς ἀμφοτέρων τελῶν, καθάπερ
τῶν ἐναντίων ἡ αὐτὴ λέγεται ἐπιστήμη. οὐδὲν γὰρ μᾶλλον τέλος τὸ
ἕτερον τοῦ ἑτέρου, ἢ ὡς τοῦ καθ' αὐτό. καὶ τοῦ κατὰ συμβεβηκός, ὅλ-
ον καθ' αὐτὸ μὲν τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνί-
ας. κατὰ συμβεβηκὸς δὲ, ὅτι τὸ ἰσόπλευρον. ὅτι γὰρ συμβέβηκε τῷ
τριγώνῳ ἰσοπλεύρῳ, τριγώνῳ εἶναι, κατὰ τοῦτο γνωρίζομεν ὅτι δυ-
σὶν ὀρθαῖς ἴσας ἔχει τὰς ᾠδλάς. εἰ δὲ ὧν μηδαμῶς ᾠδλέχεται τινὶ ἁπ-
λῶς εἶναι πλειόνων ἐπιστήμῃ, δῆλον ὅτι ὅλως οὐκ ᾠδλέχεται εἶ-
ναι, ἢ εἴπως ᾠδλέχεται, δῆλον ὅτι ᾠδλέχεται. διαιρεῖσθαι δὲ ὅσα
χῶς χρήσιμον, ὅλον εἰ βουλόμεθα κατασκευάσαι, τὰ τοιαῦτα προοι-
σέον ὅσα ᾠδλέχεται. καὶ διαιρετέον εἰς ταῦτα μόνον, ὅσα καὶ χρή-
σιμα πρὸς τὸ κατασκευάσαι, ἐὰν δ' ἀνασκευάσαι, ὅσα μὴ ᾠδλέχε-
ται. τὰ δὲ λοιπὰ, παραληπτέον. ποιητέον δὲ καὶ ἐπὶ τούτων
ὅταν λανθάνῃ ποσαχῶς λέγεται. καὶ εἶναι δὲ τὸδε τοδε, ἢ μὴ εἶ-
ναι, ἐκ τῶν αὐτῶν τόπων κατασκευαστέον. ὅλον ἐπιστήμῃ τήν-
δε τοῦδε, ἢ ὡς τέλους, ἢ ὡς τῶν πρὸς τὸ τέλος, ἢ ὡς τῶν κα-
τὰ συμ-

Some do multiply not equally as simple, as they do multiply related to another genus.

τὰ συμβεβηκός. ἢ πάλιν μὴ εἶναί τι κατὰ μηδένα τῶν ξηθέντων τρόπων. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ἐπιθυμίας, καὶ ὅσα ἄλλα λέγεται πολεμόνων. ἔστι γὰρ ἡ ἐπιθυμία τούτου, ἢ ὡς τέλους, οἷον ὑγιείας. ἢ ὡς τῶν πρὸς τὸ τέλος, οἷον τὸ φαρμακοθῆναι. ἢ ὡς τὸ κατὰ συμβεβηκός. καθάπερ ἐπὶ τοῦ οἴνου ὁ φιλόγλυκυς. οὐχ ὅτι ὁ οἶνος, ἀλλ' ὅτι γλυκύς ἐστι. καθ' αὐτὸ μὲν γὰρ τοῦ γλυκέος ἐπιθυμεῖ. τοῦ δὲ οἴνου, κατὰ συμβεβηκός. ἐὰν γὰρ ἄυσηρὸς ᾖ, οὐκέτι ἐπιθυμεῖ. καὶ τὰ συμβεβηκὸς οὕτω ἐπιθυμεῖ. χρήσιμος δ' ὁ τόπος οὗτος ἐν τοῖς
9 πρός τι. ἀφελὸν γὰρ τὰ τοιαῦτα τῶν πρός τί ἐισιν. Ετι δὲ μεταλαμβάνειν εἰς τὸ γνωριμώτερον ὄνομα. οἷον ἀντὶ τοῦ ἀκριβοῦς ἐν τῷ πολίτῃ τὸ σαφές. καὶ ἀντὶ τῆς πολυπραγμοσύνης, ἡ φιλοπραγμοσύνη. γνωριμωτέρου γὰρ γινομένου τοῦ ξηθέντος. εὐεπιχειρητοτέρα ἡ θέσις. ἔστι δὲ καὶ οὗτος ὁ τόπος πρὸς ἄμφω κοινός. καὶ πρὸς τὸ ἀνασκευάζειν καὶ κατασκευάζειν.
10 Πρὸς δὲ τὸ λέξαι τἀναντία τῷ αὐτῷ ὑπάρχοντα, σκοπεῖν ἐπὶ τοῦ γένους. οἷον εἰ βουλόμεθα λέξαι ὅτι ἐσὶ περὶ αἴσθησιν ὀρθότης καὶ ἁμαρτία. τὸ δὲ αἰσθάνεσθαι, κρίνειν ἐσί. κρίνειν δέ ἐστιν ὀρθῶς καὶ μὴ ὀρθῶς, καὶ περὶ αἴσθησιν ἂν εἴη ὀρθότης καὶ ἁμαρτία. νῦν μὲν οὖν ἐκ τοῦ γένους περὶ τὸ εἶδος ἡ ἀπόδειξις. τὸ γὰρ κρίνειν γένος τοῦ αἰσθάνεσθαι. ὁ γὰρ αἰσθανόμενος κρίνει πως.
11 πάλιν δ' ἐκ τοῦ εἴδους τῷ γένει. ὅσα γὰρ τῷ εἴδει ὑπάρχει. καὶ τῷ γένει. οἷον εἰ ἐσὶν ἐπιστήμη φρόνησις καὶ σωφροσύνη. καὶ διάθεσίς ἐστι φρόνησις καὶ σωφροσύνη. ἡ γὰρ διάθεσις τῆς ἐπιστήμης, γένος. ὁ μὲν οὖν πρῶτος τρόπος, φυσικὸς ἐστιν εἰς τὸ κατασκευάσαι. ὁ δὲ δεύτερος, ἀληθής. οὐ γὰρ ἀναγκαῖον ὅσα τῷ γένει ὑπάρχει, καὶ τῷ εἴδει ὑπάρχειν. ζῷον μὲν γάρ ἐστι πηνόν ἢ πεζόπους. ἄνθρωπος δ' οὔ. ὅσα δ' τῷ εἴδει ὑπάρχει, ἀναγκαῖον καὶ τῷ γένει. εἰ γὰρ ἐστιν ἄνθρωπος σωφρονικός, καὶ ζῷον ἐσὶ σωφρονικόν. πρὸς δ' τὸ ἀνασκευάζειν

Regula Generis et Speciei inter se

σκευάζειν, ὁ μὲν πρότερος, ἀληθής. ὁ δὲ δεύτερος, ψευδής. ὅσα δὲ τῷ γένει
οὐχ ὑπάρχει, οὐ δὲ τῷ εἴδει. ὅσα δὲ τῷ εἴδει μὴ ὑπάρχει, οὐκ ἀναγκαῖον
τῷ γένει μὴ ὑπάρχειν. Επεὶ δ' ἀναγκαῖον ὧν τὸ γένος κατη- 12 Cap. 2.
γορεῖται καὶ τῶν εἰδῶν τὶ κατηγορεῖσθαι. καὶ ὅσα ἔχει τὸ γένος, ἢ πα-
ρωνύμως ἀπὸ τοῦ γένους λέγεται, καὶ τῶν εἰδῶν τὶ ἀναγκαῖον ἔχειν. ἢ
παρωνύμως ἀπότινος τῶν εἰδῶν λέγεσθαι. οἷον εἰ τινὸς ἐπιστήμη κα-
τηγορεῖται, καὶ γραμματικὴ, ἢ μουσικὴ, ἢ τῶν ἄλλων τὶς ἐπιστημῶν κα-
τηγορηθήσεται. καὶ εἴτις ἔχει ἐπιστήμην. ἢ παρωνύμως ἀπὸ τῆς ἐπι-
στήμης λέγετε, καὶ γραμματικὴν ἕξει ἢ μουσικήν. ἢ τινὰ τῶν ἄλλων ἐπιστη-
μῶν. ἢ παρωνύμως ἀπό τινος αὐτῶν ῥηθήσεται. οἷον γραμματικὸς, ἢ
μουσικός. ἐὰν οὖν τὶ τεθῇ λεγόμενον ἀπὸ τοῦ γένους ὁπωσοῦν, οἷον τὴν
ψυχὴν κινεῖσθαι, σκοπεῖν εἰ κατά τι τῶν εἰδῶν τῶν τῆς κινήσεως ἐν-
δέχεται τὴν ψυχὴν κινεῖσθαι. οἷον αὔξεσθαι, ἢ μειοῦσθαι, ἢ φθείρεσθαι,
ἢ γίνεσθαι, ἢ ὅσα ἄλλα κινήσεως εἴδη. εἰ δὲ κατὰ μηδὲν, δῆλον ὅτι οὐ κι-
νεῖται. οὗτος δὲ ὁ τόπος κοινὸς πρὸς ἄμφω, πρός τε τὸ κατασκευάζειν
καὶ ἀνασκευάζειν. εἰ τὴν κατά τι τῶν εἰδῶν κινεῖται, δῆλον ὅτι κινεῖτε.
καὶ εἰ κατὰ μηδὲν τῶν εἰδῶν κινεῖται, δῆλον ὅτι οὐ κινῆται. Μὴ 13 κινεῖται.
εὐποροῦντι δὲ ἐπιχειρήματος πρὸς τὴν θέσιν, σκοπεῖν ἐκ τῶν ὁρισμῶν,
ἢ τῶν ὄντων τοῦ προκειμένου πράγματος, ἢ τῶν δοκούντων. κἂν εἰ μὴ
ἀφ' ἑνὸς, ἀλλ' ἀπὸ πλειόνων. ῥᾷον δὲ ὁρισαμένοις ἐπιχειρεῖν ἔσται. πρὸς
γὰρ τοὺς ὁρισμοὺς, ῥᾴων ἡ ἐπιχείρησις. Σκοπεῖν δὲ ἐπὶ τοῦ προκει- 14
μένου, τίνος ὄντος, ἀναγκαῖον τὸ προκείμενον εἶναι. ἢ τί ἐστιν ἐξ ἀνάγκης,
εἰ τὸ προκείμενόν ἐστι. κατασκευάζειν μὲν οὖν βουλομένῳ, τίνος ὄντος, τὸ
προκείμενον ἔσται ἐξ ἀνάγκης. ἐὰν τὴν ἐκεῖνο δειχθῇ ὑπάρχον, καὶ τὸ προ-
κείμενον δεδειγμένον ἔσται. ἀνασκευάζειν δὲ βουλομένῳ, τί ἐστιν εἰ τὸ προ-
κείμενόν ἐστιν. ἐὰν δὲ δείξωμεν τὸ ἀκόλουθον τῷ προκειμένῳ μὴ ὄν, ἀνη-
ρηκότες ἐσόμεθα τὸ προκείμενον. Ετι ἐπὶ τὸν χρόνον ἐπιβλέπειν 15

Quaecunque insunt genus, insunt etiam alicui speciei

Probato antecedenti sequitur consequens.

Negato consequenti, negatur antecedens.

εἴπου

εἴπου διαφανῆ. οἷον εἰ τὸ τεφόμενον ἔφησεν ἐξ ἀνάγκης αὔξεσθαι. τὸ φέρεται μὲν γὰρ ἀεὶ τὰ ζῶα. αὔξεται δὲ, οὐκ ἀεί. ὁμοίως δὲ καὶ εἰ τὸ ἐπίστασθαι ἔφησέ τις μεμνῆσθαι, τὸ μὲν γὰρ, τοῦ παρεληλυθότος χρόνου ἐστί. τὸ δὲ, καὶ τοῦ παρόντος καὶ τοῦ μέλλοντος. ἐπίστασθαι μὲν οὖν γὰρ λεγόμεθα τὰ παρόντα καὶ τὰ μέλλοντα. οἷον ὅτι ἔσται ἥλιος ἔκλειψις, μνημονεύειν δὲ οὐκ ἀναλέγεται, ἀλλ' ἢ τὸ παρεληλυθός. 16

Ετι ὁ σοφιστικὸς τρόπος, τὸ ἄγειν εἰς ὃ εὐπορήσομεν ἐπιχειρημάτων. ζῆν δὲ ἔσται ὁ τὲ μὲν ἀναγκαῖον. ὁ τὲ δὲ φαινόμενον ἀναγκαῖον. ὁτὲ δὲ οὔτε φαινόμενον οὔτε ἀναγκαῖον. ἀναγκαῖον μὲν οὖν, ὅταν ἀρνησαμένου τοῦ ἀποκρινομένου τῶν πρὸς τὴν θέσιν τὰ χρήσιμα, πρὸς ἕξιν τοὺς λόγους ποιῆται. τυγχάνει δὲ ἕξιν τῶν τοιούτων ὧν πρὸς ὃ εὐπορεῖν ἐστιν ἐπιχειρημάτων. ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι διὰ τοῦ κεκμυσμένου ποιησάμενος, ἀναιρεῖν ἐπιχειρῇ. τούτου γὰρ ἀναιρεθέντος, καὶ τὸ προκείμενον ἀναιρεῖται. φαινόμενον δ' ἀναγκαῖον, ὅταν φαίνηται μὲν χρήσιμον καὶ οἰκεῖον τῆς θέσεως. μὴ ᾖ δὲ πρὸς ὃ γίγνονται οἱ λόγοι, εἴτε ἀρνησαμένου τοῦ τὸν λόγον ὑποσχόντος, εἴτε ἀπὸ ἐπαγωγῆς συλλόξου διὰ τῆς θέσεως πρὸς αὐτὸ γιγνομένης, ἀναιρεῖν ἐπιχειρεῖ αὐτό. τὸ δὲ λοιπὸν, ὅταν μήτε ἀναγκαῖον ᾖ, μήτε φαινόμενον πρὸς ὃ γίγνονται οἱ λόγοι. ἄλλως δὲ, παρεξελέγχεσθαι συμβαίνει τῷ ἀποκρινομένῳ. δεῖ δὲ ἐνλαβεῖσθαι τὸν ἔλαττον τῶν ξυθέντων τρόπων. ὡσαυτῶς γὰρ ἀσυλλογίστου καὶ ἀλλότριος ἔοικεν εἶναι τῆς διαλεκτικῆς. διὸ δεῖ καὶ τὸν ἀποκρινόμενον μὴ δυσκολαίνειν. ἀλλὰ τιθέναι τὰ μὴ χρήσιμα πρὸς τὴν θέσιν. ἐπισημαινόμενον ὅσα μὴ δοκεῖ, τίθησι δέ. μᾶλλον γὰρ ἀπορεῖν ὥστε πολὺ συμβαίνει τοῖς ἐρωτῶσιν, ὅταν πάντων τιθεμένων αὐτοῖς τῶν τοιούτων, ἐὰν μὴ περαίνωσιν.

α δυσκολαίνειν δικην αὐτὸ ποιεῖν, ὃ μὴ διὰ φανερικὸν συλλογισμὸν ἐπιχειρεῖται συνάγειν καὶ καλοῦσι γλίσχραν συλλογισμόν. +

17 Ετι πᾶς ὁ εἰρηκὼς ὁτιοῦν, δῆλον τινὰ πολλὰ εἴρηκεν. ἐπεὶ δὴ πολλαχῶς ἑκάστῳ ἐξανάγκης ἀκολουθά ἐστιν. οἷον ὁ εἰρηκὼς ἄνθρωπον

εἶναι

εἶναι, καὶ ὅτι ζῶόν ἐστιν εἴρηκε, καὶ ὅτι ἔμψυχον. καὶ ὅτι δίπουν. καὶ
ὅτι νοῦ καὶ ἐπιστήμης δεκτικόν. ὥστε ὁ ποιοῦν ἑνὸς τῶν ἀκολούθων ἀ=
ναιρεθέντος, ἀναιρεῖται καὶ τὸ ἐν ἀρχῇ. εὐλαβεῖσθαι δὲ χρὴ εἰς τὸ χα=
λεπώτερον ποιεῖσθαι μετάληψιν. ἐνίοτε μὲν γὰρ ῥᾷον τὸ ἀκόλουθον ἀ=
νελεῖν. ἐνίοτε δὲ, αὐτὸ τὸ προκείμενον. Οσοις δὲ ἀνάγκη 18
μόνον θάτερον ὑπάρχειν, ἢ οὐχ ὑπάρχειν. οἷον τῷ ἀνθρώπῳ τὴν νό-
σον, ἢ τὴν ὑγίειαν. ἐὰν πρὸς θάτερον εὐπορῶμεν διαλέγεσθαι ὅτι
ὑπάρχει ἢ οὐχ ὑπάρχει, καὶ πρὸς τὸ λοιπὸν εὐπορήσομεν. τοῦτο δὲ ἀν=
τιστρέφει πρὸς ἄμφω. δείξαντες μὲν γὰρ ὅτι ὑπάρχει θάτερον, τὸ
λοιπὸν δεδειχότες ἐσόμεθα ὅτι οὐχ ὑπάρχει. ἐὰν δὲ ὅτι οὐχ ὑπάρ-
χει δείξωμεν, τὸ λοιπὸν ὅτι ὑπάρχει δεδειχότες ἐσόμεθα. δῆλον
οὖν ὅτι πρὸς ἄμφω χρήσιμος ὁ τόπος. Ετι τὸ ἐπιχει= 19
ρεῖν μεταφέροντα τοὔνομα ἐπὶ τὸν λόγον, ὡς μάλιστα προσῆκον ἐκ
λαμβάνειν, ἢ ὡς κεῖται τοὔνομα. οἷον εὔψυχον μὴ τὸν ἀνδρεῖον καθά-
περ κεῖται, ἀλλὰ τὸν εὖ τὴν ψυχὴν ἔχοντα. καθάπερ καὶ εὔελπιν, τὸν
ἀγαθὰ ἐλπίζοντα. ὁμοίως δὲ καὶ εὐδαίμονα οὗ ἂν ὁ δαίμων ᾖ σπου=
δαῖος. καθάπερ Ξενοκράτης φησὶν εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχον=
τα σπουδαίαν. ταύτην γὰρ ἑκάστῳ εἶναι δαίμονα. Επεὶ δὲ τῶν 20
πραγμάτων τὰ μὲν ἐξ ἀνάγκης ἐστὶ, τὰ δὲ, ὡσεπιτοπολύ. τὰ δὲ, ὁπό
τερ ἔτυχεν, ἐὰν τὸ ἐξ ἀνάγκης ὡσεπιτοπολὺ τεθῇ, ἢ τὸ ὡσεπιτοπολὺ ἐξ
ἀνάγκης. ἢ αὐτὸ ἢ τὸ ἐναντίον τῷ ὡσεπιτοπολύ, ἀεὶ δίδωσι τόπον ἐπι=
χειρήματος. ἐὰν γὰρ τὸ ἐξ ἀνάγκης ὡσεπιτοπολὺ τεθῇ, δῆλον ὅτι οὐ παν
τί φησιν ὑπάρχειν, ὑπάρχοντος παντί. ὥστε ἡμάρτηκεν. εἴτε τὸ ὡσεπι
τοπολὺ λεγόμενον ἐξ ἀνάγκης ἔφησε παντὶ γάρ φησιν ὑπάρχειν, οὐχ
ὑπάρχοντος παντί. ὁμοίως δὲ καὶ εἰ τὸ ἐναντίον τῷ ὡσεπιτοπολὺ ἐξ
ἀνάγκης εἴρηκεν. ἀεὶ δὲ ἐπ' ἔλαττον λέγετε τὸ ἐναντίον τῷ ὡσεπιτοπολύ.
οἷον εἰ ὡσεπιτοπολὺ φαῦλοι οἱ ἄνθρωποι, ἀγαθοὶ ἐπ' ἔλαττον. ὥστε ἔτι

Qui probat unum contrariorum in ea aliud improbat.

a nominis interpretatione.

Rerum quædam necessariæ, quædam ut plurimum, quædam contingentes.

μᾶλλον ἡμάρτηκεν, εἰ ἀγαθοὺς ἐξ ἀνάγκης εἴρηκεν εἶναι. ὡσαύτως δὲ καὶ εἰ τὸ ὁπότερ' ἔτυχεν, ἐξ ἀνάγκης ἔφησεν ἢ ὡσεπιτοπολύ. οὔτε δὲ ἐξ ἀνάγκης τὸ ὁπότερ' ἔτυχεν, οὔθ' ὡσεπιτοπολύ. ἐνδέχεται δὲ, κἂν μὴ διορίσας εἴπῃ, πότερον ὡσεπιτοπολὺ ἢ ἐξ ἀνάγκης εἴρηκεν. ἢ δὴ τὸ πρᾶγμα ὡσεπιτοπολύ, διαλέγεσθαι ἐξ ἀνάγκης εἰρηκότος αὐτοῦ. οἷον εἰ φαύλους τοὺς ἀποκλήρους ἔφησεν εἶναι, μὴ διορίσας. ὡς ἐξ ἀνάγκης εἰρηκότος αὐτοῦ διαλέγεσθαι. Ετι εἰ καὶ αὐτὸ ἑαυτῷ συμβεβηκὸς ἔθηκεν ὡς ἕτερον, διὰ τὸ ἕτερον εἶναι ὄνομα. καθάπερ Γρόδικος διηρεῖτο τὰς ἡδονὰς εἰς χαρὰν καὶ τέρψιν καὶ εὐφροσύνην. ταῦτα δὲ πάντα τοῦ αὐτοῦ τῆς ἡδονῆς ὀνόματός ἐστιν. εἰ οὖν τις τὸ χαίρειν τῷ εὐφραίνεσθαι φήσει συμβεβηκέναι, αὐτὸ ἂν αὐτῷ φαίη συμβεβηκέναι. Επεὶ δὲ τὰ ἐναντία συμπλέκεται μὲν ἀλλήλοις ἑξαχῶς. ἐναντίωσιν δὲ ποιεῖ τετραχῶς συμπλεκόμενα, δεῖ λαμβάνειν τὰ ἐναντία, ὅπως ἂν χρήσιμον ᾖ καὶ ἀναιροῦντι καὶ κατασκευάζοντι. ὅτι μὲν οὖν ἑξαχῶς συμπλέκεται, δῆλον. ἢ γὰρ ἑκάτερον ἑκατέρῳ τῶν ἐναντίων συμπλακήσεται, τοῦτο δὴ διχῶς. οἷον τὸ τοὺς φίλους εὖ ποιεῖν, καὶ τὸ τοὺς ἐχθροὺς κακῶς, ἢ ἀνάπαλιν, τὸ τοὺς φίλους κακῶς, καὶ τοὺς ἐχθροὺς εὖ, ἢ ὅταν ἀμφότερα περὶ τοῦ ἑνός, διχῶς δὲ καὶ τοῦτο. οἷον τὸ τοὺς φίλους εὖ ποιεῖν, καὶ τὸ τοὺς φίλους κακῶς, ἢ τὸ τοὺς ἐχθροὺς εὖ ποιεῖν, καὶ τὸ τοὺς ἐχθροὺς κακῶς, ἢ τὸ ἓν περὶ ἀμφοτέρων. διχῶς δὴ καὶ τοῦτο. οἷον τὸ τοὺς φίλους εὖ. καὶ τοὺς ἐχθροὺς εὖ, ἢ τοὺς φίλους κακῶς, καὶ τοὺς ἐχθροὺς κακῶς. αἱ μὲν οὖν πρῶται δύο ῥηθεῖσαι συμπλοκαὶ, οὐ ποιοῦσιν ἐναντίωσιν. τὸ δὲ τοὺς φίλους εὖ ποιεῖν, τῷ τοὺς ἐχθροὺς κακῶς ποιεῖν, οὐκ ἔστιν ἐναντίον. ἀμφότερα δὲ αἱρεταὶ, καὶ τοῦ αὐτοῦ ἤθους, οὐδὲ τὸ τοὺς φίλους κακῶς, τῷ τοὺς ἐχθροὺς εὖ. καὶ δὲ ταῦτα ἀμφότερα φευκτὰ, καὶ τοῦ αὐτοῦ ἤθους, οὐ δοκεῖ δὲ φευκτὸν φευκτῷ ἐναντίον εἶναι, ἐὰν μὴ τὸ μὲν καθ' ὑπερβολήν. τὸ δὲ κατ' ἔνδειαν λεγόμενον ᾖ. ἥτε δὲ ὑπερβολὴ

Idem sibi ipsi non accidit 21

CAP. 3. 22.

Coniugationes propositionum habentium subiecta et praedicata contraria

αἱρετὰ

τῶν

τῶν φθυκτῶν δυκεῖ εἶν, ὁμοίως δὲ καὶ ἡ ἔνδεια. τὰ δὲ λοιπὰ πάντα τέτταρα, ποιεῖν ἐναντίωσιν. τό γὰρ τοὺς φίλους εὖ ποιεῖν, τῷ τοὺς φίλους κακῶς, ἐναντίον. ἀεὶ ὅτε δ ἐναντίου ἤθους ἐσὶ, καὶ τὸ μὲν αἱρετὸν, τὸ δὲ φθυκτόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καθ' ἑκάστω δ συζυγίαν, τὸ μὲν αἱρετὸν, τὸ δὲ φθυκτόν. καὶ τὸ μὲν ἐπιεικοῦς ἤθους. τὸ δ' φαύλου. δῆλον δ' ἐκ τῶν εἰρημένων, ὅτι τῷ αὐτῷ πλείονα ἐναντία συμβαίνει γίνεσθ. τῷ δ τοὺς φίλους εὖ ποιεῖν, τὸ τοὺς ἐχθροὺς εὖ ποιεῖν ἐναντίον. καὶ τὸ τοὺς φίλους κακῶς, ἐναντίον. ὁμοίως δ καὶ τῶ ἄλλων ἑκάστῳ, τὸν αὐτὸν τρόπον ἐπισκοποῦσι, λύω τὰ ἐναντία φαινόμενα. λαμβάνειν δ' ὧν τῶ ἐναντίων ὁπότερον ἂν ᾖ πρὸς τὴν θέσιν χρήσιμον. ἔτι εἰ ἐσίτι ἐναντίον τῷ συμβεβικότι, σκοπεῖν εἰ ὑπάρχει ᾧ περ τὸ συμβεβικὸς εἴρηται ὑπάρχειν. εἰ μὲ τοῦτο ὑπάρχει, ἐκεῖνο οὐκ ἂν ὑπάρχοι. ἀδύνατον δ τἀναντία ἅμα τῷ αὐτῷ ὑπάρχειν. ἢ εἴ τι τοιοῦτον εἴρηται κατάτινος, οὗ ὄντος, ἀνάγκη τὰ ἐναντία ὑπάρχειν, οἷον εἰ τὰς ἰδέας ἐν ἡμῖν ἔφησεν εἶν. κινεῖσθαί τε γὰρ καὶ ἠρεμεῖν αὐτὰς συμβήσεται. ἔτι δὲ αἰσθητὰς καὶ νοητὰς εἶναι. δοκοῦσι γὰρ αἱ ἰδέαι ἠρεμεῖν καὶ ἀκίνητοι καὶ νοηταὶ εἶναι τοῖς τιθεμένοις ἰδέας εἶναι. ἐν ἡμῖν δὲ οὔσας, ἀδύνατον ἀκινήτους εἶναι. κινουμένων γὰρ ἡμῶν, ἀναγκαῖον καὶ τὰ ἐν ἡμῖν πάντα συγκινεῖσθαι. δῆλον δ' ὅτι καὶ αἰσθηταί, εἴπερ ἐν ἡμῖν εἰσι. διὰ γὰρ τῆς περὶ τὸν ὄψιν αἰσθήσεως, τὴν ἐν ἑκάστῳ μορφὴν γνωρίζομεν. πάλιν ἐκεῖνο συμβεβικὸς ἐν ᾧ ἐσί τι ἐναντίον, σκοπεῖν εἰ καὶ τοῦ ἐναντίου λεκτικὸν, ὅπερ καὶ τοῦ συμβεβικότος. τὸ δ αὐτὸ τῶν ἐναντίων λεκτικόν. οἷον εἰ τὸ μῖσος ἔπεσθαι τῇ ὀργῇ ἔφησεν, εἰ ἡ ἂν τὸ μῖσος ἐν τῷ θυμοειδεῖ, ἐκεῖ γὰρ ἡ ὀργή. σκεπτέον οὖν εἰ τὸ ἐναντίον ἐν τῷ θυμοειδεῖ, ἡ φιλία. εἰ δ μή, ἀλλ' ἐν τῷ ἐπιθυμητικῷ ἐσὶν ἡ φιλία, οὐκ ἂν ἔποιτο τὸ μῖσος ὀργῇ. ὁμοίως δ καὶ εἰ τὸ ἐπιθυμητικὸν ἀγνοεῖν ἔφησεν.

23. Duo contraria accidentia eidem subiecto non insunt simul.

24.

Φαρμακοδιοσκουρίδης ὡσ ἔναγ τὰ ἡμέτερα εἴδη ἐστὶν ἡμῖν

Ἰδέαι ἡρεμοῦσαι καὶ κινοῦνται

Ἰδέαι figuræ corporis humani

εἰ κεῖται 25.

accidens si unum contrarium in uno subiecto esse non possit nec aliud. quod non intelligendum est de individuis.

εἴη γὰρ ἂν ἐπιστήμης λεκτικόν. εἴπερ καὶ ἀγνοίας. ὅπερ οὐ δοκεῖ τὸ ἐπιθυμητικὸν λεκτικὸν εἶναι ἐπιστήμης. ἀνασκευάζοντι μὲν οὖν καθάπερ εἴρηται, χρησέον. κατασκευάζοντι δὲ ὅτι μὲν ὑπάρχει τὸ συμβεβηκός, οὐ χρήσιμος ὁ τόπος. ὅτι δὲ συλλέγεται ὑπάρχειν χρήσιμος. λείξαντες μὲν γὰρ ὅτι οὐ λεκτικὸν τὸ συναντίον, λελειχότες ἐσόμεθα, ὅτι οὐχ ὑπάρχει τὸ συμβεβηκός, οὔτε συλλέγεται ὑπάρξαι. ἐὰν δὲ λείξωμεν ὅτι ὑπάρχει τὸ συναντίον, ἢ ὅτι λεκτικὸν τοῦ συναντίου ἐστίν, οὐ λέπω λελειχότες ἐσόμεθα, ὅτι καὶ τὸ συμβεβηκὸς ὑπάρχει, ἀλλ' ὅτι συλλέγεται ὑπάρχειν. ἐπὶ τοσοῦτον μόνον λελειγμένον ἔσται.

26. Ἐπεὶ δὲ αἱ ἀντιθέσεις τέτταρες, σκοπεῖν, ἐκ μὲν τῶν ἀντιφάσεων ἀνάπαλιν ἐκ τῆς ἀκολουθήσεως καὶ ἀναιροῦντι μὲν κατασκευάζοντι. λαμβάνειν δὲ ἐξ ἐπαγωγῆς, οἷον εἰ ὁ ἄνθρωπος ζῷον, τὸ μὴ ζῷον οὐκ ἄνθρωπος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. συνταῦθα δὲ ἀνάπαλιν ἡ ἀκολούθησις. τῷ μὲν γὰρ ἀνθρώπῳ τὸ ζῷον ἕπεται. τῷ δὲ μὴ ἀνθρώπῳ, τὸ μὴ ζῷον, οὐ. ἀλλ' ἀνάπαλιν τῷ μὴ ζῴῳ τὸ οὐκ ἄνθρωπος. ἐπὶ πάντων οὕτω τὸ τοιοῦτον ἀξιωτέον. οἷον εἰ τὸ κακὸν, ἡδύ, καὶ τὸ μὴ ἡδύ, οὐ κακόν. εἰ δὲ μὴ τοῦτο, οὐδ' ἐκεῖνο. ὁμοίως δὲ καὶ εἰ τὸ μὴ ἡδύ, οὐ κακόν, τὸ καλὸν, ἡδύ. δῆλον οὕτω ὅτι πρὸς ἄμφω ἀντισχέφει ἡ κατὰ τὴν ἀντίφασιν ἀκολούθησις ἀνάπαλιν γινομένη. ἐπὶ δὲ τῶν συναντίων, σκοπεῖν εἰ τῷ συναντίῳ τὸ συναντίον ἕπεται, ἢ ἐπὶ ταυτὰ ἡ ἀκολούθησις, ἢ ἀνάπαλιν, καὶ ἀναιροῦντι καὶ κατασκευάζοντι. λαμβάνειν δὲ καὶ τὰ τοιαῦτα ἐξ ἐπαγωγῆς. ἐπὶ ταυτὸ μὲν, ἡ ἀκολούθησις, οἷον τῇ ἀνοσίᾳ καὶ τῇ λειλίᾳ. τῇ μὲν γὰρ, ἀρετὴ ἀκολούθησις. τῇ δὲ, κακία. τῇ μὲν, ἀκολουθεῖ τὸ αἱρετὸν, τῇ δὲ, τὸ φευκτόν. ἐπὶ ταυτὰ δὲ καὶ οὕτως ἡ ἀκολούθησις. συναντίον δὲ τὸ αἱρετὸν τῷ φευκτῷ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἀνάπαλιν δὲ ἡ ἀκολούθησις οἷον εὐεξίᾳ μὲν, ἡ ὑγίεια ἀκολουθεῖ, κακοεξίᾳ δὲ, νόσος οὐ. ἀλλὰ νόσῳ κακοεξία. δῆλον δὲ ὅτι ἀνάπαλιν ἐπὶ τούτων ἡ ἀκολούθησις γίνεται. σπάνιον δὲ τὸ ἀνάπαλιν

27.

Antithetae consequuntur tres communes.

Vt plurimum, non semper tamen contrariorum est contrarii consequutio.

παλιν ἐπὶ τῶν ἐναντίων, συμβαίνει. ἀλλὰ τοῖς πλείστοις, ἐπὶ ταυτὰ
ἡ ἀκολούθησις. εἰ οὖν μήτε ἐπὶ ταυτὰ τῷ ἐναντίῳ, τὸ ἐναντίον ἀκο=
λουθεῖ, μήτε ἀνάπαλιν, δῆλον ὅτι οὐδ' ἐπὶ τῶν ῥηθέντων ἀκολουθεῖ τὸ
ἕτερον τῷ ἑτέρῳ. ἐπὶ δὲ εἰ τῶν ἐναντίων, καὶ ἐπὶ τῶν ῥηθέντων, ἀ
ναγκαῖον τὸ ἕτερον τῷ ἑτέρῳ ἀκολουθεῖν. ὁμοίως δὲ τοῖς ἐναντίοις, καὶ 28.
ἐπὶ τῶν στερήσεων καὶ ἕξεων σκεπτέον. πλὴν οὐκ ἔστιν ἐπὶ τῶν στερή=
σεων τὸ ἀνάπαλιν. ἀλλ' ἐπεὶ ταυτὰ τὴν ἀκολούθησιν ἀναγκαῖον ἀεὶ γί
νεσθαι. καθάπερ ὄψει μὲν, αἴσθησιν. τυφλότητι δὲ, ἀναισθησίαν. ἀντίκει
ται γὰρ ἡ αἴσθησις τῇ ἀναισθησίᾳ, ὡς ἕξις καὶ στέρησις. τὸ μὲν δὴ ἕξις,
αὐτῶν. τὸ δὲ, στέρησίς ἐστιν. ὁμοίως δὲ τῇ ἕξει καὶ τῇ στερήσει, καὶ ἐπὶ
τῶν πρόστι χρηστέον. ἐπὶ ταυτὰ δὴ καὶ τούτοις ἡ ἀκολούθησις. οἷον εἰ
τὸ τριπλάσιον πολλαπλάσιον, καὶ τὸ τριτημόριον. πολλοστημόρον. λέ=
γεται δὴ τὸ μὲν τριπλάσιον, πρὸς τὸ τριτημόριον. τὸ δὲ πολλαπλάσι-
ον, πρὸς τὸ πολλοστημόριον. πάλιν εἰ ἡ ἐπιστήμη ὑπόληψις, καὶ τὸ ἐπι=
στητὸν ὑποληπτόν. καὶ εἰ ἡ ὅρασις αἴσθησις, καὶ τὸ ὁρατὸν αἰσθητὸν, ἔνστα
σις, ὅτι οὐκ ἀνάγκη ἐπὶ τῶν πρόστι τὴν ἀκολούθησιν γίνεσθαι. καθά=
περ εἴρηται. τὸ δὴ αἰσθητὸν, ἐπιστητόν ἐστιν. ἡ δὲ αἴσθησις, οὐκ ἐπιστήμη.
οὐ μὴν ἀληθής γε ἡ ἔνστασις δοκεῖ εἶναι. πολλοὶ δὴ οὐ φασὶ τῶν αἰσθητῶν ἐπι
στήμην εἶναι. ἔτι πρὸς τοὐναντίον, οὐχ ἧττον χρήσιμον τὸ ῥηθέν. οἷον ὅτι
τὸ αἰσθητὸν, οὐκ ἔστιν ἐπιστητόν· οὐδὲ δὴ ἡ αἴσθησις ἐπιστήμη. πάλιν 29.
ἐπὶ τῶν συστοίχων καὶ ἐπὶ τῶν πτώσεων, καὶ ἀναιροῦντα καὶ κατα=
σκευάζοντα. λέγεται δὲ σύστοιχα μὲν τὰ τοιάδε. οἷον τὰ δίκαια καὶ ὁ
δίκαιος, τῇ δικαιοσύνῃ, καὶ τὰ ἀνδρεῖα, καὶ ὁ ἀνδρεῖος, τῇ ἀνδρείᾳ. ὁ=
μοίως δὲ καὶ τὰ ποιητικὰ καὶ τὰ φυλακτικὰ, σύστοιχα ἐκείνων ἐστὶν,
ὧν ἐστι φυλακτικὰ ἢ ποιητικὰ, οἷον τὰ ὑγιεινὰ, ὑγιείας, καὶ τὰ εὐεκτι
κὰ, εὐεξίας. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. σύστοιχα μὲν οὖν
τὰ τοιαῦτα εἴωθε λέγεσθαι. πτώσεις δὲ, οἷον τὸ δικαίως, καὶ ἀνδρείως
καὶ

In privationibus semper contraria contraria sequuntur.

ἐπὶ

Relata ad idem contraria, contraria sequuntur.

πολλοστημόριον

Idem in denominatis.

Coniugata et casus.

In coniugatis et casibus uno affirmato aut negato reliqua affirmantur aut negantur.

καὶ ὑγιεινῶς, καὶ εὐεκτικῶς, καὶ ὅσα τοῦτον τὸν τρόπον λέγεται. δοκεῖ δὲ καὶ τὰ κατὰ τὰς πόλεις σύστοιχα εἶναι. δίον τὸ μὲν δικαίως, τῇ δικαιοσύνῃ. τὸ δὲ ἀνδρείως, τῇ ἀνδρείᾳ. σύστοιχα δὲ λέγεται, τὰ κατὰ τὴν αὐτὴν συστοιχίαν ἅπαντα. δίον δικαιοσύνη, δίκαιος, δίκαιον, δικαίως. δῆλον δὲ ὅτι ἑνὸς ὁποιουοῦν λειχθέντος τῶν κατὰ τὴν αὐτὴν συστοιχίαν ἀγαθῶν ἢ ἐπαινετοῦ, καὶ τὰ λοιπὰ πάντα λελειγμένα ἔσται. δίον εἰ ἡ δικαιοσύνη τῶν ἐπαινετῶν, καὶ ὁ δίκαιος. καὶ τὸ δίκαιον. καὶ τὸ δικαίως, τῶν ἐπαινετῶν. ξηθήσεται δὲ τὸ δικαίως καὶ ἐπαινετῶς κατὰ τὴν αὐτὴν πᾶσιν, ἀπὸ γὰρ τοῦ ἐπαινετοῦ κατάπερ τὸ δικαίως, ἀπὸ τῆς δικαιοσύνης. Σκοπεῖν δὲ μὴ μόνον ἐπ' αὐτοῦ τοῦ ἐναντίου, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐναντίου τὸ ἐναντίον. δίον ὅτι τὸ ἀγαθὸν οὐκ ἐξ ἀνάγκης ἡδύ, οὐ δὲ γὰρ τὸ κακὸν λυπηρόν. ἢ εἰ ἔστιν, κἀκεῖνο· καὶ εἰ ἡ δικαιοσύνη ἐπιστήμη, καὶ ἡ ἀδικία, ἄγνοια. καὶ εἰ τὸ δικαίως ἐπιστημονικῶς καὶ ἐμπείρως, τὸ ἀδίκως, ἀγνοούντως καὶ ἀπείρως. εἰ δὲ ταῦτα μή, οὐ δὲ ἐκεῖνα. καθάπερ ἐπὶ τοῦ νῦν ξηθέντος. μᾶλλον γὰρ ἂν φανείη τὸ ἀδίκως, ἐμπείρως, ἢ ἀπείρως. οὗτος δ' ὁ τόπος εἴρηται πρότερον, ἐν ταῖς τῶν ἐναντίων ἀκολουθήσεσιν. οὐδὲν γὰρ ἄλλο νῦν ἐξιοῦμεν, ἢ τῷ ἐναντίῳ τὸ ἐναντίον ἀκολουθεῖν.

30

Vt scriptum est contrariorum sunt contraria consequentia necesse est contraria esse.

Ετι ἐπὶ τῶν γενέσεων καὶ φθορῶν, καὶ ποιητικῶν καὶ φθαρτικῶν, καὶ ἀναιροῦντι καὶ κατασκευάζοντι. ὧν γὰρ αἱ γενέσεις τῶν ἀγαθῶν, καὶ αὐτὰ ἀγαθά, καὶ εἰ αὐτὰ ἀγαθά, καὶ αἱ γενέσεις. εἰ δὲ αἱ γενέσεις τῶν κακῶν, καὶ αὐτὰ τῶν κακῶν. ἐπὶ δὲ τῶν φθορῶν, ἀνάπαλιν. εἰ γὰρ αἱ φθοραὶ τῶν ἀγαθῶν, αὐτὰ τῶν κακῶν. εἰ δὲ αἱ φθοραὶ τῶν κακῶν, αὐτὰ τῶν ἀγαθῶν. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ ποιητικῶν καὶ φθαρτικῶν. ὧν μὲν γὰρ τὰ ποιητικὰ ἀγαθά, καὶ αὐτὰ τῶν ἀγαθῶν. ὧν δὲ τὰ φθαρτικὰ ἀγαθά, αὐτὰ τῶν κακῶν.

31.

Quorum generationes sunt bona ea ipsa bona. contra, quorum generationes mala ea ipsa mala ac vicissim quae bona sunt generationem bonam habent &c. item in corruptionibus contra quorum corruptiones sunt bona ipsa sunt mala &c.

Πάλιν ἐπὶ τῶν ὁμοίων, εἰ ὁμοίως ἔχει. δίον εἰ ἐπιστήμη μία πλειόνων, καὶ δόξα, καὶ εἰ τὸ

32.

Argumentum assimilatur arbori quae ex radice alia enumerabilia germina producit, ita in rebus existentibus, quae tam varia quantum videmus sunt ab uno principio quasi emanando,

εἰ τὸ, ὄψιν ἔχειν, ὁρᾶν. καὶ τὸ ἀκοὴν ἔχειν, ἀκούειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἐπὶ τῶν ὄντων, καὶ τῶν δοκούντων. χρήσιμος δὲ ὁ τόπος πρὸς ἄμφω. εἰ μὲν γὰρ ἐπίτινος τῶν ὁμοίων οὕτως ἔχει, καὶ ἐπὶ τῶν ἄλλων τῶν ὁμοίων. εἰ δὲ ἐπίτινος μὴ, οὐ δὲ ἐπὶ τῶν ἄλλων.

Σκοπεῖν δὲ καὶ εἰ ἐφ' ἑνὸς καὶ εἰ ἐπὶ πολλῶν ὁμοίως ἔχει. ἐνιαχοῦ 33
γὰρ διαφωνεῖ. οἷον εἰ τὸ ἐπίστασθαι διανοεῖσθαι, καὶ τὸ πολλὰ ἐπίστασθαι, πολλὰ διανοεῖσθαι. οὐδὲ γὰρ οὐκ ἀληθές. ἐπίστασθαι μὲν δὲ ἐνδέχεται πολλὰ, διανοεῖσθαι, δ' οὔ. εἰ οὖν τοι τὸ μὴ, οὐ δ' ἐκεῖνο τὸ ἐφ' ἑνὸς, ὅτι τὸ ἐπίστασθαι, διανοεῖσθαί ἐστιν. Ετι ἐκ τοι μᾶλλον καὶ ἧττον. εἰσὶ δὲ τοι 34.
μᾶλλον, τόποι τέσσαρες, εἷς μὲν εἰ ἀκολουθεῖ τὸ μᾶλλον τῷ μᾶλλον. οἷον εἰ ἡδονὴ ἀγαθὸν, καὶ ἡ μᾶλλον ἡδονὴ, μᾶλλον ἀγαθόν. καὶ εἰ τὸ ἀδικεῖν, κακὸν, καὶ τὸ μᾶλλον ἀδικεῖν, μᾶλλον κακόν. χρήσιμος δὲ πρὸς ἄμφω ὁ τόπος. εἰ μὲν δὲ ἀκολουθεῖ τῇ τοι ὑποκειμένου ἐπιδόσει ἡ τῶν συμβεβηκότος ἐπίδοσις, δῆλον ὅτι συμβέβηκεν. εἰ δὲ μὴ ἀκολουθεῖ, οὐ συμβέβηκε. οὐδὲ δὲ ἐπαιωρῇ λιπτέον. Αλλος, ἑνὸς περὶ δυοῖν λεγομένου. εἰ 35.
ᾧ μᾶλλον εἰκὸς ὑπάρχειν μὴ ὑπάρχει, οὐ δ' ᾧ ἧττον. καὶ εἰ ᾧ ἧττον εἰκὸς ὑπάρχειν ὑπάρχει, καὶ ᾧ μᾶλλον. Γάλιν δυοῖν περὶ ἑνὸς λεγομέ= 36.
νων, εἰ τὸ μᾶλλον ὑπάρχειν δοκοῦν μὴ ὑπάρχει, οὐ δὲ τὸ ἧττον. ἢ εἰ τὸ ἧττον δοκοῦν ὑπάρχειν ὑπάρχει, καὶ τὸ μᾶλλον. Ετι δυοῖν περὶ δύο λεγο 37.
μένοιν, εἰ τὸ θατέρῳ μᾶλλον ὑπάρχειν δοκοῦν μὴ ὑπάρχει, οὐ δὲ τὸ λοιπὸν τῷ λοιπῷ. ἢ εἰ τὸ ἧττον δοκοῦν τῷ ἑτέρῳ ὑπάρχειν ὑπάρχει καὶ τὸ λοιπὸν τῷ λοιπῷ. Ετι ἐκ τοι ὁμοίως ὑπάρχειν ἢ δοκεῖν 38.
ὑπάρχειν, τριχῶς. καθάπερ ἐπὶ τοι μᾶλλον ἐπὶ τῶν ὕστερον ῥηθέντων τριῶν τόπων ἐλέγετο. εἴτε γὰρ ἔντι δυσὶν ὁμοίως ὑπάρχει, ἢ δοκεῖ ὑπάρχειν, εἰ τῷ ἑτέρῳ μὴ ὑπάρχει, οὐ δὲ τῷ ἑτέρῳ. εἰ δὲ θατέρῳ ὑπάρχει, καὶ τῷ λοιπῷ. Εἴτε δύο τῷ αὐτῷ. ὁμοί- 39.
ως εἰ τὸ ἕτερον μὴ ὑπάρχει, οὐ δὲ τὸ λοιπόν. εἰ δὲ θάτερον, καὶ τὸ λοιπόν.

Τὸν

Quae in multis similibus non conveniunt nec in uno convenire dicuntur.

Loci a maiori et a minori.

Si ~~[illegible]~~ sequatur subiectum etiam maius ~~[illegible]~~ sequatur maius subiectum.

A maiori ad minus negativa a minori ad maius affirmativa.

Loci a similiter inesse ~~[illegible]~~ videri inesse similes locis a maiori et a minori.

40. Τὸν αὐτὸν δὲ τρόπον, καὶ εἰ πλύσ πλυσὶν ὁμοίως ὑπάρχει. εἰ γὰρ ἕτερον τῷ ἑτέρῳ μὴ ὑπάρχει, οὐδὲ τὸ λοιπὸν τῷ λοιπῷ. εἰ δὲ ὑπάρχει τὸ ἕτερον τῷ ἑτέρῳ, καὶ τὸ λοιπὸν τῷ λοιπῷ. ἐκ μὲν οὖν τοῦ μᾶλλον καὶ ἧττον. καὶ τοῦ ὁμοίως, ζητοῦσι ταχῶς συλλέγεται ἐπιχειρεῖν.

Loci dialectici hoc quod alterius alterius sit illud tale, quod autem non sit tale

41 Ἔτι δ' ἐκ τῆς προσθέσεως, ἐὰν ἕτερον πρὸς ἕτερον προστεθὲν ποιῇ ἀγαθόν, ἢ λευκόν, μὴ ὂν πρότερον λευκὸν ἢ ἀγαθόν, τὸ προστεθὲν ἔσται λευκὸν ἢ ἀγαθόν, οἷον περὶ τὸ ὅλον ποιεῖ. Ἔτι εἰ πρὸς τὸ ὑπάρχον προστεθὲν τὶ μᾶλλον ποιεῖ τοιοῦτον οἷον ὑπῆρχε, καὶ αὐτὸ ἔσται τοιοῦτον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. χρήσιμος δὲ οὐκ ἐν ἅπασιν ὁ τόπος, ἀλλ' ἐν οἷς τῷ τοῦ μᾶλλον ὑπερέχειν συμβαίνει γίνεσθαι. οὗτος δὲ ὁ τόπος, οὐκ ἀντιστρέφει πρὸς τὸ ἀνασκευάζειν. εἰ γὰρ μὴ ποιεῖ τὸ προστιθέμενον ἀγαθόν, οὐ λέγω ὅλον εἰ αὐτὸ μὴ ἀγαθόν. τὸ γὰρ ἀγαθὸν κακῷ προστιθέμενον, οὐκ ἐξ ἀνάγκης ἀγαθόν τὸ ὅλον ποιεῖ. οὐδὲ λευκὸν μέλανι. οὐδὲ γλυκὺ πικρῷ.

Quod fiat magis tale erit quod tale aliquid sit in alterius magna non imagine.

42 Πάλιν ἔτι μᾶλλον καὶ ἧττον λέγεται, καὶ ἁπλῶς ὑπάρχει. τὸ γὰρ μὴ ὂν ἀγαθόν, ἢ λευκὸν οὐδὲ μᾶλλον ἢ ἧττον ἀγαθὸν ἢ λευκὸν ῥηθήσεται. τὸ γὰρ κακόν, οὐδενὸς μᾶλλον ἢ ἧττον ἀγαθόν. ἀλλὰ μᾶλλον κακὸν ἢ ἧττον ῥηθήσεται. οὐκ ἀντιστρέφει δ' οὐδ' οὗτος ὁ τόπος πρὸς τὸ ἀνασκευάσαι. πολλὰ γὰρ τῶν οὐ λεγομένων μᾶλλον, ἁπλῶς ὑπάρχει. ἄνθρωπος γὰρ οὐ λέγεται μᾶλλον καὶ ἧττον. ἀλλ' οὐδὲ διὰ τοῦτο οὐκ ἔστιν ἄνθρωπος.

Si quid magis vel minus dicitur, illud est simpliciter dictum, non tamen quod simpliciter dicitur, eam magis vel minus dicitur.

43 Τὸν αὐτὸν δὲ τρόπον καὶ εἰ πλύσ πλυσὶν ὁμοίως ὑπάρχει. εἰ γὰρ ἕτερον τῷ ἑτέρῳ μὴ ὑπάρχει, οὐδὲ τὸ λοιπὸν τῷ λοιπῷ. εἰ δὲ ὑπάρχει τὸ ἕτερον τῷ ἑτέρῳ, καὶ τὸ λοιπὸν τῷ λοιπῷ. ἐκ μὲν οὖν τοῦ μᾶλλον καὶ ἧττον. καὶ τοῦ ὁμοίως, ζητοῦσι ταχῶς συλλέγεται ἐπιχειρεῖν.

Ineptes reputes eo locum. Verum. sed potius Artem nos admoneri ne mutantes quanto argumentandum sit ab aliquo cum additione ad idem simpliciter sumptum. Nam non semper licet

τῶν

τῶν φθαρτῶν τὶ μὴ φθαρῆναι. ἁπλῶς δὲ οὐκ ἐνδέχεται μὴ φθαρῆναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ποῦ μὲν συμφέρει τοιαύτῃ διαίτῃ χρῆσθαι ὅιον ἐν τοῖς νοσώδεσι τόποις. ἁπλῶς δὲ οὐ συμφέρει. ἔτι δὲ ποῦ μὲν ἕνα μόνον δυνατὸν εἶναι. ἁπλῶς δὲ οὐ δυνατὸν ἕνα μόνον εἶναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ποῦ μὲν καλὸν τὸν πραθύειν. ὅιον ἐν τριβαλοῖς. ἁπλῶς δὲ οὐ καλὸν ἢ ἀγαθὸν μὲν, οὐ ποῦ σημαίνει, ἀλλά τισιν. οὐδὲν γὰρ διαφέρει ὅπου ἂν ὦσι. πανταχοῦ γὰρ αὐτοῖς ἔσται καλὸν ἐν τριβαλοῖς. πάλιν ποτὲ μὲν συμφέρει φαρμακεύεσθαι, ὅιον ὅταν νοσῇ. ἁπλῶς δὲ οὔ. ἢ οὐ δὲ ἀγαθὸν ποτὲ σημαίνει, ἀλλὰ τῷ διακειμένῳ πῶς. οὐδὲν γὰρ διαφέρει. ὁ πότε οὖν ἐὰν οὕτω μόνον διακείμενος ᾖ. τὸ δ' ἁπλῶς ἐστιν ὃ μηδενὸς προστεθέντος ἐρεῖς, ὅτι καλόν ἐστιν, ἢ τὸ ἐναντίον. ὅιον τὸν τὸν πραθύειν, οὐκ ἐρεῖς καλὸν εἶναι, ἀλλά τισι καλὸν εἶναι. οὐκ ἄρα ἁπλῶς καλόν. ἀλλὰ τὸ τοὺς θεοὺς τιμᾶν, ἐρεῖς καλὸν, μηθὲν προστιθείς. ἁπλῶς γὰρ καλόν ἐστιν. ὥστε ὃ ἂν μηδενὸς προστιθεμένου δοκῇ εἶναι καλὸν ἢ αἰσχρὸν, ἢ ἄλλό τι τῶν τοιούτων, ἁπλῶς ῥηθήσεται.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΤΟΠΙΚΩΝ.

ΑΡΙΣΤΟΤΕ-
ΛΟΥΣ ΤΟΠΙΚΩΝ
ΤΡΙΤΟΝ.

δεκτὴ πλειόνων

Caput 1.

ΠΟΤΕΡΟΝ Δὲ ἁιρετώτερον ἢ βέλτιον δυοῖν, ἐκ τῶνδε σκεπτέον. πρῶτον δὲ διωρίσθω, ὅτι τὴν σκέψιν ποιούμεθα, οὐχ ὑπὲρ τῶν πολὺ διεστώτων καὶ μεγάλην πρὸς ἄλληλα διαφορὰν ἐχόντων. οὐδεὶς γὰρ ἀπορεῖ, πότερον εὐδαιμονία ἢ ὁ πλοῦτος αἱρετώτερον, ἀλλ' ὑπὲρ τῶν σύνεγγυς, καὶ περὶ ὧν διαμφισβητοῦμεν, ποτέρῳ δεῖ προσθέσθαι μᾶλλον, διὰ τὸ μηδεμίαν ὁρᾶν τοῦ ἑτέρου πρὸς ἕτερον ὑπεροχήν. δῆλον οὖν ἐπὶ τούτων ὅτι δειχθείσης ὑπεροχῆς μιᾶς ἢ πλειόνων, συγκαταθήσεται ἡ διάνοια. ὅτι τοῦτό ἐ-
1 στιν ἁιρετώτερον, ὃ πρότερον τυγχάνει αὐτῶν ὑπερέχον. πρῶτον μὲν οὖν τὸ πολιχρονιώτερον ἢ βεβαιότερον, αἱρετώτερον τοῦ ἧττον τοιού-
2 του. καὶ ὃ ἂν μᾶλλον ἕλοιτο ὁ φρόνιμος, ἢ ὁ ἀγαθὸς ἀνὴρ, ἢ ὁ νόμος ὁ ὀρθὸς, ἢ οἱ σπουδαῖοι περὶ ἕκαστα ἁιρούμενοι ἢ τοιοῦτοί εἰσιν, ἢ οἱ ἐν ἑκάστῳ γένει ἐπιστήμονες, ἢ ὅσα οἱ πλείους, ἢ οἱ πάντες, οἷον ἐν ἰατρικῇ, ἢ τεκτονικῇ, ἃ οἱ πλείους τῶν ἰατρῶν, ἢ οἱ πάντες ἢ ὅσα ὅλως οἱ πλείους, ἢ πάντες, ἢ πάντα. οἷον τὸ ἀγαθόν. πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται. δεῖ δὲ ἄγειν πρὸς ὅ, τι ἂν ᾖ χρήσιμον τὸ ζηθησόμενον. ἔστι δὲ
3 ἁπλῶς μὲν βέλτιον καὶ ἁιρετώτερον, τὸ κατὰ τὴν βελτίω ἐπιστήμην. οἷον εἰ βελτίων ἐπιστήμη φιλοσοφία τεκτονικῆς καὶ ἁπλῶς ἁιρετώτερα τὰ κατὰ φιλοσοφίαν τῶν κατὰ τεκτονικήν. τινὶ δὲ, τὸ κατὰ
+ 4 τὴν οἰκείαν. ἔπειτα δὲ τὸ ὅπερ τὸ δέτι, τοῦ μὴ ἐν γένει. οἷον ἡ δικαιοσύνη τοῦ δικαίου. τὸ μὲν γὰρ ἐν γένει τῷ ἀγαθῷ, τὸ δὲ οὔ. καὶ τὸ

Omnia bonum appetunt.

μὲν, ὅ-

μὴν, ὅπερ ἀγαθὸν, τὸ δ' οὐ. οὐδὲν γὰρ λέγεται ὅσπερ τὸ γένος ὃ μή τις
χάνει ἐν τῷ γένει ὄν. ἴδιον ὁ λύκος ἄνθρωπος οὐκ ἔστιν ὅπερ χῶμα. ὁ-
μοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ τὸ δι' ἑαυτὸ αἱρετὸν τοῦ δι' ἕτερον 5
αἱρετοῦ αἱρετώτερον. ἴδιον τὸ ὑγιαίνειν τοῦ γυμνάζεσθαι. τὸ μὲν γὰρ δι'
ἑαυτὸ αἱρετόν. τὸ δὲ, δι' ἕτερον. καὶ τὸ καθ' αὑτὸ τοῦ κατὰ συμβεβη- 6
κός, ἴδιον τὸ τοὺς φίλους δικαίους εἶναι τοῦ, τοὺς ἐχθροὺς. τὸ μὲν
γὰρ καθ' αὑτὸ αἱρετόν. τὸ δὲ, κατὰ συμβεβηκὸς αἱρούμεθα, ὅπως μη
δὲν ἡμᾶς βλάπτωσιν. ἔστι δὲ τοῦτο ταυτὸν τῷ πρὸ τούτου. διαφέρει
δὲ τῷ τρόπῳ. τὸ μὲν γὰρ τοὺς φίλους δικαίους εἶναι δι' αὐτὸ αἱρού-
μεθα. καὶ εἰ μηδὲν ἡμῖν μέλλει ἔσεσθαι, κἂν ᾖ ἐνδοῖς ὦσι. τὸ δὲ ζοὺς
ἐχθροὺς, δι' ἕτερον. ὅπως μηδὲν ἡμᾶς βλάπτωσι. καὶ τὸ αἴτιον ἀ- 7
γαθοῦ καθ' αὑτό, τοῦ κατὰ συμβεβηκὸς αἰτίου. καθάπερ ἡ ἀρετὴ
τῆς τύχης. ἡ μὲν γὰρ καθ' αὑτὴν, ἡ δὲ κατὰ συμβεβηκὸς αἰτία
τῶν ἀγαθῶν. καὶ εἴτι ἄλλο τοιοῦτον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἐναν- 8
τίου. τὸ γὰρ καθ' αὑτὸ κακοῦ αἴτιον, φθαρτότερον τοῦ κατὰ συμ-
βεβηκός, ἴδιον ἡ κακία καὶ ἡ τύχη. τὸ μὲν γὰρ καθ' αὑτὸ κακόν. ἡ
ἡ δὲ τύχη κατὰ συμβεβηκός. καὶ τὸ ἁπλῶς ἀγαθὸν τοῦ τινὶ αἱρε- 9.
τώτερον. ἴδιον τὸ ὑγιάζεσθαι τοῦ τέμνεσθαι. τὸ μὲν γὰρ ἁπλῶς ἀγα-
θὸν, τὸ δέ τινι τῶν δεομένων τομῆς. καὶ τὸ φύσει, ζοῦ μὴ φύσει. ἴδι- 10.
ον ἡ δικαιοσύνη τοῦ δικαίου. τὸ μὲν γὰρ φύσει. τὸ δὲ, ἐπίκτη-
τον. καὶ τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ ὑπάρχον, αἱρετώτερον. ὅτι 11
ον θεῷ ἢ περ ἀνθρώπῳ, καὶ ψυχῇ ἢ περ σώματι. καὶ τὸ τοῦ βελ- 12
τίονος ἴδιον, βέλτιον ἢ τὸ τοῦ χείρονος. ἴδιον τὸ τοῦ θεοῦ ἢ-
περ τὸ τοῦ ἀνθρώπου. κατὰ μὲν γὰρ τὰ κοινὰ ἐν ἀμφοτέροις,
οὐδὲν διαφέρει ἀλλήλων. τοῖς δὲ ἰδίοις τὸ ἕτερον τοῦ ἑτέ-
ρου διαφέρον ὑπάρχει. καὶ τὸ ἐν βελτίοσιν, ἢ προτέροις, 13
ἢ τιμιωτέροις, βέλτιον. ἴδιον ὑγίεια, ἰσχύς, καὶ κάλλους. ἡ

μὴν γὰρ οὐ ὑγροῖς καὶ ξηροῖς ἢ θερμοῖς καὶ ψυχροῖς. ἁπλῶς δ' εἰ
πᾶν ἐξ ὧν πρώτων συνέστηκε τὸ ζῷον. τὰ δὲ οὐ ζῷοις ὑστέροις. ἡ μὲν δὴ
ἰσχύς, οὐ τοῖς νεύροις καὶ ὀστοῖς. τὸ δὴ κάλλος, τῶν μελῶν τὴν συμμετρίαν
14. δυκεῖ εἶναι, καὶ τὸ τέλος τῶν πρὸς τὸ τέλος ἀριστότερον δυκεῖ εἶ=
15 ναι, καὶ λυσῖν, τὸ ἔγγυον τοῦ τέλους. καὶ ὅλως τὸ πρὸς τὸ τοῦ βίου τέ=
16 λος, ἀριστότερον μᾶλλον, ἢπερ τὸ πρὸς ἄλλό τι, οἷον τὸ πρὸς εὐδαιμο=
νίαν σαυτῆνον. ἢπερ τὸ πρὸς φρόνησιν. τὸ γὰρ πρὸς εὐδαιμονίαν σω
17. τῆνον, ἀριστότερον. καὶ τὸ ἀλλαχὴν τοῦ ἀλλαχάτου. Ετι δύο ποιη
18. τικῶν ὄντων δυ τὸ τέλος βέλτιον, καὶ αὐτὸ βέλτιον. ποιητικοῦ δὲ
19 + καὶ τέλους, ἐκ τοῦ ἀνάλογον. ὅταν τελείονι ὑπερέχῃ τὸ τέλος τοῦ τέ=
λλους, ἢ ἐκεῖνο τοῦ οἰκείου ποιητικοῦ. οἷον εἰ ἡ εὐδαιμονία πλείονι ὑπάρχει
ὑγιείας, ἢπερ ὑγίεια ὑγιεινοῦ. ὥστε τὸ ποιητικὸν εὐδαιμονίας, βέλτιον
ὑγιείας. ὅσῳ δὴ ἡ εὐδαιμονία ὑγιείας ὑπερέχει, τοσούτῳ καὶ τὸ ποιητι
κὸν τὸ τῆς εὐδαιμονίας τοῦ ὑγιεινοῦ ὑπερέχει. ἡ δὲ ὑγίεια τοῦ ὑγιεινοῦ
ἐλάττονι ὑπερεῖχον. ὥστε τελείονι ὑπάρχει τὸ ποιητικὸν εὐδαιμονίας
τοῦ ὑγιεινοῦ, ἢπερ ἡ ὑγίεια, τοῦ ὑγιεινοῦ. δῆλον δὲ ὅτι ἀριστότερον
τὸ ποιητικὸν εὐδαιμονίας τῆς ὑγιείας. τοῦ γὰρ αὐτοῦ τελείονι ὑπερέ=
10. χει. Ετι τὸ κάλλιον καθ' αὑτὸ, καὶ τιμιώτερον, καὶ ἐπαινετώτερον.
οἷον φιλία, τῷ λούζου. καὶ δικαιοσύνη, ὑγιείας, καὶ ἰσχύος. τὰ μὲν γὰρ
καθ' αὐτὰ τῶν τιμίων καὶ ἐπαινετῶν. τὰ δὲ οὐ καθ' αὐτὰ, ἀλλὰ δι'
ἕτερον, οὐδεὶς γὰρ τιμᾷ τὸν τελεστὸν δι' αὐτὸν, ἀλλὰ δι' ἕτερον, τῷ δὲ
φιλίαν, καθ' αὐτό. καὶ εἰ μηδὲν μέλλοι ἡμῖν ἕτερον ἀπ' αὐτῆς ἔσε=
Caput. 2. 22 σθαι. Ετι ὅταν δύο τινὰ ᾖ σφόδρα ἀλλήλοις παραπλήσια, καὶ μὴ
ὑπερώμεθα ὑπεροχὴν μηδεμίαν συμβαλεῖν τοῦ ἑτέρου πρὸς ἕτερον, ὁ=
ρᾶν ἀπὸ τῶν παρεπομένων. ᾧ γὰρ ἕπεται μεῖζον ἀγαθὸν, τοῦθ' αἱ=
23 ρετώτερον, ἂν δ' ᾖ τὰ ἑπόμενα καὶ. ᾧ τὸ ἔλαττον ἀκολουθεῖ καὶ=
κὸν τοῦθ' αἱρετώτερον. ὄντων γὰρ ἀμφοτέρων αἱρετῶν, οὐδὲν κω=
λύει

λύει δ' υχερές τι παρέπεσθαι. δι' ιχῶσ δὲ ἀπὸ τοῦ ἕπεσθαι ἡ σκέψις.
καὶ γὰρ πρότερον καὶ ὕστερον ἕπεται. ὅσον τῷ μανθάνοντι, τὸ μὲν ἀ-
γνοεῖν, πρότερον. τὸ δὲ ἐπίστασθαι, ὕστερον. βέλτιον δ' ὡσεπὶ τοσοῦτο
τὸ ὕστερον ἐπόμενον. λαμβάνειν οὖν τῶν ἑπομένων ὁπότερον ἂν ᾖ
χρήσιμον. Ετι τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων, ἢ ἁπλῶς, ἢ ὅταν 24
τὰ ἕτερα ἐν τοῖς ἑτέροις ὑπάρχῃ, τὰ ἐλάττω ἐν τοῖς πλείοσιν. ἔν-
στασις, εἶπου θάτερον θατέρου χάριν. οὐδὲν γὰρ αἱρετώτερα τὰ ἄμ-
φω τοῦ ἑνός. ὅσον τὸ ὑγιάζεσθαι καὶ ἡ ὑγίεια, τῆς ὑγιείας. ἐπεισὴ τὸ
ὑγιάζεσθαι τῆς ὑγιείας ἕνεκον αἱρούμεθα. καὶ μὴ ἀγαθὰ δὲ ἀγαθῶν
οὐδὲν κωλύει εἶναι αἱρετώτερα. ὅσον εὐδαιμονίαν καὶ ἄλλό τι ὃ μὴ
ἔστ' ἀγαθόν, δικαιοσύνης καὶ ἀνδρίας. καὶ τὰ αὐτὰ μεθ' ἡδονῆς μᾶλ 25
λον ἢ ἄνευ ἡδονῆς. καὶ τὰ αὐτὰ μετὰ ἀλυπίας μᾶλλον ἢπερ μετὰ
λύπης. καὶ ἕκαστον ἐν ᾧ καιρῷ μεῖζον δίδωται, ἐν τούτῳ καὶ αἱ- 26.
ρετώτερον, ὅσον τὸ ἀλύπως ἐν τῷ γήρᾳ μᾶλλον ἢ ἐν τῇ νεότητι. μεῖ-
ζον γὰρ ἐν τῷ γήρᾳ δίδωται. καὶ κατὰ ταυτὰ δὲ καὶ ἡ φρόνησις ἐν τῷ
γήρᾳ αἱρετώτερον. οὐδεὶς γὰρ τοὺς νέους αἱρεῖται ἡγεμόνας, διὰ τὸ
μὴ ἀξιοῦν φρονίμους εἶναι. ἡ δ' ἀνδρία, ἀνάπαλιν. ἐν τῇ νεότητι γὰρ
ἀναγκαία, ἢ κατὰ τὴν ἀνδρίαν ἐνέργεια. ὁμοίως δὲ καὶ ἡ σωφροσύ-
νη. μᾶλλον δ' οἱ νέοι τῶν πρεσβυτέρων ὑπὸ τῶν ἐπιθυμιῶν ἐνοχλοῦν-
ται. καὶ ὃ ἐν παντὶ καιρῷ, ἢ ἐν τοῖς πλείστοις χρησιμώτερον, ὅσον 27
δικαιοσύνη καὶ σωφροσύνη, ἀνδρίας. αἱ μὲν γὰρ, ἀεί, ἡ δὲ ποτὲ χρησί-
μη. καὶ ὅταν τῶν ἐχόντων μηδὲν θατέρου δεώμεθα, ἢ ὃ ἐχόντων, 28.
προσδεώμεθα τὸ λοιπόν. καθάπερ ἐπὶ δικαιοσύνης καὶ ἀνδρίας. δι-
καίων μὲν γὰρ πάντων ὄντων, οὐδὲν χρήσιμος ἡ ἀνδρία. ἀνδρείων χρήσιμον
δὲ πάντων ὄντων, χρήσιμος ἡ δικαιοσύνη. Ετι ἐκ τῶν φθορῶν καὶ 29.
τῶν ἐπιβολῶν. καὶ τῶν γενέσεων, καὶ τῶν λήψεων, καὶ τ' ἐναντίων·
ὧν γὰρ αἱ φθοραὶ φευκτότερα, ταυτὰ αἱρετώτερα. ὁμοίως δὲ καὶ ἐκ
τῶν

πὶ τῶν ἀποβολῶν καὶ τῶν ἐναντίων. οὗ γὰρ ἡ ἀποβολὴ ἢ τὸ ἐνναν-
τίον φευκτότερον, αὐτὸ αἱρετώτερον. ἐπὶ δέγε τῶν γενέσεων καὶ
τῶν λήψεων, ἀνάπαλιν. ὧν γὰρ αἱ λήψεις καὶ αἱ γενέσεις αἱρετώ-
30. τεραι, καὶ αὐτὰ αἱρετώτερα. Αλλος τόπος, τὸ ἐγγύτερον τοι
αἱρετώτερον 31. ἀγαθοῦ, βέλτιον καὶ ἀγαθώτερον. καὶ τὸ ὁμοιώτερον τῷ ἀγαθῷ.
αὐτῶν 32. οἷον ἡ δικαιοσύνη δικαίου. Καὶ τὸ τῷ βελτίονι αὐτοι ὂν, ὁμοι-
ότερον. καθάπερ τὸν αἴαντα τοι ὀδυσσέως φασὶ βελτίω τινὲς εἶ-
ναι, διότι ὁμοιότερος τῷ Αχιλλεῖ. ἔνστασις τούτου ἐστὶν ὅτι οὐκ ἀλη-
θές. οὐδὲν ἐκωλύει μὴ ἢ βέλτιστος ὁ Αχιλλεὺς, ταύτη ὁμοιότερον εἶ-
ναι τὸν αἴαντα. τοι ἑτέρου ὄντος μὲν ἀγαθοῦ, μὴ ὁμοίου δέ. σκοπεῖν
δὲ εἰ καὶ ἐπὶ τὰ γελοιότερα εἴη ὁμοίως καθάπερ ὁ πίθηκος ἀν-
θρώπῳ τοι ἵππου μὴ ὄντος ὁμοίου. οὐ γὰρ καλλίων ὁ πίθηκος.
33 ~~4.3~~ ὁμοιότερον δὲ τῷ ἀνθρώπῳ. Γάλιν ἐπὶ δυοῖν, εἰ τὸ μὲν
τῷ βελτίονι. τὸ δὲ τῷ χείρονι ὁμοιότερον, εἴη ἂν βέλτιον τὸ τῷ
βελτίονι ὁμοιότερον. ἔχει δὲ καὶ τοῦτο ἔνστασιν. οὐδὲν γὰρ κωλύει
τὸ μὲν τῷ βελτίονι ἠρέμα ὅμοιον εἶναι. τὸ δὲ τῷ χείρονι σφό-
δρα. οἷον εἰ ὁ μὲν αἴας τῷ Αχιλλεῖ ἠρέμα, ὁ δ' ὀδυσσεὺς τῷ νέστο-
ρι σφόδρα. καὶ εἰ τὸ μὲν τῷ βελτίονι, ἐπὶ τὰ χείρω ὅμοιον εἴη. τὸ
δὲ τῷ χείρονι ἐπὶ τὰ βελτίω. καθάπερ ἵππος ὄνῳ. καὶ πίθηκος
34. 35. ἀνθρώπῳ. Αλλος, τὸ ἐπιφανέστατον τοι ἧττον τοιούτου. καὶ τὸ χαλε-
πώτερον. μᾶλλον γὰρ ἀγαπῶμεν ἔχοντες ἃ μὴ ἐστι ῥᾳδίως λαβεῖν.
36. 37. Καὶ τὸ ἰδιαίτερον τοι κοινοτέρου. Καὶ τὸ τοῖς κακοῖς ἀκοινωνη-
τότερον. αἱρετώτερον γὰρ ᾧ μηδεμία δυσχέρεια ἀκολουθεῖ, ἢ ᾧ ἀκο-
38. λουθεῖ. Ετι εἰ τοῦτο ἁπλῶς τούτου βέλτιον, καὶ ἁπλῶς τὸ βέλτιστον
τῶν ἐν τούτῳ βέλτιον ἐν τῷ ἑτέρῳ βελτίστου. οἷον εἰ βελτίων ἄνθρω-
πος ἵππου, καὶ ὁ βέλτιστος ἄνθρωπος τοι βελτίστου ἵππου βελτίων. καὶ
βέλτιον εἰ τὸ βέλτιστον τοι βελτίστου βέλτιστον, καὶ τὸ ἁπλῶς, τούτου βέλτιον. οἷ-
ον εἰ

ον εἰ ὁ βέλτιστος ἄνθρωπος τῆ βελτίστῃ ἵππῳ βέλτιον, καὶ ὁ ἁπλῶς ἄνθρωπος τῳ ἁπλῶς ἵππῳ βέλτιον. Ετι ὧν ἐστι γνῶναι φίλους μετα- 39.
χεῖν, αἱρετώτερα, ἢ ὧν μή. καὶ ἃ πρὸς γνῶναι φίλον πρᾶξαι βαλόμεθα, ἢ ἃ 40.
πρὸς γνῶναι τυχόντα, ταῦτα αἱρετώτερα. οἷον τὸ δικαιοπραγεῖν ἢ εὖ ποιεῖν μᾶλλον, ἢ πλουτεῖν. γνῶναι γὰρ φίλους εὖ ποιεῖν βουλόμεθα μᾶλ-
λον, ἢ πλουτεῖν. γνῶναι δὲ τυχόντας ἀνάπαλιν. Καὶ τὰ ἐκ περιουσίας 41
τῶν ἀναγκαίων βελτίω. ἐνίοτε δὲ καὶ αἱρετώτερα. βέλτιον γὰρ τὸ ζῆν, τοῦ εὖ ζῆν. τὸ δὲ εὖ ζῆν, ἔστιν ἐκ περιουσίας. αὐτὸ δὲ τὸ ζῆν, ἀναγκαῖ-
ον. ἐνίοτε δὲ τὰ βέλτιω, οὐχὶ καὶ αἱρετώτερα. οὐ γὰρ εἰ βέλτιω, ἀναγκαῖον καὶ αἱρετώτερα. τὸ γοῦν φιλοσοφεῖν, βέλτιον τοῦ χρηματί-
σασθαι. ἀλλ' οὐχ αἱρετώτερον τῷ ἐνδεεῖ τοῦ ἀναγκαίου. τὸ δ' ἐκ περιου-
σίας ἐστὶν, οἷαν ὑπαρχόντων τῶν ἀναγκαίων, ἄλλα τινὰ προσκατασκευά-
ζητῆ τῶν καλῶν τισί. σχεδὸν δ' ἴσως αἱρετώτερον τὸ ἀναγκαῖόν ἐστι. βέλ- 42
τιον δ', τὸ ἐκ περιουσίας. Καὶ ὃ μή ἐστι παρὰ ἄλλα ποιῆσαι, ἢ ὅ ἐστι 43
παρὰ ἄλλα. οἷον τὸ ἐπονθον ἢ δικαιοσύνη πρὸς ἀνδρίαν. καὶ εἰ τόδε μᾶλλον ἄνδρα τόδε αἱρετόν. τόδε δ' ἄνδρα τόδε μᾶλλον, οἷον δώσαμις ἄνδρα φρο-
νήσεως οὐχ αἱρετόν. φρόνησις δ' ἄνδρα δωσάμεως, αἱρετόν. καὶ δυοῖν 44.
εἰ θάτερον ἀρνούμεθα, ἵνα τὸ λοιπὸν δόξῃ ἡμῖν ὑπάρχειν, ἐκεῖνο αἱρε-
τώτερον, ὃ βουλόμεθα δοκεῖν ὑπάρχειν. οἷον φιλοπονεῖν ἀρνούμε-
θα, ἵν' εὐφυεῖς δόξωμεν εἶναι. Ετι οὗ τῇ ἀπουσίᾳ ἧττον ἐπι 45.
τιμητέον δυσφορῶσι, τοῦτο αἱρετώτερον. Καὶ οὗ τῇ ἀπουσίᾳ μᾶλ 46.
δυσφορῶντι μᾶλλον ἐπιτιμητέον, τοῦτο αἱρετώτερον. Ετι τῶν ὑπὸ 47 Capvt 3.
τὸ αὐτὸ εἶδος τὸ ἔχον τιμὴν οἰκείαν ἀρετὴν τοῦ μὴ ἔχοντος αἱρετώτερον.
ἄμφω δ' ἐχόντων, τὸ μᾶλλον ἔχον. ἔτι εἰ τὸ μὲν ποιεῖ ἀγαθὸν ἐκεῖνο οὗ 48
ἂν παρῇ, τὸ δὲ μὴ ποιεῖ, τὸ ποιοῦν αἱρετώτερον, καθάπερ θερμότε- 49
ρον τὸ θερμαῖνον, τοῦ μή. εἰ δὲ ἄμφω ποιεῖ, τὸ μᾶλλον ποιοῦν. ἢ εἰ τὸ 50.
βέλτιον καὶ κυριώτερον ποιεῖ ἀγαθόν. οἷον εἰ τὸ μὲν τιμὴν ψυχὴν, τὸ δὲ

τὸ σῶμα

51 τὸ σῶμα, Ετι ἀπὸ τῶν πτώσεων. καὶ τῶν χρήσεων. καὶ τῶν πρά
ξεων, καὶ τῶν ἔργων. καὶ ταῦτα δὲ ἀπ' ἐκείνων. ἀκολουθεῖ γὰρ ἀλ=
λήλοις. οἷον εἰ τὸ δικαίως αἱρετώτερον τοῦ ἀνδρείως, καὶ ἡ δικαιο=
σύνη τῆς ἀνδρίας αἱρετώτερον. καὶ εἰ ἡ δικαιοσύνη τῆς ἀνδρίας αἱ
ρετώτερον, καὶ τὸ δικαίως τοῦ ἀνδρείως. παραπλησίως δὲ καὶ ἐπὶ
52 τῶν ἄλλων. Ετι εἴτινος τοῦ αὐτοῦ τὸ μὲν μεῖζον ἀγαθόν ἐστι.
τὸ δὲ ἔλαττον, αἱρετώτερον τὸ μεῖζον. ἢ εἰ μείζονος μεῖζον εἴη θάτερον.
53 Αλλὰ καὶ εἰ δύο τινὰ τινὸς εἴη αἱρετώτερα, τὸ μᾶλλον αἱρετώτερον,
54 τοῦ ἧττον αἱρετωτέρου αἱρετώτερον. Ετι οὖν ἡ ὑπερβολὴ τῆς
ὑπερβολῆς αἱρετωτέρα καὶ αὐτὸ αἱρετώτερον. οἷον φιλία χρημά=
των. αἱρετωτέρα γὰρ ἡ τῆς φιλίας ὑπερβολὴ τῆς τῶν χρημάτων.
55 Καὶ οὖν μᾶλλον ἂν ἕλοιτο αὐτὸς ἑαυτῷ αἴτιος εἶναι, ἢ οὖν ἕτερος. οἷον
56. τοὺς φίλους, τῶν χρημάτων. Ετι ἐκ τῆς προσθέσεως, εἰ τῷ αὐ=
τῷ προστιθεμένοντι, τὸ ὅλον αἱρετώτερον ποιεῖ. εὐβλαβεῖσθαι δὲ δεῖ
προτείνειν ἐφ' ὧν τῷ μὲν ἑτέρῳ τῶν προστιθεμένων χρῆται τὸ κοι=
νὸν, ἢ ἄλλως πως συνεργόν ἐστι. τῷ δὲ λοιπῷ, μὴ χρῆται. μὴ δὲ συνερ=
γόν ἐστιν. οἷον πρίονα καὶ δρέπανον μετὰ τεκτονικῆς, αἱρετώτερον ὁ
57 πρίων συνδυαζόμενος. ἁπλῶς δὲ, οὐχ αἱρετώτερον. Γάλιν
58 ἐλάττονι προστεθὲν, τὸ ὅλον, μεῖζον ποιεῖ. Ομοίως δὲ καὶ ἐκ τῆς
ἀφαιρέσεως. οὖν γὰρ ἀφαιρεθέντος ἀπὸ τοῦ αὐτοῦ τὸ λειπόμενον ἔλατ
τον, ἐκεῖνο μεῖζον ἂν εἴη, ὁπότε ἀφαιρεθὲν τὸ λειπόμενον ἔλαττον
59 ποιεῖ. Καὶ εἰ τὸ μὲν δι' ἑαυτό. τὸ δὲ διὰ τὴν δόξαν αἱρε=
τόν. οἷον ὑγίεια κάλλους. ὅρος δὲ τοῦ πρὸς δόξαν, τὸ μηδενὸς συνει=
60. δότος, μὴ ἂν σπουδάσαι ὑπάρχειν. Καὶ εἰ τὸ μὲν δι' ἑαυ=
61. τὸ καὶ διὰ τὴν δόξαν αἱρετὸν, τὸ δὲ διὰ θάτερον μόνον. Καὶ ὁ
πότερον μᾶλλον δι' αὑτὸ τίμιον, ἐκεῖνο καὶ βέλτιον καὶ αἱρετώτερον.
τιμιώτερον δ' ἂν εἴη καθ' ἑαυτὸ, ὃ μηδενὸς ἄλλου μέλλοντος ὑπάρξειν,
δι' ἑαυτὸ

δὶ ἑαυτὸ αἱρούμεθα μᾶλλον. Ετι διελέσθαι ποσαχῶς τὸ αἱρε 62.
τὸν λέγεται καὶ τίνων χάριν. οἷον τοῦ συμφέροντος. ἢ τοῦ καλοῦ. ἢ τοῦ
ἡδέος. τὸ γὰρ πρὸς ἅπαντα ἢ πρὸς τὰ πλείω χρήσιμον, αἱρετώτε=
ρον ἂν εἴη τοῦ μὴ ὁμοίως. τῶν δ' αὐτῶν ἀμφοτέροις ὑπαρχόντων, ὅ= 63
ποτέρῳ μᾶλλον ὑπάρχει σκεπτέον, πότερον ἥδιον ἢ κάλλιον. ἢ συμφε=
ρώτερον. Γάλιν τὸ τοῦ βελτίονος ἕνεκεν, αἱρετώτερον. οἷον τὸ 64
ἀρετῆς ἕνεκεν, ἢ ἡδονῆς. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φευκτῶν. φευκτότε= 65
ρον γὰρ τὸ μᾶλλον ἐμποδιστικὸν τῶν αἱρετῶν. οἷον νόσος αἴσχους. καὶ
γὰρ ἡδονῆς καὶ τοῦ σπουδαῖον εἶναι, κωλυτικώτερον ἡ νόσος.
Ετι ἐκ τοῦ ὁμοίως δεικνύναι φευκτὸν καὶ αἱρετὸν τὸ προκείμενον. ἧττον 66.
γὰρ τὸ τοιοῦτον αἱρετὸν, ὃ καὶ ἕλοιτ' ἄντις ὁμοίως καὶ φύγοι, τοῦ ἑτέ=
ρου ὄντος αἱρετοῦ μόνον. τὰς μὲν οὖν πρὸς ἄλληλα συγκρίσεις, καθά=
περ εἴρηται ποιητέον. Οἱ αὐτοὶ δὲ τόποι χρήσιμοι καὶ πρὸς τὸ δει Caput 4.
κνύναι ὁτιοῦν αἱρετὸν ἢ φευκτόν. ἀφαιρεῖν γὰρ μόνον δεῖ τὴν πρὸς ἕ
τερον ὑπεροχήν. εἰ γὰρ τὸ τιμιώτερον αἱρετώτερον, καὶ τὸ τίμιον, αἱ
ρετόν. καὶ εἰ τὸ χρησιμώτερον αἱρετώτερον, καὶ τὸ χρήσιμον αἱρετόν.
ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα τοιαύτην ἔχει τὴν σύγκρισιν. ἐπ' ἐνί
ων γὰρ εὐθέως κατὰ τὴν πρὸς ἕτερον σύγκρισιν, καὶ ὅτι αἱρετὸν ἑ=
κάτερον, ἢ τὸ ἕτερον, λέγομεν. οἷον ὅταν τὸ μὲν φύσει ἀγαθόν. τὸ δὲ μὴ
φύσει λείωμεν. τὸ γὰρ φύσει ἀγαθὸν, δῆλον ὅτι αἱρετόν ἐστι Λη=
πτέον δ' ὅτι μάλιστα καθόλου τόπους περὶ τοῦ μᾶλλον καὶ τοῦ μείζο=
νος. ληφθέντες γὰρ οὕτως, πρὸς πλείω χρήσιμοι ἂν εἴησαν. ἔστι δὲ αὐ
τῶν τῶν εἰρημένων ἐνίους καθόλου μᾶλλον ποιεῖν, μικρὸν παραλλάσ=
σοντα τῇ προσηγορίᾳ. οἷον τὸ φύσει τοιοῦτον, τοῦ μὴ φύσει τοιούτου, μᾶλ=
λον τοιοῦτον. Καὶ εἰ τὸ μὲν ποιεῖ, τὸ δὲ μὴ ποιεῖ τὸ ἔχον τοιόνδε ᾧ ἂν
ὑπάρχοι, μᾶλλον τοῦτο ὁπότε ποιεῖ, ἢ ὃ μὴ ποιεῖ. Εἰ δ' ἄμφω ποιεῖ,
τὸ μᾶλλον ποιοῦν, τοιοῦτον. Ετι εἰ τοῦ αὐτοῦ τινος τὸ μὲν μᾶλλον, τὸ δὲ

ἧττον, τοιοῦτον. Καὶ εἰ τὸ μὲν τοιούτου μᾶλλον τοιοῦτον· τὸ δὲ μὴ τοιούτου τοιοῦτον, δῆλον, ὅτι τὸ πρῶτον μᾶλλον τοιοῦτον. Ετι ἐκ τῆς προσθέσεως εἰ τῷ αὐτῷ προστιθέμενόν τι τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον. Καὶ εἰ τῷ ἧττον τοιούτῳ προστιθέμενον, τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον. ὁμοίως καὶ ἐκ τῆς ἀφαιρέσεως. οὗ γὰρ ἀφαιρεθέντος, τὸ λειπόμενον ἧττον τοιοῦτον, αὐτὸ μᾶλλον τοιοῦτον.

Καὶ τὰ τοῖς ἐναντίοις ἀμιγέστερα, μᾶλλον τοιαῦτα. οἷον λευκότερον τὸ τῷ μέλανι ἀμιγέστερον. Ετι παρὰ τὰ εἰρημένα πότερον τὸ μᾶλλον ἐπιδεχόμενον τὸν οἰκεῖον τοῦ προκειμένου λόγον. οἷον εἰ τοῦ λευκοῦ ἐστι λόγος, χρῶμα διακριτικὸν ὄψεως, λευκότερον ὅ ἐστι, μᾶλλον χρῶμα διακριτικὸν ὄψεως. Αν δ' ἐπὶ μέρους, καὶ μὴ καθόλου τὸ πρόβλημα τεθῇ, πρῶτον μὲν οἱ εἰρημένοι καθόλου κατασκευαστικοὶ, ἢ ἀνασκευαστικοὶ τόποι πάντες χρήσιμοι. καθόλου γὰρ ἀναιροῦντες ἢ κατασκευάζοντες, καὶ ἐπὶ μέρους δείκνυμεν. εἰ γὰρ παντὶ ὑπάρχει, καὶ τινὶ, καὶ εἰ μηδενὶ, οὐδέ τινι. μάλιστα δ' ἐπίκαιροι, καὶ κοινοὶ τῶν τόπων, οἵ τε ἐκ τῶν ἀντικειμένων, καὶ τῶν συστοίχων, καὶ τῶν πτώσεων. ὁμοίως δὲ ἔνδοξον τὸ ἀξιῶσαι εἰ πᾶσα ἡδονὴ ἀγαθὸν, καὶ λύπην πᾶσαν εἶναι κακὸν, τῷ εἴτις ἡδονὴ ἀγαθὸν, καὶ λύπην εἶναί τινα κακόν. Ετι εἴτις αἴσθησις μή ἐστι δύναμις, καὶ ἀναισθησία τὶς, οὐκ ἔστιν ἀδυναμία, καὶ εἴτι ὑποληπτὸν ἐπιστητὸν ὑπόληψίς τις ἐπιστήμη. Πάλιν εἴτι τῶν ἀδίκων, ἀγαθὸν, καὶ τῶν δικαίως τὶ κακὸν, καὶ εἴτι τῶν ἀδίκως κακὸν, καὶ τῶν δικαίως τὶ ἀγαθὸν, καὶ εἴτι τῶν ἡδέων φευκτὸν, καὶ ἡδονή τις φευκτόν. κατὰ ταυτὰ δὲ καὶ εἴτι τῶν ἡδέων ὠφέλιμον, ἡδονή τις ἀγαθόν.

Καὶ ἐπὶ τῶν φθαρτικῶν δὲ, καὶ τῶν γενέσεων, καὶ φθορῶν, ὡσαύτως. εἰ γάρ τι φθαρτικὸν ἡδονῆς, ἢ ἐπιστήμης ὄν, ἀγαθόν ἐ=

στιν, εἴη ἄντις ἡδονὴ ἢ ἐπιστήμη τῶν κακῶν. ὁμοίως δὲ καὶ εἰ φθορά τις ἐπιστήμης τῶν ἀγαθῶν, ἢ ἡ γένεσις τῶν κακῶν, ἔσται τὶς ἐπιστήμη τῶν κακῶν. ὅιον εἰ τὸ ἐπιλανθάνεσθαι ἅ τις αἰσχρὰ ἔπραξε τῶν ἀγαθῶν, ἢ τὸ ἀναμιμνήσκεσθαι τῶν κακῶν, εἴη ἂν τὸ ἐπίστασθαι ἅ τις αἰσχρὰ ἔπραξε, τῶν κακῶν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐν ἅπασι γὰρ ὁμοίως τὸ ἔνδοξον. Ετι ἐκ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίως. εἰ γὰρ μᾶλλον μὲν τῶν ἐξ ἄλλου γένους τὶ τοιοῦτον, ἐκείνων δὲ μηδέν ἐστιν, οὐδ' ἂν τὸ εἰρημένον εἴη τοιοῦτον. ὅιον εἰ μᾶλλον μὲν ἐπιστήμη τὶς ἀγαθὸν ἢ ἡδονὴ, μὴ δὲ μία δὲ ἐπιστήμη ἀγαθὸν, οὐδ' ἂν ἡδονὴ εἴη, καὶ ἐκ τοῦ ὁμοίως δὲ καὶ ἧττον, ὡσαύτως. ἔσται γὰρ καὶ ἀναιρεῖν καὶ κατασκευάζειν. πλὴν ἐκ μὲν τοῦ ὁμοίως, ἀμφότερα. ἐκ δὲ τοῦ ἧττον, κατασκευάζειν μόνον. ἀνασκευάζειν δὲ οὔ. εἰ γὰρ ὁμοίως δύναμίς τις ἀγαθὸν, καὶ ἐπιστήμη. ἔστι δέ τις δύναμις ἀγαθὸν, καὶ ἐπιστήμη ἐστίν. εἰ δὲ μὴ δὲ μία δύναμις, οὐδ' ἐπιστήμη. εἰ δὲ ἧττον δύναμίς τις ἀγαθὸν ἢ ἐπιστήμη, ἔστι δέ τις δύναμις ἀγαθὸν, καὶ ἐπιστήμη. εἰ δὲ μηδεμία δύναμις ἀγαθὸν, οὐκ ἀνάγκη καὶ ἐπιστήμην μηδεμίαν εἶναι ἀγαθὸν, δῆλον οὖν ὅτι κατασκευάζειν μόνον ἐστὶν ἐκ τοῦ ἧττον. Οὐ μόνον δὲ ἐξ ἄλλου γένους ἐστὶν ἀνασκευάζειν, ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ, λαμβάνοντι τὸ μάλιστα τοιοῦτον. ὅιον εἰ κεῖται ἐπιστήμη τὶς ἀγαθὸν, δειχθείη δ' ὅτι φρόνησις οὐκ ἀγαθὸν, οὐδ' ἄλλη οὐδεμία ἔσται. ἐπεὶ οὐδ' ἡ μάλιστα δοκοῦσα.

Ετι ἐξ ὑποθέσεως ὁμοίως ἀξιώσαντας εἰ ἑνὶ, καὶ πᾶσιν ὑπάρχειν, ἢ μὴ ὑπάρχειν, ὅιον εἰ τοῦ ἀνθρώπου ἡ ψυχὴ ἀθάνατος, καὶ τὰς ἄλλας. εἰ δὲ αὕτη μὴ, μὴ δὲ τὰς ἄλλας. εἰ μὲν οὖν ὑπάρχειν τινὶ κεῖται, δεικτέον ὅτι οὐχ ὑπάρχει τινί. ἀκολουθήσει γὰρ διὰ τὴν ὑπόθεσιν τὸ, μηδενὶ ὑπάρχειν. εἰ δὲ τινὶ μὴ ὑπάρχον κεῖται, δεικτέον ὅτι ὑπάρχει τινί. καὶ γὰρ οὕτως ἀκολουθήσει τὸ πᾶσιν ὑπάρχειν. δῆλον δέ ἐστιν ὅτι ὑ

 ποτιθέ

ποτιθέμενος ποιεῖ τὸ πρόβλημα καθόλου ἐπὶ μέρους τεθέν. τὸν γὰρ ἐπὶ μέρους ὁμολογοῦντα, καθόλου ἀξιοῖ ὁμολογεῖν. ἐπεὶ δὴ εἰ ἑνί, καὶ πᾶσιν ὁμοίως ἀξιοῖ ὑπάρχειν. Ἀδιορίστου μὲν ὄντος τοῦ προβλήματος, μοναχῶς ἀνασκευάζειν συμβέβηκεν. οἷον εἰ ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι, ἢ μὴ ἀγαθόν, καὶ μηδὲν ἄλλο προσδιώρισεν. εἰ μὲν γάρ τινα ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι, ~~ἢ μὴ ἀγαθόν~~, δεικτέον καθόλου ὅτι συμβαίνει, εἰ μέλλει ἀναιρεῖσθαι τὸ προκείμενον. ὁμοίως δὲ καὶ εἴ τινα ἡδονὴν ἔφησε μὴ εἶναι ἀγαθόν, δεικτέον καθόλου ὅτι πᾶσα. ἄλλως δ' οὐκ συμβέβηκεν ἀναιρεῖν. ἐὰν γὰρ δείξωμεν ὅτι ἐσί τις ἡδονὴ οὐκ ἀγαθόν, ἢ ἀγαθόν, οὔπω ἀναιρεῖται τὸ προκείμενον. δῆλον δὲ ὅτι ἀναιρεῖν μὲν, μοναχῶς συμβέβηκεν. κατασκευάζειν δὲ διχῶς. ἅντε γὰρ καθόλου δείξωμεν ὅτι πᾶσα ἡδονὴ ἀγαθόν. ἅντε ὅτι ἐσί τις ἡδονὴ ἀγαθόν, δεδειγμένον ἔσται τὸ προκείμενον. ὁμοίως δὲ κἂν μέρη διαλεχθῆναι ὅτι ἐσί τις ἡδονὴ οὐκ ἀγαθόν, ἐὰν δείξωμεν ὅτι συμβαίνει ἀγαθόν, ἢ ὅτι τις οὐκ ἀγαθόν, δειδεγμένοι ἐσόμεθα ἀμφοτέρως. καὶ καθόλου καὶ ἐπὶ μέρους, ὅτι ἐσί τις ἡδονὴ οὐκ ἀγαθόν.

Διωρισμένης δὲ τῆς θέσεως οὔσης, διχῶς ἀναιρεῖν ἔσται. οἷον εἰ πεῖθείη τινὶ μὲν ὑπάρχειν ἡδονὴ ἀγαθὸν εἶναι. τινὶ δὲ οὐχ ὑπάρχειν. εἴτε γὰρ πᾶσα δειχθείη ἡδονὴ ἀγαθόν, εἴτε μηδεμία, ἀνηρημένον ἔσται τὸ προκείμενον. εἰ δὲ μίαν μόνην ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι, τριχῶς συμβέβηκεν ἀναιρεῖν. δείξαντες γὰρ ὅτι πᾶσα, ἢ ὅτι οὐδεμία, ἢ ὅτι πλείους μιᾶς ἀγαθόν, ἀνηρηκότες ἐσόμεθα τὸ προκείμενον. ἐπὶ πλέον δὲ τῆς θέσεως διοριζθείσης, οἷον ὅτι ἡ φρόνησις μόνη τῶν ἀρετῶν ἐπιστήμη, τετραχῶς ἔσται ἀναιρεῖν. δειχθέντος γὰρ ὅτι πᾶσα ἀρετὴ ἐπιστήμη, ἢ ὅτε οὐδεμία, ἢ ὅτι καὶ ἄλλη τίς, οἷον ἡ δικαιοσύνη, ἢ ὅτι αὐτὴ ἡ φρόνησις οὐκ ἐπιστήμη, ἀνηρημένον ἔσται τὸ προκείμενον. Χρήσιμον δὲ καὶ τὸ ἐπιβλέπειν ἐπὶ τὰ καθέκαστα ἐν οἷς

ὑπάρχειν

ὑπαρχειν τὶ ἢ μὴ, εἴρηται καθάπερ ἐν τοῖς καθόλου προβλήμασιν.

Ετι δὲ ἐν τοῖς γένεσιν ἐπιβλεπτέον, διαιροῦντα κατ' εἴδη μέχρι τῶν ἀτόμων. καθάπερ πρότερον εἴρηται. ἄντε γὰρ παντὶ φαίνηται ὑπάρχον, ἄντε μηδενὶ πολλὰ προενέγκαντι, ἀξιωτέον καθόλου ὁμολογεῖν, ἢ φέρειν ἔνστασιν ἐπί τινος οὐχ οὕτως. Ετι ἐφ' ὧν ἐστιν ἢ εἴδει, ἢ ἀριθμῷ διορίσαι τὸ συμβεβηκὸς, σκεπτέον εἰ μηδὲν τούτων ὑπάρχει. οἷον ὅτι ὁ χρόνος οὐ κινεῖται. οὐδέ ἐστι κίνησις, καταριθμησάμενον πόσα εἴδη κινήσεώς ἐστιν. εἰ γὰρ μηδὲν τούτων ὑπάρχει τῷ χρόνῳ, δῆλον ὅτι οὐ κινεῖται. οὐδέ ἐστι κίνησις. ὁμοίως δὲ καὶ ὅτι ἡ ψυχὴ, οὐκ ἀριθμός. διελόμενον ὅτι πᾶς ἀριθμὸς, ἢ πε

ριττὸς, ἢ ἄρτιος. εἰ γὰρ ἡ ψυχὴ μήτε πε

ριττὸν μήτε ἄρτιον, δῆλον

ὅτι οὐκ ἀριθ

μός.

πρὸς μὲν οὖν

τὸ συμβεβηκὸς διὰ τῶν

τοιούτων καὶ οὕτως ἐπιχειρητέον.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙ=
ΤΟΥ ΤΩΝ ΤΟ
ΠΙΚΩΝ.

ΑΡΙΣΤΟΤΕ-

ΛΟΥΣ ΤΟΠΙΚΩΝ

ΤΕΤΑΡΤΟΝ.

ΜΕΤΑ δὲ ταῦτα, περὶ τῶν πρὸς τὸ γένος καὶ τὸ ἴ-
διον ἐπισκεπτέον. ἔστι δὲ ταῦτα στοιχεῖα τῶν πρὸς τὰς
ὅρους. περὶ αὐτῶν δὲ ζητοῦντων ὀλιγάκις αἱ σκέψεις γίνον-
1 ται τοῖς διαλεγομένοις. Αν δὴ τεθῇ γένος τινὸς
τῶν ὄντων, πρῶτον μὲν ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ τῷ λεχθέν-
τι, εἴτινος μὴ κατηγορεῖται, καθάπερ ἐπὶ τοῦ συμβεβηκότος. οἷον, εἰ
τῆς ἡδονῆς τὸ ἀγαθὸν γένος κεῖται, εἰ τῆς ἡδονῆς μὴ ἀγαθόν. εἰ μὲν γὰρ τοῦ
παντὸς, δῆλον ὅτι οὐ γένος τὸ ἀγαθὸν τῆς ἡδονῆς, τὸ γὰρ γένος τῶν ὑπὸ
2 τὸ αὐτὸ εἰδῶν κατηγορεῖται. Εἶτα εἰ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖ-
ται, ἀλλ' ὡς συμβεβηκός. καθάπερ τὸ λευκὸν τῆς χιόνος. ἡ ψυχῆς τὸ
κινούμενον ὑφ' ἑαυτοῦ. οὔτε γὰρ ἡ χιὼν, ὅπερ λευκόν. διόπερ οὐ γέ-
νος τὸ λευκὸν τῆς χιόνος, οὔτε ἡ ψυχὴ ὅπερ κινούμενον, συμβέβηκε
δὲ αὐτῇ κινεῖσθαι, καθάπερ καὶ τῷ ζώῳ πολλάκις βαδίζειν τε καὶ
βαδίζοντι εἶναι. ἔτι τὸ κινούμενον οὐ τί ἐστιν, ἀλλά τι ποιὸν ἢ
πάθος σημαίνειν ἔοικεν. ὁμοίως δὲ καὶ τὸ λευκόν. οὐ γὰρ τί ἐστι ἡ
χιὼν, ἀλλὰ ποιόντι δῆλοῖ. ὥστ' οὐδέτερον αὐτῶν ἐν τῷ τί ἐστι κατη-
3 γορεῖται. Μάλιστα δὲ ἐπὶ τὸν τοῦ συμβεβηκότος ὁρισμὸν ἐπιβλέ
πειν, εἰ ἐφαρμόττει ἐπὶ τὸ ξηθὲν γένος. διὸ καὶ τὰ νῦν εἰρημμένα. οὐδέ-
χεται γάρ τι κινεῖν αὐτὸ ἑαυτό, καὶ μή. ὁμοίως δὲ καὶ λευκὸν εἶναι
καὶ μή. ὥστ' οὐδέτερον αὐτῶν γένος. ἀλλὰ συμβεβηκός. ἐπεὶ δὴ συμ
4 βεβηκὸς λέγομεν, ὃ ἐνδέχεται ὑπάρχειν τινὶ καὶ μή. Ετι εἰ
μὴ ἐν τῇ αὐτῇ διαιρέσει τὸ γένος καὶ τὸ εἶδος. ἀλλὰ τὴν οὐσία. τὸ

δὲ

δὲ ποιόν, ἢ τὸ μὲν πρός τι. τὸ δὲ ποιόν. οἷον ἡ μὲν χιὼν καὶ ὁ κύκνος,
οὐσία. τὸ δὲ λευκόν, οὐκ οὐσία. ἀλλὰ ποιόν. ὥστ' οὐ γένος τὸ λευκὸν τῆς
χιόνος, οὐδὲ τοῦ κύκνου. πάλιν ἡ μὲν ἐπιστήμη, τῶν πρός τι. τὸ δὲ ἀγα
θὸν καὶ τὸ καλόν, ποιόν. ὥστ' οὐ γένος τὸ καλὸν ἢ τὸ ἀγαθὸν τῆς ἐπι
στήμης. τὰ γὰρ τῶν πρός τι γένη, καὶ αὐτὰ τῶν πρός τι δεῖ εἶ
ναι. καθάπερ ἐπὶ τοῦ διπλασίου. καὶ γὰρ τὸ πολλαπλάσιον ὂν γέ-
νος τοῦ διπλασίου. καὶ αὐτὸ τῶν πρός τί ἐστι. καθόλου δὲ εἰπεῖν ὑπὸ
τὸ αὐτὸ διαίρεσιν, δεῖ τὸ γένος τῷ εἴδει εἶναι. εἴτε γὰρ τὸ εἶδος οὐ-
σία, καὶ τὸ γένος. καὶ ἐὰν ποιόν τι τὸ εἶδος, καὶ τὸ γένος ποιόν τι. οἷον ἐὰν
τὸ λευκὸν ποιόν τι, καὶ τὸ χρῶμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Πάλιν εἰ ἀνάγκη εἶναι. ἢ εἰ συμβέβηκεν τοῦ τεθέντος εἶναι τῷ γένει μετέχειν 5.
τὸ γένος. ὅρος δὲ τοῦ μετέχειν. τὸ ἐπιδέχεσθαι τὸν τοῦ μετεχομένου λό-
γον. δῆλον δὲ ὅτι τὰ μὲν εἴδη, μετέχει τῶν γενῶν. τὰ δὲ γένη τῶν εἰ-
δῶν, οὔ. τὸ μὲν γὰρ εἶδος ἐπιδέχεται τὸν τοῦ γένους λόγον. τὸ δὲ γένος, οὐ
τοῦ εἴδους οὐ. σκεπτέον δὲ εἰ μετέχει. ἢ συμβέβηκεν μετέχειν τοῦ εἴδους
τὸ ἀποδοθὲν γένος. οἷον ἔστιν ὄνος ἢ τὸ ἵππος γένος τόδε ἀποδοθήν. συμ
βήσεται γὰρ μετέχειν τὸ γένος τοῦ εἴδους. κατὰ πάντων δὴ τῶν ὄντων
τὸ ὂν ἢ τὸ ἓν κατηγορεῖται. ὥστε καὶ ὁ λόγος αὐτῶν.

Ἔτι εἰ κατάτινος τὸ ἀποδοθὲν εἶδος ἀληθεύεται τὸ δὲ γένος μή. οἷον 6
εἰ τὸ ὂν ἢ τὸ ἐπιστητὸν τῷ δόξαστῷ γένος τεθείη. κατὰ γὰρ τοῦ μὴ ὄντος
τὸ δοξαστὸν κατηγορηθήσεται. πολλὰ γὰρ τῶν μὴ ὄντων δοξαστά. ὅ-
τι δὲ τὸ ὂν ἢ τὸ ἐπιστητὸν οὐ κατηγορεῖται κατὰ τοῦ μὴ ὄντος, δῆλον.
ὥστ' οὐ γένος τὸ ὄν. οὐδὲ τὸ ἐπιστητὸν τοῦ δοξαστοῦ. καθ' ὧν γὰρ τὸ
εἶδος κατηγορεῖται, καὶ τὸ γένος δεῖ κατηγορεῖσθαι. Πάλιν εἰ μη- 7
δενὸς τῶν εἰδῶν συμβέβηκεν μετέχειν τὸ τεθὲν τῷ γένει. ἀδιώατον
γὰρ τοῦ γένους μετέχειν, μηδενὸς τῶν εἰδῶν μετέχον. ἂν μήτι τῶν
κατὰ τὴν πρώτην διαίρεσιν τῶν εἰδῶν ἡ. ταῦτα δὲ τοῦ γένους μόνον

μετέχει

Genus & species sunt eiusdem prædicamenti

Species participant veniam generis non contra.

Aequo species prædicatur, & genus.

μετέχει. ἂν οὖν ἡ κίνησις, γένος τῆς ἡδονῆς τεθῇ, σκεπτέον εἰ μήτε φθορὰ μήτ' ἀλλοίωσις ἡ ἡδονή. μήτε τῶν λοιπῶν ἀποδοθεισῶν κινήσεων μηδεμία. δῆλον γὰρ ὅτι οὐδενὸς τῶν εἰδῶν ἂν μετέχοι, ὥστε οὐδὲ τοῦ γένους. ἐπειδὴ ἀναγκαῖόν ἐστι τὸ τοῦ γένους μετέχον, καὶ τῶν εἰδῶν τινὸς μετέχειν. ὥστ' οὐκ ἂν εἴη εἶδος ἡ ἡδονὴ τῆς κινήσεως. οὐδὲ τῶν ἀτόμων οὐδὲ τῶν ὑπὸ τὸ εἶδος τῆς κινήσεως ὄντων. καὶ γὰρ τὰ ἄτομα μετέχει τοῦ γένους καὶ τοῦ εἴδους. οἷον ὁ τὶς ἄνθρωπος, καὶ ἀνθρώπου μετέχει καὶ ζώου. Ἔτι εἰ ἐπὶ πλέον λέγεται τοῦ γένους τὸ ἐν τῷ γένει τεθέν. οἷον τὸ δοξαστὸν τοῦ ὄντος. καὶ γὰρ τὸ ὂν καὶ τὸ μὴ ὄν, δοξαστόν. ὥστ' οὐκ ἂν εἴη τὸ δοξαστὸν, εἶδος τοῦ ὄντος. ἐπὶ πλέον γὰρ ἀεὶ τὸ γένος τοῦ εἴδους λέγεται.

hic locus idem cum sexto. 8

9 Πάλιν εἰ ἐπὶ ἴσων τὸ γένος καὶ τὸ εἶδος λέγεται. οἷον εἰ τῶν πᾶσιν ἑπομένων τὸ μὲν γένος, τὸ δὲ εἶδος τεθείη. καθάπερ τὸ ὂν καὶ τὸ ἕν. παντὶ γὰρ τὸ ὂν καὶ τὸ ἕν. ὥστ' οὐδέτερον οὐδετέρου γένος. ἐπειδὴ ἐπὶ ἴσων λέγεται. ὁμοίως δὲ καὶ εἰ τὸ πρῶτον καὶ ἡ ἀρχὴ, εἰς ἄλληλα τεθείη. ἥ τε γὰρ ἀρχὴ, πρῶτον. καὶ τὸ πρῶτον, ἀρχή. ὥστ' εἰ ἀμφότερα τὰ εἰρημένα ταυτόν ἐστιν, ἢ οὐδέτερον οὐδετέρου γένος. στοιχεῖον δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα, τὸ ἐπὶ πλέον τὸ γένος ἢ τὸ εἶδος καὶ τὴν διαφορὰν λέγεσθαι. ἐπ' ἔλαττον γὰρ καὶ ἡ διαφορὰ τοῦ γένους λέγεται. Ὁρᾶν δὲ καὶ εἴ τινος τῶν ἀδιαφόρων τῷ εἴδει μή ἐστι γένος τὸ εἰρημένον, εἰ μὴ δόξειεν ἄν. κατασκευάζοντι δὲ, εἰ ἔστι τινός. ταυτὸν γὰρ πάντων τῶν ἀδιαφόρων τῷ εἴδει, τὸ γένος, ἂν οὖν ἑνὸς δειχθῇ, δῆλον ὅτι πάντων. κἂν ἑνὸς μὴ, δῆλον ὅτι οὐδενός. οἷον εἴ τις ἀτόμους τιθέμενος γραμμὰς, τὸ ἀδιαίρετον, γένος αὐτῶν φήσειεν εἶναι. τῶν γὰρ διαίρεσιν ἐχουσῶν γραμμῶν, οὐκ ἔστι τὸ εἰρημένον γένος, ἀδιαφόρων οὐσῶν κατὰ τὸ εἶδος. ἀδιάφοροι γὰρ κατὰ τὸ εἶδος ἀλλήλαις, αἱ εὐθεῖναι γραμμαὶ πᾶσαι. Σκοπεῖν δὲ

10

Cap. 2 II καὶ εἴτι

καὶ ἔτι ἄλλο γένος ἐστὶ τοῦ ἀποδοθέντος εἴδους. ὃ μήτε περιέχει τὸ ἀποδοθὲν γένος, μήθ' ὑπ' ἐκεῖνό ἐστιν. οἷον ἔστιν τῆς δικαιοσύνης πλὴν ἕξις ἡμῖν θεῖον γένος. ἔστι γὰρ καὶ ἡ ἀρετὴ γένος. καὶ οὐδέτερον τῶν γενῶν τὸ λοιπὸν περιέχει. ὥστ' οὐ κἂν εἴη ἡ ἕξις ἡμῶν γένος τῆς δικαιοσύνης. δυκεῖ γὰρ ὅταν ἓν εἴδος ὑπὸ δύο γένη ᾖ, τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου περιέχεσθαι. ἔχει δὲ ἀποδεῖξαι ἐπ' ἐνίων τὸ τοιοῦτον. δυκεῖ γὰρ ἔνιοις ἡ φρόνησις ἀρετήτε καὶ ἕξις ἡμῶν εἶναι. καὶ οὐδέτερον τῶν γενῶν ὑπ' οὐδετέρας περιέχεσθαι. οὐ μὴν ὑπὸ πάντων γε συγχωρεῖται τὴν φρόνησιν ἕξις ἡμῶν εἶναι. εἰ δ' οὕτω τις συγχωροίη τὸ λεγόμενον ἀληθὲς εἶναι, ἀλλὰ τό γε ὑπὸ δύο ἢ ὑπὸ τὸ αὐτὸ γένος ἄμφω γίνεσθαι τὰ τοῦ αὐτοῦ γένη, τῶν ἀναγκαίων δόξειεν εἶναι. καθάπερ καὶ ἐπὶ τῆς ἀρετῆς καὶ τῆς ἕξεως συμβαίνει. ἄμφω γὰρ ὑπὸ τὸ αὐτὸ γένος ἐστίν. ἑκάτερον γὰρ αὐτῶν ἕξις καὶ διάθεσίς ἐστι. σκεπτέον δὲ καὶ εἰ μηδέτερον ὑπάρχει τῷ ἀποδοθέντι γένει. εἰ γὰρ μὴ δ' ὑπάλληλά ἐστι τὰ γένη, μὴ δὲ ὑπὸ ταὐτὸν ἄμφω, οὐκ ἂν εἴη τὸ ἀποδοθὲν γένος. 12

Σκοπεῖν δὲ καὶ τὸ γένος τοῦ ἀποδοθέντος γένους. καὶ οὕτως ἀεὶ τὸ ἐπάνω γένος, εἰ πάντα κατηγορεῖται τοῦ εἴδους. καὶ εἰ ἐν τῷ τί ἐστι κατηγορεῖται. πᾶν γὰρ τὸ ἐπάνω γένος, κατηγορεῖσθαι δεῖ τοῦ εἴδους ἐν τῷ τί ἐστιν. εἰ δὲ οὕτω ποῦ διαφωνεῖ, δῆλον ὅτι οὐ γένος τὸ ἀποδοθέν. 13

Πάλιν εἰ μετέχει τὸ γένος τοῦ εἴδους, ἢ αὐτὸ ἢ τῶν ἐπάνω τι γενῶν. οὐδενὸς γὰρ τὸ ἐπάνω τῶν ὑποκάτω μετέχει. ἀνασκευάζοντι μὲν οὖν, καθάπερ εἴρηται χρήσεον. κατασκευάζοντι δέ, ὁμολογουμένου μὲν ὑπάρχειν τῷ εἴδει τὸ ξηθέντος γένους. ὅτι δὲ ὡς γένος ὑπάρχει ἀμφισβητουμένου, ἀποχρῆ τὸ δεῖξαί τι τῶν ἐπάνω γενῶν ἐν τῷ τί ἐστι τοῦ εἴδους κατηγορούμενον. ἑνὸς γὰρ ἐν τῷ τί ἐστι κατηγορουμένου, πάντα καὶ τὰ ἐπάνω τούτου καὶ τὰ ὑποκάτω ἅπερ κατηγορεῖται τοῦ εἴδους, ἐν τῷ τί ἐστι κατηγορηθήσεται. ὥστε καὶ τὸ ἀποδοθέν. 14

12 hic nō ꝙstatter loquens sed spectat ad priorem.

δοθὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. ὅτι δὲ ἑνὸς ἐν τῷ τί ἐστι κατη
γορουμένου. καὶ πάντα τὰ λοιπὰ ἄνπερ κατηγορῆται, ἐν τῷ τί ἐστι
κατηγορηθήσεται, δι' ἐπαγωγῆς ληπτέον. Εἰδ' ἁπλῶς ὑπάρ-
χειν ἀμφισβητεῖται τὸ ἀποδοθὲν γένος, οὐκ ἀπόχρη τὸ δεῖξαί τι τῶν
ἐπάνω γενῶν ἐν τῷ τί ἐστι κατηγορούμενον τοῦ εἴδους. οἷον εἰ τῆς βα
δίσεως γένος ἀπέδωκε τὴν φορὰν, οὐκ ἀπόχρη τὸ δεῖξαι διότι κί=
νησίς ἐστιν ἡ βάδισις, πρὸς τὸ δεῖξαι ὅτι φορά ἐστιν. ἐπειδὴ καὶ ἄλλαι
κινήσεις εἰσίν. ἀλλὰ προσαποδεικτέον ὅτι οὐδενὸς μετέχει ἡ βάδισις
τῶν κατὰ τὴν αὐτὴν διαίρεσιν ~~τῇ φορᾷ~~, εἰ μὴ τῆς φορᾶς. ἀνάγκη δὲ
τὸ τοῦ γένους μετέχον, καὶ τῶν εἰδῶν τινος μετέχειν τῶν κατὰ τὴν
πρώτην διαίρεσιν. εἰ οὖν ἡ βάδισις, μήτ' αὐξήσεως, μήτε μειώσεως,
μήτε τῶν ἄλλων κινήσεων μετέχοι, δῆλον ὅτι τῆς φορᾶς ἂν μετέχοι.
15. ὥστε εἴη ἂν γένος ἡ φορὰ τῆς βαδίσεως. Πάλιν ἐφ' ὧν τὸ εἶδος
τὸ τεθὲν ὡς γένος κατηγορεῖται, σκοπεῖν εἰ καὶ τὸ ἀποδοθὲν γένος ἐν
τῷ τί ἐστιν αὐτῶν τούτων κατηγορεῖται, ὥσπερ καὶ τὸ εἶδος. ὁμοίως δὲ
καὶ εἰ τὰ ἐπάνω τοῦ γένους πάντα. εἰ γάρ που διαφωνεῖ, δῆλον ὅτι
οὐ γένος τὸ ἀποδοθέν· εἰ γὰρ ἦν γένος, ἅπαντ' ἂν καὶ τὰ ἐπάνω τού=
του· καὶ αὐτὸ τοῦτο, ἐν τῷ τί ἐστι κατηγορεῖτο, ὥσπερ καὶ τὸ εἶδος ἐν τῷ
τί ἐστι κατηγορεῖται. ἀνασκευάζοντι μὲν οὖν χρήσιμον εἰ μὴ κατηγο=
ροῖτο τὸ γένος ἐν τῷ τί ἐστιν, ὧνπερ καὶ τὸ εἶδος κατηγορεῖται. κατα
σκευάζοντι δὲ, εἰ κατηγορεῖται ἐν τῷ τί ἐστι χρήσιμον. συμβήσεται δὲ
καὶ τὸ γένος, καὶ τὸ εἶδος, τοῦ αὐτοῦ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι. ὥστε
τὸ αὐτὸ ὑπὸ δύο γένη γίνεται. ἀναγκαῖον οὖν ὑπάλληλα τὰ γένη εἶ=
ναι. ἂν οὖν δειχθῇ ὃ βουλόμεθα γένος κατασκευάσαι μὴ ὂν ὑπὸ τὸ εἶ
δος, δῆλον ὅτι τὸ εἶδος ὑπὸ τοῦτ' ἂν εἴη. ὥστε δεδειγμένον ἂν εἴη ὅ=
16. τι γένος τοῦτο. Σκοπεῖν δὲ καὶ τοὺς λόγους τῶν γενῶν εἰ ἐφαρ=
μόττουσιν ἐπί τε τὸ ἀποδοθὲν εἶδος καὶ ἐπὶ τὰ μετέχοντα τοῦ εἴδους.

ἀνάγ=

ἀνάγκη γὰρ τοὺς τῶν γενῶν λόγους κατηγορεῖσθαι τῶν εἴδους, καὶ τῶν
μετεχόντων τῶν εἴδους. εἰ οὖν που διαφωνεῖ, δῆλον ὅτι οὐ γένος τὸ
ἀποδοθέν. Πάλιν εἰ τὴν διαφορὰν ὡς γένος ἀπέδωκεν, οἷον εἰ τὸ 17.
ἀθάνατον γένος θεοῦ. διαφορὰ γὰρ ἐστι ζώου τὸ ἀθάνατον. ἐπειδὴ τῶν ζώ-
ων τὰ μὲν θνητὰ, τὰ δὲ ἀθάνατα. δῆλον οὖν ὅτι διημάρτηται. οὐδε-
νὸς γὰρ ἡ διαφορὰ γένος ἐστὶν, ὅτι δὲ τοῦτ' ἀληθὲς, δῆλον. οὐδεμία
γὰρ διαφορὰ σημαίνει τί ἐστιν, ἀλλὰ μᾶλλον ποιόντι. καθάπερ τὸ πε-
ζὸν καὶ τὸ δίπουν. Καὶ εἰ τὴν διαφορὰν εἰς τὸ γένος ἔθηκεν ὡς 18.
εἶδος. οἷον τὸ περιττὸν, ὅπερ ἀριθμόν. διαφορὰ δὲ ἀριθμοῦ τὸ περιττὸν
οὐκ εἶδός ἐστιν. οὐδὲ δοκεῖ μετέχειν. ἡ διαφορὰ τῶν γένους. πᾶν δὲ τὸ με-
τέχον τῶν γένους, ἢ εἶδος ἢ ἄτομόν ἐστιν. ἡ δὲ διαφορὰ, οὔτε εἶδος, οὔ-
τε ἄτομόν ἐστι. δῆλον οὖν ὅτι οὐ μετέχει τῶν γένους ἡ διαφορά. ὥστ'
οὐδὲ τὸ περιττὸν, εἶδος ἂν εἴη, ἀλλὰ διαφορὰ, ἐπεὶ οὐ μετέχει τῶν γέ-
νους. Ετι εἰ τὸ γένος εἰς τὸ εἶδος ἔθηκεν. οἷον τὴν σύναψιν, ὅ- 19
περ συνοχὴν, ἢ τὴν μίξιν, ὅπερ κρᾶσιν, ἢ ὡς Πλάτων ὁρίζεται φο-
ρὰν τὴν κατὰ τόπον κίνησιν. οὐ γὰρ ἀναγκαῖον τὴν σύναψιν, συνο-
χὴν εἶναι, ἀλλ' ἀνάπαλιν τὴν συνοχὴν, σύναψιν. οὐ γὰρ πᾶν τὸ ἁπτό-
μενον συνέχεται. ἀλλὰ τὸ συνεχόμενον ἅπτεται. ὁμοίως δὲ καὶ ἐπὶ
τῶν ἄλλων, οὔτε γὰρ ἡ μίξις ἅπασα κρᾶσις. ἡ δὲ τῶν ξηρῶν μίξις, οὐ ἔστι οὐκ
κρᾶσις, οὐδ' ἡ κατὰ τόπον μεταβολὴ πᾶσα, φορά. ἡ γὰρ βάδισις, οὐ
δοκεῖ φορὰ εἶναι. σχεδὸν γὰρ ἐπὶ τῶν ἀκουσίως τόπον ἐκ τόπου με-
ταβαλλόντων λέγεται. καθάπερ ἐπὶ τῶν ἀψύχων συμβαίνει. δῆλον
δ' ὅτι καὶ ἐπὶ πλέον λέγεται τὸ εἶδος τῶν γένους ἐν τοῖς ἀποδοθεῖ-
σι, δέον ἀνάπαλιν γίνεσθαι. Πάλιν εἰ τὴν διαφορὰν εἰς τὸ εἶδος 20. δέον pro δέοντος
ἔθηκεν. οἷον τὸ ἀθάνατον, ὅπερ θεόν. συμβήσεται γὰρ ἐπ' ἴσων ἢ ἐπὶ
πλειόνων τὸ εἶδος λέγεσθαι. ἀεὶ δὲ ἡ διαφορὰ ἐπίσης ἢ ἐπὶ πλεῖον
τῶν εἴδους λέγεται. Ετι εἰ τὸ γένος εἰς τὴν διαφορὰν, οἷον τὸ χρῶμα, 21.

S ij ὅπερ

22 ὅπερ συγκριτικὸν, ἢ τὸν ἀριθμὸν, ὅπερ περιττόν. Καὶ εἰ τὸ γέ=
νος ὡς διαφορὰν εἶπον. ἐγχωρεῖ γὰρ τινα καὶ τοιαύτην κομίσαι θέ=
σιν, οἷον κράσεως, τὴν μίξιν, διαφορὰν, ἢ φορᾶς, τὴν κατὰ τόπον με
ταβολήν. Σκεπτέον δὲ πάντα τὰ τοιαῦτα διὰ τῶν αὐτῶν. ἐπι
κοινωνοῦσι γὰρ οἱ τόποι. ἐπὶ πλέον τὲ γὰρ τὸ γένος τῆς διαφορᾶς
δεῖ λέγεσθαι, καὶ μὴ μετέχειν τῆς διαφορᾶς. οὕτως δὲ ἀποδοθέν=
τος, οὐδέτερον τῶν εἰρημένων δυνατὸν συμβαίνειν. ἐπέλαττόν τε γὰρ
23. ῥηθήσεται, καὶ μεθέξει τὸ γένος τῆς διαφορᾶς. Πάλιν εἰ μηδε=
μία διαφορὰ κατηγορεῖται τῶν τοῦ γένους κατὰ τοῦ ἀποδοθέντος εἴ=
δους, οὐδὲ τὸ γένος κατηγορηθήσεται. οἷον ψυχῆς, οὔτε τὸ περιττὸν,
24 οὔτε τὸ ἄρτιον κατηγορεῖται. ὥστ' οὐδ' ὁ ἀριθμός. Ετι εἰ πρότε=
ρον φύσει τὸ εἶδος, καὶ συναναιρεῖ τὸ γένος, δοκεῖ γὰρ τὸ ἐναντίον.
25. Ετι εἰ ἐνδέχεται ἀπολιπεῖν τὸ εἰρημένον γένος ἢ τὴν διαφοράν.
οἷον ψυχὴν, τὸ κινεῖσθαι, ἢ δόξαν, τὸ ἀληθὲς καὶ ψεῦδος, οὐκ ἂν εἴη τῶν
εἰρημένων οὐδέτερον γένος, οὐδὲ διαφορά. δοκεῖ γὰρ τὸ γένος καὶ
Caput 3. 26. ἡ διαφορὰ παρακολουθεῖν ἕως ἂν ᾖ τὸ εἶδος. Σκοπεῖν δὲ καὶ
εἰ τὸ ἐν γένει κείμενον μετέχει τινὸς ἐναντίου τῷ γένει, ἢ ἐνδέχε
ται μετέχειν. τὸ γὰρ αὐτὸ τῶν ἐναντίων ἅμα μεθέξει. ἐπειδὴ τὸ μὲν
γένος οὐδέποτε ἀπολείπει. μετέχει δὲ καὶ τοὐναντίου, ἢ ἐνδέχεται
27. μετέχειν. Ετι εἴτινος κοινωνεῖ τὸ εἶδος, ὃ ἀδύνατον ὅλως ὑπάρ=
χειν τοῖς ὑπὸ τὸ γένος τὸ γένος· οἷον εἰ ἡ ψυχὴ τῆς ζωῆς κοινωνεῖ. τῶν δ' ἀριθμῶν μηδέ=
28. να δυνατὸν ζῆν, οὐκ ἂν εἴη εἶδος ἀριθμοῦ ἡ ψυχή. Σκεπτέον δὲ καὶ
εἰ ὁμώνυμον τὸ εἶδος τῷ γένει, στοιχείοις χρώμενον τοῖς εἰρημένοις, πρὸς
Vnnocum genus et spes τὸ ὁμώνυμον. συνώνυμον γὰρ τὸ γένος καὶ τὸ εἶδος. Επεὶ δὲ γέ=
29. νους παντὸς εἴδη πλείω, σκοπεῖν, εἰ μὴ ἐνδέχεται ἕτερον εἶδος εἶναι
τοῦ εἰρημένου γένους. εἰ γὰρ μή ἐστι, δῆλον ὅτι οὐκ ἂν εἴη γένος ὅλως
30. τὸ εἰρημένον. Σκοπεῖν δὲ καὶ εἰ τὸ κατὰ μεταφορὰν λεγόμενον.
ὡς γένος

ὡς γένος ἀποδώσει. οἷον τὴν σωφροσύνην. συμφωνίαν. πᾶν γὰρ γέ-
νος, κυρίως κατὰ τῶν εἰδῶν κατηγορεῖται. ἡ δὲ συμφωνία κατὰ τῆς
σωφροσύνης, οὐ κυρίως. ἀλλὰ κατὰ μεταφοράν. πᾶσα γὰρ συμφω-
νία, ἐν φθόγγοις. Ετι ἐὰν ᾖ ἐναντίον τινὶ τὸ εἶδος, σκοπεῖν. ἔστι δὲ 31
πολεοναχῶς ἡ σκέψις. πρῶτον μὲν εἰ ἐν τῷ αὐτῷ γένει, καὶ τὸ ἐναντί-
ον. μὴ ὄντος ἐναντίου τῷ γένει. δεῖ γὰρ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει
εἶναι. ἂν μηδὲν ἐναντίον τῷ γένει ᾖ. ὄντος δὲ ἐναντίου τῷ γένει, σκο- 32.
πεῖν. εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ ἐστίν. ἀνάγκη γὰρ τὸ ἐναντίον ἐν τῷ
ἐναντίῳ εἶναι. ἅπερ ᾖ ἐναντίον τῷ γένει. φανερὸν δὲ τούτων ἕκαστον,
διὰ τῆς ἐπαγωγῆς. Πάλιν εἰ ὅλως ἐν μεθόδῳ γίνεται τῷ εἴδει 33.
ἐναντίον, ἀλλ' αὐτὸ γένος, οἷον τὸ ἀγαθόν. εἰ γὰρ τοῦτο μὴ ἐν γένει, οὐδὲ
δὲ τὸ ἐναντίον ζώου ἐν γένει ἔσται. ἀλλ' αὐτὸ γένος, καθάπερ ἐστὶ τοῦ
ἀγαθοῦ καὶ τοῦ κακοῦ συμβαίνει. οὐδέτερον γὰρ ζώων ἐν γένει. ἀλλὰ
ἑκάτερον αὐτῶν γένος. Ετι εἰ ἐναντίον τινὶ καὶ τὸ γένος καὶ 34.
τὸ εἶδος. καὶ τῶν μέν ἐστί τι μεταξύ. τῶν δὲ μή. εἰ γὰρ τῶν γενῶν
ἐστί τι μεταξύ, καὶ τῶν εἰδῶν, καὶ εἰ τῶν εἰδῶν, καὶ τῶν γενῶν. κα-
θάπερ ἐστὶν ἀρετῆς, καὶ κακίας, καὶ δικαιοσύνης, καὶ ἀδικίας. ἑκά- Aphrod.
τερον γὰρ ἐστί τι μεταξύ. ἔνστασις ζώου, ὅτι ὑγιείας καὶ νόσου, οὐ- bonū & malū nō sunt
δὲν μεταξύ, κακοῦ δὲ καὶ ἀγαθοῦ, τὶ μεταξύ. Ετι εἰ ἔστι μέν τι 35. gnā ad morbū & sanitatē
ἀμφοῖν ἀνὰ μέσον καὶ τῶν εἰδῶν, καὶ τῶν γενῶν, μὴ ὁμοίως δέ, ἀλλὰ
τῶν μέν, κατὰ ἀπόφασιν. τῶν δὲ, ὡς ὑποκείμενον. ἔνδοξον γάρ, τὸ ὁ
μοίως ἀμφοῖν. καθάπερ ἐστὶν ἀρετῆς, καὶ κακίας, καὶ δικαιοσύνης,
καὶ ἀδικίας. ἀμφοῖν γὰρ κατὰ ἀπόφασιν τὰ ἀνὰ μέσον.

Ετι ὅταν μὴ ᾖ ἐναντίον τῷ γένει, σκοπεῖν μὴ μόνον εἰ τὸ ἐναντίον 36.
ἐν τῷ αὐτῷ γένει, ἀλλὰ καὶ τὸ ἀνὰ μέσον. ἐν ᾧ γὰρ τὰ ἄκρα, καὶ
τὸ μέσον, οἷον ἐστὶ λευκοῦ καὶ μέλανος. τὸ γὰρ χρῶμα γένος τού-
των τε καὶ τῶν ἀνὰ μέσον χρωμάτων ἁπάντων. ἔνστασις, ὅτι ἡ μὲν

ἔνδεια

Aphrodi: Virtus non solum medium sed contrarium propter ea locus illi non competit

ἔνδεια καὶ ὑπερβολὴ, ἐν τῷ αὐτῷ γένει. ἐν τῷ κακῷ γὰρ ἄμφω.
τὸ δὲ μέτριον, ἀνὰ μέσον ὂν τούτων, οὐκ ἐν τῷ κακῷ, ἀλλ' ἐν τῷ
37. ἀγαθῷ. Σκοπεῖν δὲ καὶ εἰ τὸ μὲν γένος ἐναντίον τινί. τὸ δὲ
εἶδος μηδενί. εἰ γὰρ τὸ γένος ἐναντίον τινὶ, καὶ τὸ εἶδος. καθάπερ
ἀρετὴ καὶ κακία. καὶ δικαιοσύνη καὶ ἀδικία. ὁμοίως δὲ καὶ ἐπὶ
τῶν ἄλλων σκοποῦντι, φανερὸν ἂν δόξειεν εἶναι τὸ τοιοῦτον. ἔν-
στασις, ἐπὶ τῆς ὑγιείας καὶ νόσου. ἁπλῶς μὲν γὰρ ὑγίεια νόσῳ
ἐναντία. ἡ δέ τις νόσος εἶδος οὖσα νόσου, οὐδενὶ ἐναντίον. ὅιον ὁ
πυρετός. καὶ ἡ ὀφθάλμια. καὶ τῶν ἄλλων ἕκαστον. Αναιροῦν
τι μὲν οὖν, τοσαυταχῶς ἐπισκεπτέον. εἰ γὰρ μὴ ὑπάρχει τὰ εἰρη-
μένα, δῆλον ὅτι οὐ γένος τὸ ἀποδοθέν. κατασκευάζοντι δὲ, τριχῶς.
38. πρῶτον μὲν, εἰ τὸ ἐναντίον τῷ εἴδει, ἐν τῷ εἰρημένῳ γένει. μὴ ὄντος ἐ-
ναντίου τῷ γένει. εἰ γὰρ τὸ ἐναντίον ἐν τούτῳ, δῆλον ὅτι καὶ τὸ προ-
39 κείμενον. Ετι εἰ τὸ ἀνὰ μέσον ἐν τῷ εἰρημένῳ γένει. ᾧ γὰρ τὰ
40. ἀνὰ μέσον, καὶ τὰ ἄκρα. Πάλιν ἐὰν ᾖ ἐναντίον τὶ τῷ γένει,
σκοπεῖν εἰ καὶ τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ. ἂν γὰρ ᾖ, δῆλον ὅτι καὶ τὸ
Caput 4 41 προκείμενον ἐν τῷ προκειμένῳ. Πάλιν ἐπὶ τῶν πτώσεων
ἐι καὶ τῶν συστοίχων, ἐι ὁμοίως ἀκολουθοῦσι καὶ ἀναιροῦντι καὶ κα-
τασκευάζοντι. ἅμα γὰρ ἑνὶ καὶ πᾶσιν ὑπάρχει ἢ οὐχ ὑπάρχει. ὅιον
εἰ ἡ δικαιοσύνη ἐπιστήμη τὶς, καὶ τὸ δικαίως ἐπιστημόνως. καὶ ὁ δί-
καιος ἐπιστήμων. ἐὰν δὲ τούτων τὶ μὴ, οὐ δὲ τῶν λοιπῶν οὐδέν.
42. Πάλιν ἐπὶ τῶν ὁμοίως ἐχόντων πρὸς ἄλληλα. ὅιον τὸ ἡδὺ ὁμοίως
ἔχει πρὸς τὴν ἡδονήν. καὶ τὸ ὠφέλιμον πρὸς τὸ ἀγαθόν. ἑκάτερον ἢ ἑ-
κατέρου ποιητικόν. εἰ οὖν ἔστιν ἡ ἡδονὴ ὅπερ ἀγαθὸν, καὶ τὸ, ἡδὺ ὅπερ ὠ-
φέλιμον ἔσται. δῆλον ἢ ὅτι ἀγαθοῦ ἂν εἴη ποιητικόν. ἐπειδὴ ἡ ἡδο-
43 νὴ ἀγαθόν. Ωσαύτως δὲ καὶ ἐπὶ τῶν γενέσεων καὶ ἐπὶ τῶν φθορῶν. ὅι-
ον εἰ τὸ οἰκοδομεῖν ἐνεργεῖν, τὸ ᾠκοδομηκέναι ἐνηργηκέναι. καὶ εἰ τὸ μαν-
θάνειν

θάνειν ἀναμιμνήσκεσθαι, τὸ μεμαθηκέναι, ἀναμεμνῆσθαι. καὶ εἰ τὸ δια=
λύεσθαι φθείρεσθαι, καὶ τὸ διαλελύσθαι, ἐφθάρθαι. καὶ ἡ διάλυσις,
φθοράτις. Καὶ ἐπὶ τῶν γενητικῶν καὶ φθαρτικῶν, ὡσαύ 44.
τως. καὶ ἐπὶ τῶν δυνάμεων καὶ χρήσεων, καὶ ὅλως καθ' ὁποιανοῦν
ὁμοιότητα καὶ ἀναιροῦντι καὶ κατασκευάζοντι σκεπτέον. καθάπερ
ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς ἐλέγομεν. εἰ γὰρ τὸ φθαρτικὸν δαλυ
τικόν, καὶ τὸ φθείρεσθαι δαλύεσθαι. καὶ εἰ τὸ γενητικὸν ποιητικὸν,
τὸ γίνεσθαι ποιεῖσθαι. καὶ ἡ γένεσις ποίησις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν
δυνάμεων καὶ χρήσεων. καὶ ὅλως εἰ ἡ δύναμις διάθεσις, καὶ τὸ δύ
νασθαι διακεῖσθαι. καὶ εἴτινος ἡ χρῆσις ἐνέργεια, τὸ χρῆσθαι ἐνερ
γεῖν. καὶ τὸ κεχρῆσθαι ἐνηργηκέναι. Αν δὲ στέρησις ᾖ τὸ ἀν 45
τικείμενον τῷ εἴδει, διχῶς ἐστιν ἀνελεῖν. πρῶτον μὲν εἰ ἐν τῷ ἀπο=
δοθέντι γένει τὸ ἀντικείμενον. ἢ γὰρ ἁπλῶς ἐν οὐδενὶ γένει τῷ αὐ=
τῷ ἡ στέρησις, ἢ οὐκ ἐν τῷ ἐσχάτῳ. οἷον εἰ ἡ ὄψις ἐν ἐσχάτῳ γένει τῇ
αἰσθήσει, ἡ τυφλότης οὐκ ἔσται αἴσθησις. Δεύτερον δὲ, εἰ καὶ τῷ 46.
γένει καὶ τῷ εἴδει ἀντίκειτι στέρησις, μή ἐστι δὲ τὸ ἀντικείμενον ἐν τῷ
ἀντικειμένῳ, οὐ δ' ἂν τὸ ἀποδοθὲν ἐν τῷ ἀποδοθέντι εἴη. ἀναιροῦν=
τι μὲν οὖν, καθάπερ εἴρηται χρηστέον. κατασκευάζοντι δὲ, μοναχῶς. 47.
εἰ γὰρ τὸ ἀντικείμενον ἐν τῷ ἀντικειμένῳ, καὶ τὸ προκείμενον ἐν τῷ
προκειμένῳ ἂν εἴη. οἷον εἰ ἡ τυφλότης ἀναισθησία τὶς καὶ ἡ ὄψις αἴ=
σθησις. Γάλιν ἐπὶ τῶν ἀποφάσεων σκοπεῖν ἀνάπαλιν, καθάπερ ἐ- 48.
πὶ τοῦ συμβεβηκότος ἐλέγετο. οἷον εἰ τὸ ἡδὺ ὅπερ ἀγαθὸν, τὸ μὴ ἀγα
θὸν, οὐχ ἡδύ. εἰ γὰρ μὴ οὕτως ἔχει, εἴη ἄντι οὐκ ἀγαθὸν ἡδύ. ἀδύνα
τον δὲ εἴπερ τὸ ἀγαθὸν γένος τοῦ ἡδέος εἶναί τι μὴ ἀγαθὸν ἡδύ. ὧν δὲ τὸ
γένος μὴ κατηγορεῖται, οὐ δὲ τῶν εἰδῶν οὐδέν. καὶ κατασκευάζοντι
δὲ, ὡσαύτως σκεπτέον. εἰ γὰρ τὸ μὴ ἀγαθὸν οὐχ ἡδὺ, τὸ ἡδὺ ἀγαθόν.
ὥστε γένος τὸ ἀγαθὸν τοῦ ἡδέος. Εὰν δὲ ᾖ πρός τι τὸ εἶδος, σκοπεῖν 49.

εἰ καὶ

εἰ καὶ τὸ γένος πρός τι. εἰ γὰρ τὸ εἶδος πρός τι, καὶ τὸ γένος. καθάπερ ἐπὶ τοῦ διπλασίου καὶ πολλαπλασίου. ἑκάτερον γὰρ τῶν
50. πρός τι. εἰ δὲ τὸ γένος τῶν πρός τι, οὐκ ἀνάγκη καὶ τὸ εἶδος. ἡ μὲν γὰρ ἐπιστήμη, τῶν πρός τι. ἡ δὲ γραμματικὴ, οὔ. οὐ δὲ τὸ πρότερον ξυνθὲν, ἀληθὲς ἂν λέξειεν. ἡ γὰρ ἀρετὴ, ὅπερ ἀγαθόν. καὶ ὅπερ καλόν. καὶ ἡ μὲν ἀρετὴ, τῶν πρός τι. τὸ δὲ ἀγαθὸν καὶ τὸ καλόν, οὔ
51. τῶν πρός τι, ἀλλὰ ποιά. Πάλιν εἰ μὴ πρὸς τὸ αὐτὸ λέγεται τὸ εἶδος, καθ' αὑτό τε καὶ κατὰ τὸ γένος. οἷον εἰ τὸ διπλάσιον ἡμίστεως λέγεται διπλάσιον, καὶ τὸ πολλαπλάσιον ἡμίστεος δεῖ λέγεσθαι. εἰ δὲ μή, οὐκ ἂν εἴη τὸ πολλαπλάσιον, γένος τοῦ διπλασίου.
52. Ἔτι εἰ μὴ πρὸς τὸ αὐτὸ καθ' ἕτερον λέγεται καὶ κατὰ πάντα τὰ τοῦ γένους γένη, εἰ γὰρ τὸ διπλάσιον ἡμίστεως καὶ πολλαπλάσιόν ἐστι, καὶ τὸ ὑπερέχον ἡμίστεος ξηθήσεται. καὶ ἁπλῶς κατὰ πάντα τὰ ἐπάνω γένη πρὸς τὸ ἥμισυ ξηθήσεται. ἔνστασις, ὅτι οὐκ ἀνάγκη καθ' αὑτὸ καὶ κατὰ τὸ γένος πρὸς ταὐτὸ λέγεσθαι. ἡ γὰρ ἐπιστήμη, ἐπιστητὸν λέγεται. ἕξις δὲ καὶ διάθεσις, οὐκ ἐπιστητόν, ἀλλὰ ψυχῆς.
53. Πάλιν εἰ ὡσαύτως λέγεται τὸ γένος καὶ τὸ εἶδος κατὰ τὰς πτώσεις. οἷον ἔστιν ἵππος, ἢ ὁσαχῶς ἄλλως λέγεται. ὡς γὰρ τὸ εἶδος καὶ τὸ γένος, καθάπερ ἐπὶ τοῦ διπλασίου καὶ τῶν ἐπάνω. τινὸς γὰρ καὶ τὸ διπλάσιον καὶ τὸ πολλαπλάσιον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐπιστήμης. τίνος γὰρ καὶ αὕτη καὶ τὰ γένη. οἷον ἥτε διάθεσις καὶ ἡ ἕξις. ἔνστασις, ὅτι συναχοῦ οὐχ οὕτω. τὸ μὲν γὰρ διαφέρον καὶ τὸ ἐναντίον, τινί. τὸ δ' ἕτερον γένος ὂν τούτων, οὑτινί, ἀλλά τινος. ἕτε-
54 ρον γάρ τινος λέγεται. Πάλιν εἰ ὁμοίως τὰ πρός τι κατὰ τὰς πτώσεις λεγόμενα, μὴ ὁμοίως ἀντιστρέφει· καθάπερ ἐπὶ τοῦ διπλασίου καὶ τοῦ πολλαπλασίου. ἑκάτερον γὰρ τούτων τινός. καὶ

ἀνὴρ

αὐτὸ καὶ κατὰ τὴν ἀντιστροφὴν λέγεται. τινὸς γὰρ καὶ τὸ ἥμισυ καὶ
τὸ πολλοστημόριον. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐπιστήμης. καὶ ἐπὶ τῆς
ὑπολήψεως. αὗται γάρ τινος. καὶ ἀντιστρέφει ὁμοίως. τότε γὰρ ὑ=
πολητὸν καὶ τὸ ἐπιστητὸν, τινί. εἰ οὖν ἐπί τινος μὴ ὁμοίως ἀντι=
στρέφει, δῆλον ὅτι οὐ γένος θάτερον θατέρου. Γάλιν εἰ μὴ πρὸς 55.
ἴσα τὸ γένος καὶ τὸ εἶδος λέγεται. ὁμοίως γὰρ καὶ ἰσαχῶς ἑκάτερον
δοκεῖ λέγεσθαι. καθάπερ ἐπὶ τῆς δωρεᾶς καὶ τῆς δόσεως. ἥτε γὰρ
δωρεὰ, καί τινος καί τινι λέγεται. καὶ ἡ δόσις τινὸς καί τινι. ἔστι δὲ
ἡ δόσις γένος τῆς δωρεᾶς. ἡ τὴν δωρεὰ, δόσις ἐστὶν ἀναπόδοτος. ἐπ' ἐνί
ων δὲ οὐ συμβαίνει πρὸς ἴσα λέγεσθαι. τὸ μὲν γὰρ διπλάσιον, τινὸς
διπλάσιον. τὸ δ' ὑπερέχον καὶ τὸ μεῖζον, τινός τινι. πᾶν γὰρ τὸ ὑπερέ
χον καὶ τὸ μεῖζον, τινὶ ὑπερέχει. καί τινος ὑπερέχει. ὥστ' οὐ γένη τὰ
εἰρημένα τοῦ διπλασίου. ἐπειδὴ οὐ πρὸς ἴσα τῷ εἴδει λέγεται. ἢ οὐ κα loco castigatio
θόλου ἀληθὲς τὸ πρὸς ἴσα τὸ γένος καὶ τὸ εἶδος λέγεσθαι. Ὁρᾶν δὲ 56.
καὶ εἰ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον γένος. οἷον εἰ τοῦ διπλασίου τὸ
πολλαπλάσιον. καὶ εἰ τοῦ ἡμίσεος τὸ πολλοστημόριον. δεῖ δὲ τὸ ἀντικεί=
μενον τοῦ ἀντικειμένου γένος εἶναι. εἰ οὖν τις θείη τὴν ἐπιστήμην ὅπερ
αἴσθησιν, δεήσει καὶ τὸ ἐπιστητὸν ὅπερ αἰσθητὸν εἶναι. οὐκ ἔστι δέ. οὐ δὲ τὴν
πᾶν τὸ ἐπιστητὸν, αἰσθητόν. καὶ δὲ τῶν νοητῶν ἔνια ἐπιστητά. ὥστ' οὐ γένος
τὸ αἰσθητὸν τοῦ ἐπιστητοῦ. εἰ δὲ γένος μὴ, οὐ δ' ἡ αἴσθησις τῆς ἐπιστήμης.
Ἐπεὶ δὲ τῶν πρός τι λεγομένων, τὰ μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις, ἢ πε 56.
ρὶ ἐκεῖνά ἐστι, πρὸς ἄποτε τυγχάνει λεγόμενα, οἷον ἡ διάθεσις καὶ ἡ ἕξις 57.
καὶ ἡ συμμετρία. ἐν ἄλλῳ δὲ οὐδενὶ δυνατὸν ὑπάρχειν τὰ εἰρημένα, ἢ
ἐν ἐκείνοις πρὸς ἃ λέγετε. τὰ δ' οὐκ ἀνάγκη μὲν ἐν ἐκείνοις ὑπάρχειν
πρὸς ἄποτε λέγετε, ἐν δέχεται δὲ, οἷον εἰ ἐπιστητὸν εἴη ψυχὴ, οὐδὲν κω
λύει τὴν αὐτῆς ἐπιστήμην ἔχειν τὴν ψυχήν. οὐκ ἀναγκαῖον δέ. δυνα
τὸν τὴν καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην. τὰ δὲ ἁπλῶς οὐκ ἐν

δέχετο ἐν ἐκείνοις ὑπάρχειν πρὸς ἅποτε τυγχάνει λεγόμενα. οἷον τὸ ἐ
ναντίον ἐν τῷ ἐναντίῳ. οὐδὲ τὴν ἐπιστήμην ἐν τῷ ἐπιστητῷ, ἐὰν μὴ τυγ
ψυχὴ χάνῃ τὸ ἐπιστητὸν, ψυχὴ ἢ ἄνθρωπος ὄν, σκοπεῖν χρὴ ἐάντις εἰς γένος
θῇ, τὸ τοιοῦτον, εἰς τὸ μὴ τοιοῦτον. οἷον εἰ τὴν μνήμην μονὴν ἐπιστήμης εἴ=
ποι. πᾶσα δὲ μονὴ ἐν τῷ μένοντι καὶ περὶ ἐκεῖνο. ὥστε καὶ ἡ τῆς ἐπιστή=
μης μονὴ, ἐν τῇ ἐπιστήμῃ. ἐπειδὴ μονὴ τῆς ἐπιστήμης ἐστίν. τοῦτο δ' οὐκ
ἐνδέχεται. μνήμη γὰρ πᾶσα ἐν ψυχῇ. ἔστι δ' ὁ εἰρημένος τόπος καὶ
πρὸς τὸ συμβεβηκὸς κοινός. οὐδὲν γὰρ διαφέρει τῆς μνήμης γένος
τὴν μονὴν εἰπεῖν, ἢ συμβεβηκέναι φάσκειν αὐτῇ τοῦτο. εἰ γὰρ ὁπω=
σοῦν ἐστιν ἡ μνήμη μονὴ ἐπιστήμης, ὁ αὐτὸς ἁρμόσει περὶ αὐτῆς λόγος.

Caput 5

58. Πάλιν εἰ τὴν ἕξιν εἰς τὴν ἐνέργειαν ἔθηκεν, ἢ τὴν ἐνέργειαν εἰς τὴν
ἕξιν, οὐκ ἔστι γένος τὸ τοιοῦτον. οἷον εἰ τὴν αἴσθησιν κίνησιν διὰ σώμα=
τος. ἡ μὲν γὰρ αἴσθησις, ἕξις. ἡ δὲ κίνησις, ἐνέργεια. ὁμοίως δὲ καὶ εἰ
τὴν μνήμην ἕξιν καθεκτικὴν ὑπολήψεως εἶπεν. οὐδεμία γὰρ μνή=
59. μη ἕξις, ἀλλὰ μᾶλλον ἐνέργεια. διαμαρτάνουσι δὲ καὶ οἱ τὴν ἕξιν εἰς τὴν
ἀκολουθοῦσαν δύναμιν τάττοντες. οἷον τὴν πραότητα, ἐγκράτειαν ὀρ=
γῆς. καὶ τὴν ἀνδρίαν καὶ τὴν δικαιοσύνην, φόβων καὶ κερδῶν ἐγ=
κράτειαν. ἀνδρεῖος μὲν γὰρ καὶ πρᾶος ὁ ἀπαθὴς λέγεται. ἐγκρα=
τὴς δὲ, ὁ πάσχων καὶ μὴ ἀγόμενος. ἴσως μὲν οὖν ἀκολουθεῖ δύναμις
ἑκατέρῳ τοιαύτη. ὥστ' εἰ πάθοι, μὴ ἄγεσθαι. ἀλλὰ κρατεῖν. οὐ μὴν τοῦ
το γέ ἐστι. τῷ μὲν ἀνδρείῳ. τῷ δὲ, πράῳ εἶναι. ἀλλὰ τὸ ὅλως μὴ πά=
60. σχειν ὑπὸ τῶν τοιούτων μηδέν. Ἐνίοτε δὲ καὶ τὸ παρακολουθοῦν
ὁπωσοῦν, ὡς γένος τιθέασιν. οἷον τὴν λύπην τῆς ὀργῆς. καὶ τὴν ὑπό
ληψιν τῆς πίστεως. ἄμφω γὰρ τὰ εἰρημένα παρακολουθεῖ μὲν τρό=
πον τινὰ τοῖς ἀποδοθεῖσιν εἴδεσιν. οὐδέτερον δ' αὐτῶν γένος ἐστίν. ὁ
μὲν γὰρ ὀργιζόμενος λυπεῖται, προτέρας ἐν αὐτῷ τῆς λύπης γενο=
μένης. οὐ δὲ ἡ ὀργὴ τῆς λύπης ἀλλ' ἡ λύπη τῆς ὀργῆς αἰτία. ὥσθ' ἁ

πλῶς

πλῶς ἡ ὀργὴ οὐκ ἔστι λύπη. κατὰ ταῦτα δὲ οὐδ' ἡ πίστις ὑπόληψις. ἐν
δέχεται δὲ τὴν αὐτὴν ὑπόληψιν καὶ μὴ πιστεύοντα ἔχειν. οὐκ ἐνδέχε
ται δ' εἴπερ ἡ πίστις εἶδος ὑπολήψεως. οὐδὲ ἐνδέχεται τὸ αὐτὸ ἔτι δι
αμένειν, ἄν περ ἐκ τοῦ εἴδους ὅλως μεταβάλῃ. καθάπερ οὐδὲ τὸ αὐτὸ ζῶ
ον. ὁτὲ μὲν ἄνθρωπον εἶναι, ὁτὲ δὲ μή. ἐὰν δέ τις φῇ ἐξ ἀνάγκης τὸν ὑ
πολαμβάνοντα καὶ πιστεύειν, ἐπ' ἴσων ἡ ὑπόληψις καὶ ἡ πίστις ῥηθήσε
ται. ὥστε οὐδ' ἂν οὕτως εἴη γένος. ἐπὶ πλέον ἢ δεῖ λέγεσθαι τὸ γέ=
νος. Ορᾶν δὲ καὶ εἰ ἔντινι τῷ αὐτῷ πέφυκεν ἄμφω γίνεσθαι. ἐν ᾧ 61.
δὲ τὸ γένος, καὶ τὸ εἶδος. οἷον ἐν ᾧ τὸ λευκὸν, καὶ τὸ χρῶμα, καὶ ἐν ᾧ γραμ εἶδος, γένος.
ματικὴ, καὶ ἐπιστήμη. ἐὰν οὖν τις τὴν αἰσχύνην φόβον εἴπῃ, ἢ τὴν ὀρ
γὴν λύπην, οὐ συμβήσεται ἐν τῷ αὐτῷ, τὸ γένος καὶ τὸ εἶδος ὑπάρχειν.
ἡ μὲν δὲ αἰσχύνη, ἐν τῷ λογιστικῷ. ὁ δὲ φόβος τὸ τῷ θυμοειδεῖ· καὶ ἡ μὲν λύ
πη, ἐν τῷ ἐπιθυμητικῷ. ἐν τούτῳ δὲ καὶ ἡ ἡδονὴ, ἡ δὲ ὀργὴ, ἐν τῷ θυμοει=
δεῖ. ὥστ' οὐ γένη τὰ ἀποδοθέντα. ἐπειδὴ οὐκ ἐν τῷ αὐτῷ τοῖς εἴδεσι πέ
φυκε γίνεσθαι. ὁμοίως δὲ καὶ εἰ ἡ φιλία ἐν τῷ ἐπιθυμητικῷ, οὐκ ἂν εἴη
βούλησίστις. πᾶσα δὲ βούλησις, ἐν τῷ λογιστικῷ. χρήσιμος δὲ ὁ τόπος καὶ
πρὸς τὸ συμβεβηκός. ἐν τῷ αὐτῷ δὲ τὸ συμβεβηκὸς καὶ ᾧ συμβέβηκεν.
ὥστ' ἂν μὴ ἐν τῷ αὐτῷ φαίνητο, δῆλον ὅτι οὐ συμβέβηκεν. Ετι εἰ 62. genus nō participatur secundum quid
κατά τι τὸ εἶδος τοῦ εἰρημένου γένους μετέχει. οὐ δοκεῖ δὲ κατά τι μετέ
χεσθαι τὸ γένος. οὐ γὰρ ἐστιν ὁ ἄνθρωπος κατά τι ζῶον. οὐ δὲ ἡ γραμμα
τικὴ, κατά τι ἐπιστήμη. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. σκοπεῖν οὖν εἰ ἐπί
τινων κατά τι μετέχετο τὸ γένος. οἷον εἰ τὸ ζῶον ὅπερ αἰσθητὸν, ἢ ὁρα
τὸν, εἴρητο. κατά τι δὲ αἰσθητὸν καὶ ὁρατὸν τὸ ζῶον. κατὰ τὸ σῶμα δὲ αἰσθη
τὸν καὶ ὁρατόν. κατὰ δὲ τὴν ψυχὴν, οὔ. ὥστε οὐκ ἂν εἴη γένη τῶν ζώου, τὸ ὁρα
τὸν καὶ τὸ αἰσθητόν. Λανθάνουσι δ' ἐνίοτε καὶ τὸ ὅλον εἰς τὸ μέρος τιθέν 63.
τες. οἷον τὸ ζῶον, σῶμα ἔμψυχον. οὐδαμῶς δὲ τὸ μέρος τῶν ὅλου κατηγορεῖτο
ὥστ' οὐκ ἂν εἴη τὸ σῶμα γένος τῶν ζώου, ἐπειδὴ μέρος ἐστίν. Ορᾶν δὲ καὶ εἴ 64.

τι τῶν ψεκτῶν ἢ φευκτῶν εἰς δύναμιν, ἢ τὸ δυνατὸν ἔθηκεν. οἷον τὸν σοφιστὴν ἢ διάβολον, ἢ κλέπτην, τὸν δυνάμενον τὰ ἀλλότρια κλέπτειν. οὐδεὶς γὰρ τῶν εἰρημένων, τῷ δυνατὸς εἶναί τι τούτων τοιοῦτος λέγεται. δύναται μὲν γὰρ καὶ ὁ θεὸς, καὶ ὁ σπουδαῖος τὰ φαῦλα δρᾶν. ἀλλ' οὐκ εἰσὶ τοιοῦτοι. πάντες μὲν οἱ φαῦλοι κατὰ προαίρεσιν λέγονται. Ετι πᾶσαι αἱ δυνάμεις, τῶν αἱρετῶν. καὶ δὲ αἱ τῶν φαύλων δυνάμεις αἱρεταί. διὸ καὶ τὸν θεὸν καὶ τὸν σπουδαῖον ἔχειν φαμὲν αὐτάς. δυνατοὺς δὲ φαμὲν εἶναι τὰ φαῦλα πράττειν. ὥστε οὐδενὸς ἂν εἴη ψεκτοῦ γένος ἡ δύναμις. εἰ δὲ μὴ, συμβήσεταί τι τῶν ψεκτῶν, αἱρετὸν
65. εἶναι. ἔσται γὰρ τις δύναμις ψεκτή. καὶ εἴ τι τῶν δι' αὐτὸ τιμίων, ἢ αἱρετῶν εἰς δύναμιν, ἢ τὸ δυνατὸν, ἢ τὸ ποιητικὸν ἔθηκε. πᾶσα δὲ
66. δύναμις, καὶ πᾶν τὸ δυνατὸν, ἢ τὸ ποιητικὸν, δι' ἄλλο αἱρετόν. ἢ εἴ τι τῶν ἐν δυσὶ γένεσιν, ἢ πλείοσιν, εἰς θάτερον ἔθηκεν. ἔνια δὲ οὐκ ἔστιν εἰς ἓν γένος θεῖναι. οἷον τὸν φένακα καὶ τὸν διάβολον. οὔτε δὲ ὁ προαιρούμενος ἀδυνατῶν δὲ, οὔτε ὁ δυνάμενος μὲν, μὴ προαιρούμενος δὲ, διάβολος ἢ φέναξ ἀλλ' ὁ ἄμφω ταῦτα ἔχων. ὥστ' οὐ θάτερον εἰς ἓν γέ
67. νος ἀλλ' εἰς ἀμφότερα τὰ εἰρημένα. Ετι ἐνίοτε ἀνάπαλιν, τὸ μὲν γένος ὡς διαφορὰν ἀποδιδόασι. τὴν δὲ διαφορὰν, ὡς γένος, οἷον τὴν ἔκπληξιν, ὑπερβολὴν θαυμασιότητος, καὶ τὴν πίστιν σφοδρότητα ὑπολήψεως. οὔτε γὰρ ἡ ὑπερβολὴ, οὔτε ἡ σφοδρότης γένος, ἀλλὰ διαφορά. δοκεῖ γὰρ ἡ ἔκπληξις, θαυμασιότης εἶναι ὑπερβάλλουσα. καὶ ἡ πίστις ὑπόληψις σφοδρὰ ὥστε γένος ἡ θαυμασιότης, καὶ ἡ ὑπόληψίς ἐστιν. ἡ δὲ ὑπερβολὴ καὶ ἡ σφοδρότης, διαφορά. Ετι εἴ τις τὴν ὑπερβολὴν καὶ τὴν σφοδρότητα ὡς γένος ἀποδώσει, τὰ ἄψυχα πιστεύσει καὶ ἐκπλαγήσεται. ἡ γὰρ ἑκάστου σφοδρότης καὶ ὑπερβολὴ, πάρεστιν ἐκείνῳ οὗ ἐστι σφοδρότης καὶ ὑπερβολή. εἰ οὖν ἡ ἔκπληξις ὑπερβολή ἐστι θαυμασιότητος, παρέσται τῇ θαυμασιότητι

ἡ ἔκπλη=

ἡ ἔκπληξις. ὥστε ἡ θαυμασιότης ἐκπλαγήσεται. ὁμοίως δὲ καὶ ἡ πί-
στις παρέσται τῇ ὑπολήψει. εἴπερ σφοδρότης ὑπολήψεώς ἐστιν. ὥστε ἡ
ὑπόληψις πιστεύσει. Ετι συμβήσεται τῷ οὕτως ἀποδιδόντι, σφο-
δρότητα σφοδρὰν λέγειν· καὶ ὑπερβολὴν ὑπερβάλλουσαν. ἔστι γὰρ
τις πίστις σφοδρά. εἰ οὖν ἡ πίστις σφοδρότης ἐστὶ, σφοδρότης ἂν εἴη
σφοδρά. ὁμοίως δὲ καὶ ἔκπληξίς τίς ἐστιν ὑπερβάλλουσα. εἰ οὖν ἡ
ἔκπληξις ὑπερβολή ἐστιν, ὑπερβολὴ ἂν εἴη ὑπερβάλλουσα. οὐ δοκεῖ δὲ
οὐδέτερον τούτων, ὥσπερ οὐδὲ ἡ ἐπιστήμη ἐπιστῆμον. οὐδὲ ἡ κίνησις κι-
νούμενον. Ενίοτε δὲ διαμαρτάνουσι καὶ οἱ τὸ πάθος εἰς γένος 68.
τὸ πεπονθὸς τιθέντες. οἷον οἱ τὴν ἀθανασίαν ζωὴν ἀΐδιον φάσσκον-
τες εἶναι. πάθος γάρ τι ζωῆς ἢ σύμπτωμα ἡ ἀθανασία ἔοικεν εἶναι.
ὅτι δ' ἄληθὲς τὸ λεγόμενον, δῆλον ἂν γένοιτο, εἴ τις συγχωρήσειεν
ἐκ θνητοῦ ἀθάνατον γίνεσθαι. οὐδεὶς γὰρ φήσει ἑτέραν αὐτοζωὴν λαμ-
βάνειν, ἀλλὰ σύμπτωμά τι, ἢ πάθος αὐτῇ παραγεγενῆσθαι. ὥστ'
οὐ γένος ἡ ζωὴ τῆς ἀθανασίας. Ετι εἰ τὸ πάθος, οὗ ἐστι πά- Aphrodisius sic legit
θος ἐκεῖνο γένος φασὶν εἶναι. οἷον τὸ πνεῦμα ἀέρα κινούμενον. μᾶλ- 69. Ετι εἰ τοῦ πάθους, οὗ ἐστι πάθος, etcetera
λον γὰρ κίνησις ἀέρος τὸ πνεῦμα. ὁ γὰρ αὐτὸς ἀὴρ διαμένει. ὅταν
τε κινῆται· καὶ ὅταν μένῃ. ὥστ' οὐκ ἔστιν ὅλως ἀὴρ τὸ πνεῦμα. ἦν
γὰρ ἂν καὶ μὴ κινουμένου τοῦ ἀέρος πνεῦμα, εἴπερ ὁ αὐτὸς ἀὴρ δι-
αμένει, ὅσπερ ἦν πνεῦμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.
εἰ δ' ἄρα καὶ ἐπὶ τούτου δεῖ συγχωρῆσαι. ὅτι ἐστὶν ἀὴρ κινούμενος
τὸ πνεῦμα, ἀλλ' οὔτί γε κατὰ πάντων τὸ τοιοῦτον ἀποδεικτέον,
καθ' ὧν μὴ ἀληθεύεται τὸ τοιοῦτον γένος· ἀλλ' ἐφ' ὅσων ἀληθῶς κα-
τηγορεῖται τὸ ἀποδοθὲν γένος. ἐπ' ἐνίων γὰρ οὐ δοκεῖ ἀληθεύεσθαι.
οἷον ἐπὶ τῆς χιόνος καὶ τοῦ πηλοῦ. τὴν μὲν γὰρ χιόνα φασὶν ὕδωρ
εἶναι πεπηγός. τὸν δὲ πηλὸν, γῆν ὑγρῷ πεφυρμένην. ἔστι δ' οὔθ' ὁ
πηλὸς γῆ, οὔθ' ἡ χιὼν ὕδωρ. ὥστε οὐκ ἂν εἴη γένος οὐδέτερον τῶν

ἀποδο

ἀποδοθέντων γενῶν. δεῖ γὰρ τὸ γένος ἀληθεύεσθαι. ἀεὶ κατὰ τῶν εἰ=
δῶν. ὁμοίως οὐδ' ὁ οἶνος ὕδωρ ἐστὶ σεσηπὸς, καθάπερ ἐμπεδο=
Caput. 6. 70. κλῆς φησι, σαπὲν ἐν ξύλῳ ὕδωρ. Ετι εἰ ὅλως τὸ ἀποδοθὲν μη
71. δενός ἐστι γένος. δῆλον γὰρ ὡς οὐδὲ τοῦ λεχθέντος. σκοπεῖν δ' ἐκ τοῦ
μηδὲν διαφέρειν εἴδει τὰ μετέχοντα τοῦ ἀποδοθέντος γένους. οἷον
τὰ λευκά. οὐδὲν γὰρ διαφέρει τῷ εἴδει ταῦτ' ἀλλήλων. παντὸς δὲ
γένους, ἐστὶν εἴδη διάφορα. ὥστ' οὐκ ἂν εἴη τὸ λευκὸν γένος οὐδενός.

72. Γάλιν εἰ τὸ πᾶσιν ἀκολουθοῦν, γένος ἢ διαφορὰν εἶπε. πλείω δὲ
τὰ πᾶσιν ἑπόμενα. οἷον τὸ ὂν καὶ τὸ ἓν, τῶν πᾶσιν ἑπομένων ἐστίν. εἰ
οὖν τὸ ὂν γένος ἀπέδωκε, δῆλον ὅτι πάντων ἂν εἴη γένος. ἐπειδὴ κα
γένος τηγορεῖται αὐτῶν. κατ' οὐδενὸς γὰρ τὸ γένος, ἀλλ' ἢ κατὰ τῶν εἰ=
δῶν κατηγορεῖται. ὥστε καὶ τὸ ἓν εἶδος ἂν εἴη τοῦ ὄντος. συμβαίνει
οὖν κατὰ πάντων ὧν τὸ γένος κατηγορεῖται, καὶ τὸ εἶδος κατηγο=
ρεῖσθαι. ἐπειδὴ καὶ τὸ ὂν καὶ τὸ ἓν κατὰ πάντων ἁπλῶς κατηγορεῖται.
δέον ἐπ' ἔλασσον τὸ εἶδος κατηγορεῖσθαι. εἰ δὲ τὸ πᾶσιν ἑπόμενον δι
αφορὰν εἶπε, δῆλον ὅτι ἐπίσης ἢ ἐπὶ πλέον ἡ διαφορὰ τοῦ γένους
ῥηθήσεται. εἰ μὲν γὰρ καὶ τὸ γένος τῶν πᾶσιν ἑπομένων, ἐπίσης. εἰ
δὲ μὴ πᾶσιν ἕποιτο τὸ γένος, ἐπὶ πλέον ἡ διαφορὰ λέγοιτ' ἂν αὐτοῦ.

73. Ετι εἰ ἐν ὑποκειμένῳ τῷ εἴδει τὸ ἀποδοθὲν γένος λέγεται,
hic observatur dra inter esse ns/ et/ dici de/ καθάπερ τὸ λευκὸν ἐπὶ τῆς χιόνος. ὥστε δῆλον ὅτι οὐκ ἂν εἴη γέ=
νος. καθ' ὑποκειμένου γὰρ τοῦ εἴδους μόνον τὸ γένος λέγεται.

74. Σκοπεῖν δὲ καὶ εἰ μὴ συνώνυμον τὸ γένος τῷ εἴδει. κατὰ πάντων δὲ
75 τῶν εἰδῶν συνωνύμως τὸ γένος κατηγορεῖται. Ετι ὅταν ὄντος
τῷ γένει καὶ τῷ εἴδει ἐναντίου, τὸ βέλτιον τῶν ἐναντίων εἰς τὸ χεῖ=
ρον γένος τεθῇ. συμβήσεται γὰρ τὸ λοιπὸν ἐν τῷ λοιπῷ εἶναι. ἐπει
δὴ τὰ ἐναντία ἐν τοῖς ἐναντίοις γένεσιν. ὥστε τὸ βέλτιον ἐν τῷ χεί
ρονι ἔσται. δοκεῖ δὲ τοῦ βελτίονος καὶ τὸ γένος βέλτιον εἶναι.

Καὶ

Καὶ εἰ τοῦ αὐτοῦ ὁμοίως πρὸς ἄμφω ἔχοντος, εἰς τὸ χεῖρον, καὶ μὴ 76.
εἰς τὸ βέλτιον γένος ἔθηκεν. οἷον τὴν ψυχὴν ὅπερ κίνησιν, ἢ κινούμε-
νον. ὁμοίως γὰρ ἡ αὐτὴ στατικὴ καὶ κινητικὴ δοκεῖ εἶναι. ὥστ' εἰ
βέλτιον ἡ στάσις, εἰς ἐκεῖνο ἔδει τὸ γένος θεῖναι. Ετι ἐκ τοῦ μᾶλ- 77.
λον καὶ ἧττον, ἀνασκευάζοντι μὲν, εἰ τὸ γένος δέχεται τὸ μᾶλλον. τὸ δὲ
εἶδος μὴ δέχεται, μήτ' αὐτὸ μήτε τὸ κατ' ἐκεῖνο λεγόμενον. οἷον
εἰ ἡ ἀρετὴ δέχεται τὸ μᾶλλον, καὶ ἡ δικαιοσύνη καὶ ὁ δίκαι-
ος. λέγεται γὰρ δίκαιος μᾶλλον ἕτερος ἑτέρου. εἰ οὖν τὸ μὲν
ἀποδοθὲν γένος. δέχεται τὸ μᾶλλον, τὸ δ' εἶδος μὴ δέχεται μήτ'
αὐτὸ μήτε τὸ κατ' ἐκεῖνο λεγόμενον, οὐκ ἂν εἴη τὸ ἀποδοθὲν γένος.

Γάλιν εἰ τὸ μᾶλλον δοκοῦν ἢ ὁμοίως, μή ἐστι γένος, δῆλον ὅτι οὐ 78.
δὲ τὸ ἀποδοθέν. χρήσιμος δ' ὁ τόπος ἐπὶ τῶν τοιούτων, μάλιστα ἐφ' ὅ-
σων πλείω φαίνεται τοῦ εἴδους ἐν τῷ τί ἐστι κατηγορούμενα, καὶ μὴ
διώρισται. μὴ δ' ἔχομεν εἰπεῖν ποῖον αὐτῶν γένος. οἷον τῆς ὀργῆς καὶ
ἡ λύπη καὶ ἡ ὑπόληψις ὀλιγωρίας ἐν τῷ τί ἐστι δοκεῖ κατηγορεῖσθαι.
λυπεῖται γὰρ ὁ ὀργιζόμενος, καὶ ὑπολαμβάνει ὀλιγωρεῖσθαι. ἡ αὐ- 79.
τὴ δὲ σκέψις καὶ ἐπὶ τοῦ εἴδους πρὸς ἀλλότι συγκρίνοντί. εἰ γὰρ
τὸ μᾶλλον ἢ τὸ ὁμοίως δοκοῦν εἶναι ἐν τῷ ἀποδοθέντι γένει μή ἐστιν
ἐν τῷ γένει, δῆλον ὅτι οὐ δὲ τὸ ἀποδοθὲν ὅλως εἶδος, εἴη ἂν ἐν τῷ
γένει. ἀναιροῦντι μὲν οὖν, καθάπερ εἴρητι χρηστέον, κατασκευάζοντι δὲ
εἰ μὲν ἐπιδέχεται τὸ μᾶλλον τὸ ἀποδοθὲν γένος καὶ εἶδος, οὐ χρή-
σιμος ὁ τόπος. οὐδὲν δὲ κωλύει ἀμφοτέρων ἐπιδεχομένων μὴ εἶναι θά-
τερον θατέρου γένος. τό, τε δὲ λευκὸν καὶ τὸ καλὸν ἐπιδέχετι τὸ μᾶλλον.
καὶ οὐδέτερον ἑτέρου γένος. ἡ δὲ τῶν γενῶν καὶ τῶν εἰδῶν πρὸς ἄλληλα 80.
σύγκρισις, χρήσιμος. οἷον εἰ ὁμοίως τόδε καὶ τόδε γένος, εἰ θάτερον
γένος, καὶ θάτερον. ὁμοίως δὲ καὶ εἰ τὸ ἧττον καὶ τὸ μᾶλλον, οἷον εἰ τῆς
ἐγκρατείας μᾶλλον ἡ δύναμις ἢ ἡ ἀρετὴ γένος. εἰ δ' ἡ ἀρετὴ
γένος

adversus eos qui diffiniunt animam per motum

γένος, καὶ ἡ διάφορα. τὰ δ' αὐτὰ καὶ ἐπὶ τῶν εἰδῶν ἁρμόσει λέγεσθαι. εἰ γὰρ ὁμοίως τόδε καὶ τόδε τῶν προκειμένων εἶδος, εἰ θάτερον εἶδος. καὶ τὸ λοιπόν. καὶ εἰ τὸ ἧττον δοκεῖν εἶδός ἐστι, καὶ τὸ μᾶλλον.

81. Ἔτι πρὸς τὸ κατασκευάζειν σκεπτέον. εἰ γάρ ὧν ἀπολόθη τὸ γένος, ἓν τῷ τί ἐστι κατηγορεῖται, μὴ ὄντος ἑνὸς τῶν ἀπολοθέντος εἴδους, ἀλλὰ

82. καὶ πλειόνων καὶ διαφόρων, δῆλον γὰρ ὅτι γένος ἔσται. εἰ δ' ἓν τὸ ἀπολοθὲν εἶδός ἐστι, σκοπεῖν εἰ καὶ κατ' ἄλλων εἰδῶν τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. πάλιν γὰρ συμβήσεται κατὰ πλειόνων ἀνὰ

83. καὶ διαφόρων κατηγορεῖσθαι. καὶ γένος ὁμολογεῖσθαι. Ἐπεὶ δὲ δοκεῖ τισι καὶ ἡ διαφορὰ ἐν τῷ τί ἐστι τῶν εἰδῶν κατηγορεῖσθαι, χωρισέον τὸ γένος ἀπὸ τῆς διαφορᾶς, χρώμενον τοῖς εἰρημένοις σοφιστικοῖς. πρῶτον μὲν ὅτι τὸ γένος ἐπὶ πλέον λέγεται τῆς διαφορᾶς.

Quid. serpunt genus et dra 84. ἔτι ὅτι κατὰ τὸ τί ἐστιν ἀπόδοσιν μᾶλλον ἁρμόττει τὸ γένος ἢ τὴν διαφοράν εἰ πᾶν. ὃ γὰρ ζῷον εἰπὼν ἂν ἄνθρωπον, μᾶλλον δηλοῖ τί ἐστιν ὁ

85. ἄνθρωπος. ἢ ὁ πεζὸν εἰπών. καὶ ὅτι ἡ μὲν διαφορὰ, ποιότητα τοῦ γένους ἀεὶ σημαίνει. τὸ δὲ γένος τῆς διαφορᾶς, οὐ. ὁ μὲν γὰρ εἰπὼν πεζὸν. ποιοῦντι λέγει ζῷον. ὁ δὲ ζῷον εἰπών, οὐ λέγει ποιοῦντι πεζόν. τὴν μὲν οὖν διαφορὰν ἀπὸ τοῦ γένους οὕτω χωρισέον.

Indicatiuū denotatiuū zemis et comun principale principalis. 86. Ἐπεὶ δὲ δοκεῖ τὸ μουσικὸν ἢ μουσικόν ἐστιν ἐπιστήμον εἶναι. καὶ ἡ μουσικὴ ἐπιστήμη τίς ἐστι. καὶ εἰ τὸ βαδίζον τῷ βαδίζειν κινεῖται, ἡ βάδισις, κίνησίς τίς ἐστι. σκοπεῖν ἐν ᾧ ἂν βούλει γένει τὶ κατασκευάσαι τὸν εἰρημένον τόπον. οἷον εἰ τὴν ἐπιστήμην ὅπερ πίστιν, εἰ ὁ ἐπιστάμενος ἢ ἐπίσταται, πιστεύει. δῆλον γὰρ ὅτι ἡ ἐπιστήμη, πίστις ἂν εἴη.

hic locus no Verus sed probabilis. 87. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. Ἔτι ἐπεὶ τὸ παρεπόμενόν τινι ἀεὶ καὶ μὴ ἀντιστρέφον, καλεπὸν χωρίσαι τοῦ μὴ γένος εἶναι, ἂν τόδε μὲν τῷδε ἕπηται πάντι. τόδε δὲ τῷδε μὴ πάντι. οἷον τῇ νικηφορίᾳ ἡ ἀνδρεία. καὶ τῷ ἀριθμῷ τὸ διαιρετὸν, ἀνάπαλιν δ'

λιν δ' οὔ. τὸ γὰρ διαιρετὸν οὐ πᾶν ἀριθμός. οὐ δ' ἡ ἠρεμία νηνεμία πᾶσα, αὐτῷ μὲν χρῆσθαι ὡς γένους ὄντος τοῦ ἀεὶ ἀκολουθοῦντος, ὅταν μὴ ἀντιστρέφῃ θάτερον. ἄλλου δὲ προτείναντος. μὴ ἐπὶ πάντων ὑπακούειν. ἔνστασις δὲ τούτου, ὅτι τὸ μὴ ὂν ἕπεται παντὶ τῷ γινομένῳ. τὸ δὲ γινόμενον οὐκ ἔστι. καὶ οὐκ ἀντιστρέφει. οὐδὲ πᾶν τὸ μὴ ὂν γίνεται. ἀλλ' ὅμως οὐκ ἔστι γένος τὸ μὴ ὂν τοῦ γινομένου. ἁπλῶς γὰρ οὐκ ἔστι τοῦ μὴ ὄντος εἴδη. περὶ μὲν οὖν τοῦ γένους, καθάπερ εἴρηται μεθοδευτέον.

ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ΤΟΠΙΚΩΝ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΟΠΙΚΩΝ ΠΕΜΠΤΟΝ.

Nullos hic inierat locos Alexander sed tantum proprij distinctionem. Caput I

ΠΟτερον δ' ἴδιον ἢ οὐκ ἴδιόν ἐστι τὸ εἰρημένον, διὰ τῶνδε σκεπτέον. ἀποδίδοται δὲ τὸ ἴδιον ἢ καθ' αὑτὸ καὶ ἀεὶ, ἢ πρὸς ἕτερον καὶ ποτέ. ὅιον καθ' αὑτὸ μὲν ἄνθρωπον τὸ ζῶον ἥμερον φύσει, πρὸς ἕτερον δὲ, ὅιον ψυχῆς πρὸς σῶμα. ὅτι τὸ μὲν προστακτικόν. τὸ δ' ὑπηρετικόν ἐστιν. ἀεὶ δὲ, ὅιον θεοῦ, τὸ ζῶον ἀθάνατον. ποτὲ δὲ, ὅιον τοῦ τινὸς ἀνθρώπου τὸ περιπατεῖν ἐν τῷ γυμνασίῳ. ἔστι δὲ τὸ πρὸς ἕτερον ἴδιον ἀποδιδόμενον, ἢ δύο προβλήματα,+ ἢ τέτταρα. ἐὰν

ἀνθρώπου

2.

+ intelligas ποιεῖν.

ρα. ἐὰν δ τὸ μὴ ἀποδῷ, τῳ δ' ἀρνήσηται τωυτὸ τοῦτο δύο μόνον προ-
βλήματα γίνονται. καθάπερ, τὸ, ἀνθρώπου πρὸς ἵππον ἴδιον. ὅτι δίπ-
πους ἐστί. καὶ δ ὅτι ὁ ἄνθρωπος οὐ δίπους ἐστίν, ἐπιχειρεῖ τις ἄν. ἢ ὅ
τι ὁ ἵππος δίπους, ἀμφοτέρως ἂν κινοῖ τὸ ἴδιον. ἐὰν γὴ ἑκατέρα ἑκά-
τερον ἀποδῶ, καὶ ἑκατέρα ἀπαρνηθῇ, τέτταρα προβλήματα ἔσται. καθά-
περ τὸ ἀνθρώπου ἴδιον πρὸς ἵππον, ὅτι τὸ μὴ δίπουν, τὸ γὴ τετράπουν
ἐστί. καὶ γὰρ ὅτι ἄνθρωπος οὐ δίπουν ἐστί, καὶ ὅτι τετράπουν πέφυ
κεν ἐπιχειρεῖν. καὶ διότι ὁ ἵππος δίπουν καὶ διότι οὐ τετράπουν ὄν
τα ἐπιχειρεῖν. ὅπως δ' οὖν διειχθέντος, ἀναιρεῖται τὸ προκείμενον.

3. ἔστι δὲ τὸ μὲν καθ' αὑτὸ ἴδιον, ὃ πρὸς ἅπαντα ἀποδίδοται, καὶ παντὸς
χωρίζεται. καθάπερ ἀνθρώπου, τὸ ζῷον θνητὸν καὶ ἐπιστήμης δεκτικόν. τὸ
δὲ πρὸς ἕτερον, ὃ μὴ ἁπλῶς παντός, ἀλλ' ἁπλῶς τινος τακτῷ διορίζεται. καὶ
θάπερ ἀρετῆς πρὸς ἐπιστήμην. ὅτι τὸ μὲν ἀεὶ ὠφέλιμον. τὸ δ' οὐ λογιστι-
κῷ μόνῳ καὶ τοῖς ἔχουσι λογιστικὸν πέφυκε γίνεσθαι. τὸ δ' ἀεί, ὃ καθ'
ἅπαντα χρόνον ἀληθεύεται, καὶ μηδέποτε ἀπολείπεται. καθάπερ τοῦ ζῴου τὸ ἐκ ψυχῆς, καὶ σώματος συγκείμενον. τὸ δὲ ποτὲ, ὃ κατά τινα χρόνον ἀληθεύεται. καὶ μὴ ἐξ ἀνάγκης ἀεὶ παρέ-

4. πεται. καθάπερ τοῦ τινὸς ἀνθρώπου, τὸ περιπατεῖν ἢ ἀγορᾷ. ἔστι δὲ τὸ
πρὸς ἄλλο ἴδιον ἀποδοῦναι, τὸ διαφορὰν εἶναι, ἢ ἢ ἅπασι καὶ ἀεὶ,
ἢ ὡσεπὶ τὸ πολὺ καὶ ἢ τοῖς πλείστοις. οἷον ἢ ἅπασι καὶ ἀεὶ καθάπερ
τὸ ἀνθρώπου ἴδιον πρὸς ἵππον, ὅτι δίπουν. ἄνθρωπος μὲν γὰρ, καὶ πᾶς
καὶ ἀεὶ ἐστι δίπους. ἵππος δ' οὐδεὶς ἐστι δίπους οὐδέποτε. ὡσεπὶ τὸ πο-
λὺ δὲ καὶ ἢ τοῖς πλείστοις, καθάπερ τοῦ λογιστικοῦ ἴδιον τὸ ἄρχειν
πρὸς ἐπιθυμητικὸν καὶ θυμικόν. τῷ, τὸ μὲν προστάττειν. τὸ δ' ὑπηρε-
τεῖν. οὔτε γὰρ τὸ λογιστικὸν πᾶντοτε προστάττει, ἀλλ' ἔνιοτε καὶ προ-
στάττεται, οὔτε τὸ ἐπιθυμητικὸν καὶ θυμικὸν ἀεὶ προστάττεται, ἀλλὰ

5. καὶ προστάττει τε, ὅταν ᾖ μοχθηρὰ ἡ ψυχὴ τοῦ ἀνθρώπου. τῶν δ' ἰδί-

ον ἐστὶ

ων ἐσὶ λογικὰ μάλισα, τάτε καθ' αὐτὰ, καὶ ἀεί. καὶ τὰ πρὸς ἕτερον. τὸ μὲν γὰρ πρός ἕτερον ἴδιον. πολείω προβλήματά ἐσι καθάπερ εἴπομεν καὶ πρότερον. ἢ γὰρ δύο, ἢ τέτταρα ἐξ ἀνάγκης γίνονται τὰ προβλήματα. πολείας οὕτω δὲ λόγοι γίνονται πρὸς ταῦτα. τὸ δὲ καθ' αὐτὸ καὶ ἀεί, πρὸς πολλά ἐσιν ἐπιχειρεῖν, ἢ πρὸς πολείας χρόνους πειρατηρεῖν. τὸ μὲν καθ' αὐτὸ, πρὸς πολλά. πρὸς ἕκαστον γὰρ τῶν ὄντων δεῖ ὑπάρχειν αὐτῷ τὸ ἴδιον. ὥστε εἰ μὴ πρὸς ἅπαντα χωρίζεται, οὐκ ἂν εἴη καλῶς ἀποδεδομένον τὸ ἴδιον. τὸ δ' ἀεὶ πρὸς πολείους χρόνους τηρεῖν κἂν εἰ μὴ ὑπάρχῃ. κἂν εἰ μὴ ὑπῆρξε. κἂν εἰ μὴ ὑπάρξῃ. οὐκ ἔσται ἴδιον. τὸ δέ ποτε, οὐκ ἐν ἅπασι, ἢ πρὸς ἣν νῦν λεγόμενον χρόνον ἐπισκοποῦμεν, οὐκοῦν εἰσὶ λόγοι πρὸς αὐτὸ πολλοί. λογικὸν δὲ τοῦτ' ἐσὶ πρόβλημα, πρὸς ὃ λόγοι γίνονται ἂν καὶ συχνοὶ, καὶ καλοί. τὸ μὲν οὖν πρὸς ἕτερον ἴδιον ξυθεὶν, ἐκ τῶν περὶ τὸ συμβεβηκὸς τόπων ἐπισκεπτέον ἐσὶν, εἰ τῷ μὲν συμβέβηκε, τῷ δ' οὔ. περὶ δὲ τῶν ἀεὶ καὶ τῶν καθ' αὑτὸ, διὰ τῶνδε θεωρητέον. πρῶτον μὲν, εἰ καλῶς ἀποδέδοται τὸ ἴδιον, ἢ μὴ καλῶς. τὸ δὲ καλῶς ἢ μὴ καλῶς, ἐσιν ἓν μὲν, εἰ μὴ διὰ γνωριμωτέρων ἢ γνωριμωτέρων κεῖται τὸ ἴδιον. ἀναστρέφοντα μὲν, εἰ μὴ διὰ γνωριμωτέρων. κατασκευάζοντα δὲ εἰ διὰ γνωριμωτέρων. τὸ δὲ μὴ διὰ γνωριμωτέρων, ἔστι τὸ μὲν, εἰ ὅλως ἀγνωσότερόν ἐσι τὸ ἴδιον ὁ ἀποδίδωσι τούτου, οὗ τὸ ἴδιον εἴρηκεν. οὐ δ' ἔσται καλῶς κείμενον τὸ ἴδιον. γνώσεως δ' ἕνεκα τὸ ἴδιον ποιεῖται. τὸ δ' μανθάνειν ἕνεκεν, καὶ τὸ ἴδιον, καὶ τοὺς ὁρισμοὺς ποιεῖται. διὰ γνωριμωτέρων δεῖ χωρίζειν. οὕτως δ' ἔσται καταμανθάνειν ἱκανῶς μᾶλλον. ἐπεὶ ὁ θεὶς πυρὸς ἴδιον εἶναι τὸ ὁμοιότατον ψυχῇ. ἀγνωστοτέρῳ κέχρηται τῷ πυρὸς τῇ ψυχῇ. μᾶλλον δ' ἴσμεν τί ἐσι πῦρ ἢ ψυχή, οὐκ ἂν εἴη καλῶς κείμενον ἴδιον πυρὸς, τὸ ὁμοιότατον ψυχῇ. τὸ δὲ εἰ μὴ γνωριμώτερόν 8.
ἐσι τόδε τῷ δ' ὑπάρχον. δεῖ γὰρ μὴ μόνον εἶναι γνωριμώτερον τὸ

6. Caput 2. hucusque primus locus vt vult Alexander.

πράγματος, ἀλλὰ καὶ τῷ δ' ὑπάρχειν γνωριμώτερον εἶναι. ὁ μὴ γὰρ εἰδὼς εἰ τῷ δ' ὑπάρχει, οὐδ' εἰ τῷ δ' ὑπάρχει μόνῳ γνωριεῖ. ὥστε ὁποτέρου τούτων συμβάντος ἀσαφὲς γίνεται τὸ ἴδιον. ὅιον ἐπεὶ ὁ θεὶς πυρὸς ἴδιον, τὸ ἐν ᾧ πρώτῳ ψυχὴ πέφυκεν εἶναι, ἀγνωστοτέρῳ κέχρηται τοῦ πυρὸς, τῷ εἰ ἐν τούτῳ ὑπάρχει ψυχή. καὶ εἰ ἐν πρώτῳ ὑπάρχει, οὐκ ἂν εἴη καλῶς κείμενον ἴδιον πυρὸς, τὸ ἐν ᾧ
9. πρώτῳ ψυχὴ πέφυκεν εἶναι. κατασκευάζοντα δὲ, εἰ διὰ γνωριμωτέρων κεῖται τὸ ἴδιον. καὶ εἰ διὰ γνωριμωτέρων καθ' ἑκάτερον τῶν τρόπων. ἔσται γὰρ κατὰ τοῦτο καλῶς κείμενον τὸ ἴδιον. τῶν γὰρ
τόπων κατασκευαστικῶν τρόπων τοῦ καλῶς, οἱ μὲν κατὰ τοῦτο μόνον, οἱ δ' ἁπλῶς, δείξουσιν ὅτι καλῶς, ὅιον ἐπεὶ ὁ εἰπὼν ζώου ἴδιον τὸ αἴσθησιν ἔχειν, διὰ γνωριμωτέρων, καὶ γνωριμώτερον ἀπέδωκε τὸ ἴδιον καθ' ἑκάτερον τῶν τρόπων, εἴη ἂν καλῶς ἀποδοὺς κατὰ τοῦτο ἴδιον τοῦ
10. ζώου, τὸ αἴσθησιν ἔχειν. Επειτ' ἀνασκευάζοντα μὲν εἴτι τῶν ὀνομά
ὅλος ἐπὶ των τῶν ἐν τῷ ἰδίῳ ἀποδεδομένων πλεοναχῶς λέγετ. ἢ καὶ ὅλως ὁ λόγος πλείω σημαίνει. οὐ γὰρ ἔσται καλῶς κείμενον τὸ ἴδιον. ὅιον ἐπὶ τὸ αἰσθάνεσθαι πλείω σημαίνει. ἓν μὲν, τὸ αἴσθησιν ἔχειν. ἓν δὲ, τῷ αἰσθήσει χρῆσθαι. οὐκ ἂν εἴη τοῦ ζώου ἴδιον καλῶς κείμενον, τὸ αἰσθάνεσθαι πεφυκός. διὰ τοῦτο οὐδὲ χρηστέον ἐστὶν, οὔτ' ὀνόματι πλεοναχῶς λεγομένῳ, οὔτε λόγῳ τῷ τὸ ἴδιον σημαίνοντι, διότι τὸ πλεονα-
μέλλοντος χῶς λεγόμενον, ἀσαφὲς ποιεῖ τὸ ῥηθέν. ἀποροῦντος τοῦ μέλλοντες ἐπιχειρεῖν, τὸ πότερόν ποτε λέγει τῶν πλεοναχῶς λεγομένων. τὸ γὰρ ἴδιον τοῦ μαθεῖν χάριν ἀποδίδοται. ἔτι δὲ πρὸς τούτοις ἀναγκαῖόν ἐστιν, ἔλεγχόν τινα γίνεσθαι τοῖς οὕτως ἀποδιδοῦσι τὸ ἴδιον, ὅταν ἐπὶ τοῦ διαφωνοῦντος ποιῇ τὶς τὸν συλλογισμὸν τοῦ πλεοναχῶς λε-
11 γομένου. κατασκευάζοντα δὲ, εἰ μὴ πλείω σημαίνει μήτε τῶν ὀνομάτων μηδὲν, μήθ' ὁ λόγος. ἔσται γὰρ κατὰ τοῦτο καλῶς κείμε-

νον τὸ

νον τὸ ἴδιον. ὅιον ἐπεὶ οὔτε τὸ σῶμα πολλὰ δηλοῖ, οὔτε τὸ εὐκινη-
τότατον εἰς τὸν ἄνω τόπον, οὔτε τὸ σάνολον τὸ ἐκ τούτων συντιθέμενον,
εἴη ἂν καλῶς κείμενον κατὰ τοῦτο, πυρὸς ἴδιον, σῶμα τὸ εὐκινητό=
τατον εἰς τὸν ἄνω τόπον. Επειτ' ἀνασκευάζοντα μὲν, εἰ πλεοναχῶς 12.
λέγοιτο τοῦτο οὗ τὸ ἴδιον ἀποδίδωσι. μὴ διώρισται δὲ, τὸ, τίνος αὐ
τῶν ἴδιον τίθησιν. οὐ γὰρ ἔσται καλῶς ἀποδεδομένον τὸ ἴδιον. δι'
ἃς δ' αἰτίας, οὐκ ἄδηλόν ἐστιν ἐκ τῶν πρότερον εἰρημένων. τὰ γὰρ αὐ
τὰ συμβαίνειν ἂν ἀναγκαῖόν ἐστιν. ὅιον ἐπεὶ τὸ ἐπίστασθαι τοῦτο, πολ=
λὰ, σημαίνει. τὸ μὲν γὰρ, ἐπιστήμην ἔχειν αὐτὸ, τὸ δ' ἐπιστήμῃ χρῆσθαι
αὐτό. τὸ δ' ἐπιστήμην εἶναι αὐτοῦ. τὸ δ' ἐπιστήμῃ χρῆσθαι αὐτοῦ, οὐκ ἂν
εἴη τοῦ ἐπίστασθαι τοῦτο, καλῶς ἴδιον ἀποδεδομένον οὐδὲν, μὴ διορι=
σθέντος τοῦ τίνος τίθησιν αὐτῷ τὸ ἴδιον. κατασκευάζοντα δὲ, εἰ μὴ λέ 13.
γοιτο πολλαχῶς τοῦτο, οὗ τὸ ἴδιον τίθησιν, ἀλλ' ἔστιν ἓν καὶ ἁπλοῦν. ἴδιον
ἔσται γὰρ καλῶς κατὰ τοῦτο κείμενον τὸ ἴδιον ὅιον ἐπεὶ ὁ ἄνθρωπος
λέγετο ἁπλῶς, εἴη ἂν καλῶς κείμενον κατὰ τοῦ ἀνθρώπου τὸ, ζῶον ἥ
μερον φύσει. Επειτ' ἀνασκευάζοντα μὲν, εἰ πλεονάκις εἴρηται τὸ αὐ 14.
τὸ ἐν τῷ ἰδίῳ. πολλάκις γὰρ λανθάνουσι τοῦτο ποιοῦντες καὶ ἐν τοῖς
ἰδίοις, καθάπερ καὶ ἐν τοῖς ὅροις. οὐκ ἔσται δὲ καλῶς κείμενον τὸ τοῦ
το πεπονθὸς ἴδιον. ταράττει γὰρ τὸν ἀκούοντα τὸ πλεονάκις λε
χθέν. ἀσαφὲς οὖν ἀναγκαῖόν ἐστι γίνεσθαι. καὶ πρὸς τούτοις ἀδολεσχεῖν
δοκοῦσιν. ἔσται δὲ συμπίπτον τὸ πλεονάκις εἰπεῖν τὸ αὐτὸ, κατὰ δύο
τρόπους. καθ' ἕνα μὲν, ὅταν ὀνομάσῃ πλεονάκις τὸ αὐτό. καθάπερ εἴ
τις ἀποδοίη ἴδιον πυρὸς, σῶμα τὸ λεπτότατον τῶν σωμάτων. οὗτος
γὰρ πλεονάκις εἴρηκε τὸ σῶμα. δεύτερον δὲ, ἐάν τις μεταλαμβά=
νῃ τοὺς λόγους ἀντὶ τῶν ὀνομάτων. καθάπερ εἴ τις ἀποδοίη γῆς
ἴδιον, οὐσία ἡ μάλιστα κατὰ φύσιν φερομένη τῶν σωμάτων εἰς
τὸν κάτω τόπον. ἔπειτα μεταλαμβάνοι ἀντὶ τῶν σωμάτων τὸ, τῶν.

οὐσιῶν

οὐσιῶν τοιαυτί. ἓν γὰρ καὶ ταυτόν ἐστι σῶμα. καὶ οὐσία τοιαυτί. ἔστω γὰρ οὕτως τὸ οὐσία πλεονάκις εἰρηκώς. ὥστ' οὐδὲ τοῦτον καλῶς ἂν
15. εἴη κείμενον τῶν ἰδίων, κατασκευάζοντα δὲ, εἰ μηδενὶ χρῆται πλεονάκις ὀνόματι τῷ αὐτῷ. ἔστω γὰρ κατὰ ζῴου καλῶς ἀποδεδομένον τὸ ἴδιον. ὃν ἐπεὶ ὁ εἶπας ἀνθρώπου ἴδιον, ζῷον ἐπιστήμης δεκτικόν, οὐ κέχρηται τῷ αὐτῷ πολλάκις ὀνόματι, εἴη ἂν κατὰ τοῦτο
16. καλῶς ἀποδεδομένον τοῦ ἀνθρώπου τὸ ἴδιον. Επειτ' ἀνασκευάζοντα μὴ, εἰ τοιοῦτόν τι ἀποδέδωκεν ἐν τῷ ἰδίῳ ὄνομα, ὃ πᾶσιν ὑπάρχει. ἀχρεῖον γὰρ ἔστω τὸ μὴ χωρίζον ἀπότινων. τὸ δ' ἐν τοῖς ἰδίοις λεγόμενον χωρίζειν δεῖ, καθάπερ καὶ τὰ ἐν τοῖς ὅροις. οὐκοῦν ἔστω καλῶς κείμενον τὸ ἴδιον. ὃν ἐπεὶ ὑπόθεις ἐπιστήμης ἴδιον ὑπόληψιν ἀμετάπειστον ὑπὸ λόγου ἓν ὄν, τοιούτῳ τινὶ κέχρηται ἐν τῷ ἰδίῳ τῷ ἑνί, ὃ πᾶσιν ὑπάρχει, οὐκ ἂν εἴη καλῶς κείμενον τὸ τῆς ἐπιστήμης
17. ἴδιον. κατασκευάζοντα δὲ, εἰ μηδενὶ κέχρηται κοινῷ, ἀλλ' ἀπότινος χωρίζοντι. ἔστω γὰρ καλῶς κείμενον κατὰ ζῴου τὸ ἴδιον. ὃν ἐπεὶ εἶπας ζῴου ἴδιον τὸ, ψυχὴν ἔχειν, οὐδενὶ κέχρηται κοινῷ, εἴη ἂν κατὰ ζῴου καλῶς κείμενον ζῴου ἴδιον τὸ, ψυχὴν ἔχειν.

18. Εφεξῆ ἀνασκευάζοντα μὴ εἰ πλείω ἴδια ἀποδέδωσι τοῦ αὐτοῦ, μὴ διορίσας ὅτι πλείω πίθηκον. οὐ γὰρ καλῶς ἔστω κείμενον τὸ ἴδιον. καθάπερ γὰρ οὐδ' ἐν τοῖς ὅροις δεῖ παρὰ τὸν δηλωθέντα λόγον τῷ οὐσίαν προσκεῖσθαί τι πλέον, οὕτως οὐδ' ἐν τοῖς ἰδίοις παρὰ τὸν ποιοῦντα λόγον ἴδιον τὸ ξηρὸν, οὐδὲν προσαποδοτέον. ἀχρεῖον γὰρ γίνεται τὸ τοιοῦτον. ὃν ἐπεὶ ὁ εἶπων ἴδιον πυρὸς σῶμα τὸ λεπτότατον καὶ κουφότατον, πλείω ἀποδέδωκεν ἴδια. ἑκάτερον γὰρ κατὰ μόνα τοῦ πυρὸς ἀληθές ἐστιν εἰπεῖν, οὐκ ἂν εἴη καλῶς κείμενον ἴδιον
19. πυρὸς, σῶμα τὸ λεπτότατον καὶ κουφότατον. κατασκευάζοντα δὲ, εἰ μὴ πλείω τοῦ αὐτοῦ ἴδια ἀποδέδωκεν, ἀλλ' ἕν. ἔστω δὲ κατὰ τοῦτο καλῶς κεί-

Aphro

ἢ ὡς ἐνδόξοις λεγομένοις δεῖ προσέχειν τοῖς ἐνταῦθα. Plutarch probabilia sunt. ἐχῆς quæ dicit Aristot.

τοπικῶν, ε.

λῶς κείμενον τὸ ἴδιον. ὅταν ἐπεὶ ὁ ἐπὶ τῶν ὑγροῦ ἴδιον, σῶμα τὸ εἰς ἅπαν χῆμα ἀγόμενον, ἐν ἀποδέδωκε τὸ ἴδιον ἀλλ' οὐ πλείω, εἴη ἂν καὶ τὰ τοῦ καλῶς κείμενον τὸ τοῦ ὑγροῦ ἴδιον, Εἰ δὲ ἀνασκευάζοντα μὴ, εἰ αὐτῷ προσκέχρηται οὗ τὸ ἴδιον ἀποδίδωσιν, ἢ τῶν αὐτοῦ τινί. οὐ δ' ἔστι καλῶς κείμενον τὸ ἴδιον. τοῦ γὰρ μαθεῖν χάριν ἀποδέδοται τὸ ἴδιον. αὐτὸ μὴ δὲ αὐτῷ ὁμοίως ἄγνωστόν ἐστι. τὸ δέ τινι τῶν αὐτοῦ ὕστερον, οὐκ ἔστι γνωριμώτερον. ὥστ' οὐ γίνεται διὰ τούτων μάλιστα μαθεῖν. ὅταν ἐπεὶ ὁ ἐπὶ τῶν ζῴου ἴδιον, οὐσίαν ἧς ἐστιν εἶδος ἄνθρωπος, τινὶ προσκέχρηται τοῦ ζῴου, οὐκ ἂν εἴη καλῶς κείμενον τὸ ἴδιον. κατασκευάζοντα δὲ, εἰ μήτε αὐτῷ μήτε τῷ αὐτοῦ μηδενὶ χρῆται. ἔστι γὰρ καὶ τοῦτο καλῶς κείμενον τὸ ἴδιον. ὅταν ἐπεὶ ὁ θεὶς ζῴου ἴδιον τὸ ἐκ ψυχῆς καὶ σώματος συγκείμενον, οὔτε αὐτῷ, οὔτε τῶν αὐτοῦ οὐδενὶ κέχρηται, εἴη ἂν καλῶς κατὰ τοῦτο ἀποδεδομένον τὸ τοῦ ζῴου ἴδιον. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων σκεπτέον ἐπὶ τῶν μὴ ποιούντων, ἢ ποιούντων γνωριμώτερον. Ἀνασκευάζοντα μὲν, εἴτινι προσκέχρηται ἢ ἀντικειμένῳ, ἢ ὅλως ἅμα τῇ φύσει. ἢ ὑστέρῳ τινί. οὐ γὰρ ἔστι καλῶς κείμενον τὸ ἴδιον. τὸ μὲν γὰρ ἀντικείμενον, ἅμα τῇ φύσει. τὸ δ' ἅμα τῇ φύσει καὶ τὸ ὕστερον, οὐ ποιεῖ γνωριμώτερον. ὅταν ἐπεὶ ὁ ἐπὶ τοῦ ἀγαθοῦ ἴδιον ὁ κακῷ μάλιστα ἀντίκειται, τῷ ἀντικειμένῳ πρόσκέχρηται τοῦ ἀγαθοῦ. οὐκ ἂν εἴη τοῦ ἀγαθοῦ καλῶς ἀποδεδομένον τὸ ἴδιον. κατασκευάζοντα δὲ, εἰ μηδενὶ προσκέχρηται, μήτ' ἀντικειμένῳ, μήτε ὅλως ἅμα τῇ φύσει. μήθ' ὑστέρῳ. ἔστι γὰρ κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ ἴδιον. ὅταν ἐπεὶ ὁ θεὶς ἐπιστήμης ἴδιον ὑπόληψιν τὴν βεβαιοτάτην, οὐδενὶ προσκέχρηται, οὔτε τῷ ἀντικειμένῳ, οὔτε ὅλως ἅμα τῇ φύσει, οὔθ' ὑστέρῳ, εἴη ἂν κατὰ τοῦτο καλῶς κείμενον τὸ τῆς ἐπιστήμης ἴδιον. Εἰ δ' ἀνασκευάζοντα μὲν, εἰ μὴ ἀεὶ πάρεστι κινούμενον, ἴδιον ἀποδέδωκεν, ἀλλὰ τοῦτο οὐ γίνεται ποτὲ μὴ

ποτὲ μὴ ἴδιον dixit pro ποτὲ μὴ ὑπάρχον vel non Aphro ἴδιον

1. δεῖ προσέχειν τοῖς ἐνταῦθα. Plutarch probabilia sunt. ἐχῆς quæ dicit Aristot.
20. ἀνασκευάζοντα
21. ἀνασκευάζοντα
22. ἀνασκευάζοντα
23. ἀνασκευάζοντα
24. ἀνασκευάζοντα

quod sit ὕστερον aliud a communi e proprio

ὕστερον aliquid magis

ἴδιον. οὐ γὰρ ἔσται καλῶς εἰρημένον τὸ ἴδιον, οὔτε γὰρ ἐφ' ᾧ κατα-
λαμβάνομεν ὑπάρχον αὐτὸ, κατὰ τούτου καὶ τοὔνομα ἐξ ἀνάγκης ἀ-
ληθεύεται, οὔτε ἐφ' ᾧ καταλαμβάνεται μὴ ὑπάρχον, κατὰ τούτου
ἐξ ἀνάγκης οὐ ῥηθήσεται τοὔνομα, ὥστ' οὐκ ἂν εἴη καλῶς κείμενον τὸ ἴ-
διον. Ετι δὲ πρὸς τούτοις οὐ δ' ὅτε ἀποδέδωκε τὸ ἴδιον, ἔσται
φανερὸν εἰ ὑπάρχει, εἴπερ τοιοῦτόν ἐστιν, ὅιον ἀπολείπειν. οὔκουν ἔσται
σαφὲς τὸ ἴδιον. ὅιον ἐπεὶ ὁθεὶς ζώου ἴδιον τὸ κινεῖσθαι ποτὲ ἢ ἑστᾶ-
ναι, τοιοῦτον ἀποδέδωκε τὸ ἴδιον, ὃ γίνεται ποτὲ μὴ ἴδιον, οὐκ ἂν
25. εἴη καλῶς κείμενον τὸ ἴδιον. κατασκευάζοντα δὲ εἰ τὸ ἐξ ἀνάγκης ἀεὶ
ὂν ἴδιον ἀποδέδωκεν. ἔσται γὰρ καλῶς κείμενον τὸ ἴδιον κατὰ τοῦ-
το. ὅιον ἐπεὶ ὁθεὶς ἀρετῆς ἴδιον, ὃ τὸν ἔχοντα ποιεῖ σπουδαῖον, τὸ ἀεὶ
παρεπόμενον ἴδιον ἀποδέδωκεν, εἴη ἂν κατὰ τοῦτο καλῶς ἀποδε-
26 δομένον τὸ τῆς ἀρετῆς ἴδιον. Επειτ' ἀνασκευάζοντα μὲν, εἰ τὸ
νῦν ἴδιον ἀποδιδοὺς, μὴ διωρίσατο ὅτι τὸ νῦν ἴδιον ἀποδίδωσιν.
οὐ γὰρ ἔσται καλῶς κείμενον τὸ ἴδιον. πρῶτον μὲν γὰρ τὸ παρὰ τὸ ἔ-
θος γινόμενον ἅπαν, διορισμοῦ προσδεῖται. εἰώθασι δ' ὡς ἐπιτοπολύ
πάντες τὸ ἀεὶ παρακολουθοῦν, ἴδιον ἀποδιδόναι. δεύτερον δὲ, ἄδη-
λός ἐστιν ὁ μὴ διορισάμενος, εἰ τὸ νῦν ἴδιον ἐβούλετο θεῖναι, οὐκοῦν
οὔκουν δοτέον ἐστὶν ἐπιτιμήσεως σκῆψιν. ὅιον ἐπεὶ ὁ θέμενος τοῦ τινος ἀνθρώ-
που ἴδιον τὸ καθῆσθαι μετά τινος ἀνθρώπου. τὸ νῦν ἴδιον τίθησιν,
οὐκ ἂν εἴη καλῶς τὸ ἴδιον ἀποδεδωκὼς, εἴπερ μὴ διορισάμενος εἶ-
27. πεν ὅτι νῦν. κατασκευάζοντα δὲ, εἰ τὸ νῦν ἴδιον ἀποδιδοὺς, διορι-
σάμενος ἔθηκεν, ὅτι τὸ νῦν ἴδιον τίθησιν. ἔσται γὰρ καλῶς κείμενον
κατὰ τοῦτο τὸ ἴδιον ὅιον ἐπεὶ ὁ εἴπας τινὸς ἀνθρώπου ἴδιον τὸ πε-
ριπατεῖν νῦν που διαστειλάμενος ἔθηκε τοῦτο, καλῶς ἂν εἴη κείμε-
28 νον τὸ ἴδιον. Επειτ' ἀνασκευάζοντα μὲν εἰ τοιοῦτον ἀποδέ-
δωκε τὸ ἴδιον, ὃ φανερὸν μή ἐστιν ἄλλως ὑπάρχον ἢ αἰσθήσει. οὐ γὰρ
ἔσται

ἔσται καλῶς κείμενον τὸ ἴδιον. ἄτοπον γὰρ αἰσθητὸν ἔξω γινόμενον τῆς αἰσθήσεως, ἄδηλον γίνεται. ἀφανὲς γάρ ἐστιν εἰ ἔτι ὑπάρχει, διὰ τὸ τῇ αἰσθήσει μόνον γνωρίζεσθαι. ἔσται δ' ἀληθὲς εἰπεῖν. ἐπεὶ τῶν μὴ ἐξ ἀνάγκης ἀεὶ παρακολουθούντων. ὅτιον ἐπεὶ ὁ θέμενος ἡλίου ἴδιον ἄστρον φερόμενον ὑπὲρ γῆν τὸ λαμπρότατον, τοιούτῳ κέχρηται τῷ ἰδίῳ τῷ ὑπὲρ γῆν φέρεσθαι, ὃ τῇ αἰσθήσει γνωρίζεται. οὐκ ἂν εἴη καλῶς τὸ τοῦ ἡλίου ἀποδεδομένον ἴδιον. ἄδηλον γὰρ ἔσται ὅταν δύῃ ὁ ἥλιος, εἰ φέρεται ὑπὲρ γῆς, διὰ τὸ τὴν αἴσθησιν τότε ἀπολείπειν ἡμᾶς. κατασκευάζοντα δὲ, εἰ τοιοῦτον ἀποδέδωκε τὸ ἴδιον, ὃ μὴ τῇ αἰσθήσει φανερόν ἐστιν, ἢ ὃ αἰσθητὸν ὄν, ἐξ ἀνάγκης ὑπάρχον, δῆλόν ἐστιν, ἔσται γὰρ κατὰ τοῦτο καλῶς κείμενον τὸ ἴδιον. ὅτιον ἐπεὶ ὁ θέμενος ἐπιφανείας ἴδιον, ὃ πρῶτον κέχρωσται, αἰσθητῷ μού τινι προσκέχρηται τῷ κεχρῶσθαι. τοιούτῳ δὲ, ὃ φανερόν ἐστιν ὑπάρχον ἀεὶ, εἴη ἂν κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ τῆς ἐπιφανείας, ἴδιον. 29.

Ἔτι ἀνασκευάζοντα μὴ. εἰ γὰρ ὅρον ὡς ἴδιον ἀποδέδωκαν. οὐ καλῶς ἔσται κείμενον τὸ ἴδιον, οὐ γὰρ δεῖ δηλοῦν τὸ τί ἦν εἶναι τὸ ἴδιον. ὅτιον ἐπεὶ ὁ εἰπὰς ἀνθρώπου ἴδιον, ζῷον πεζὸν δίπουν, τὸ τί ἦν εἶναι σημαῖνον ἀποδέδωκε τοῦ ἀνθρώπου ἴδιον, οὐκ ἂν εἴη τὸ τοῦ ἀνθρώπου ἴδιον καλῶς ἀποδεδομένον· κατασκευάζοντα δ', εἰ ἀντικατηγορούμενον μὴ ἀποδέδωκε τὸ ἴδιον, μὴ τὸ τί ἦν εἶναι δὲ δηλοῦν. ἔσται γὰρ κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ ἴδιον. ὅτιον ἐπεὶ ὁ θεὶς ἀνθρώπου ἴδιον, τὸ ζῷον ἥμερον φύσει, ἀντικατηγορούμενον μὴ ἀποδέδωκε τὸ ἴδιον, οὐ τὸ τί ἦν εἶναι δὲ δηλοῦν, εἴη ἂν κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ ἴδιον τοῦ ἀνθρώπου. 30. 31.

Ἔτι ἀνασκευάζοντα μὴ, εἰ μὴ εἰς τὸ τί ἐστιν ὁ θεὶς ἀποδέδωκε τὸ ἴδιον. δεῖ δὲ τῶν ἰδίων καθάπερ τῶν ὅρων τὸ ἀποδίδοσθαι γένος, ἔπειθ' οὕτως ἤδη προσάπτεσθαι τὰ λοιπὰ μὴ χαλεπὸν εἶναι· ὥστε τὸ μὴ τοῦτον τὸν τόπον κείμενον ἴδιον, οὐκ ἂν εἴη καλῶς ἀποδεδομένον. 32.

ὅλον ἐπεὶ ὁ εἴπας ζώου ἴδιον τὸ ψυχὴν ἔχειν, οὐκ ἔθηκεν εἰς τὸ τί ἐστι
33 ζῶον, οὐκ ἂν εἴη καλῶς κείμενον τὸ τοῦ ζώου ἴδιον. κατασκευάζοντα δὲ
ἔστις εἰς τὸ τί ἐστι θεὶς οὗ τὸ ἴδιον ἀποδίδωσι, τὰ λοιπὰ προσάπτει. ἔστω γὰρ κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ ἴδιον. ὅτι ἐπεὶ
ὁ θεὶς ἀνθρώπου ἴδιον, ζῶον ἐπιστήμης δεκτικόν, εἰς τὸ τί ἐστι θεὶς ἀ
πέδωκε τὸ ἴδιον, εἴη ἂν κατὰ τοῦτο καλῶς κείμενον τὸ ἴδιον τοῦ ἀν
θρώπου. πότερον μὴν οὕτω καλῶς ἢ οὐ καλῶς ἀποδέδοται τὸ ἴδιον,
Capit 3. διὰ τῶνδε σκεπτέον. πότερον δ' ἰδιόν ἐστιν ὅλως τὸ εἰρημένον, ἢ οὐκ
ἴδιον, ἐκ τῶνδε θεωρητέον. οἱ γὰρ ἁπλῶς κατασκευάζοντες τὸ ἴδιον
ὅτι καλῶς κεῖται, τόποις οἷς αὐτοὶ ἔστονται τοῖς τὸ ἴδιον ὅλως ποιοῦσιν. οἱ
34 ἐκείνοις οὕτω χρήσονται. Πρῶτον μὲν οὖν ἀνασκευάζοντας ἐπι
βλέπειν ἑφ' ἑκάστου οὗ τὸ ἴδιον ἀποδέδωκεν. ὅλον εἰ μηδενί ὑπάρ
χει, ἢ εἰ μὴ κατὰ τοῦτο ἀληθεύεται, ἢ εἰ μή ἐστιν ἴδιον ἑκάστου αὐτῶν
κατ' ἐκεῖνο, οὗ τὸ ἴδιον ἀποδέδωκεν. οὐ γὰρ ἔστω ἴδιον τὸ κείμενον
εἶναι ἴδιον. ὅλον ἐπεὶ κατὰ τοῦ γεωμετρικοῦ οὐκ ἀληθεύεται τὸ ἀνε
ξαπάτητον εἶναι ὑπὸ λόγου. ἀπατᾶται γὰρ ὁ γεωμέτρης ἐν τῷ ψευ
δογραφεῖσθαι, οὐκ ἂν εἴη τοῦτο ἐπιστήμονος ἴδιον τὸ μὴ ἀπατᾶσθαι ὑ
πὸ λόγου. κατασκευάζοντα δὲ, εἰ κατὰ παντὸς ἀληθεύεται, καὶ κα
35 τὰ τοῦτ' ἀληθεύεται. ἔστω γὰρ ἴδιον τὸ κείμενον εἶναι ἴδιον. ὅλον
ἐπεὶ τὸ ζῶον ἐπιστήμης δεκτικὸν κατὰ παντὸς ἀνθρώπου ἀληθεύε
ται, καὶ ἦν ἄνθρωπος, εἴη ἂν ἀνθρώπου ἴδιον, τὸ, ζῶον ἐπιστήμης δε
36 κτικόν. ἔστι δὲ ὁ τόπος οὗτος ἀνασκευάζοντι μὲν, εἰ μὴ κατ' οὐ τοῦ
νομα, καὶ ὁ λόγος ἀληθεύεται. καὶ εἰ μὴ κατ' οὗ ὁ λόγος, καὶ τοῦνο
37 μα. κατασκευάζοντι δὲ, εἰ κατ' οὗ τοῦνομα, καὶ ὁ λόγος. καὶ εἰ κατ'
38 οὗ ὁ λόγος, καὶ τοῦνομα κατηγορεῖται. Επειτ' ἀνασκευάζοντα
μὲν, εἰ μὴ κατ' οὗ ὁ λόγος, καὶ τοῦνομα ἀληθεύεται· καὶ εἰ μὴ κατ'
οὗ τοῦνομα, καὶ ὁ λόγος ἀληθεύεται. οὐ γὰρ ἔστω ἴδιον, τὸ κείμε

νον

νον ἴδιον εἶναι. οἷον ἐπεὶ τὸ μὴ ζῷον ἐπιστήμης λεκτικὸν ἀληθεύειν
κατὰ θεοῦ, ὁ δὲ ἄνθρωπος οὐ κατηγορεῖται, οὐκ ἂν εἴη τοῦ ἀνθρώπου
ἴδιον, ζῷον ἐπιστήμης λεκτικόν. κατασκευάζοντα δὲ, εἰ καθ' οὗ ὁ λό 39.
γος, καὶ τοὔνομα κατηγορεῖται· καθ' οὗ τοὔνομα, καὶ ὁ λόγος κατηγο
ρεῖται. ἔσται γὰρ ἴδιον τὸ κείμενον εἶναι ἴδιον, οἷον ἐπεὶ καθ' οὗ τὸ
ψυχὴν ἔχειν τὸ ζῷον ἀληθεύεται, καὶ καθ' οὗ τὸ ζῷον, τὸ ψυχὴν ἔ=
χειν, εἴη ἂν τὸ ψυχὴν ἔχειν τοῦ ζῴου ἴδιον. Ἐπεὶ δ' ἀνασκευάζοντα 40
μὴν, εἰ τὸ ὑποκείμενον ἴδιον ἀποδέδωκε τῷ ὂν τῷ ὑποκειμένῳ λε=
γομένου. οὐ γὰρ ἔσται ἴδιον τὸ κείμενον ἴδιον. οἷον ἐπεὶ ὁ ἀποδιδοὺς
ἴδιον τοῦ λεπτομερεστάτου σώματος, τὸ πῦρ, τὸ ὑποκείμενον ἀποδέ=
δωκε τῷ κατηγορουμένῳ ἴδιον, οὐκ ἂν εἴη τὸ πῦρ, σώματος τοῦ λε=
πτομερεστάτου ἴδιον. διὰ τοῦδε δ' οὐκ ἔσται τὸ ὑποκείμενον τοῦ ὂν τῷ
ὑποκειμένῳ λεγομένου ἴδιον, διότι τὸ αὐτὸ πλειόνων ἔσται καὶ διαφό
ρων τῷ εἴδει ἴδιον. τῷ γὰρ αὐτῷ, πλείω τινὰ διάφορα τῷ εἴδει
ὑπάρχει κατὰ μόνου λεγόμενα, ὧν ἔσται πάντων ἴδιον τὸ ὑποκεί=
μενον, ἐάν τις οὕτως τιθῆται τὸ ἴδιον. κατασκευάζοντα δὲ, εἰ τὸ ὂν 41
τῷ ὑποκειμένῳ ἀποδέδωκεν ἴδιον τοῦ ὑποκειμένου. ἔσται γὰρ ἴδιον
τὸ κείμενον μὴ εἶναι ἴδιον, ἐάν περ κατὰ μόνου κατηγορῆται ὡς εἴρη
ται τὸ ἴδιον. οἷον ἐπεὶ ὁ εἴπας γῆς ἴδιον, σῶμα τὸ βαρύτατον τῷ εἴ=
δει τοῦ ὑποκειμένῳ ἀποδέδωκε τὸ ἴδιον κατὰ μόνα λεγόμενον τοῦ πρά
γματος, καὶ ὡς τὸ ἴδιον κατηγορεῖται εἴη ἂν τὸ τῆς γῆς ἴδιον, ὀρθῶς κεί
μενον. Ἐπεὶ δ' ἀνασκευάζοντα μὴν, εἰ κατὰ μέθεξιν ἀποδέδωκε τὸ 42
ἴδιον. οὐ δ' ἔσται ἴδιον τὸ κείμενον εἶναι ἴδιον. τὸ δὲ κατὰ μέθεξιν ὑπάρ
χον, εἰς τὸ τί ἦν ἐστὶν συμβάλλεται. εἴη δ' ἂν τὸ ζωτικόν, διαφορά τις κατά
τινος εἴδους λεγομένη. οἷον ἐπεὶ ὁ εἴπας ἀνθρώπου ἴδιον τὸ πεζὸν δί
πουν, κατὰ μέθεξιν ἀπέδωκε τὸ ἴδιον, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ πεζὸν
δίπουν. κατασκευάζοντα δὲ, εἰ μὴ κατὰ μέθεξιν ἀπέδωκε τὸ ἴδιον, μήτε 43.

τὸ τὶ ἦν εἶναι δηλοῦν, ἀντικατηγορουμένου τοῦ πράγματος. ἔστω
γὰρ ἴδιον τὸ κείμενον μὴ εἶναι ἴδιον. διὸν ἐπεὶ ὁ θεὸς ζῴου ἴδιον τὸ
ἀιθάνεσθαι πεφυκός, οὔτε κατὰ μέθεξιν ἀπέδωκαν ἴδιον, οὔτε τὸ
τὶ ἦν εἶναι δηλοῦν, ἀντικατηγορουμένου τοῦ πράγματος, εἰκὸς ἂν ζῴου ἴ-
44. διον τὸ ἀιθάνεσθαι πεφυκός. Ἔπειτ' ἀνασκευάζοντα μὴ, εἰ μὴ συνδέ
χεται ἅμα ὑπάρχειν τὸ ἴδιον, ἀλλ' ἢ ὕστερον, ἢ πρότερον, ἢ οὐ τὸ ὄνο-
μα. οὐ γὰρ ἔστω ἴδιον, τὸ κείμενον εἶναι ἴδιον, ἢ συνλέποτε, ἢ οὐκ ἀεί.
διὸν ἐπεὶ συνλέχεται καὶ πρότερόν τινι ὑπάρξαι, καὶ ὕστερον τὸ βα-
δίξειν διὰ τῆς ἀγορᾶς, ἢ τὸ ἄνθρωπος, οὐκ ἂν εἴη τὸ βαδίζειν διὰ τῆς
45. ἀγορᾶς, ἴδιον ἀνθρώπου, ἢ συνλέποτε, ἢ οὐκ ἀεί. κατασκευάζοντα δὲ, εἰ
ἅμα ἐξ ἀνάγκης ἀεὶ ὑπάρχει μήτε ὅρος ὤν, μήτε διαφορά. ἔστω γὰρ
ἴδιον τὸ κείμενον μὴ εἶναι ἴδιον. διὸν ἐπεὶ τὸ ζῷον ἐπιστήμης δεκτι-
κὸν ἅμα ἐξ ἀνάγκης ἀεὶ ὑπάρχει καὶ τὸ ἄνθρωπος, οὔτε διαφορά ὄν,
40. οὔθ' ὅρος, εἰκὸς ἂν τὸ ζῷον ἐπιστήμης δεκτικόν, τοῦ ἀνθρώπου ἴδιον. Ἔπει
τ' ἀνασκευάζοντα μὴ, εἰ τῶν αὐτῶν ἢ ταὐτά ἐστι, μὴ ἔστι τὸ αὐτὸ ἴδιον.
οὐ δὲ ἔστω ἴδιον τὸ κείμενον εἶναι ἴδιον. διὸν, ἐπεὶ οὐκ ἔστι διαφορὰ τοῦ
φαίνεσθαί τισιν ἀγαθὸν ἴδιον, οὐδ' ἂν αἱρετὸν εἴη ἴδιον, τὸ φαίνεσθαί
47 τισιν ἀγαθόν. ταυτὸν γὰρ ἐστὶ τὸ διωκτὸν καὶ τὸ αἱρετόν. κατασκευά-
ζοντα δὲ, εἰ τοῦ αὐτοῦ ἢ ταυτόν ἐστι, τὸ αὐτὸ ἴδιον. ἔστω γὰρ ἴδιον τὸ
κείμενον μὴ εἶναι ἴδιον. διὸν ἐπεὶ ἀνθρώπου ἢ ἄνθρωπός ἐστι, λέγεται
ἴδιον τὸ τριμερῆ ψυχὴν ἔχειν. καὶ βροτοῦ ἢ βροτός ἐστιν, εἰκὸς ἂν ἴδιον
ἀνθρώπου, τὸ τριμερῆ ψυχὴν ἔχειν. χρήσιμος δ' ὁ τόπος οὗτος καὶ ἐπὶ
τῶν συμβεβηκότος. τοῖς δὲ αὐτοῖς ἢ ταυτά ἐστι ταῦτα δὴ ὑπάρχειν ἢ μὴ
ὑπάρχειν. Ἔπειτ' ἀνασκευάζοντα μὴ, εἰ τῶν αὐτῶν τῷ εἴδει, μὴ ταυ-
48. τὸν ἀεὶ τῷ εἴδει τὸ ἴδιόν ἐστι. οὐδὲ γὰρ τοῦ εἰρημένου ἔστω ἴδιον, τὸ
κείμενον εἶναι ἴδιον. διὸν ἐπεὶ ταυτόν ἐστι τῷ εἴδει ἄνθρωπος καὶ ἵππος
οὐκ ἀεὶ δὲ τοῦ ἵππου ἐστὶν ἴδιον, τὸ ἐξάναι ὑφ' αὑτοῦ, οὐδ' ἂν εἴη
τοῦ ἀν

ὑπὸ εἴδη pro ἐνέν. 48. corrumpitur ante propria quae pendent genere

τοῦ ἀνθρώπου ἴδιον, τὸ κινεῖσθαι ὑφ' αὑτοῦ. ταυτὸν γάρ ἐστι τῷ εἶδει τὸ κινεῖσθαι καὶ ἐσάναι ὑφ' αὑτοῦ ἢ ζῴῳ ἐστὶν ἑκατέρῳ αὐτῶν τὸ συμβεβηκέναι. κατασκευάζοντα δέ, εἰ τῶν αὐτῶν τῷ εἴδει, ταυτὸν ἀεὶ τῷ εἴδει τὸ ἴδιον. ἔσται γὰρ ἴδιον τὸ κείμενον μὴ εἶναι ἴδιον. οἷον ἐπεὶ ἀνθρώπου ἐστὶν ἴδιον τὸ εἶναι πεζὸν δίποδα, καὶ ὄρνιθος ἂν εἴη ἴδιον, τὸ εἶναι πτηνὸν δίποδα. ἑκάτερον δὲ ζῴων, ἐστὶ ταυτὸν τῷ εἴδει. ἢ τὰ μὲν ὡς ὑπὸ τὸ αὐτὸ γένος ἐστὶν εἴδη, ὑπὸ τὸ ζῷον ὄντα. τὰ δέ, ὡς γένους διαφορᾶι τοῦ ζῴου. ὅτι δὲ ὁ τόπος ψευδής ἐστιν, ὅταν τὸ μὲν ἕτερον τῶν λεχθέντων ἐνίτινι μόνῳ ὑπάρχῃ εἴδει. τὸ δ' ἕτερον πολλοῖς. καθάπερ τὸ πεζὸν τετράποδα. Ἐπεὶ δὲ τὸ ταυτὸν καὶ τὸ ἕτερον πολλαχῶς λέγεται, ἔργον ἐστὶ σοφιστικῶς λαμβάνοντι, ἑνὸς ἀποδοῦναι καὶ μόνου τινὸς τὸ ἴδιον. τὸ μὲν ὑπάρχον τινὶ ᾧ συμβέβηκέ τι, καὶ τῷ συμβεβηκότι ὑπάρξει, λαμβανομένῳ μετὰ τοῦ ᾧ συμβέβηκεν. οἷον τὸ ὑπάρχον ἀνθρώπῳ, καὶ λευκῷ ἀνθρώπῳ ὑπάρξει, ἂν ᾖ λευκὸς ἄνθρωπος. καὶ τὸ, λευκῷ ἀνθρώπῳ ὑπάρχον, καὶ ἀνθρώπῳ ὑπάρξει. διαβάλλοι δ' ἄν τις τὰ πολλὰ τῶν ἰδίων, τὸ ὑποκείμενον ἄλλο μὲν καθ' αὑτὸ ποιῶν. ἄλλο δὲ μετὰ τοῦ συμβεβηκότος. οἷον ἄλλο μὲν ἄνθρωπον εἶναι λέγων. ἄλλο δὲ λευκὸν ἄνθρωπον. ἔτι δὲ ἕτερον ποιῶν τῇ ἕξιν, καὶ τὸ κατὰ τὴν ἕξιν λεγόμενον. τὸ γὰρ τῇ ἕξει ὑπάρχον, καὶ τῷ κατὰ τὴν ἕξιν λεγομένῳ ὑπάρξει. καὶ τὸ τῷ κατὰ τὴν ἕξιν λεγομένῳ ὑπάρχον, καὶ τῇ ἕξει ὑπάρξει. οἷον ἐπεὶ ὁ ἐπιστήμων κατὰ τὴν ἐπιστήμην λέγεται διακεῖσθαι, οὐκ ἂν εἴη τῆς ἐπιστήμης ἴδιον τὸ ἀμετάπειστον ὑπὸ λόγου. καὶ γὰρ ὁ ἐπιστήμων ἔστω ἀμετάπειστος ὑπὸ λόγου. κατασκευάζοντα δέ, ζητέον ὡς οὐκ ἔστιν ἕτερον ἁπλῶς τὸ ᾧ συμβέβηκε καὶ τὸ συμβεβηκὸς, μετὰ τοῦ ᾧ συμβέβηκε λαμβανόμενον. ἀλλ' ἄλλο λέγεται, τῷ ἕτερον εἶναι αὐτοῖς τὸ εἶναι. οὐ ταυτὸν γάρ ἐστιν ἀνθρώπῳ τε τὸ εἶναι ἀνθρώπῳ, καὶ λευκῷ ἀνθρώπῳ, τὸ

49.

ἢ τὰ μὲν

γένους

Adversus Sophistas argumentantes

quo Sophistae argumentantur

πῳ, τὸ εἶν ἀνθρώπῳ λευκῷ. ἔτι δὲ θεωρητέον ἐστὶ παρὰ τὰς πτώ-
σεις, λέγοντα διότι οὐθ' ὁ ἐπιστήμων ἔσται τὸ ἀμετάπειστον ὑπὸ λόγου,
ἀλλ' ὁ ἀμετάπειστος ὑπὸ λόγου. οὐθ' ἡ ἐπιστήμη τὸ ἀμετάπειστον ὑπὸ
λόγου, ἀλλ' ἡ ἀμετάπειστος ὑπὸ λόγου. πρὸς γὰρ τὸν πάντως εὐιστά-
50. μενον, πάντως ἀντιτακτέον ἐστίν. Επειτ' ἀνασκευάζοντα μὲν,
εἰ τὸ φύσει ὑπάρχον βουλόμενος ἀποδοῦναι, τοῦτον τὸν τρόπον τίθη-
σι τῇ λέξει. ὥστε τὸ ἀεὶ ὑπάρχον σημαίνειν. δόξειε γὰρ ἂν κινεῖσθαι τὸ
κείμενον εἶναι ἴδιον. οἷον ἐπεὶ ὁ εἴπας ἀνθρώπου ἴδιον τὸ δίπουν,
βούλεται μὲν τὸ φύσει ὑπάρχον ἀποδιδόναι. σημαίνει δὲ τῇ λέξει τὸ
ἀεὶ ὑπάρχον, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ δίπουν. οὐ γὰρ πᾶς ἄνθρω-
51 πός ἐστι δύο πόδας ἔχων. κατασκευάζοντα δ' εἰ βούλεται τὸ φύσει
ὑπάρχον ἴδιον ἀποδιδόναι, καὶ τῇ λέξει τοῦτον τὸν τρόπον σημαίνει.
οὐ γὰρ κινήσεται κατὰ τοῦτο τὸ ἴδιον. οἷον ἐπεὶ ὁ ἀνθρώπου ἴδιον ἀ-
ποδιδοὺς τὸ ζῶον ἐπιστήμης δεκτικόν, καὶ βούλεται καὶ τῇ λέξει, ση-
μαίνει τὸ φύσει ὑπάρχον ἴδιον, οὐκ ἂν κινοῖτο κατὰ τοῦτο, ὡς οὐκ ἔστιν
52 ἀνθρώπου ἴδιον, τὸ ζῶον ἐπιστήμης δεκτικόν. Ετι ὅσα λέγετε ὡς
κατ' ἄλλότι πρῶτον ἢ ὡς πρῶτον αὐτὸ, ἔργον ἐστὶν ἀποδοῦναι τῶν τοιού-
των τὸ ἴδιον. ἐὰν μὲν δὲ τοῦ κατ' ἄλλότι, ἴδιον ἀποδιδῷς, καὶ κατὰ
τοῦ πρώτου ἀληθεύεται. ἐὰν δὲ τοῦ πρώτου θῇς, καὶ τοῦ κατ' ἄλλο κατη-
γορηθήσεται. οἷον ἐὰν μέντις ἐπιφανείας ἴδιον ἀποδῷ τὸ κεχρῶσθαι,
καὶ κατὰ τοῦ σώματος ἀληθεύσετε τὸ κεχρῶσθαι. ἐὰν δὲ σώματος, καὶ ἐπι-
φανείας κατηγορηθήσεται. ὥστε οὐ καθ' οὗ ὁ λόγος, καὶ τοὔνομα ἀλη-
53 θεύσεται. Συμβαίνει δ' ἐν εὐίοις τῶν ἰδίων ὡς ἐπιτοπολὺ γί-
νεσθαί τινα ἁμαρτίαν, παρὰ τὸ μὴ διορίζεσθαι πῶς καὶ τίνων τίθησι τὸ
ἴδιον. ἅπαντες γὰρ ἐπιχειροῦσιν ἀποδιδόναι τὸ ἴδιον, ἢ τὸ φύσει ὑπάρ-
χον. καθάπερ ἀνθρώπου τὸ δίπουν. ἢ τὸ ὑπάρχον καθάπερ ἀνθρώπου
τινὸς, τὸ τέτταρας δακτύλους ἔχειν. ἢ εἴδει καθάπερ πυρὸς τὸ λεπτομε-

ρέστατον

ρέστατον. ἢ ἁπλῶς καθάπερ ζώου τὸ ζῆν. ἢ κατ' ἄλλο, καθάπερ ψυχῆς
τὸ φρόνιμον. ἢ ὡς τὸ πρῶτον, καθάπερ λογιστικοῦ τὸ φρόνιμον. ἢ ὡς τὸ ἔ-
χειν, καθάπερ ἐπιστήμονος τὸ ἀμετάπειστον ὑπὸ λόγου. οὐδὲν γὰρ ἕ-
τερον, ἢ τὸ ἔχειν τὶ ἔσται ἀμετάπειστον ὑπὸ λόγου. ἢ τοῦ ἔχεσθαι, καθά-
περ ἐπιστήμης τὸ ἀμετάπειστον ὑπὸ λόγου. ἢ τῷ μετέχεσθαι, καθά-
περ ζώου τὸ αἰσθάνεσθαι. αἰσθάνεται μὲν γὰρ κατ' ἄλλό τι, οἷον ἄν- καὶ
θρωπος, ἀλλὰ μετέχον ἤδη τούτου, αἰσθάνεται. ἢ τὸ μετέχειν, καθά-
περ τοῦ τινὸς ζώου τὸ ζῆν. μὴ προσθεὶς μὲν οὖν τὸ φύσει, ἁμαρτάνει. δι-
ότι ἐνδέχεται τὸ φύσει ὑπάρχον. μὴ ὑπάρχειν ἐκείνῳ ᾧ φύσει ὑπάρ-
χει. καθάπερ ἀνθρώπῳ τὸ δύο πόδας ἔχειν. μὴ διορίσας δ' ὅτι τὸ ὑ-
πάρχον ἀποδίδοσιν, ὅτι οὐκ ἔσται τοιοῦτον, οἷον νῦν ὑπάρχει ἐκεῖνο.
καθάπερ τὸ τέτταρας δακτύλους ἔχειν τὸν ἄνθρωπον. μὴ δη-
λώσας δὲ διότι ὡς πρῶτον, ἢ ὡς κατ' ἄλλο τίθησιν, ὅτι οὐ οὗ καθ' ὁ
λόγος καὶ τὄνομα ἀληθεύσεται: καθάπερ τὸ κεχρῶσθαι, εἴτε τῆς
ἐπιφανείας τοῦ σώματος ἀποδοθείη ἴδιον. μὴ προείπας δὲ διότι
ἢ τῷ ἔχειν ἢ τῷ ἔχεσθαι τὸ ἴδιον ἀποδέδωκε, διότι οὐκ ἔσται ἴδι-
ον τὸ ἀποδοθέν. ὑπάρξει γὰρ ἐὰν μὲν τῷ ἔχεσθαι ἀποδιδῷ τὸ ἴ-
διον, καὶ τῷ ἔχοντι. ἐὰν δὲ τῷ ἔχοντι, καὶ τῷ ἐχομένῳ καθάπερ τὸ
ἀμετάπειστον ὑπὸ λόγου, τῆς ἐπιστήμης ἢ τοῦ ἐπιστήμονος τεθὲν ἴ-
διον. μὴ προσημήνας δὲ, τῷ μετέχειν, ἢ τῷ μετέχεσθαι καὶ ὅτι ἄλ-
λοις τισὶν ὑπάρξει τὸ ἴδιον. ἐὰν μὲν δὲ τῷ μετέχεσθαι ἀποδῷ, τοῖς με-
τέχουσιν. ἐὰν δὲ τῷ μετέχειν, τοῖς μετεχομένοις. καθάπερ εἰ τῶν τινὸς ζώ-
ου. ἢ τῶν ζώου τιθείη τὸ ζῆν ἴδιον. μὴ διαστείλας δὲ τὸ τῷ εἴδει, ὅτι ἑνὶ μό-
νῳ ὑπάρξει τῶν ὑπὸ τοῦτο ὄντων οὗ τὸ ἴδιον τίθησι. τὸ δὲ καθ' ὑπερβολὴν ἑ-
νὶ μόνῳ ὑπάρχει. καθάπερ τῶν πυρὸς τὸ κουφότατον. ἐνίοτε δὲ καὶ τὸ, τῷ εἴ- 54.
δει προσθεὶς, διήμαρτε. δεήσει δὲ ἓν εἶδος εἶναι τῶν λεχθέντων, ὅταν τὸ τῷ
εἴδει προστεθῇ. τοῦτο δ' ἐπ' ἐνίων οὐ συμπίπτει. καθάπερ οὐδ' ἐπὶ τοῦ

πυρός

πυρός. οὐ γὰρ ἔστιν ἓν εἶδος τοῦ πυρός. ἕτερον γὰρ ἔστι τῷ εἴδει, ἄνθραξ καὶ φλόξ καὶ φῶς. ἕκαστον αὐτῶν πῦρ ὄν. διὰ τοῦτο δ' οὐ δεῖ τῷ εἴδει προστεθεῖν, ἕτερον εἶναι εἶδος τοῦ λεχθέντος. ὅτι τοῖς μὲν μᾶλλον τοῖς δ' ἧττον ὑπάρξει τὸ λεχθὲν ἴδιον. καθάπερ ἐπὶ τοῦ πυρὸς τὸ λεπτομερέστατον. λεπτομερέστερον γάρ ἐστι τὸ φῶς τοῦ ἄνθρακος καὶ τῆς φλογός. τοῦτο δ' οὐ δεῖ γίνεσθαι, ὅταν μὴ καὶ τὸ ὄνομα μᾶλλον κατηγορῆται, καθ' οὗ ὁ λόγος μᾶλλον, καὶ τοὔνομα μᾶλλον. ἔτι δὲ πρὸς τούτοις ταὐτὸν εἶναι συμβήσεται τὸ ἴδιον τοτὲ ἁπλῶς καὶ τοῦ μάλιστα ὄντος ἐν τῷ ἁπλῶς τοιούτῳ. καθάπερ ἐπὶ τοῦ πυρός ἐστι τὸ λεπτομερέστατον. καὶ γὰρ τοῦ φωτός, καὶ τοῦ πυρὸς ἁπλῶς ἔσται ταὐτὸ τοῦτο ἴδιον. λεπτομερέστατον γάρ ἐστι τὸ φῶς. ἄλλου μὲν οὖν οὕτως ἀποδιδόντος τὸ ἴδιον, ἐπιχειρητέον, αὐτῷ δ' οὐδὲν τοιοῦτόν ἐστι ταύτῃ τῇ ἔνστασιν. ἀλλ' εὐθὺς τιθέμενον τὸ ἴδιον, διοριστέον ὃν τρόπον τίθησι τὸ ἴδιον.

Capit. 4. 55. Ἔπειτ' ἀνασκευάζοντα μέν, εἰ αὐτὸ αὑτοῦ ἴδιον ἔθηκεν. οὐ γὰρ ἔσται ἴδιον τὸ κείμενον εἶναι ἴδιον. αὐτὸ γὰρ αὑτῷ πᾶν, τὸ εἶναι δηλοῖ. τὸ δὲ τὸ εἶναι δηλοῦν, οὐκ ἴδιον, ἀλλ' ὅρος ἐστίν. ὅτι δ' ἐπεὶ ὁ εἰπὼν καλοῦ τὸ πρέπον ἴδιον εἶναι, αὐτὸ ἑαυτοῦ ἴδιον ἀπέδωκε. ταὐτὸν γάρ ἐστι τὸ καλὸν καὶ πρέπον, οὐκ ἂν εἴη τὸ πρέπον τοῦ καλοῦ ἴδιον. κατασκευάζοντα δ', εἰ μὴ αὐτὸ μὲν αὑτοῦ ἴδιον ἀπέδωκον, ἀντικατηγορούμενον δ' ἔθηκον. ἔσται γὰρ ἴδιον, τὸ κείμενον μὴ εἶναι ἴδιον. ὅτι δ' ἐπεὶ ὁ θεὶς, ζώου ἴδιον τὸ οὐσία ἔμψυχος, οὐκ αὐτὸ μὲν αὐτοῦ ἴδιον ἔθηκον. ἀντικατηγορούμενον δ' ἀπέδωκον. εἴη ἂν ἴδιον ζῷου τὸ οὐσία ἔμψυχος.

56. Ἔπειτα ἐπὶ τῶν ὁμοιομερῶν σκεπτέον ἐστίν, ἀνασκευάζοντα μέν, εἰ τὸ ζῷου σωλόλου ἴδιον μὴ ἀληθεύεται κατὰ τὰ μέρους. ἢ εἰ τὸ τοῦ μέρος ἴδιον μὴ λέγεται κατὰ τοῦ σύμπαντος. οὐ γὰρ ἔσται ἴδιον τὸ κείμενον ἴδιον εἶναι. συμβαίνει δ' ἐπ' ἐνίων τοῦτο γίνεσθαι. ἀποδοὺς γὰρ

δεῖ. σταν

deficunt sta
ἀληθεύεται, εἰ δὲ μὴ, οὐκ ἔσται
καθ' οὗ ὁ λόγος μᾶλλον,

γὰρ ἄντις ἐπὶ τῶν ὁμοιομερῶν ἴδιον· ἐνίοτε μὲν ἐπὶ τὸ σύμπαν
βλέψας. ἐνίοτε δ' ἐπὶ τὸ κατὰ μέρος λεγόμενον, αὐτὸς αὑτὸν ἐπιστή=
σας. ἔσται δ' οὐδέτερον ὀρθῶς ἀποδεδομένον. οἷον ἐπὶ μὲν τοῦ σύμ=
παντος, ἐπεὶ ὁ εἴπας θαλάττης ἴδιον, τὸ πλεῖστον ὕδωρ ἁλμυρὸν,
ὁμοιομεροῦς μέν τινος ἔθηκε τὸ ἴδιον. τοιοῦτον δ' ἀποδέδωκεν,
ὃ οὐκ ἀληθεύεται κατὰ τοῦ μέρους. οὐ γάρ ἐστιν ἡ τῆς θάλαττα
τὸ πλεῖστον ὕδωρ ἁλμυρὸν, οὐκ ἂν εἴη τῆς θαλάττης ἴδιον τὸ πλεῖστον
ὕδωρ ἁλμυρόν. ἐπεὶ δὲ τοῦ μέρους. οἷον ἐπεὶ ὁ θεὶς ἀέρος ἴδιον τὸ ἀνα ἐπὶ.
πνευστὸν, ὁμοιομεροῦς μέν τινος εἴρηκε τὸ ἴδιον, τοιοῦτον δ' ἀπέδωκεν,
ὃ κατὰ τοῦ τινὸς ἀέρος ἀληθεύεται, κατὰ δὲ τοῦ σύμπαντος οὐ λέγε
ται. οὐ γάρ ἐστιν ὁ σύμπας ἀναπνευστὸς, οὐκ ἂν εἴη τοῦ ἀέρος ἴδιον τὸ
ἀναπνευστόν. κατασκευάζοντα δὲ, εἰ ἀληθεύεται μὲν καθ' ἑκάστου τῶν ὁ 57.
μοιομερῶν. ἔστι δ' ἴδιον αὐτῶν κατὰ τὸ σύμπαν. ἔσται γὰρ ἴδιον τὸ κεί
μενον μὴ εἶναι ἴδιον, οἷον ἐπεὶ ἀληθεύεται κατὰ πάσης γῆς τὸ κάτω
φέρεσθαι κατὰ φύσιν. ἔστι δὲ ἴδιον οὐδὲ τῆς τινὸς γῆς κατὰ τὴν
γῆν. κατὰ γὰρ τὴν γῆν καὶ τὸ γῆν εἶναι, εἴη ἂν τῆς γῆς ἴδιον· τὸ κά=
τω φέρεσθαι κατὰ φύσιν. Ἔπειτα ἐκ τῶν ἀντικειμένων σκεπτέον ἐ= 58.
στὶ, πρῶτον μὲν ἐκ τῶν ἐναντίων, ἀνασκευάζοντα μὲν, εἰ τοῦ ἐναντίου
μή ἐστι τὸ ἐναντίον ἴδιον. οὐ δὲ τοῦ ἐναντίου ἔσται τὸ ἐναντίον ἴδιον. οἷ
ον ἐπεὶ ἐναντίον ἐστὶ δικαιοσύνῃ μὲν ἀδικία, τῷ βελτίστῳ τὸ χείριστον,
οὐκ ἔστι δὲ τῆς δικαιοσύνης τὸ βέλτιστον ἴδιον, οὐκ ἂν εἴη τῆς ἀδικίας τὸ
χείριστον ἴδιον. κατασκευάζοντα δὲ, εἰ τοῦ ἐναντίου τὸ ἐναντίον ἐστὶν ἴ= 59.
διον, καὶ τῶν ἐναντίου τὸ ἐναντίον ἴδιον ἔσται. οἷον ἐπεὶ ἐναντίον ἐστὶν ἀ
γαθῷ μὲν κακόν. αἱρετῷ δὲ, φευκτόν. ἔστι δὲ τοῦ ἀγαθοῦ ἴδιον τὸ αἱρετὸν,
εἴη ἂν κακοῦ ἴδιον τὸ φευκτόν. Δεύτερον δ' ἐκ τῶν πρόστι. ἀνασκευάσα
ζοντα μὲν, εἰ τὸ πρόστι τοῦ πρόστι μή ἐστιν ἴδιον, οὐ δὲ τὸ πρόστι τοῦ
πρόστι ἔσται ἴδιον οἷον ἐπεὶ λέγεται διπλάσιον μὲν πρὸς ἥμισυ. ὑ

περέχον δὲ πρὸς ὑπερεχόμενον, οὐκ ἔστι δὲ τοῦ διπλασίου τὸ ὑπερέχον
61 ἴδιον, οὐκ ἂν εἴη τοῦ ἡμίσεος τὸ ὑπερεχόμενον ἴδιον. κατασκευάζοντα
δὲ, εἰ τοῦ πρόστι, τὸ πρόστι ἐστὶν ἴδιον, καὶ τοῦ πρόστι τοῦ πρόστι ἔστω
ἴδιον. ὅτι δὲ ἐπεὶ λέγεται τὸ μὲν διπλάσιον πρὸς τὸ ἥμισυ. τὸ γὰρ ἓν πρὸς
δύο. τὰ δὲ δύο πρός ἕν. ἔστι δὲ τοῦ διπλασίου ἴδιον τὸ ὡς δύο πρὸς
62 ἕν, εἴη ἂν τοῦ ἡμίσεος ἴδιον τὸ ὡς ἓν πρὸς δύο. Τρίτον, ἀνασκευάζον
τα μὲν, εἰ τῆς ἕξεως τὸ καθ' ἕξιν λεγόμενον, μή ἐστιν ἴδιον. οὐδὲ δὲ τῆς
στερήσεως τὸ κατὰ στέρησιν λεγόμενον, ἔστω ἴδιον. καὶ εἰ τῆς στερήσε-
ως τὸ κατὰ στέρησιν λεγόμενον, μή ἐστιν ἴδιον. οὐδὲ τῆς ἕξεως τὸ κατὰ
τινὰ ἕξιν λεγόμενον, ἔστω ἴδιον. ὅτι δὲ ἐπεὶ οὐ λέγεται τῆς κωφότητος
ἴδιον τὸ ἀναισθησίαν εἶναι. καὶ γὰρ τῶν ἄλλων κοινόν. οὐδ' ἂν τῆς
63. ἀκούσεως εἴη ἴδιον τὸ αἴσθησιν εἶναι. κατασκευάζοντα δὲ, εἰ τὸ καθ'
ἕξιν λεγόμενόν ἐστι τῆς ἕξεως ἴδιον, καὶ τῆς στερήσεως τὸ κατὰ στέρη
σιν λεγόμενον, ἔστω ἴδιον. καὶ εἰ τῆς στερήσεως τὸ κατὰ στέρησιν λε-
γόμενόν ἐστιν ἴδιον, καὶ τῆς ἕξεως τὸ καθ' ἕξιν λεγόμενον ἔστω ἴδιον.
ὅτι δὲ ἐπὶ τῆς ὄψεως ἐστὶν ἴδιον τὸ βλέπειν καθὸ ἔχομεν ὄψιν, εἴη ἂν
τῆς τυφλότητος ἴδιον, τὸ μὴ βλέπειν καθὸ οὐκ ἔχομεν ὄψιν, πε-
64 φυκότες ἔχειν. Επειτα ἐκ τῶν καταφάσεων καὶ τῶν ἀποφάσεων,
πρῶτον μὲν ἐξ αὐτῶν τῶν κατηγορουμένων. ἔστι δ' ὁ τόπος οὗτος
χρήσιμος ἀνασκευάζοντι μόνον. ὅτι εἰ ἡ φάσις ἢ τὸ κατὰ τινὰ φάσιν
λεγόμενον αὐτοῦ ἴδιόν ἐστιν, οὐκ ἔστω αὐτοῦ ἡ ἀπόφασις. οὐδὲ τὸ κα-
τὰ τινὰ ἀπόφασιν λεγόμενον ἴδιον. κἂν εἴη δὲ ἡ ἀπόφασις, ἢ τὸ κα-
τὰ τινὰ ἀπόφασιν λεγόμενον ἴδιον αὐτοῦ, οὐκ ἔστω ἡ φάσις οὐ δὲ
τὸ κατὰ τινὰ φάσιν λεγόμενον ἴδιον. ὅτι ἐπεὶ τοῦ ζώου ἐστὶν ἴδιο-
65. ν τὸ ἔμψυχον, οὐκ ἂν εἴη ζώου ἴδιον τὸ οὐκ ἔμψυχον. Δεύ-
τερον δ' ἐκ τῶν κατηγορουμένων, ἢ μὴ κατηγορουμένων, καὶ ἐξ ὧν
κατηγορεῖται, ἢ μὴ κατηγορεῖται. ἀνασκευάζοντα μὲν, εἰ ἡ φάσις

τῆς φά

τῆς φάσεως μή ἐστιν ἴδιον, οὐδὲ ἡ ἀπόφασις τῆς ἀποφάσεως ἔ=
σται ἴδιον. καὶ εἰ ἡ ἀπόφασις τῆς ἀποφάσεως μή ἐστιν ἴδιον, οὐδ' ἡ
φάσις τῆς φάσεως ἔσται ἴδιον. ὅιον ἐπεὶ οὐκ ἔστι τοῦ ἀνθρώπου ἴδι=
ον τὸ ζῶον, οὐδ' ἂν τοῦ μὴ ἀνθρώπου ἴδιον εἴη τὸ μὴ ζῶον. κἂν εἰ
τοῦ μὴ ἀνθρώπου μὴ φαίνηται ἴδιον τὸ μὴ ζῶον, οὐδὲ τοῦ ἀνθρώ=
που ἴδιον ἔσται τὸ ζῶον. κατασκευάζοντα δὲ εἰ τῆς φάσεως ἡ φά= 66.
σις ἐστὶν ἴδιον, καὶ τῆς ἀποφάσεως ἡ ἀπόφασις ἔσται ἴδιον. εἰ δὲ
τῆς ἀποφάσεως ἡ ἀπόφασίς ἐστιν ἴδιον, καὶ ἡ φάσις τῆς φάσεως ἔ=
σται ἴδιον. ὅιον ἐπεὶ τῶν μὴ ζώου ἐστὶν ἴδιον τὸ μὴ ζῆν, εἴη ἂν τοῦ ζώ
ου τὸ ζῆν ἴδιον, κἂν εἰ δὲ τοῦ ζώου φαίνηται ἴδιον τὸ ζῆν, καὶ
τοῦ μὴ ζώου φανεῖται ἴδιον τὸ μὴ ζῆν. Τρίτον δὲ, ἐξ αὐτῶν τῶν 67.
ὑποκειμένων, ἀνασκευάζοντα μὲν εἰ τὸ ἀποδεδομένον ἴδιον, τῆς φά
σεώς ἐστιν ἴδιον, οὐκ ἔσται τὸ αὐτὸ καὶ τῆς ἀποφάσεως ἴδιον. εἰ
δὲ τῆς ἀποφάσεως ἴδιον τὸ ἀποδοθὲν, οὐκ ἔσται τῆς φάσεως
ἴδιον. ὅιον ἐπεὶ τοῦ ζώου ἴδιον τὸ ἔμψυχον, οὐκ ἂν εἴη τοῦ μὴ ζώ=
ου ἴδιον τὸ ἔμψυχον. κατασκευάζοντα δὲ, εἰ τὸ ἀποδοθὲν, μὴ 68.
τῆς φάσεως ἴδιον, εἴη ἂν τῆς ἀποφάσεως. οὗτος δ' ὁ τόπος ἐστὶ
ψευδής. φάσις γὰρ ἀποφάσεως, καὶ ἀπόφασις φάσεως οὐκ ἔστιν ἴ=
διον. φάσις μὲν γὰρ ἀποφάσει οὐδ' ὅλως ὑπάρχει. ἀπόφασις δὲ
φάσει ὑπάρχει μὲν, οὐχ ὡς ἴδιον δὲ ὑπάρχει. Επειτα δ' ἐκ τῶν 69.
ἀντιδιηρημένων ἀνασκευάζοντα μὲν, εἰ τῶν ἀντιδιηρημένων μηδὲν
μηδενὸς τῶν λοιπῶν ἀντιδιηρημένων ἐστὶν ἴδιον. οὐδὲ γὰρ τὸ κεί=
μενον ἔσται ἴδιον τούτου, οὗ κεῖται ἴδιον. ὅιον ἐπεὶ ζῶον αἰσθητὸν, οὐδε
νὸς τῶν ἄλλων ζώων ἐστὶν ἴδιον, οὐκ ἂν εἴη τὸ ζῶον νοητὸν τοῦ θεοῦ ἴδιον. κα 70.
τασκευάζοντα δὲ, εἰ τῶν λοιπῶν τῶν ἀντιδιηρημένων ὁτιοῦν ἐστιν ἴδιον alij adiungunt τὸ ληφθὲν
τοιούτων ἑκάστου τῶν ἀντιδιηρημένων, ὄντος ἰδίου τινὸς καὶ τὸ λοιπὸν alij adiungunt τῶν ἀντιδιηρημένων
ἔσται τοῦ λοιποῦ ἴδιον, οὗ κεῖται μὴ εἶναι ἴδιον. ὅιον ἐπεὶ φρονήσε=

 ώς ἐστιν

ὡς ἔστιν ἴδιον τὸ καθ' αὑτὸ πεφυκέναι λογικοῦ ἀρετὴν εἶναι, καὶ
τῶν ἄλλων ἀρετῶν οὕτως ἑκάστης λαμβανομένης, εἴη ἂν σωφροσύ-
νης ἴδιον τὸ καθ' αὑτὸ πεφυκέναι ἐπιθυμητικοῦ ἀρετὴν εἶναι.

71. Ἐπεὶ δὲ ἐκ τῶν πτώσεων, ἀνασκευάζοντα μέν, εἰ ἡ τοῦτο τῆς πτώσε-
ως μή ἐστιν ἴδιον, ἡ τοῦτο τῆς πτώσεως ἔστω ἴδιον. δίον ἐπεὶ οὐκ
ἔστι τοῦ δικαίως ἴδιον τὸ καλῶς, οὐδ' ἂν τοῦ δικαίου ἴδιον εἴη τὸ καλόν.

72. κατασκευάζοντα δέ, εἰ ἡ τοῦτο τῆς πτώσεώς ἐστιν ἴδιον. καὶ γὰρ
ἡ πτῶσις τῆς πτώσεως ἔστω ἴδιον. δίον ἐπεὶ τοῦ ἀνθρώπου ἐστὶν ἴδιον
τὸ πεζὸν λίπτειν, καὶ τῷ ἀνθρώπῳ εἴη ἂν ἴδιον, τὸ πεζῷ λίπτειν λέ-

73. γεσθαι. Οὐ μόνον δ' ἐπ' αὐτοῦ τοῦ εἰρημένου κατὰ τὰς πτώσεις ἐστὶν
σκεπτέον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀντικειμένων, καθάπερ καὶ ἐπὶ τῶν προ-
τέρων τόπων εἴρηται. ἀνασκευάζοντα μέν, εἰ ἡ τοῦ ἀντικειμένου πτῶ-
σις μή ἐστιν ἴδιον τῆς τοῦ ἀντικειμένου πτώσεως. οὐδὲ γὰρ ἡ τοῦ ἀν-
τικειμένου πτῶσις ἔστω ἴδιον τῆς τοῦ ἀντικειμένου πτώσεως. δίον
ἐπεὶ οὐκ ἔστι τοῦ δικαίως ἴδιον τὸ ἀγαθῶς, οὐδ' ἂν τοῦ ἀδίκως εἴη ἴ-

74. διον τὸ κακῶς. κατασκευάζοντα δέ, εἰ ἡ τοῦ ἀντικειμένου πτῶσίς ἐ-
στιν ἴδιον τῆς τοῦ ἀντικειμένου πτώσεως. καὶ γὰρ ἡ τοῦ ἀντικειμένου
πτῶσις ἔστω ἴδιον τῆς τοῦ ἀντικειμένου πτώσεως. δίον ἐπεὶ τοῦ ἀ-
γαθοῦ ἐστιν ἴδιον τὸ βέλτιστον, καὶ τοῦ κακοῦ ἂν εἴη ἴδιον τὸ χείριστον.

75. Ἐπεὶ δὲ ἐκ τῶν ὁμοίως ἐχόντων, ἀνασκευάζοντα μέν, εἰ τὸ ὁμοίως ἔχον
τοῦ ὁμοίως ἔχοντος μή ἐστιν ἴδιον. οὐδὲ γὰρ τὸ ὁμοίως ἔχον τοῦ ὁμοί-
ως ἔχοντος ἔστω ἴδιον. δίον ἐπεὶ ὁμοίως ἔχει ὁ οἰκοδόμος πρὸς τὸ τοι-
οῦτον οἰκίαν. καὶ ὁ ἰατρὸς πρὸς τὸ ποιεῖν ὑγίειαν, οὐκ ἔστι δὲ ἰατροῦ ἴδιον
τὸ ποιεῖν ὑγίειαν, οὐδ' ἂν εἴη οἰκοδόμου ἴδιον, τὸ ποιεῖν οἰκίαν. κατα-

76. σκευάζοντα δέ, εἰ τὸ ὁμοίως ἔχον, τοῦ ὁμοίως ἔχοντός ἐστιν ἴδιον. καὶ
γὰρ τὸ ὁμοίως ἔχον τοῦ ὁμοίως ἔχοντος ἔστω ἴδιον. δίον ἐπεὶ ὁμοίως
ἔχει ἰατρός τε πρὸς τὸ ποιητικὸς ὑγιείας εἶναι. καὶ γυμναστὴς πρὸς τὸ

ποιητι

ποιητικὸς ἐνεξίας. ἔσι δ' ἴδιον γυμναστοῦ, τὸ ποιητικὸν εἶναι ἐνεξίας, εἰ ἂν ἴδιον ἰατροῦ τὸ ποιητικὸν ὑγιείας εἶναι. Επειτα ἐκ τῶν ὡσαύ- 77.
τως ἐχόντων, ἀνασκευάζοντα μὴ, εἰς τὸ ὡσαύτως ἔχον τοῦ ὡσαύτως
ἔχοντος μή ἐσιν ἴδιον. οὐδὲ ἡ τὸ ὡσαύτως ἔχον τοῦ ὡσαύτως ἔχοντος
ἔσαι ἴδιον. εἰ δ' ἔσι τοῦ ὡσαύτως ἔχοντος τὸ ὡσαύτως ἔχον ἴδιον, τοῦ 78.
τοῦ οὐκ ἔσαι ἴδιον οὐ κᾶται ἴδιον εἶναι. ὅιον ἐπεὶ ὡσαύτως ἔχει ἡ φρό-
νησις πρὸς τὸ καλὸν καὶ τὸ αἰσχρὸν τῷ ἐπισήμῃ ἑκατέρᾳ αὐτῶν εἶ-
ναι, οὐκ ἔσι δ' ἴδιον φρονήσεως τὸ ἐπισήμῃ εἶναι καλοῦ, οὐκ ἂν εἴη
ἴδιον φρονήσεως τὸ ἐπισήμῃ εἶναι αἰσχροῦ. εἰ δ' ἔσιν ἴδιον φρονή-
σεως τὸ ἐπισήμην εἶναι, καλοῦ, οὐκ ἂν εἴη ἴδιον αὐτῆς τὸ ἐπισή-
μῃ εἶναι αἰσχροῦ. ἀδ' ἀώατον γὰρ εἶναι τὸ αὐτὸ πλειόνων ἴδιον. κα-
τασκευάζοντι δ' οὐδὲν ὄυτος ὁ τόπος ἐσὶ χρήσιμος. τὸ δ' ὡσαύτως ἔ-
χον, ἐν πρὸς πλείω συγκρίνεται. Επειτ' ἀνασκευάζοντα μὴ, εἰ τὸ 79.
κατὰ τὸ εἶναι, λεγόμενον, μή ἐσι τοῦ κατὰ τὸ εἶναι λεγομένου ἴδιον.
οὐδὲ γὰρ τὸ φθείρεσθαι τοῦ κατὰ τὸ φθείρεσθαι. οὐδὲ τὸ γίνεσθαι
τοῦ κατὰ τὸ γίνεσθαι λεγομένου, ἔσαι ἴδιον. ὅιον ἐπεὶ οὐκ ἔσι τοῦ ἀν-
θρώπου ἴδιον τὸ εἶναι ζῷον, οὐδ' ἂν τοῦ ἄνθρωπον γίνεσθαι εἴη ἂν ἴδι-
ον τὸ γίνεσθαι ζῷον. ἀλλ' οὐ δὲ τοῦ ἄνθρωπον φθείρεσθαι εἴη ἴδιον τὸ
φθείρεσθαι ζῷον. τὸν αὐτὸν δὲ τρόπον λητέον ἐσί, καὶ ἐκ τοῦ γίνεσθαι 80.
πρὸς τὸ εἶναι καὶ φθείρεσθαι, καὶ ἐκ τοῦ φθείρεσθαι, πρὸς τὸ εἶναι καὶ
πρὸς τὸ γίνεσθαι. καθάπερ εἴρηται πρόσθεν, ἐκ τοῦ εἶναι πρὸς τὸ γίνεσθαι καὶ
φθείρεσθαι. κατασκευάζοντα δὲ, εἰ τοῦ κατὰ τὸ εἶναι τεταγμένου. ἔσι
τὸ καθ' αὐτὸ τεταγμένου ἴδιον. καὶ γὰρ τοῦ κατὰ τὸ γίνεσθαι λεγο-
μένου, ἔσαι τὸ κατὰ τὸ γίνεσθαι λεγόμενον ἴδιον. καὶ τοῦ κατὰ τὸ φθεί-
ρεσθαι, τὸ κατὰ τοῦτο ἀποδιδόμενον. ὅιον ἐπεὶ τοῦ ἀνθρώπου ἐσὶν ἴδιον
τὸ εἶναι θρεπτόν, καὶ τοῦ γίνεσθαι ἄνθρωπον, εἴη ἂν ἴδιον τὸ γίνεσθαι θρεπτὸν
καὶ τὸ φθείρεσθαι ἄνθρωπον, τὸ φθείρεσθαι θρεπτόν. τὸν αὐτὸν δὲ τρόπον λητέ-
ον ἐσὶν καὶ

77. plura ad hunc referuntur eodem modo scholiasta ei ad. Alud

78. destructionis locus hic Vnus ad plura refertur eodem modo scholiastes.

Aplrodiseus Anastasii locutus e Arles, Vult eum dicere ei tod eteron zoon ein idion, to lepton ouk an ein idion.

ον ἐστι καὶ ἐκ τοῦ γίνεσθαι καὶ φθείρεσθαι, πρόστε τὸ εἶναι καὶ πρὸς τὸ γίνεσθαι αὐτὰ ἐξ αὐτῶν, καθάπερ καὶ ἀνασκευάζοντι εἴρηται.

81 Επειτ' ἐπιβλέπειν ἐπὶ τὴν ἰδέαν τοῦ κειμένου, ἀνασκευάζοντα μὲν, εἰ τῇ ἰδέᾳ μὴ ὑπάρχει, ἢ εἰ μὴ κατὰ τοῦτο, καθ' ὃ λέγεται τοῦτο, οὗ τὸ ἴδιον ἀπεδόθη. οὐ γὰρ ἔσται ἴδιον τὸ κείμενον εἶναι ἴδιον. ὅιον ἐπεὶ αὐτοανὼ οὐχ ὑπάρχει τὸ ἠρεμεῖν, οὐχ ἡ ἄνθρωπός ἐστιν, ἀλλ' ἡ ἰδέα, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ ἠρεμεῖν. κα-

αὐτοανθρώπῳ

82. τασκευάζοντα δὲ, εἰ τῇ ἰδέᾳ ὑπάρχει, καὶ κατὰ τοῦτο ὑπάρχει, ἡ λέγεται κατ' αὐτοῦ ἐκείνου οὗ κεῖται μὴ εἶναι ἴδιον. ἔσται γὰρ ἴδιον τὸ κείμενον μὴ εἶναι ἴδιον. ὅιον ἐπεὶ ὑπάρχει τῷ αὐτοζώῳ τὸ ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι. καὶ ἡ ζώῳ αὐτῷ ὑπάρχει τοῦτο εἴη ἂν ζώου ἴδιον, τὸ ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι.

83 Επειτα ἐκ τοῦ μᾶλλον καὶ ἧττον, πρῶτον μὲν ἀνασκευάζοντα εἰ τὸ μᾶλλον, τοῦ μᾶλλον μή ἐστιν ἴδιον. οὐ δὲ γὰρ τὸ ἧττον, τοῦ ἧττον ἔσται ἴδιον. οὐ δὲ τὸ ἥκιστα, τοῦ ἥκιστα. οὐ δὲ τὸ μάλιστα, τοῦ μάλιστα. οὐ δὲ τὸ ἁπλῶς, τοῦ ἁπλῶς. ὅιον ἐπεὶ οὐκ ἔστι τὸ μᾶλλον κεχρῶσθαι τοῦ μᾶλλον σώματος ἴδιον. οὐ δὲ τὸ ἧττον κεχρῶσθαι, τοῦ ἧττον σώματος ἂν εἴη ἴδιον. οὐ

84 δὲ τὸ κεχρῶσθαι, σώματος ὅλως. κατασκευάζοντα δὲ, εἰ τὸ μᾶλλον τοῦ μᾶλλόν ἐστιν ἴδιον. καὶ γὰρ τὸ ἧττον, τοῦ ἧττον ἔσται ἴδιον. καὶ τὸ ἥκιστα, τοῦ ἥκιστα. καὶ τὸ μάλιστα, τοῦ μάλιστα. καὶ τὸ ἁπλῶς, τοῦ ἁπλῶς. ὅιον ἐπεὶ τοῦ μᾶλλον ζῶντος, τὸ μᾶλλον αἰσθάνεσθαι ἔστιν ἴδιον, καὶ τοῦ ἧττον ζῶντος, τὸ ἧττον αἰσθάνεσθαι εἴη ἂν ἴδιον. καὶ τοῦ μάλιστα δὲ τὸ μάλιστα.

85. καὶ τοῦ ἥκιστα, τὸ ἥκιστα. καὶ τοῦ ἁπλῶς, τὸ ἁπλῶς. καὶ ἐκ τοῦ ἁπλῶς δὲ πρὸς ταῦτα σκεπτέον ἐστίν. ἀνασκευάζοντα μὲν, εἰ τὸ ἁπλῶς τοῦ ἁπλῶς μή ἐστιν ἴδιον. οὐ δὲ γὰρ τὸ μᾶλλον τοῦ μᾶλλον. οὐ δὲ τὸ ἧττον τοῦ ἧττον. οὐ δὲ τὸ μάλιστα, τοῦ μάλιστα, οὐ δὲ τὸ ἥκιστα, τοῦ ἥκιστα, ἔσται ἴδιον. ὅιον ἐπεὶ οὐκ ἔστι τοῦ ἀνθρώπου τὸ σπουδαῖον ἴδιον, οὐ δ' ἂν τοῦ

μᾶλλον

μᾶλλον ἀνθρώπου τὸ μᾶλλον πυδαῖον ἴδιον εἴη. κατασκευάζοντα 86.
δὲ, εἰ τὸ ἁπλῶς τοῦ ἁπλῶς ἐστιν ἴδιον. καὶ γὰρ τὸ μᾶλλον, τοῦ
μᾶλλον. καὶ τὸ ἧττον, τοῦ ἧττον. καὶ τὸ ἥκιστα, τοῦ ἥκιστα. καὶ τὸ μάλιστα,
τῶ μάλιστα ἔσται ἴδιον. ὅιον ἐπεὶ τοῦ πυρός ἐστιν ἴδιον τὸ ἄνω φέρεσθαι
κατὰ φύσιν, καὶ τοῦ μᾶλλον πυρὸς εἴη ἂν ἴδιον τὸ μᾶλλον ἄνω φέρε-
σθαι κατὰ φύσιν. τὸν αὐτὸν δὲ τρόπον σκεπτέον ἐστὶ καὶ ἐπὶ τῶν ἄλλων πρὸς
ἅπαντα ταῦτα. Δεύτερον δ' ἀνασκευάζοντα μὲν, εἰ τὸ μᾶλλον τοῦ 87.
μᾶλλον μή ἐστιν ἴδιον. οὐ δὲ γὰρ τὸ ἧττον τοῦ ἧττον ἔσται ἴδιον. ὅιον ἐ-
πεὶ μᾶλλόν ἐστιν ἴδιον ζώου τὸ αἰσθάνεσθαι, ἢ ἀνθρώπου τὸ ἐπίστασθαι
οὐκ ἔστι δὲ ζώου ἴδιον τὸ αἰσθάνεσθαι, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ ἐπί-
στασθαι. κατασκευάζοντα δ' εἰ τὸ ἧττον τοῦ ἧττόν ἐστιν ἴδιον. καὶ γὰρ τὸ 88.
μᾶλλον τῶ μᾶλλον ἔσται ἴδιον. ὅιον ἐπεὶ ἧττόν ἐστιν ἴδιον ἀνθρώπου τὸ ἥ-
μερον φύσει, ἢ ζώου τὸ ζῆν. ἔστι δ' ἀνθρώπου ἴδιον τὸ ἥμερον φύσει, εἴη
ἂν ζώου ἴδιον τὸ ζῆν. Τρίτον δ' ἀνασκευάζοντα μὲν, εἰ οὗ μᾶλλόν ἐ- 89.
στιν ἴδιον, μή ἐστιν ἴδιον. οὐ δὲ δὲ οὗ ἧττόν ἐστιν ἴδιον, ἔσται τοῦτο ἴδιον. εἰ τούτου
δ' ἐκείνου ἐστὶν ἴδιον, οὐκ ἔσται τούτου ἴδιον. ὅιον ἐπεὶ τὸ κεχρῶσθαι μᾶλ-
λον τῆς ἐπιφανείας ἢ τῶ σώματός ἐστιν ἴδιον, οὐκ ἔστι δὲ τῆς ἐπιφανείας
ἴδιον. οὐκ ἂν εἴη τῶ σώματος ἴδιον τὸ κεχρῶσθαι. εἰ δέ ἐστι τῆς ἐπιφανείας
ἴδιον. οὐκ ἂν εἴη τῶ σώματος ἴδιον. κατασκευάζοντι δὲ, ὁ τόπος οὗτος,
οὐκ ἔστι χρήσιμος. ἀδύνατον γὰρ ἐστι τὸ αὐτὸ πλείονων ἴδιον εἶναι.
Τέταρτον δὲ ἀνασκευάζοντα μὲν, εἰ τὸ μᾶλλον αὐτοῦ ἴδιον μή ἐστιν ἴδι- 90.
ον. οὐ δὲ δὲ τὸ ἧττον αὐτοῦ ἴδιον, ἔσται ἴδιον. ὅιον ἐπεὶ μᾶλλόν ἐστι τῶ ζώου
ἴδιον τὸ αἰσθητὸν ἢ τὸ μεριστόν. οὐκ ἔστι δὲ τῶ ζώου τὸ αἰσθητὸν ἴδιον, οὐκ
ἂν εἴη τοῦ ζώου τὸ μεριστὸν ἴδιον. κατασκευάζοντα δὲ, εἰ τὸ ἧττον αὐ- 91.
τοῦ ὂν ἴδιον ἐστὶν ἴδιον. καὶ γὰρ τὸ μᾶλλον αὐτοῦ ὂν ἴδιον, ἔσται ἴδι-
ον. ὅιον. ἐπεὶ ἧττόν ἐστιν ἴδιον ζώου τὸ αἰσθάνεσθαι ἢ τὸ ζῆν. ἔστι δὲ τοῦ
ζώου τὸ αἰσθάνεσθαι ἴδιον, εἴη ἂν τοῦ ζώου τὸ ζῆν ἴδιον.

Ἐπειτ'

duo ad alia duo conferuntur

92. Επειτ' ἐκ τῶν ὁμοίως ὑπαρχόντων. πρῶτον μὲν ἀνασκολάζοντα, εἰ
τὸ ὁμοίως ὑπάρχον ἴδιον, μή ἐστιν ἴδιον τόδε, οὗ ὁμοίως ἐστὶν ἴδιον.
οὐ δὲ τὸ ὁμοίως ὂν ἴδιον ἔσται ἴδιον τόδε, οὗ ὁμοίως ἐστὶν ἴδιον. ὅιον
ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον ἐπιθυμητικῷ τὸ ἐπιθυμεῖν, καὶ λογιστικῷ τὸ λο
γίζεσθαι. οὐκ ἔστι δ' ἴδιον τοῦ ἐπιθυμητικοῦ τὸ ἐπιθυμεῖν, οὐκ ἂν εἴη ἴδι
93 ον τοῦ λογιστικοῦ τὸ λογίζεσθαι. κατασκευάζοντα δὲ, εἰ τὸ ὁμοίως ὂν ἴ=
διον, ἔστι τόδε ἴδιον, οὗ ὁμοίως ἐστὶν ἴδιον. ἔσται πᾶ τὸ ὁμοίως ὂν ἴδι
ον τόδε ἴδιον, οὗ ὁμοίως ἐστὶν ἴδιον. ὅιον ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον λο
γιστικῷ τὸ πρῶτον φρόνιμον, καὶ ἐπιθυμητικῷ τὸ πρῶτον σῶφρον. ἔστι δὲ τ
λογιστικοῦ ἴδιον τὸ πρῶτον φρόνιμον. εἴη ἂν ἐπιθυμητικοῦ ἴδιον τὸ πρῶ

duo ad dim conferuntur

94. τον σῶφρον. Δεύτερον. ἀνασκολάζοντα μὲν, εἰ τὸ ὁμοίως ὂν ἴδιον,
μή ἐστιν ἴδιον αὐτοῦ. οὐ δὲ τὸ ὁμοίως ὂν ἴδιον ἔσται ἴδιον αὐτοῦ. ὅιον
ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον ἀνθρώπῳ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν, οὐκ ἔστι δὲ ἀν=
95. θρώπου ἴδιον τὸ ὁρᾶν, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ ἀκούειν. κατασκευά

Indefinitus colligatus finitis finita esse cogit. Proprium aequalitas proprii.

ζοντα δὲ, εἰ τὸ ὁμοίως αὐτοῦ ὂν ἴδιον, ἔστιν ἴδιον. καὶ πᾶ τὸ ὁμοίως αὐτοῦ
ὂν ἴδιον, ἔσται ἴδιον. ὅιον ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον ψυχῆς τὸ μέρος αὐ
τῆς ἐπιθυμητικὸν εἶναι. καὶ λογιστικὸν πρώτως, ἔστι δὲ ψυχῆς ἴδιον
τὸ μέρος αὐτῆς εἶναι ἐπιθυμητικὸν πρώτως, εἴη ἂν ἴδιον ψυχῆς τὸ μέ

dim ad duo conferuntur

96 ρος αὐτῆς εἶναι λογιστικὸν πρώτως. Τρίζον δὲ ἀνασκευάζον=
τα μὲν, εἰ οὗ ὁμοίως ἐστὶν ἴδιον, μή ἐστιν ἴδιον. οὐ δὲ οὗ ὁμοίως ἐστὶν
ἴδιον, ἔσται ἴδιον. εἰ ᾧ ἐκείνου ἔστιν ἴδιον, οὐκ ἔσται θατέρῳ ἴδιον. ὅιον
ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον τὸ κλαίειν φλογὸς καὶ ἄνθρακος. οὐκ ἔστι δ' ἴδι
ον φλογὸς τὸ κλαίειν, οὐκ ἂν εἴη ἴδιον ἄνθρακος τὸ κλαίειν. εἰ δέ ἐστι φλο
γὸς ἴδιον, οὐκ ἂν εἴη ἄνθρακος ἴδιον. κατασκευάζοντι δὲ, οὐδὲν οὗτος ὁ
τόπος ἐστὶ χρήσιμος. διαφέρει δὲ τὸ ἐκ τῶν ὁμοίως ἐχόντων τοῦ ἐκ
τῶν ὁμοίως ὑπαρχόντων, ὅτι τὸ μὲν κατ' ἀναλογίαν λαμβάνεται, οὐκ
ἔστι τοῦ ὑπάρχειν τὸ θεωρούμενον τὸ δ' ἐκ τοῦ ὑπάρχειν τὶ συγκείνεται.

Επειτ'

Επειτ᾽ ἀνασκευάζοντα μὴ, εἰ λωιάμει τὸ ἴδιον ἀποδιδοὺς, καὶ πρὸς 97.
μὴ ὃν ἀποδέδωκε τὸ ἴδιον τῇ λωιάμει μὴ ὑπολειπομένης τῆς λωιάμε
ως ὑπάρχειν τῷ μὴ ὄντι. οὐ γὰρ ἔσται ἴδιον τὸ κείμενον ἴδιον εἶναι.
ὅιον ἐπεὶ ὁ ἵππος ἄερος ἴδιον τὸ ἀναπνευστὸν, τῇ λωιάμει μὴ ἀπέδω
κε τὸ ἴδιον. τὸ μὴ τοιοῦτον ἴδιον ὅιον ἀναπνεῖσθαι, ἀναπνευστόν ἐστιν. ἀποδέ
δωκε γὰρ τὸ πρὸς τὸ μὴ ὂν τὸ ἴδιον. τῷ δὲ μὴ ὄντος ζῴου ὁ ἀναπνεῖν ἀπέφυκε
τὸν ἀέρα, ὑπολέχεται ἀέρα εἶναι. οὐ μέντοι μὴ ὄντος ζῴου, λωιατόν ἐστιν ἀ- λωιατὸν
ναπνεῖν. ὥστ᾽ οὐδ᾽ ἀέρος ἔσται ἴδιον τὸ τοιοῦτον. ὅιον τὸ ἀναπνεῖσθαι. τότε, ἀναπνεῖσθαι
ὅτε ζῷον οὐκ ἔσται τοιοῦτον ὅιον ἀναπνεῖν. οὐκ ἂν δὲ εἴη ἀέρος ἴδιον τὸ ἀ
ναπνευστόν. κατασκευάζοντα δὲ, εἰ τῇ λωιάμει ἀποδιδοὺς τὸ ἴδιον. ἢ 98.
πρὸς ὃν ἀποδίδωσι τὸ ἴδιον, ἢ πρὸς μὴ ὄν, ὑπολειπομένης τῆς λωιά-
μεως τῷ μὴ ὄντι ὑπάρχειν. ἔσται δὲ ἴδιον τὸ κείμενον μὴ εἶναι ἴδιον. ὅιον
ἐπεὶ ὁ ἀποδιδοὺς ἴδιον τοῦ ὄντος τὸ λωιατὸν παθεῖν ἢ ποιῆσαι, λωιά
μει ἀποδιδοὺς τὸ ἴδιον, πρὸς ὃν ἀπέδωκε τὸ ἴδιον. ὅτε μὴ ὄν ἐστι, τῷ λυ
πηρὸν παθεῖν τι ἢ ποιῆσαι ἔσται. ὥστε εἴη ἂν ἴδιον τοῦ ὄντος τὸ λωιατὸν
παθεῖν ἢ ποιῆσαι. Επειτ᾽ ἀνασκευάζοντα μὴ, εἰ ὑπερβολῇ τέθεικε 99.
τὸ ἴδιον. οὐ δὲ ἔσται ἴδιον τὸ κείμενον εἶναι ἴδιον. συμβαίνει δὲ τοῖς οὕ-
τως ἀποδιδοῦσι τὸ ἴδιον, οὗ καθ᾽ οὗ ἦν λόγον καὶ τοὔνομα ἀληθεύεσθαι.
φθαρέντος δὲ τοῦ πράγματος, οὐδὲν ἧττον ἔσται ὁ λόγος. τὸ δὲ ὄντων τινὶ
μάλιστα ὑπάρχει. ὅιον εἴτις ἀποδοίη τοῦ πυρὸς ἴδιον σῶμα τὸ κυφό-
τατον. φθαρέντος γὰρ τοῦ πυρὸς, ἔσται τι τῶν σωμάτων, ὃ κυφότατον
ἔσται. ὥστ᾽ οὐκ ἂν εἴη τοῦ πυρὸς ἴδιον σῶμα τὸ κυφότατον. κατασκευά- 100.
ζοντα δὲ, εἰ μὴ ὑπερβολῇ τέθεικε τὸ ἴδιον. ἔσται γὰρ κατὰ τοῦτο κα-
λῶς κείμενον τὸ ἴδιον. ὅιον ἐπεὶ ὁ θεὸς ἀνθρώπου ἴδιον ζῷον ἥμερον φύ-
σει, οὐχ ὑπερβολῇ ἀπέδωκε τὸ ἴδιον, εἴη ἂν κατὰ τοῦτο καλῶς κεί-
μενον τὸ ἴδιον.

Τέλος τοῦ πέμπτου τῶν τοπικῶν

ΑΡΙΣΤΟΤΕ

ΛΟΥΣ ΤΟΠΙΚΩΝ

ἕκτον.

Caput I.

ΤΗΣ ΔΕ ΠΕΡΙ τοὺς ὅρους πραγματείας μέρη πέντε ἐστίν. ἢ γὰρ ὅτι ὅλως οὐκ ἀληθὲς εἰπεῖν καθ' οὗ τὸ ὄνομα καὶ τὸν λόγον· οἷον γὰρ τὸν τοῦ ἀνθρώπου ὁρισμὸν κατὰ παντὸς ἀνθρώπου ἀληθεύεται. ἢ ὅτι οὔτος γένους, οὐκ ἔθηκαν εἰς γένος ἢ οὐκ εἰς τὸ οἰκεῖον γένος ἔθηκε. οἷον γὰρ τὸν ὁριζόμενον εἰς τὸ γένος θέντα, τὰς διαφορὰς προσάπτειν. μάλιστα γὰρ τῶν ἐν τῷ ὁρισμῷ, τὸ γένος δοκεῖ τιθὲν τοῦ ὁριζομένου οὐσίαν σημαίνειν· οὐκ ἴδιος ὁ λόγος. οἷον γὰρ τὸν ὁρισμὸν ἴδιον εἶναι, καθάπερ καὶ πρότερον εἴρηται. ἢ εἰ πάντα τὰ εἰρημένα πεποικώς, μὴ ὥρισται. μὴ δὲ εἴρηκε τὸ τί ἦν εἶναι τῷ ὁριζομένῳ· λοιπὸν δὲ παρὰ τὰ εἰρημένα, εἰ ὥρισται μᾶλλον, μὴ καλῶς δὲ ὥρισται. εἰ μὲν οὖν μὴ ἀληθεύεται καθ' οὗ τὸ ὄνομα καὶ ὁ λόγος, ἐκ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων ἐπισκεπτέον. καὶ γὰρ ἐκεῖ πότερον ἀληθὲς ἢ οὐκ ἀληθές, πᾶσα ἡ σκέψις γίνεται. ὅταν μὲν γὰρ ὅτι ὑπάρχει τὸ συμβεβηκὸς διαλεγώμεθα, ὅτι ἀληθὲς λέγομεν. ὅταν δὲ ὅτι οὐχ ὑπάρχει ὅτι οὐκ ἀληθές. εἰ δὲ μὴ ἐν τῷ οἰκείῳ γένει ἔθηκαν, ἢ εἰ μὴ ἴδιος ὁ ἀποδοθεὶς λόγος, ἐκ τῶν πρὸς τὸ γένος, καὶ τὸ ἴδιον ξηθέντων τόπων ἐπισκεπτέον. λοιπὸν δὲ εἰ μὴ ὥρισται, ἢ εἰ μὴ καλῶς ὥρισταί πως, μετιτέον εἰπεῖν.

Πρῶτον μὲν οὖν ἐπισκεπτέον εἰ μὴ καλῶς ὥρισται, ἐάν γὰρ ὅτι οὐ ποιήσαι, ἢ καλῶς ποιήσαι. δῆλον δ' οὖν ὅτι ἡ ἁμαρτία περὶ τοῦτο πλείων, ἐπειδὴ ἐργωδέστερον. ὥστε ἢ ἐπιχείρησις, ἐάν ἢ περὶ τοῦ

τοῦτο, ἢ ἢ περὶ ἐκεῖνο γίνεται. ἔστι δὲ τὸ μὴ καλῶς, μέρη μὴ λύο. ἓν μὴν, τὸ ἀσαφεῖ τῇ ἑρμηνείᾳ κεχρῆσθαι. μᾶλλον γὰρ τὸν ὁριζόμενον, ὡς ἐνδέχεται, σαφεστάτῃ τῇ ἑρμηνείᾳ κεχρῆσθαι. ἐπειδὴ τὸ γνωρίζεσθαι χάριν ἀποδίδοται ὁ ὁρισμός. δεύτερον δὲ εἰ ἐπὶ πλεῖον εἴρηκε τὸν λόγον τοῦ πράγματος. πᾶν γὰρ τὸ προκείμενον ἐν τῷ ὁρισμῷ, περίεργον. πάλιν δ' ἑκάτερον τῶν εἰρημένων, εἰς πλείω μέρη διαιρεῖται. 5 Caput 2.

ἔστι μὲν οὖν τόπος τοῦ ἀσαφῶς, εἰ ὁμώνυμόν ἐστί τινι τὸ εἰρημένον. οἷον ὅτι ἡ γένεσις, ἀγωγὴ εἰς οὐσίαν. καὶ ὅτι ἡ ὑγίεια, συμμετρία θερμῶν καὶ ψυχρῶν. ὁμώνυμος γὰρ ἡ ἀγωγὴ καὶ ἡ συμμετρία. ἄδηλον οὖν πότερον βούλεται λέγειν τῶν δηλουμένων, ὑπὸ τοῦ πλεοναχῶς λεγομένου. ὁμοίως δὲ καὶ εἰ τοῦ ὁριζομένου πλεοναχῶς λεγομένου, μὴ διελὼν εἶπεν. ἄδηλον γὰρ ὁπότερον τὸν ὅρον ἀποδέδωκεν. ἐνδέχεταί τε συκοφαντεῖν, ὡς οὐκ ἐφαρμόττοντος τοῦ λόγου ἐπὶ πάντων ὧν τὸν ὁρισμὸν ἀποδέδωκε. μάλιστα δ' ἐνδέχεται τὸ τοιοῦτον ποιεῖν, λανθανούσης τῆς ὁμωνυμίας. ἐνδέχεται δὲ καὶ διελόμενον αὐτὸν, ποσαχῶς λέγεται τὸ ἐν τῷ ὁρισμῷ ἀποδοθὲν, συλλογισμὸν ποιῆσαι. εἰ γὰρ κατὰ μηδένα τῶν τρόπων ἱκανῶς εἴρηται, δῆλον ὅτι οὐκ ἂν ὡρισμένος εἴη κατὰ τρόπον. 6. Ζήτησις ἡ ζητεῖται φορὰν ἐστιν, οἷον εἰ μετάβασις ἐστιν. melius συλλογίσῃ τῶν εἰρημένων τὸ ὁριζόμενον 7

Αλλος εἰ κατὰ μεταφορὰν εἴρηκεν. οἷον εἰ τὴν ἐπιστήμην, ἀμετάστατον, ἢ τὴν γῆν, τιθήνην, ἢ τὴν σωφροσύνην, συμφωνίαν. πᾶν γὰρ ἀσαφὲς τὸ κατὰ μεταφορὰν λεγόμενον. ἐνδέχεται δὲ καὶ τὸν μεταφορὰν εἰπόντα, συκοφαντεῖν ὡς οὐ κυρίως εἰρηκότα. οὐ γὰρ ἐφαρμόσει ὁ λεχθεὶς ὅρος. οἷον ἐπὶ τῆς σωφροσύνης. πᾶσα γὰρ συμφωνία ἐν φθόγγοις. ἔτι εἰ γένος ἡ συμφωνία τῆς σωφροσύνης, ἐν δυσὶ γένεσιν ἔσται ταὐτόν, οὐ περιέχουσιν ἄλληλα. οὔτε γὰρ ἡ συμφωνία ἐν τῇ ἀρετῇ, οὔθ' ἡ ἀρετὴ ἐν τῇ συμφωνίᾳ περιέχει. 8. Ετι εἰ μὴ κειμένοις ὀνόμασι χρῆται

σι χρῆται. οἷον Πλάτων ὀφρυόσκιον τὸν ὀφθαλμὸν, ἢ τὸ φαλάγγιον, ση
9 ψιδακὲς, ἢ τὸν μυελὸν, ὀστεογενές. πᾶν γὰρ ἀσαφὲς τὸ μὴ εἰωθὸς. ἔνια
δ' οὔτε καθ' ὁμωνυμίαν, οὔτε κατὰ μεταφορὰν, οὔτε κυρίως εἴρηται.
οἷον ὁ νόμος μέτρον ἢ εἰκὼν τῶν φύσει δικαίων. ἔστι δὲ τὰ τοιαῦτα,
χείρω τῆς μεταφορᾶς. ἡ γὰρ μεταφορὰ, ποιεῖ πως γνώριμον τὸ σημαι
νόμενον, διὰ τὴν ὁμοιότητα. πάντες γὰρ οἱ μεταφέροντες, κατά τι
να ὁμοιότητα μεταφέρουσι. τὸ δὲ τοιοῦτον, οὐ ποιεῖ γνώριμον. οὔτε γὰρ
ἡ ὁμοιότης ὑπάρχει, καθ' ἣν μέτρον ἢ εἰκὼν ὁ νόμος ἐστὶν, οὔτε κυρίως
εἴωθε λέγεσθαι. ὥστε εἰ μὲν κυρίως μέτρον ἢ εἰκόνα τὸν νόμον φησὶν
εἶναι, ψεύδεται. εἰκὼν γὰρ ἐστιν οὗ ἡ γένεσις διὰ μιμήσεως. τοῦτο δ'
οὐχ ὑπάρχει τῷ νόμῳ. εἰ δὲ μὴ κυρίως, δῆλον ὅτι ἀσαφῶς εἴρηκε. καὶ
10. χεῖρον ὁποιουοῦν τῶν κατὰ μεταφορὰν λεγομένων. Ετι εἰ μὴ δῆ=
λος ὁ τοῦ ἐναντίου λόγος ἐκ τοῦ λεχθέντος. οἱ γὰρ καλῶς ἀποδιδό
11. μενοι, καὶ τοὺς ἐναντίους προσσημαίνουσιν. εἰ καθ' αὑτὸν λεχθεὶς, μὴ
φανερὸς εἴη τίνος ἐστὶν ὁρισμὸς, ἀλλὰ καθάπερ τὰ τῶν ἀρχαίων γρα
φέων, εἰ μήτις ἐπέγραψεν, οὐκ ἂν ἐγνωρίζετο τί ἐστιν ἕκαστον. εἰ μὲν
12. οὖν μὴ σαφῶς, ἐκ τῶν τοιούτων ἐστὶν ἐπισκεπτέον. Εἰ δ' ἐπὶ
πλεῖον εἴρηκε τὸν ὅρον, πρῶτον μὲν σκοπεῖν εἰ τινὶ κέχρηται ὃ πᾶσιν
ὑπάρχει, ἢ ἁπλῶς τοῖς οὖσιν, ἢ τοῖς ὑπὸ ταυτὸ γένος τῶν ὁριζομέ=
νων. ἐπὶ πλεῖον γὰρ εἰρῆσθαι ἀναγκαῖον τοῦτο. δεῖ γὰρ τὸ μὲν γένος
ἀπὸ τῶν ἄλλων χωρίζειν. τὴν δὲ διαφορὰν ἀπό τινος τῶν ἐν τῷ αὐ=
τῷ γένει. τὸ μὲν οὖν πᾶσιν ὑπάρχον ἁπλῶς, ἀπ' οὐδενὸς χωρίζει.
τὸ δὲ τοῖς ὑπὸ ταυτὸ γένος πᾶσιν ὑπάρχον, οὐ χωρίζει τῶν ἐν ταυ
13. τῷ γένει. ὥστε μάταιον τὸ τοιοῦτον προσκείμενον. ἢ εἰ ἔστιν ἴδιον
τὸ προσκείμενον. ἀφαιρεθέντος δὲ τούτου, καὶ ὁ λοιπὸς λόγος ἴδιός
ἐστι καὶ δηλοῖ τὴν οὐσίαν. οἷον ἐν τῷ τοῦ ἀνθρώπου λόγῳ, τὸ ἐπιστή-
μης δεκτικὸν προστεθὲν, περίεργον. καὶ γὰρ ἀφαιρεθέντος τούτου,

Diffmō superflua contmens.

ὁ λοι

ὁ λοιπὸς λόγος ἴδιος. καὶ δηλοῖ τὴν οὐσίαν. ἁπλῶς δ' εἰπεῖν, ἅπαν
περίσργον. οὗ ἀφαιρεθέντος, τὸ λοιπὸν δῆλον ποιεῖ τὸ ὁριζόμενον.
τοιοῦτος δὲ καὶ ὁ τῆς ψυχῆς ὅρος εἰ ἀριθμὸς αὐτὸς αὑτὸν κινῶν ἐστι.
καὶ γὰρ τὸ αὑτὸ κινοῦν, ψυχή. καθάπερ Πλάτων ὥρισται. ἢ ἴδιον μὲν
ἐστι τὸ εἰρημένον. οὐ δηλοῖ δὲ τὴν οὐσίαν ἀφαιρεθέντος τοῦ ἀριθμοῦ;
ποτέρως μὲν οὖν ἔχει, χαλεπὸν διασαφῆσαι. χρηστέον δ' ἐπὶ πάν-
των τῶν τοιούτων πρὸς τὸ συμφέρον. οἷον ὁ τοῦ φλέγματος ὅρος, ὑ-
γρὸν πρῶτον ἀπὸ τροφῆς ἄπεπτον. ἓν γὰρ τὸ πρῶτον, οὐ πολλὰ, ὥ-
στε περίσργον τὸ ἄπεπτον προσκείμενον. καὶ γὰρ τούτου ἀφαιρε-
θέντος, ὁ λοιπὸς ἔσται ἴδιος λόγος. οὐ γὰρ ἐνδέχεται ἀπὸ τῆς τρο-
φῆς καὶ τοῦτό τι καὶ ἄλλο πρῶτον εἶναι, ἢ οὐχ ἁπλῶς πρῶτον ἀπὸ
τροφῆς τὸ φλέγμα, ἀλλὰ τῶν ἀπέπτων πρῶτον; ὥστε προσθετέ-
ον τὸ ἄπεπτον· ἐκείνως μὲν γὰρ ῥηθέντος, οὐκ ἀληθὴς ὁ λόγος, εἴπεν ἔπερ
μὴ πάντων πρῶτόν ἐστιν. Ετι εἴτι τῶν ἐν τῷ λόγῳ μὴ πᾶσιν 14.
ὑπάρχει τοῖς ὑπὸ ταὐτὸ εἶδος. ὁ γὰρ τοιοῦτος, χεῖρον ὥρισται τῶν
χρωμένων, ὃ πᾶσιν ὑπάρχει τοῖς οὖσιν. ἐκείνως μὲν γὰρ ἂν ὁ λοι-
πὸς ἴδιος ᾖ λόγος, καὶ ὁ πᾶς ἴδιος ἔσται. ἁπλῶς γὰρ πρὸς τὸ ἴδιον
ὁ τοιοῦν προστεθέντος ἀληθοῦς, ὅλος ὁ λόγος ἴδιος γίνεται. εἰ δέ
τι τῶν ἐν τῷ λόγῳ μὴ πᾶσιν ὑπάρχει τοῖς ὑπὸ ταυτὸ εἶδος, ἀ-
δύνατον ὅλον τὸν λόγον ἴδιον εἶναι. οὐ γὰρ ἀντικατηγορηθήσε-
ται τοῦ πράγματος. οἷον ζῶον πεζὸν δίπουν τετράπηχυ. ὁ γὰρ τοι-
οῦτος λόγος οὐκ ἀντικατηγορεῖται τοῦ πράγματος. διὰ τὸ μὴ πᾶ-
σιν ὑπάρχειν τοῖς ὑπὸ ταυτὸ τὸ εἶδος τὸ τετράπηχυ. Πά- 15.
λιν εἰ ταυτὸ πλεονάκις εἴρηκεν. οἷον τὴν ἐπιθυμίαν, ὄρεξιν ἡδέος
εἰπών. πᾶσα γὰρ ἐπιθυμία ἡδέος ἐστὶν, ὥστε καὶ τὸ ταυτὸν τῇ ἐ-
πιθυμίᾳ ἡδέος ἔσται. γίνεται οὖν ὁ ὅρος τῆς ἐπιθυμίας, ὄρεξις ἡδέ-
ος. οὐδὲν γὰρ διαφέρει ἐπιθυμίαν εἰπεῖν, ἢ ὄρεξιν ἡδέος. ὥσθ' ἑκά-

τερον

τόρον αὐτῶν ἡδέος ἔσται. ἢ οὐδὲν μὲν οὐδὲν ἄτοπον. καὶ γὰρ ὁ ἄνθρωπος δίπουν ἐστίν. ὥστε καὶ τὸ ταὐτὸν τῷ ἀνθρώπῳ, δίπουν ἔσται. ἔστι δὲ ταὐτὸν τῷ ἀνθρώπῳ, ζῶον πεζὸν δίπουν. ὥστε ζῶον πεζὸν δίπουν, δίπουν ἐστίν. ἀλλ' οὐ διὰ οὐδὲν ἄτοπόν τι συμβαίνει. οὐ γὰρ κατὰ ζώου ~~μόνον πεζοῦ~~ δὶς τὸ δίπουν κατηγορεῖται, οὕτως μὲν γὰρ ἂν δὶς περὶ τοῦ αὐτοῦ τὸ δίπουν κατηγοροῖτο. ἀλλὰ περὶ ζώου πεζοῦ δίποδος, τὸ δίπουν λέγεται. ὥστε ἅπαξ μόνον τὸ δίπουν κατηγορεῖται. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐπιθυμίας. οὐ γὰρ κατὰ τῆς ὀρέξεως, τὸ ἡδέος εἶναι κατηγορεῖται, ἀλλὰ κατὰ τοῦ σύμπαντος, ὥστε ἅπαξ καὶ ἐνταῦθα ἡ κατηγορία γίνεται. οὐκ ἔστι δὲ τὸ δὶς φθέγξασθαι ταὐτὸν ὄνομα, τῶν ἀτόπων, ἀλλὰ τὸ πολλάκις περίτινος τὸ αὐτὸ κατηγορῆσαι. οἷον ὡς ὁ ξενοκράτης τὴν φρόνησιν ὁριστικὴν καὶ θεωρητικὴν τῶν ὄντων φησὶν εἶναι. ἡ γὰρ ὁριστικὴ, θεωρητική τίς ἐστιν. ὥστε δὶς τὸ αὐτὸ λέγει, προσθεὶς πάλιν καὶ θεωρητικήν. ὁμοίως δὲ καὶ ὅσοι τὴν κατάψυξιν, στέρησιν τοῦ κατὰ φύσιν θερμοῦ φασὶν εἶναι. πᾶσα γὰρ στέρησις, ἐστὶ τοῦ κατὰ φύσιν ὑπάρχοντος. ὥστε περίεργον τὸ προσθεῖναι τοῦ κατὰ φύσιν. ἀλλ' ἱκανὸν ἦν εἰπεῖν στέρησιν θερμοῦ. ἐπειδὴ αὕτη ἡ στέρησις
16. γνώριμον ποιεῖ, ὅτι τοῦ κατὰ φύσιν λέγεται. Πάλιν εἰ τοῦ καθόλου εἰρημένου, προσθείη καὶ ἐπὶ μέρους. οἷον εἰ τὴν ἐπιείκειαν ἐλάττωσιν τῶν συμφερόντων καὶ δικαίων τὸ γὰρ δίκαιον, συμφέρον τί. ὥστε περιέχεται ἐν τῷ συμφέροντι. περιττὸν οὖν τὸ δίκαιον ὥστε καθόλου εἰπὼν, ἐπὶ μέρους προσέθηκε. καὶ εἰ τὴν ἰατρικὴν ἐπιστήμην τῶν ὑγιεινῶν ζώῳ καὶ ἀνθρώπῳ. ἢ τὸν νόμον, εἰκόνα τῶν φύσει καλῶν καὶ δικαίων τὸ γὰρ δίκαιον, καλόντι. ὥστε πλεονάκις τὸ αὐτὸ λέγει. πότερον μὲν οὖν καλῶς ἢ οὐ καλῶς ὥρισται, διὰ τούτων καὶ τῶν τοιούτων ἐπισκεπτέον. πότερον δ' εἴρηκε καὶ ὥρισται τὸ τὶ ἦν

Secunda pars An omo diffinuit

εἶν

εἶναι ἢ οὐχὶ, ἐκ τῶνδε. Πρῶτον μὲν, εἰ μὴ διὰ προτέρων καὶ 17. Caput 3.
γνωριμωτέρων πεποίηται τὸν ὁρισμόν. ἐπεὶ γὰρ ὁ ὅρος ἀποδίδοτι
τοῦ γνωρίσαι χάριν τὸ λεχθέν. γνωρίζομεν δ' οὐκ ἐκ τῶν τυχόντων,
ἀλλ' ἐκ τῶν προτέρων καὶ γνωριμωτέρων, καθάπερ ἐν ταῖς ἀποδεί-
ξεσιν. οὕτω γὰρ πᾶσα διδασκαλία καὶ μάθησις ἔχει. φανερὸν οὖν
ὅτι ὁ μὴ διὰ τοιούτων ὁριζόμενος οὐχ ὥρισται. εἰ δὲ μὴ, πλείους ἔσον-
ται τοῦ αὐτοῦ ὁρισμοί. δῆλον γὰρ ὅτι καὶ ὁ διὰ προτέρων καὶ γνωρι-
μωτέρων, βέλτιον ὥρισται. ὥστε ἀμφότεροι ἂν εἴησαν ὅροι, τοῦ αὐτοῦ.
τὸ δὲ τοιοῦτον, οὐ δοκεῖ. ἕκαστον γὰρ τῶν ὄντων ἕν ἐστι τὸ εἶναι ὅπερ ἐστιν. ὥ-
στε εἰ πλείους ἔσονται τοῦ αὐτοῦ ὁρισμοὶ, ταυτὸν ἔσται τῷ ὁριζομένῳ
τὸ εἶναι, ὅπερ καθ' ἑκάτερον τῶν ὁρισμῶν δηλοῦται. ταῦτα δ' οὐ ταυ-
τά ἐστιν, ἐπειδὴ καὶ οἱ ὁρισμοὶ ἕτεροι. δῆλον οὖν ὅτι οὐχ ὥρισται ὁ
μὴ διὰ προτέρων καὶ γνωριμωτέρων ὁρισάμενος. Τὸ μὲν
οὖν μὴ διὰ γνωριμωτέρων εἰρῆσθαι τὸν ὅρον, διχῶς ἐστιν ἐκλαβεῖν. duplex notius. Et natura, Et quod nobis notius
ἢ γὰρ εἰ ἁπλῶς ἐξ ἀγνωστοτέρων, ἢ εἰ ἡμῖν ἀγνωστοτέρων. ἐνδέχετε
γὰρ ἀμφοτέρως. ἁπλῶς μὲν γὰρ γνωριμώτερον, τὸ πρότερον τοῦ ὑστέ-
ρου. οἷον στιγμὴ, γραμμῆς. καὶ γραμμὴ, ἐπιπέδου. καὶ ἐπίπεδον, στερεοῦ.
καθάπερ μονὰς ἀριθμοῦ. πρότερον γὰρ καὶ ἀρχὴ παντὸς ἀριθμοῦ.
ὁμοίως δὲ καὶ στοιχεῖον συλλαβῆς. ἡμῖν δὲ ἀνάπαλιν ἐνίοτε συμ-
βαίνει. μάλιστα γὰρ τὸ στερεὸν ὑπὸ τὴν αἴσθησιν πίπτει τοῦ ἐπιπέ-
δου. τὸ δ' ἐπίπεδον, μᾶλλον τῆς γραμμῆς. γραμμὴ δὲ, σημείου μᾶλ-
λον. οἱ πολλοὶ γὰρ τὰ τοιαῦτα γνωρίζουσι. τὰ μὲν γὰρ τῆς τυχού-
σης· τὰ δ' ἀκριβοῦς καὶ περιττῆς διανοίας καταμαθεῖν ἐστιν. ἁ-
πλῶς μὲν οὖν βέλτιον, τὸ διὰ προτέρων τὰ ὕστερα πειρᾶσθαι γνω-
ρίζειν. ἐπιστημονικώτερον γὰρ τὸ τοιοῦτόν ἐστιν. οὐ μὴν, ἀλλὰ πρὸς
τοὺς ἀδυνατοῦντας γνωρίζειν διὰ τῶν τοιούτων, ἀναγκαῖον ἴσως διὰ
τῶν ἐκείνοις γνωρίμων ποιεῖσθαι τὸν λόγον. εἰσὶ δὲ τῶν τοιούτων ὁρι-

σμῶν

σμῶν, ὅ, τε τῆς στιγμῆς, καὶ ὁ τῆς γραμμῆς καὶ ὁ τοῦ ἐπιπέδου. πάν-
τες γὰρ διὰ τῶν ὑστέρων, τὰ πρότερα δηλοῦσι. τὸ μὲν γὰρ γραμμῆς.
τὸ δ' ἐπιπέδου. τὸ δὲ στερεοῦ φασι πέρας εἶναι. οὐ δεῖ δὲ λανθάνειν ὅ-
τι τοὺς οὕτως ὁριζομένους, οὐκ ἐνδέχεται τότι ἦν εἶναι τῷ ὁριζο-
μένῳ δηλοῦν, ἐὰν μὴ τυγχάνῃ ταυτὸν, ἡμῖν τε γνωριμώτερον ὂν καὶ ἁ-
πλῶς γνωριμώτερον. εἴπερ δεῖ μὲν διὰ τοῦ γένους καὶ τῶν διαφο-
ρῶν ὁρίζεσθαι τὸν καλῶς ὁριζόμενον. ταῦτα δὲ τῶν ἁπλῶς γνωριμω-
τέρων, καὶ προτέρων τοῦ εἴδους εἰσί. συναναιρεῖ γὰρ τὸ γένος καὶ ἡ
διαφορὰ τὸ εἶδος. ὥστε πρότερα ταῦτα, τοῦ εἴδους. ἔστι δὲ καὶ γνωρι-
μώτερα. τοῦ μὲν γὰρ εἴδους γνωριζομένου, ἀνάγκη καὶ τὸ γένος καὶ
τὴν διαφορὰν γνωρίζεσθαι. ὁ γὰρ ἄνθρωπον γνωρίζων, καὶ ζῶον καὶ πε-
ζὸν γνωρίζει. τοῦ δὲ γένους ἢ τῆς διαφορᾶς γνωριζομένης, οὐκ ἀνάγ-
κη καὶ τὸ εἶδος γνωρίζεσθαι. ὥστε ἀγνωστότερον τὸ εἶδος. Ετι
τοῖς τῆς κατ' ἀλήθειαν τοὺς τοιούτους ὁρισμοὺς φάσκουσιν εἶναι τοὺς ἐκ
τῶν ἑκάστῳ γνωρίμων, πολλοὺς τοῦ αὐτοῦ συμβήσεται λέγειν ὁρι-
σμοὺς εἶναι. ἕτερα γὰρ ἑτέροις, καὶ οὐ ταυτὰ πᾶσι τυγχάνει γνω-
ριμώτερα ὄντα. ὥστε πρὸς ἕκαστον, ἕτερος ἂν εἴη ὁρισμὸς ἀποδοτέος,
εἴπερ ἐκ τῶν ἑκάστοις γνωριμωτέρων τὸν ὁρισμὸν ποιεῖσθαι χρή.

Ετι τοῖς αὐτοῖς ἄλλοτ' ἄλλα μᾶλλον γνώριμα. ἐξ ἀρχῆς μὲν
τὰ αἰσθητά. ἀκριβεστέροις δὲ γινομένοις, ἀνάπαλιν. ὥστ' οὐ δὲ πρὸς
τὸν αὐτὸν ἀεὶ ὁ αὐτὸς ὁρισμὸς ἀποδοτέος, τοῖς διὰ τῶν ἑκάστοις γνω-
ριμωτέρων τὸν ὁρισμὸν φάσκουσιν ἀποδοτέον εἶναι. δῆλον οὖν ὅτι
οὐχ ὁριστέον διὰ τῶν τοιούτων, ἀλλὰ διὰ τῶν ἁπλῶς γνωριμωτέρων.
μόνως γὰρ ἂν οὕτως εἷς καὶ ὁ αὐτὸς ὁρισμὸς ἀεὶ γίνοιτο. ἴσως δὲ καὶ
τὸ ἁπλῶς γνώριμον, οὐ τὸ πᾶσι γνώριμόν ἐστιν, ἀλλὰ τὸ τοῖς εὖ διακει-
μένοις τὴν διάνοιαν. καθάπερ καὶ τὸ ἁπλῶς ὑγιεινὸν, τὸ τοῖς εὖ ἔχου-
σι τὸ σῶμα. δεῖ μὲν οὖν ἕκαστα τῶν τοιούτων ἐξακριβοῦν. χρῆσθαι δὲ
διαλεγο-

qui diffinit per posteriora non indicat quid est

Τοῖς

διαλεγομένους, πρὸς τὸ συμφέρον. μάλιστα δ' ὁμολογουμένως ἀναι-
ρεῖν ἐνδέχεται τὸν ὁρισμὸν, ἐὰν μήτ' ἐκ τῶν ἁπλῶς γνωριμωτέρων,
μήτε ἐκ τῶν ἡμῖν τυγχάνῃ τὸν λόγον πεποιημένος. εἷς μὲν οὖν τό-
πος τοῦ μὴ διὰ γνωριμωτέρων ἐστὶ, τὸ διὰ τῶν ὑστέρων τὰ πρότερα
δηλοῦν. καθάπερ πρότερον εἴπομεν. ἄλλος, εἰ τοῦ ἐν ἠρεμίᾳ καὶ 18
τοῦ ὁρισμοῦ, διὰ τοῦ ἀορίστου καὶ τοῦ ἐν κινήσει ἀποδίδοται ὁ λόγος + ὡρισμένου
ἡμῖν. πρότερον γὰρ καὶ γνωριμώτερον τὸ μένον καὶ τὸ ὡρισμένον, τοῦ
ἀορίστου καὶ τοῦ ἐν κινήσει ὄντος. Τοῦ δὲ μὴ ἐκ προτέρων, 19.
τρεῖς εἰσὶ τρόποι. πρῶτον μὲν, εἰ διὰ τῶν ἀντικειμένων τὸ ἀντικεί-
μενον ὥρισται. οἷον διὰ τοῦ κακοῦ τὸ ἀγαθόν. ἅμα γὰρ τῇ φύσει τὰ ἀντι-
κείμενα. ἐνίοις δὲ καὶ ἡ αὐτὴ ἐπιστήμη ἀμφοτέρων δοκεῖ εἶναι. ὥ-
στε οὐ δὲ γνωριμώτερον, τὸ ἕτερον τοῦ ἑτέρου. δεῖ δὲ μὴ λανθάνειν ὅ- opposita relatum necessario
τι ἔνια ἴσως, οὐκ ἔστιν ὁρίσασθαι ἄλλως. οἷον τὸ διπλάσιον, ἄνευ τοῦ ἡ- + se mincem diffinitur
μίσεος. καὶ ὅσα καθ' αὑτὰ πρός τι λέγεται. πᾶσι γὰρ τοῖς τοιούτοις,
ταυτὸν τὸ εἶναι, τῷ πρός τι πῶς ἔχειν. ὥστ' ἀδύνατον ἄνευ θατέρου
θάτερον γνωρίζειν. διόπερ ἀναγκαῖον ἐν τῷ τοῦ ἑτέρου λόγῳ συμπε-
ριειλῆφθαι καὶ θάτερον. γνωρίζειν μὲν οὖν δεῖ τὰ τοιαῦτα πάντα.
χρῆσθαι δ' αὐτοῖς, καὶ ἐπὶ τούτων ὡς ἂν δοκεῖ συμφέρειν.

Ἄλλος, εἰ αὐτῷ κέχρηται τῷ ὁριζομένῳ. λανθάνει δ' ὅταν μὴ αὐ- 20.
τῷ τῷ τοῦ ὁριζομένου ὀνόματι χρήσηται. οἷον εἰ τὸν ἥλιον, ἄστρον ἡμε-
ροφαὲς ὡρίσατο. ὁ γὰρ ἡμέρᾳ χρώμενος, καὶ ἡλίῳ χρῆται. δεῖ δὲ
πρὸς τὸ φωραθῆναι τὰ τοιαῦτα, μεταλαμβάνειν ἀντὶ τοῦ ὀνόμα-
τος τὸν λόγον. οἷον ὅτι ἡ ἡμέρα, ἡλίου φορὰ ὑπὲρ γῆς ἐστι. δῆ-
λον γὰρ ὅτι τὴν φορὰν ἡλίου ὑπὲρ γῆς εἰρηκὼς, τὸν ἥλιον εἴρη-
κεν. ὥστε κέχρηται τῷ ἡλίῳ ὁ τῇ ἡμέρᾳ χρησάμενος. Γάλιν εἰ 21.
τῷ ἀντιδιηρημένῳ τὸ ἀντιδιηρημένον ὥρισται. οἷον περιττὸν, τὸ μονάδι
μεῖζον, ἀρτίου. ἅμα δὲ τῇ φύσει, τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιηρημένα.

τὸ δὲ περιττὸν καὶ ἄρτιον ἀντιδιήρηνται. ἄμφω γὰρ ἀριθμοῦ διαφο
22. ραί. Ὁμοίως δὲ καὶ εἰ διὰ τῶν ὑποκάτω τὸ ἐπάνω ὥρισται. οἷ
ον ἄρτιον ἀριθμὸν, τὸν δίχα διαιρούμενον, ἢ τὸ ἀγαθὸν, ἕξιν ἀρετῆς. τό,
τε δὲ δίχα, ἀπὸ τῶν δύο εἴληπται ἀρτίων ὄντων. καὶ ἡ ἀρετὴ, ἀγαθόν
τί ἐστιν, ὥστε ὑποκάτω ταῦτα ἐκείνων ἐστίν. ἔστι δ' ἀνάγκη τὸν τῷ ὑπο
κάτω χρώμενον, καὶ αὐτῷ χρῆσθαι. ὅ, τε δὲ τῇ ἀρετῇ χρώμενος, χρῆ
ται τῷ ἀγαθῷ. ἐπειδὴ ἀγαθόντι ἡ ἀρετὴ, ὁμοίως δὲ καὶ ὁ τῷ δίχα χρώ
μενος, τῷ ἀρτίῳ χρῆται. ἐπειδὴ εἰς δύο διηρῆσθαι σημαίνει τὸ δίχα.
τὰ δὲ δύο, ἄρτιά ἐστι. καθόλου μὲν οὖν εἰπεῖν, ἕις ἐστι τόπος, τὸ μὴ διὰ
προτέρων καὶ γνωριμωτέρων ποιήσασθαι τὸν λόγον. μέρη δ' αὐτοῦ, τὰ
23. εἰρημένα. Δεύτερος, εἰ ἐν γένει τοῦ πράγματος ὄντος, μὴ κεῖται
ἐν γένει. ἐν ἅπασι δὲ τὸ τοιοῦτον ἁμάρτημά ἐστιν, ἐν οἷς οὐ πρόκειται
τοῦ λόγου τὸ τί. οἷον ὁ τοῦ σώματος ὁρισμὸς, τὸ ἔχον τρεῖς διαστάσεις, ἢ
εἴτις τὸν ἄνθρωπον ὁρίσαιτο, τὸ ἐπιστάμενον ἀριθμεῖν. οὐ δὲ εἴρηταί τι ὄν,
τρεῖς ἔχει διαστάσεις, ἢ τί ὄν, ἐπίσταται ἀριθμεῖν. τὸ δὲ γένος βούλεται
τὸ τί ἐστι σημαίνειν. καὶ πρῶτον ὑποτίθεται τῶν ἐν τῷ ὁρισμῷ λεγομέ
24. νων. Ἔτι εἰ πρὸς πλείω λεγομένου τοῦ ὁριζομένου, μὴ πρὸς πάν
τα ἀπέδωκεν. οἷον εἰ τὴν γραμματικὴν ἐπιστήμην, τοῦ γράψαι τὸ ὑπα
γορευθέν. προσδεῖται γὰρ, ὅτι καὶ τοῦ ἀναγνῶναι. οὐδὲ δὲ μᾶλλον τοῦ
γράψαι ἢ τοῦ ἀναγνῶναι ὁ ἀποδοὺς ὥρισται. ὥστ' οὐδ' ἕτερος, ἀλλ' ὁ ἄμ
φω ταῦτ' εἰπών. ἐπειδὴ πλείους οὐκ ἐνδέχεται τοῦ αὐτοῦ ὁρισμοὺς εἶ=
ναι. ἐπ' ἐνίων μὲν οὖν κατ' ἀλήθειαν ἔχει, καθάπερ εἴρηται. ἐπ' ἐνί=
ων δ' οὔ. οἷον ἐφ' ὅσων μὴ καθ' αὑτὸ πρὸς ἄμφω λέγεται. καθάπερ ἰα
τρικὴ τοῦ νόσον καὶ ὑγίειαν ποιῆσαι. τοῦ μὲν γὰρ καθ' αὑτὴν λέγεται.
τοῦ δὲ κατὰ συμβεβηκός· ἁπλῶς γὰρ ἀλλότριον τῆς ἰατρικῆς, τὸ νό
σον ποιεῖν. ὥστ' οὐδὲν μᾶλλον ὥρισται, ὁ πρὸς ἄμφω ἀποδοὺς τοῦ πρὸς
θάτερον. ἀλλ' ἴσως καὶ χεῖρον· ἐπειδὴ καὶ τῶν λοιπῶν ὁστισοῦν δυνα
τὸς ἐ=

τός ἐστι νόσον ποιῆσαι. Ετι εἰ μὴ πρὸς τὸ βέλτιον, ἀλλὰ πρὸς τὸ 25.
χεῖρον ἀπέδωκε, πλειόνων ὄντων πρὸς ἃ λέγεται τὸ ὁριζόμενον. πᾶ=
σα δὲ ἐπιστήμη καὶ δύναμις, τοῦ βελτίστου δοκεῖ εἶναι. Γάλιν εἰ 26.
μὴ κεῖται ἐν τῷ οἰκείῳ γένει τὸ λεχθὲν, σκοπεῖν ἐκ τῶν περὶ τὰ γένη
στοιχείων, καθάπερ πρότερον εἴρηται. Ετι εἰ ὑπερβαίνων λέγει 27.
τὰ γένη. οἷον ὁ τὴν δικαιοσύνην, ἕξιν ἰσότητος ποιητικὴν, ἢ διανεμητι
κὴν τοῦ ἴσου. ὑπερβαίνει γὰρ ὁ οὕτως ὁριζόμενος τὴν ἀρετήν. ἀπολι=
πὼν οὖν τὸ τῆς δικαιοσύνης γένος, οὐ λέγει τὸ τὶ ἦν εἶναι. ἡ γὰρ οὐσία
ἑκάστῳ, μετὰ τοῦ γένους. ἔστι δὲ τοῦτο ταυτὸν τῷ μὴ εἰς τὸ ἐγγυτάτω
γένος θεῖναι. ὁ γὰρ εἰς τὸ ἐγγυτάτω θεὶς, πάντα τὰ ἐπάνω εἴρηκεν. ἐ=
πειδὴ πάντα τὰ ἐπάνω γένη τῶν ὑποκάτω κατηγορεῖται. ὥστε ἢ εἰς
τὸ ἐγγυτάτω γένος θετέον, ἢ πάσας τὰς διαφορὰς τῷ ἐπάνω γένει προ
σραπτέον. δι' ὧν ὁρίζεται τὸ ἐγγυτάτω γένος. οὕτως μὲν οὐδὲν ἂν εἴη πα
ραλελοιπὼς, ἀλλ' ἀντ' ὀνόματος λόγῳ εἰρηκὼς ἂν εἴη τὸ ὑποκάτω γέ
νος. ὁ δ' αὐτὸ μόνον τὸ ἐπάνω γένος εἴπας, οὐ λέγει καὶ τὸ ὑποκάτω γέ
νος. ὁ δὲ φυτὸν εἴπας, οὐ λέγει δένδρον. Γάλιν ἐπὶ τῶν διαφο= 28.
ρῶν ὁμοίως σκεπτέον, εἰ καὶ τὰς διαφορὰς εἶπε τὰς τοῦ γένους. εἰ γὰρ
μὴ ταῖς τοῦ πράγματος ἰδέαις ὥρισται διαφοραῖς. ἢ καὶ παντελῶς 29
τοιοῦτον εἴρηκεν, ὃ μηδενὸς ἐνδέχεται διαφορὰν εἶναι. οἷον τὸ ζῶον ἢ
τὴν οὐσίαν, δῆλον ὅτι οὐχ ὥρισται. οὐδενὸς δὲ διαφοραὶ τὰ εἰρημένα.
ὁρᾶν δὲ καὶ εἰ ἔστιν ἀντιδιηρημένον τι, τῇ εἰρημένῃ διαφορᾷ. εἰ 29
γὰρ μή ἐστι, δῆλον ὅτι οὐκ ἂν εἴη ἡ εἰρημένη τοῦ γένους διαφορά. πᾶν δὲ
γένος, ταῖς ἀντιδιηρημέναις διαφοραῖς διαιρεῖται, καθάπερ τὸ ζῶον. τῷ
πεζῷ καὶ τῷ πτηνῷ καὶ τῷ ἐνύδρῳ, καὶ τῷ δίποδι. ἢ εἰ ἔστι μὲν ἡ ἀντιδι 30
ηρημένη διαφορὰ, μὴ ἀληθεύεται δὲ κατὰ τοῦ γένους, δῆλον ὅτι οὐδετέ
ρα ἂν εἴη τοῦ γένους διαφορά. πᾶσαι δὲ αἱ ἀντιδιηρημέναι διαφοραὶ
ἀληθεύονται κατὰ τοῦ οἰκείου γένους. ὁμοίως δὲ καὶ εἰ ἀληθεύεται 31.

in diffinitione genus proximum ponendum aut dras omnes a summo genere

μὲν, μὴ ποιεῖ δὲ προστιθεμένη τῷ γένει, εἶδος. δῆλον γὰρ ὅτι οὐκ ἂν
εἴη αὕτη εἰδοποιὸς διαφορὰ τοῦ γένους· πᾶσα γὰρ εἰδοποιὸς διαφο=
ρὰ μετὰ τοῦ γένους, εἶδος ποιεῖ, εἰ δ' αὕτη μή ἐστι διαφορὰ, οὐδ' ἡ λε=
32 χθεῖσα. ἐπεὶ ταύτῃ ἀντιδιήρηται. Ετι ἐὰν ἀποφάσει διαιρῇ τὸ
γένος. καθάπερ τὴν γραμμὴν ὁριζόμενοι μῆκος ἀπλατὲς εἶναι. οὐδὲν
γὰρ ἄλλο σημαίνει, ἢ ὅτι οὐκ ἔχει πλάτος. συμβήσεται οὖν τὸ γένος
μετέχειν τοῦ εἴδους. πᾶν δὲ μῆκος, ἢ ἀπλατὲς, ἢ πλάτος ἔχον ἐστίν. ἐ=
πεὶ κατὰ παντὸς, ἢ ἡ κατάφασις, ἢ ἡ ἀπόφασις ἀληθεύεται. ὥστε καὶ
τὸ γένος τῆς γραμμῆς, μῆκος ὄν, ἢ ἀπλατὲς, πλάτος ἔχον ἔσται. μῆ=
κος δὲ ἀπλατὲς, εἴδους ἐστὶ λόγος. ὁμοίως δὲ καὶ μῆκος πλάτος ἔ=
χον· τὸ δὲ ἀπλατὲς καὶ τὸ πλάτος ἔχον, διαφοραί εἰσιν. ἐκ δὲ τῆς δια
φορᾶς καὶ τοῦ γένους, ὃ τοῦ εἴδους ἐστὶ λόγος, ὥστε τὸ γένος ἐπιδέ=
χοιτ' ἂν τὸν τοῦ εἴδους λόγον. ὁμοίως δὲ καὶ τὸν τῆς διαφορᾶς. ἐπει=
δὴ ἡ ἑτέρα τῶν εἰρημένων διαφορῶν, ἐξ ἀνάγκης κατηγορεῖται τοῦ
γένους. ἔστι δ' ὁ εἰρημένος τόπος, χρήσιμος πρὸς τοὺς τιθεμένους ἰδέ
ας εἶναι. εἰ γὰρ μή ἐστιν αὐτομῆκος, πῶς κατηγορηθήσεται κατὰ τοῦ
γένους, ὅτι πλάτος ἔχον ἐστὶν, ἢ ἀπλατές ἐστι. δεῖ γὰρ κατὰ παντὸς
μήκους τὸ ἕτερον αὐτῶν ἀληθεύεσθαι, εἴπερ κατὰ τοῦ γένους ἀληθεύε
σθαι μέλλει. τοῦτο δ' οὐ συμβαίνει. ἔστι δὲ ἀπλατῆ καὶ πλάτος ἔχοντα
μήκη. ὥστε πρὸς ἐκείνους μόνους χρήσιμος ὁ τόπος, ὅσοι τὸ γένος ἓν ἀ
ριθμῷ φασιν εἶναι. τοῦτο δὲ ποιοῦσιν οἱ τὰς ἰδέας τιθέμενοι. αὐτομῆ=
κος γὰρ καὶ αὐτοζῶον γένος φασὶν εἶναι. ἴσως δ' ἐπ' ἐνίων ἀναγκαῖον
ὅλον καὶ ἀποφάσει χρῆσθαι τὸν ὁριζόμενον. ὅνον ἐπὶ τῶν στερήσεων. τυφλὸν
γάρ ἐστι, τὸ μὴ ἔχον ὄψιν ὅτε πέφυκεν ἔχειν. διαφέρει δ' οὐδὲν ἀπο=
φάσει διελεῖν τὸ γένος, ἢ τοιαύτῃ καταφάσει, ἢ ἀπόφασιν ἀναγκαῖ=
ον ἀντιδιαιρεῖσθαι. εἷον εἰ μῆκος πλάτος ἔχον ὥρισται. τῷ γὰρ πλά
τος ἔχοντι, τὸ μὴ ἔχον πλάτος ἀντιδιήρηται. ἄλλο δ' οὐδὲν, ὥστε ἀ=
ποφάσει

ποφάσει πάλιν διαιρεῖται τὸ γένος. Πάλιν εἰ τὸ εἶδος ὡς διαφορὰν ἀπέδωκε, καθάπερ οἱ τὸν προσηλακισμόν, ὕβριν μετὰ χλευασίας ὁριζόμενοι. ἡ γὰρ χλευασία, ὕβρις τίς, ὥστ' οὐ διαφορά, ἀλλ' εἶδος ἡ χλευασία. Ἔτι εἰ τὸ γένος ὡς διαφορὰν εἴρηκεν. οἷον τιμὴ ἀρετῇ, ἕξιν ἀγαθήν, ἢ σωφροσύνην. γένος γὰρ τἀγαθόν, τῆς ἀρετῆς ἐστιν, ἢ οὐ γένος τἀγαθόν, ἀλλὰ διαφορά, εἴπερ ἀληθὲς, ὅτι οὐκ ἐνδέχεται ταὐτὸ ἐν διαφοραῖς γίνεσθαι, μὴ περιέχουσιν ἄλληλα. οὔτε γὰρ τἀγαθὸν τιμὴ ἕξιν περιέχει, οὐδ' ἡ ἕξις τἀγαθόν. οὐ γὰρ πᾶσα ἕξις, ἀγαθόν. οὐδὲ πᾶν ἀγαθὸν, ἕξις. ὥστ' οὐκ ἂν εἴη γένη ἀμφότερα. εἰ δὲ μὴ ἡ ἕξις τῆς ἀρετῆς γένος. δῆλον ὅτι τἀγαθὸν οὐ γένος, ἀλλὰ μᾶλλον διαφορά. ἔτι ἡ μὲν ἕξις, τί ἐστι σημαίνει ἡ ἀρετή. τὸ δ' ἀγαθὸν οὐ τί ἐστιν, ἀλλὰ ποιόν. δοκεῖ δὲ ἡ διαφορὰ ποιόντι σημαίνειν. Ὁρᾶν δὲ καὶ μὴ ποιόντι, ἀλλὰ τόδε τι σημαίνῃ ἡ ἀποδοθεῖσα διαφορά. δοκεῖ δὲ ποιόντι πᾶσα διαφορὰ δηλοῦν. Σκοπεῖν δὲ καὶ εἰ κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ὁριζομένῳ ἡ διαφορά. οὐδὲ μία δὴ διαφορὰ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων ἐστὶ, καθάπερ οὐδὲ τὸ γένος. οὐ δὴ ἐν διέχεται τιμὴ διαφορὰν ὑπάρχειν τινὶ καὶ μὴ ὑπάρχειν. Ἔτι εἰ κατηγορεῖται τὸ γένους ἡ διαφορὰ, ἢ τὸ εἶδος, ἢ τῶν κάτωθέν τι τοῦ εἴδους, οὐκ ἂν εἴη ὡρισμένον. οὐδὲν γὰρ τῶν ἠρισμένων ἐν διέχεται τὸ γένους κατηγορεῖσθαι. ἐπειδὴ τὸ γένος ἐπὶ πλεῖστον πάντων λέγεται. Πάλιν εἰ κατηγορεῖται τὸ γένος τῆς διαφορᾶς. οὐ γὰρ κατὰ τὰς διαφορᾶς, ἀλλὰ καθ' ὧν ἡ διαφορὰ τὸ γένος δοκεῖ κατηγορεῖσθαι. οἷον τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, καὶ τῶν ἄλλων πεζῶν ζώων οὐκ αὐτῆς τῆς διαφορᾶς, τῆς κατὰ τὸ εἶδους λεγομένης. εἰ γὰρ καθ' ἑκάστων τῶν διαφορῶν τὸ ζῷον κατηγορηθήσεται, πολλὰ ζῷα τὸ εἴδους ἂν κατηγοροῖτο. αἱ γὰρ διαφοραὶ τοῦ εἴδους κατηγοροῦνται. Ἔτι διαφοραὶ πᾶσαι, ἢ εἶδη, ἢ ἄτομα

33. 34. 35. 36. 37.

Ελάττονος

ἄτομα ἔσται. εἴπερ ζῶα. ἕκαστον γὰρ τῶν ζώων, ἢ εἶδός ἐστιν ἢ ἄτομον.

38 Ομοίως δὲ σκεπτέον καὶ εἰ τὸ εἶδος, ἢ τῶν ὑποκάτω τὶ τοῦ εἴδους, τῆς διαφορᾶς κατηγορεῖται. ἀδύνατον γὰρ, ἐπειδὴ ἐπὶ πλέον ἡ διαφορὰ τῶν εἰδῶν λέγεται. Ετι συμβήσεται τὴν διαφορὰν εἶδος εἶναι, εἴπερ κατηγορεῖταί τι αὐτῆς τῶν εἰδῶν. εἰ γὰρ κατηγορεῖται ὁ ἄνθρωπος, δῆλον ὅτι ἡ διαφορὰ ἄνθρωπος ἐστί.

dra qnr posterior pos prior ero specie

39. Γάλιν εἰ μὴ πρότερον ἡ διαφορὰ τοῦ εἴδους. τοῦ μὲν γὰρ γένους ὕ-
40 στερον. τοῦ δὲ εἴδους πρότερον τὴν διαφορὰν δεῖ εἶναι. σκοπεῖν δὲ καὶ εἰ ἑτέρου γένους ἡ ῥηθεῖσα διαφορὰ μὴ περιεχομένου, μὴ δὲ περιέχοντος. οὐ δοκεῖ γὰρ ἡ αὐτὴ διαφορὰ δύο γενῶν εἶναι, μὴ περιεχόντων ἄλληλα. εἰ δὲ μὴ, συμβήσεται καὶ εἶδος τὸ αὐτὸ, ἐν δύο γένεσιν εἶναι μὴ περιέχουσιν ἄλληλα. ἐπιφέρει γὰρ ἑκάστη τῶν διαφορῶν τὸ οἰκεῖον γένος. καθάπερ τὸ πεζὸν καὶ τὸ δίπουν, τὸ ζῶον συνεπιφέρει. ὥστε εἰ καθ' οὗ ἡ διαφορὰ, καὶ τῶν γενῶν ἑκάτερον. δῆλον οὖν ὅτι τὸ εἶδος, ἐν δυσὶ γένεσιν οὐ περιέχουσιν ἄλληλα. ἢ οὐκ ἀδύνατον τὴν αὐτὴν διαφορὰν δύο γενῶν εἶναι μὴ περιεχόντων ἄλληλα ἀλλὰ προσθετέον, μὴ δ' ἄμφω ὑπὸ ταὐτὸ ὄντων, τὸ γὰρ πεζὸν ζῶον καὶ τὸ πτηνὸν, γένη ἐστὶν οὐ περιέχοντα ἄλληλα. καὶ ἀμφοτέρων αὐτῶν τὸ δίπουν ἐστὶ διαφορά. ὥστε προσθετέον ὅτι μὴ δ' ὑπὸ τὸ αὐτὸ ὄντων ἄμφω. ταῦτα γὰρ ἄμφω ὑπὸ τὸ ζῶόν ἐστι. δῆλον δὲ καὶ ὅτι οὐκ ἀνάγκη τὴν διαφορὰν, πᾶσαν τὸ οἰκεῖον ἐπιφέρειν γένος. ἐπεὶ ἐνδέχεται τὴν αὐτὴν δύο γενῶν εἶναι, μὴ περιεχόντων ἄλληλα. ἀλλὰ τὸ ἕτερον μόνον ἀνάγκη συνεπιφέρειν. καὶ τὰ ἐπάνω τούτου. καθάπερ τὸ
41. δίπουν, τὸ πτηνὸν ἢ τὸ πεζὸν, συνεπιφέρει τὸ ζῶον. Ορᾶν δὲ καὶ εἰ τὸ ἔντινι διαφορὰν ἀποδέδωκεν οὐσίας. οὐ δοκεῖ γὰρ διαφέρειν οὐσία οὐσίας τῷ ποῦ εἶναι. διὸ καὶ τοῖς τῷ πεζῷ καὶ τῷ ἐνύδρῳ διαιροῦσι τὸ ζῶον, ἐπιτιμῶσιν, ὡς τὸ πεζὸν καὶ τὸ ἔνυδρον ποῦ σημαῖνον.

ἢ ἐπὶ

ἢ ἐπὶ μὲν τούτων, οὐκ ὀρθῶς ἐπιτιμῶσιν. οὐ γὰρ ἔντινι. οὐ δὲ τὸ σημαίνει τὸ ἔννυσσον, καὶ τὸ χερσαῖον, ἀλλὰ ποιόντι. καὶ γὰρ ἂν ᾖ ἐν τῷ ξηρῷ ὁμοίως ἔννυσσον. ὁμοίως δὲ τὸ χερσαῖον, κἂν ἐν ὑγρῷ, χερσαῖον, ἀλλ' οὐκ ἔννυσσον ἔσται. ἀλλ' ὅμως ἐάν ποτε σημαίνῃ τὸ ἔντινι ἢ διαφορά, δῆλον ὅτι διημαρτηκὼς ἔσται. Πάλιν εἰ τὸ πάθος διαφορὰν ἀποδέδωκε. πᾶν γὰρ πάθος μᾶλλον γινόμενον, ἐξίσησι τῆς οὐσίας. ἡ δὲ διαφορά, οὐ τοιοῦτον. μᾶλλον γὰρ σῴζειν δοκεῖ ἡ διαφορά, οὗ ἐστι διαφορά. καὶ ἁπλῶς ἀδιάφατον εἶναι ἄνευ τῆς οἰκείας διαφορᾶς ἕκαστον. περιοῦ γὰρ μὴ ὄντος, οὐκ ἔσται ἄνθρωπος. ἁπλῶς δ' εἰπεῖν καθ' ὅσα ἀλλοιοῦται τὸ ἔχον, οὐδὲν τούτων διαφορὰ ἐκείνου. ἅπαντα γὰρ τὰ ζωιῦτα μᾶλλον γινόμενα, ἐξίσησι τῆς οὐσίας. ὥστ' εἴτινα τοιαύτην διαφορὰν ἀποδέδωκεν, ἡ μάρτηκεν. ἁπλῶς δ' οὐκ ἀλλοιούμεθα κατὰ τὰς διαφοράς. 42. 43.

Καὶ εἴτινος τῶν πρόστι, μὴ πρὸς ἄλλο τινὸ διαφορὰν ἀποδέδωκε. τῶν δὲ πρόστι, ᾗ αἱ διαφοραὶ πρόστι. καθάπερ ᾗ τῆς ἐπιστήμης θεωρητικὴ ἢ ᾗ πρακτικὴ ἢ ᾗ ποιητικὴ λέγεται. ἕκαστον δὲ τούτων, πρόστι σημαίνει. θεωρητικὴ γάρ τινος. καὶ ποιητική τινος. καὶ πρακτική. Σκοπεῖν δὲ καὶ εἰ μὴ πρὸς ὃ ἀπέφυκεν ἕκαστον τῶν πρόστι ἀποδίδωσιν ὁ ὁριζόμενος. οἷον οἷς μὲν δὴ πρὸς ὃ ἀπέφυκεν ἕκαστον τὸ πρόστι μόνον ἐστὶ χρήσασθαι. πρὸς ἄλλο δ' οὐδέν. οἷον οἷς ἢ μὴ πρὸς ἄλλο. οἷον τῇ ὄψει πρὸς τὸ ἰδεῖν μόνον. τῇ δὲ σελεγίδι κἂν ἀρύσασθαι τις, ἀλλ' ὅμως ἔστιν ᾧ εἴσασται τινὶ σελεγίδα ὄργανον πρὸς τὸ ἀρύειν, ἡμάρτηκεν. οὐ δὲ πρὸς ὃ πέφυκεν. ὅρος δὲ τὸ πρὸς ὃ πέφυκεν, ἐφ' ὃ ἂν χρήσαιτο ὁ φρόνιμος ἢ φρόνιμος, ᾗ ἢ περὶ ἕκαστον οἰκεία ἐπιστήμη. 44.

Ἔτι εἰ μὴ τὸ πρώτῳ ἀποδέδωκεν, ὅταν τυγχάνῃ πρός πλείω λεγόμενον οἷον τινὶ φρόνησιν ἀρετινὶ, ἀνθρώπου, ἢ ψυχῆς, καὶ μὴ τοῦ λογιστικοῦ. πρώτου γὰρ τοῦ λογιστικοῦ ἀρετὴ, ἡ φρόνησις. κατὰ γὰρ ὅλον καὶ ἡ ψυχή 45.

as οὐ

Le latina versio melliget nam de re relatiua ... omnem d. finitiua pro ... et grãa ... erat.

passio p̄ proprium subiectum diffinit debet

46. ἡ ψυχὴ καὶ ὁ ἄνθρωπος φρονεῖν λέγεται. Ἔτι εἰ μὴ λεκτικόν ἐστιν οὗ εἴρηται ὁ ὁρισμὸν πάθος ἢ ἡ διάθεσις, ἢ ὁτιοῦν ἄλλο ἁμάρτηκε. πᾶσα γὰρ διάθεσις καὶ πᾶν πάθος, ᾧ ἐκείνῳ πέφυκε γίνεσθαι, οὗ ἐστι διάθεσις ἢ πάθος. καθάπερ καὶ ἡ ἐπιστήμη ἐν ψυχῇ, διάθεσις οὖσα ψυχῆς. ᾧ ἴστε δὲ διαμαρτάνουσιν ἐν τοῖς τοιούτοις. οἷον ὅσοι λέγουσιν ὅτι ὕπνος ἐστὶν ἀδυναμία αἰσθήσεως. καὶ ἡ ἀπορία, ἰσότης ἐναντίων λογισμῶν. καὶ ἡ ἀλγηδὼν, διάστασις τῶν συμφύτων μερῶν μετὰ βίας. οὔτε γὰρ ὁ ὕπνος ὑπάρχει τῇ αἰσθήσει. ἔσται δ' εἴπερ ἀδυναμία αἰσθήσεώς ἐστιν. ὁμοίως δ' οὐδ' ἡ ἀπορία ὑπάρχει τοῖς ἐναντίοις λογισμοῖς. οὐδ' ἡ ἀλγηδὼν τοῖς συμφύτοις μέρεσιν. ἀλγήσει γὰρ τὰ ἄψυχα, εἴπερ ἀλγηδὼν αὐτοῖς παρέσται. τοιοῦτος δὲ καὶ ὁ τῆς ὑγιείας ὁρισμός, εἴπερ συμμετρία θερμῶν καὶ ψυχρῶν ἐστιν. ἀνάγκη ὑγιαίνειν τὰ θερμὰ καὶ ψυχρά. ἡ γὰρ ἑκάστου συμμετρία, ᾧ ἐκείνοις ὑπάρχει ὧν ἐστι συμμετρία. ὥστε ἡ ὑγίεια ὑπάρχοι ἂν αὐτοῖς. Ἔτι ὁ ποιούμενον εἰς τὸ ποιητικόν. ἢ ἀνάπαλιν συμβαίνει τιθέναι τοῖς οὕτως ὁριζομένοις. οὐ γάρ ἐστιν ἀλγηδὼν, ἡ διάστασις τῶν συμφύτων μερῶν, ἀλλὰ ποιητικὸν ἀλγηδόνος, οὐδ' ἡ ἀδυναμία τῆς αἰσθήσεως ὁ ὕπνος, ἀλλὰ ποιητικὸν θάτερον θατέρου. ἤτοι γὰρ διὰ τὴν ἀδυναμίαν ὑπνώσομεν, ἢ διὰ τὸν ὕπνον ἀδυνατήσομεν. ὁμοίως δὲ καὶ τῆς ἀπορίας δόξειεν ἂν ποιητικὸν εἶναι, ἡ τῶν ἐναντίων ἰσότης λογισμῶν. ὅταν γὰρ ἐπ' ἀμφότερα λογιζόμενοις ἡμῖν ὁμοίως, ἄπορα φαίνηται καθ' ἕτερον γίνεσθαι, ἀπορούμεν ὁπότερον ἂν πράξωμεν. 46. Ἔτι κατὰ τοὺς χρόνους ᾧ ἐπισκοπεῖν, εἶπου διαφωνεῖ. οἷον εἰ ὁ ἀθάνατον ᾑρέσατο ζῷον ἄφθαρτον νῷ εἶναι. ὁ γὰρ νῷ ἄφθαρτον ζῷον, νῷ ἀθάνατον ἔσται. ἢ ἐπὶ μὲν ζύτου, οὐ συμβαίνει. ἀμφίβολον δ' ὁ νῷ ἄφθαρτον εἶναι. ἢ δ' ὅτι οὐκ ἔφθαρται νῷ σημαίνει, ἢ ὅτι οὐ δυνατὸν φθαρῆναι νῷ. ἢ ὅτι τοιοῦτόν ἐστι νῷ

Superiores diffmoes factum & effaens diffmint aut contras.

Ἑκάτερον

νῶϊ, οἷον μηδέποτε φθαρῆναι. ὅταν οὖν λέγωμεν ὅτι ἄφθαρτον νῶϊ
ἐστι ζῷον, οὐ ζῷον λέγομεν ὅτι νῶϊ τοιοῦτόν ἐστι ζῷον, ἀλλ' οἷον μη-
δέποτε φθαρῆναι. ζῷον δὲ τῷ ἀθανάτῳ τὸ αὐτὸ ἦν. ὥστε οὐ συμ-
βαίνει νῶϊ αὐτὸ ἀθάνατον εἶναι. ἀλλ' ὅμως ἂν συμβαίνῃ τὸ μὲν κατὰ
τὸν λόγον ἀποδοθὲν, ὑπάρχειν νῶϊ ἢ πρότερον. τὸ δὲ κατὰ τοὔνομα μὴ
ὑπάρχειν, οὐκ ἂν εἴη ταυτόν. χρησέον οὖν τῷ τόπῳ καθάπερ εἴρη-
ται. Σκεπτέον δὲ καὶ εἰ καθ' ἑτερόντι μᾶλλον λέγεται τὸ ὁρι- 48.7
σθὲν, ἢ κατὰ τὸν ἀποδοθέντα λόγον. οἷον εἰ ἡ δικαιοσύνη, δύναμις τοῦ
ἴσου ἀπονεμητική. δίκαιος γὰρ μᾶλλον ὁ προαιρούμενος τὸ ἴσον δια-
νεῖμαι τοῦ δυναμένου. ὥστε οὐκ ἂν εἴη ἡ δικαιοσύνη, δύναμις τοῦ ἴσου δι-
ανεμητική. καὶ γὰρ δίκαιος εἴη ἂν μάλιστα ὁ προαιρούμενος τὸ ἴσον
διανεῖμαι. Ἔτι, εἰ τὸ μὲν πρᾶγμα λέγεται τὸ μᾶλλον. τὸ δὲ κα- 48.
τὰ τὸν λόγον ἀποδοθὲν μὴ λέγεται. ἢ ἀνάπαλιν. τὸ μὲν κατὰ τὸν λόγον
ἀποδοθὲν λέγεται. τὸ δὲ πρᾶγμα μή. δεῖ δὲ ἀμφότερα λέγεσθαι. ἢ μη-
δέτερον, εἴπερ μὴ ταυτόν ἐστι τὸ κατὰ τὸν λόγον ἀποδοθὲν τῷ πρά-
γματι. Ἔτι εἰ λέγεται μὲν ἀμφότερα τὸ μᾶλλον. μὴ ἅμα δὲ τῶν 49
ἐπιδόσιν ἀμφότερα λαμβάνει. οἷον εἰ ὁ ἔρως ἐπιθυμία συνουσίας ἐστίν.
ὁ δὲ μᾶλλον ἐρῶν, οὐ μᾶλλον ἐπιθυμεῖ τῆς συνουσίας. ὥστε οὐκ ἅμα ἀμ-
φότερα τὸ μᾶλλον ἐπιδέχεται. ἔδει δὲ λέγειν, εἴπερ ταυτὸν ἦν. Ἔτι ἐκ 50
δύο τινῶν προτεθέντων καθ' ὧν τὸ πρᾶγμα μᾶλλον λέγεται. τὸ δὲ κα-
τὰ τὸν λόγον, ἧττον λέγεται. οἷον εἰ τὸ πῦρ ἐστι σῶμα τὸ λεπτομερέ-
στατον. πῦρ μὲν γὰρ μᾶλλον ἡ φλόξ ἐστι τοῦ φωτός. σῶμα δὲ τὸ λεπτομερέ-
στατον, ἧττον ἡ φλὸξ τοῦ φωτός. ἔδει δ' ἀμφότερα μᾶλλον τῷ αὐτῷ ὑ-
πάρχειν, εἴπερ ταυτὰ ἦν. Πάλιν εἰ τὸ μὲν ὁμοίως ἀμφοτέροις ὑπάρ- 51.
χει τοῖς προτεθεῖσι. τὸ δ' ἕτερον μὴ ὁμοίως ἀμφοτέροις, ἀλλὰ τῷ ἑτέ-
ρῳ μᾶλλον. Ἔτι ἐὰν πρὸς δύο τὸν ὁρισμὸν ἀποδῷ καθ' ἑκάτερον. οἷ- 52.
ον τὸ καλὸν, τὸ δι' ὄψεως ἢ τὸ δι' ἀκοῆς ἡδύ· ἢ τὸ ὄν, τὸ δυνατὸν πάσχειν

ἢ ποιῆσαι. ἅμα γὰρ ταυτὸ καλόν τε καὶ οὐ καλόν ἐστιν. ὁμοίως δὲ καὶ
ὄντε καὶ οὐκ ὄν. τὸ γὰρ δι' ἀκοῆς ἡδύ, ταυτὸν τῷ καλῷ ἔσται. ὥστε τὸ
μὴ ἡδὺ δι' ἀκοῆς, ταυτὸν τῷ οὐ καλῷ. τοῖς γὰρ αὐτοῖς, καὶ τὰ ἀντι=
κείμενα ταυτά. ἀντίκειται δὲ τῷ μὲν καλῷ, τὸ οὐ καλόν. τῷ δὲ δι' ἀ
κοῆς ἡδεῖ, τὸ οὐχ ἡδὺ δι' ἀκοῆς. δῆλον οὖν ὅτι ταυτὸν τὸ οὐχ ἡδὺ δι'
ἀκοῆς. τῷ οὐ καλῷ, εἰ οὖν τί ἐστι δι' ὄψεως μὲν ἡδὺ δι' ἀκοῆς δὲ μή,
καλόν τε καὶ οὐ καλὸν ἔσται. ὁμοίως δὲ δείξομεν καὶ διότι ταυτὸν
53 ὄντε καὶ οὐκ ὄν ἐστιν. Ετι καὶ τῶν γενῶν καὶ τῶν διαφορῶν, καὶ
τῶν ἄλλων ἁπάντων τῶν ἐν τοῖς ὁρισμοῖς ἀποδιδομένων λόγους ἀν=
Caput 4. 54. τὶ τῶν ὀνομάτων ποιοῦντα, σκοπεῖν εἴτι διαφωνεῖ. Εὰν δ' ἢ
πρός τι τὸ ὁριζόμενον, ἢ καθ' αὑτὸ ἢ κατὰ τὸ γένος, σκοπεῖν εἰ μὴ εἴ=
ρηται ἐν τῷ ὁρισμῷ, πρὸς ὃ λέγεται, ἢ αὐτὸ ἢ κατὰ τὸ γένος, οἷον εἰ
τὴν ἐπιστήμην ὡρίσατο ὑπόληψιν ἀμετάπειστον, ἢ τὴν βούλησιν ὄρε=
ξιν ἄλυπον. παντὸς γὰρ τοῦ πρός τι ἡ οὐσία πρὸς ἕτερον. ἐπειδὴ ταυ
τὸν ἦν ἑκάστῳ τῶν πρός τι τὸ εἶναι, ὅπερ τὸ πρός τι πῶς ἔχειν. ἔδει
οὖν τὴν ἐπιστήμην εἰπεῖν ὑπόληψιν ἐπιστητοῦ. καὶ τὴν βούλησιν ὄρε
ξιν ἀγαθοῦ. Ομοίως δὲ καὶ εἰ τὴν γραμματικὴν ὡρίσατο ἐπι=
στήμην γραμμάτων. ἔδει γὰρ ἢ πρὸς ὃ αὐτὸ λέγεται, ἢ πρὸς ὅποτε
Τὸ γένος 55. λέγεται ἐν τῷ διορισμῷ ἀποδίδοσθαι. ἢ εἴτινος πρός τι εἰ=
ρημένον, μὴ πρὸς τὸ τέλος ἀποδέδοται. τέλος δ' ἐν ἑκάστῳ τὸ βέλ=
τιστον, ἢ οὗ χάριν τἄλλα. ῥητέον δὴ τὸ βέλτιστον ἢ τὸ ἔσχατον. οἷον
τὴν ἐπιθυμίαν, οὐχ ἡδέος, ἀλλ' ἡδονῆς. ταύτης γὰρ χάριν καὶ τὸ
56. ἡδὺ αἱρούμεθα. Σκοπεῖν δὲ καὶ εἰ γένεσίς ἐστι πρὸς ὃ ἀποδέδω
κεν ἢ ἐνέργεια. οὐδὲν γὰρ τῶν τοιούτων τέλος. μᾶλλον γὰρ τὸ ἐνηρ=
γηκέναι καὶ γεγενῆσθαι, τέλος, ἢ τὸ γίνεσθαι καὶ ἐνεργεῖν, ἢ οὐκ ἐπὶ
πάντων ἀληθὲς τὸ τοιοῦτον; σχεδὸν γὰρ οἱ πλεῖστοι, ἥδεσθαι μᾶλλον
βούλονται, ἢ πεπαῦσθαι ἡδόμενοι. ὥστε τὸ ἐνεργεῖν, τέλος ἂν μᾶλλον

ποιοῖτο

ποιοῦτο τῷ ζυνεργηκέναι. Πάλιν ἐπ' ζυίαν, εἰ μὴ διώρικε τὸ πο 57.
στοῦ, ἢ τοῦ ποιοῦ, ἢ ποῦ, ἢ κατὰ τὰς ἄλλας διαφοράς. οἷον φιλότιμος, ὁ
ποίας καὶ ὁποσοσοῦν ὀρεγόμενος τιμῆς. πάντες γὰρ ὀρέγονται τιμῆς.
ὥστ' οὐκ ἀποχρῆ φιλότιμον εἶναι. ἀλλ' ὀρεγόμενον τιμῆς ἀλλὰ προ-
σθετέον τὰς εἰρημένας διαφοράς. ὁμοίως δὲ καὶ φιλοχρήματος, ὁ, πό
σων ὀρεγόμενος χρημάτων, ἢ ἀκρατὴς, ὁ περὶ ποίας ἡδονάς. οὐ γὰρ ὃ
ὑφ' ὁιασποτοῦν ἡδονῆς κρατούμενος, ἀκρατὴς λέγεται, ἀλλ' ὁ ὑποότι
νος, ἢ πάλιν ὡς ὁρίζονται τὴν νύκτα, σκιὰν γῆς, ἢ ἦχον σφοδρὸν, κίνησιν
γῆς, ἢ τὸ νέφος, πύκνωσιν ἀέρος, ἢ τὸ πνεῦμα, κίνησιν ἀέρος. προσθετέ
ον γὰρ πόσου καὶ ποίου, καὶ ποῦ, καὶ ὑποότινος. ὁμοίως δὲ καὶ ἐπὶ τῶ
ἄλλων τῶν τοιούτων. ἀπολείπων γὰρ διαφορὰν ἀντινοῶν, οὐ λέγει τὸ
τὴ ἦν εἶναι. δεῖ δ' ἀεὶ πρὸς τὸ ζυλλεὲς ἐπισκοπεῖν. οὐ δ' ὁπωσοῦν γῆς
κεκινηθείσης, οὐδ' ὁποσησοῦν, σεισμός ἐστιν· ὁμοίως δ' οὐδ' ἀέρος ὁπωσοῦν.
οὐδ' ὁποσουοῦν κεκινηθέντος, πνεῦμα. Ἔτι ἐπὶ τῶν ὀρέξεων, εἰ μὴ 58
πρόσκειται τὸ φαινόμενον καὶ ἐφ' ὅσων ἁρμόττει, οἷον ὅτι ἡ βού
λησις, ὄρεξις ἀγαθοῦ. δ' ἐπιθυμία, ὄρεξις ἡδέος, ἀλλὰ μὴ φαινομένῳ
ἀγαθοῦ ἡδέος. πολλάκις γὰρ λανθάνει τοὺς ὀρεγομένους. ὅτι ἀγαθὸν ἢ ἡδύ ἐστιν. ὥστ' οὐκ ἀναγκαῖον ἀγαθὸν ἢ ἡδὺ εἶναι, ἀλλὰ φαινόμενον
μόνον. ἔλεγε δ' οὕτως καὶ τὴν ἀποδοσιν ποιήσασθαι. ἐὰν δὲ καὶ ἀπο 59.
δῶ τὸ εἰρημένον, ἐπὶ τὰ εἴδη ἀκτέον τὸν τιθέμενον ἰδέας εἶναι. οὐ
γάρ ἐστιν ἰδέα φαινομένῳ ὑδατος. τὸ δ' εἶδος, πρὸς τὸ εἶδος δοκεῖ
λέγεσθαι. οἷον αὐτοεπιθυμία, αὐτοηδέος, καὶ αὐτοβούλησις, αὐτοαγα
θοῦ. οὐκ ἔστι δῶ φαινομένου ἀγαθοῦ, αὐτοβούλησις. οὐδὲ φαινομένῳ
ἡδέος, αὐτοεπιθυμία. οὐκ ἔστιν δῶ φαινομένου ἀγαθοῦ, οὐδὲ φαι-
νομένου ἡδέος. ἄτοπον γὰρ τὸ εἶναι αὐτοφαινόμενον ἀγαθὸν, ἢ ἡ-
δύ. Ἔτι ἐὰν μὲν ἡ τῆς ἕξεως ὁ ὁρισμὸς, σκοπεῖν ἐπὶ τοῦ ἔχον- 60
τος. ἐὰν δὲ τοῦ ἔχοντος, ἐπὶ τῆς ἕξεως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων

τῶν τοιούτων. διον εἰ τὸ ἢ δυ ὅπερ ὠφέλιμον. καὶ ὁ ἢ δ' ὄμμος ὠφελὸς
61 μμος. καθόλου δὲ εἰπεῖν ἐν τοῖς τοιούτοις ὁρισμοῖς, τρόπον τινὰ
πλείω ἑνὸς συμβαίνει τὸν ὁριζόμμον ὁρίζεσθαι. ὁ γὰρ τμὺ ἐπισήμμω
ὁριζόμμος, τρόπον τινὰ καὶ τμὺ ἄγνοιαν ὁρίζεται. ὁμοίως δὲ καὶ τὸ
ἐπισήμον καὶ τὸ ἀνεπισήμον, καὶ τὸ ἐπίστασθαι, καὶ τὸ ἀγνοεῖν. τῶν δὲ
πρώζου δ' ἥλου γονομμίου, τρόπον τινὰ καὶ τὰ λοιπὰ σῆλα γίνονται.
σκεπτέον δὲ ἐπὶ πάντων τῶν τοιούτων μήτι σλαφωνῆ, στοιχείοις χρώ
62 μμον τοῖς ἐκ τῶν ζωαντίων, καὶ τῶν συστοίχων. ἔτι ἐπὶ τῶν πρός
τι σκοπεῖν, εἰ πρός ὃ τὸ γένος ἀποδίδοται, τὸ εἶδος πρὸς ἐκεῖνό τι ἀπο
δίδοται. διον εἰ ἡ ὑποδμηψις πρὸς ὑποδμητὸν, ἡ τὶς ὑποδμηψις πρός
τι ὑποδμητὸν. καὶ εἰ τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον, τὸ τὶ
πολλαπλάσιον πρὸς τὸ τὶ πολλοστημόριον. εἰ γὰρ μὴ οὕτως ἀποδί=
63 δοται, δῆλον ὅτι ἡμάρτηται. Ορᾶν δὲ καὶ εἰ τοῦ ἀντικειμμένου ὁ ἀντι
κείμμενος λόγος. διον τοῦ ἡμίσεος ὁ ἀντικείμμενος τῷ τοῦ διπλασίου. εἰ
γὰρ διπλάσιον τὸ οὗ ἴσῳ ὑπερέχον, ἥμισυ τὸ οὗ ἴσῳ ὑπερεχόμμενον.
64 καὶ ἐπὶ τῶν ζωαντίων δ' ὡσαύτως. ὁ γὰρ ζωαντίος τοῦ ζωαντίου λό
γος ἔσται, κατὰ μίαν τινὰ τῶν ζωαντίων συμπλοκήν. διον εἰ ὠφέλι
μον, τὸ ποιητικὸν ἀγαθοῦ, βλαβερὸν, τὸ ποιητικὸν κακοῦ, ἢ τὸ φθαρτι
κὸν ἀγαθοῦ. θάτερον γὰρ τούτων ἀναγκαῖον ζωαντίον εἶναι τῷ ἐξ ἀρ=
χῆς ξηθέντι. εἰ δὲ μμὴ θάτερον ζωαντίον τῷ ἐξ ἀρχῆς ξηθέντι, δῆλον
ὅτι οὐδέτερος ἂν εἴη τῶν ὕστερον ἀποδοθέντων τοῦ ζωαντίου λόγος.
65 ὥστ' οὐδ' ὁ ἐξ ἀρχῆς ἀποδοθεὶς ὀρθῶς ἀποδίδοται. Επεὶ δ' ἔνια
τῶν ζωαντίων σημαίνεται θατέρου λέγονται διον ἡ ἀνισότης, σήμαινει ἰσό
τητος δοκεῖ εἶναι. ἄνισα γὰρ τὰ μὴ ἴσα λέγεται, δῆλον ὅτι τὸ μὴ
κατὰ σέρησιν λεγόμμον ζωαντίον, ἀναγκαῖον ὁρίζεσθαι διὰ θατέ=
ρου· τὸ δὲ λοιπὸν, οὐκέτι διὰ τοῦ κατὰ σέρησιν λεγομμένου. συμβαίνει
γὰρ ἂν ἑκάτερον δι' ἑκατέρου γνωρίζεσθαι. ἐπισκεπτέον δὲ μμὴ τοῖς
ζωαντί

primatio p negationem habetus no contra diffinitur
si siquis p primationem habitum diffinat, peccat.

ἐναντίοις τῷ τοιαύτῳ ἁμαρτίαν. οἷον εἴ τις ὁρίσαιτο τὴν ἰσότητα εἶναι τὸ ἐναντίον ἀνισότητι. διὰ γὰρ τοῦ κατὰ σέρησιν λεγομένου ὁρίζεται. Ἔτι τὸν οὕτως ὁριζόμενον, ἀναγκαῖον αὐτῷ τῷ ὁριζομένῳ χρῆσθαι. δῆλον δὲ τοῦτο ἐὰν μεταληφθῇ ἀντὶ τοῦ ὀνόματος ὁ λόγος. ἐπεὶ γὰρ ἀνισότητα οὐδὲν διαφέρει εἰπεῖν ἢ σέρησιν ἰσότητος, ἔσται ἡ ἰσότης τὸ ἐναντίον σερήσει ἰσότητος. ὥστ' αὐτῷ ἂν εἴη κεχρημένος. ἂν δὲ μηδέτερον τῶν ἐναντίων κατὰ σέρησιν λέγηται, ἀποδοθῇ δ' ὅσπερ λόγος ὁμοίως, οἷον ἀγαθόν, τὸ ἐναντίον κακῷ, δῆλον ὅτι κακόν, τὸ ἐναντίον ἀγαθῷ ἔσται. τῶν γὰρ οὕτως ἐναντίων, ὁμοίως ὁ λόγος ἀποδοτέος, ὥστε πάλιν αὐτῷ τῷ ὁριζομένῳ συμβαίνει χρῆσθαι. ἐνυπάρχει δὲ ἐν τῷ τοῦ κακοῦ λόγῳ, τὸ ἀγαθόν. ὥστ' εἰ ἀγαθόν ἐστι τῷ κακῷ ἐναντίον. τὸ δὲ κακὸν οὐδὲν διαφέρει, ἢ τὸ τῷ ἀγαθῷ ἐναντίον, ἔσται ἀγαθὸν τὸ ἐναντίον τῷ τοῦ ἀγαθοῦ ἐναντίῳ. δῆλον οὖν ὅτι αὐτῷ κεχρηται. Ἔτι εἰ τὸ κατὰ σέρησιν λεγόμενον ἀποδιδοὺς, μὴ ἀπέδωκεν οὗ ἐστι σέρησις, οἷον τῆς ἕξεως, ἢ τοῦ ἐναντίου, ἢ ὁτουοῦν ἐστι σέρησις, καὶ εἰ μὴ ἐν ᾧ πέφυκε γίνεσθαι προσέθηκεν, ἢ ἁπλῶς, ἢ ἐν ᾧ πρώτῳ πέφυκε γίνεσθαι. οἷον τὴν ἄγνοιαν εἰπὼν σέρησιν, μὴ ἐπιστήμης σέρησιν εἶπεν, ἢ μὴ προσέθηκεν ἐν ᾧ πέφυκε γίνεσθαι, ἢ προσθεὶς, μὴ ἐν ᾧ πρώτῳ ἀπέδωκεν. οἷον ὅτι οὐκ ἐν τῷ λογιστικῷ, ἀλλ' ἐν ἀνθρώπῳ, ἢ ψυχῇ. ἐὰν γὰρ ὁτιοῦν τούτων μὴ ποιήσῃ, ἁμάρτηκεν. ὁμοίως δὲ καὶ εἰ τὴν τυφλότητα μὴ ὄψεως σέρησιν ἐν ὀφθαλμῷ εἶπε· δῆλον γὰρ τὸν κακῶς ἀποδιδόντα τὸ τί ἐστι, καὶ τίνος ἐστὶν ἡ σέρησις ἀποδοῦναι. καὶ τί ἐστι τὸ ἐσερημμένον. Ὁρᾶν δὲ καὶ εἰ μὴ +λεγομένου κατὰ σέρησιν, σερήσει ὡρίσατο. οἷον καὶ ἐπὶ τῆς ἀγνοίας δόξειεν ἂν ὑπάρχειν ἡ τοιαύτη ἁμαρτία, τοῖς μὴ κατ' ἀπόφασιν τὴν ἄγνοιαν λέγουσι· τὸ γὰρ μὴ ἔχον ἐπιστήμην οὐ δοκεῖ ἀγνοεῖν, ἀλλὰ μᾶλλον τὸ δυνατὸν ἐπιστήμην, διό οὔτε τὰ ἄψυχα, οὔτε τὰ παιδία

67 quo, diffmenda primationes

68.

69.

+λεγόμενον

παιδία φαμὲν ἀγνοεῖν. ὥστ' οὐ κατὰ στέρησιν ἐπιστήμης ἡ ἄγνοια λέ-
70. γεται. Ετι εἰ τῶν ὁμοίων τοῦ ὀνόματος πτώσεων αἱ ὅμοιαι τοῦ
λόγου πτώσεις ἐφαρμόττουσιν. οἷον εἰ ὠφέλιμον τὸ ποιητικὸν ὑγιεί-
ας, ὠφελίμως τὸ ποιητικῶς ὑγιείας. καὶ ὠφελικὸς, τὸ πεποιηκὸς
71 ὑγίειαν. Σκοπεῖν δὲ καὶ ἐπὶ τὴν ἰδέαν εἰ ἐφαρμόσει ὁ
λεχθεὶς ὅρος. ἐπ' ἐνίων γὰρ οὐ συμβαίνει. οἷον ὡς Πλάτων ὁρί-
ζεται τὸ θνητὸν προσάπτων ἐν τοῖς τῶν ζώων ὁρισμοῖς. ἡ γὰρ ἰ-
δέα, οὐκ ἔσται θνητή. οἷον αὐτοάνθρωπος. ὥστε οὐκ ἐφαρμόσει ὁ λό-
γος ἐπὶ τὴν ἰδέαν. ἁπλῶς δ' οἷς πρόσκειται τὸ ποιητικὸν ἢ πα-
θητικὸν, ἀνάγκη διαφωνεῖν ἐπὶ τῆς ἰδέας τὸν ὅρον. ἀπαθεῖς γὰρ
καὶ ἀκίνητοι δοκοῦσιν αἱ ἰδέαι τοῖς λέγουσιν ἰδέας εἶναι. πρὸς
72 δὲ τούτοις καὶ οἱ τοιοῦτοι λόγοι χρήσιμοι. Ετι εἰ τῶν καθ'
ὁμωνυμίαν λεγομένων ἕνα λόγον κοινὸν ἁπάντων ἀπέδωκε. συνώ-
νυμα γὰρ, ὧν εἷς ὁ κατὰ τοὔνομα λόγος. ὥστ' οὐδενὸς τῶν ὑπὸ τοὔ-
νομα ὁ ἀποδοθεὶς ὅρος. ἐπειδὴ ὁμοίως ἐπὶ πᾶν τὸ ὁμώνυμον ἐφαρ-
μόττει. πέπονθε δὲ τοῦτο καὶ ὁ διονυσίου τῆς ζωῆς ὅρος. εἴπερ ἐστὶ κί-
νησις γένους θρεπτοῦ σύμφυτος παρακολουθοῦσα. οὐδὲν γὰρ μᾶλλον τοῦ
τοῖς ζώοις, ἢ τοῖς φυτοῖς ὑπάρχει. ἡ δὲ ζωὴ οὐ καθ' ἓν εἶδος δοκεῖ λέ-
γεσθαι. ἀλλ' ἑτέρα μὲν τοῖς ζώοις, ἑτέρα δὲ τοῖς φυτοῖς ὑπάρχει. ἐνδέ-
χετο μὲν οὖν καὶ κατὰ προαίρεσιν, οὕτως ἀποδοῦναι τὸν ὅρον. ὡς συνωνύ-
μου, καὶ καθ' ἓν εἶδος πάσης τῆς ζωῆς λεγομένης. οὐδὲν δὲ κωλύει καὶ συνο-
ρῶντα τὴν ὁμωνυμίαν, καὶ θατέρου βουλόμενον τὸν ὁρισμὸν ἀποδοῦναι,
λαθεῖν μὴ ἴδιον, ἀλλὰ κοινὸν ἀμφοῖν λόγον ἀποδόντα. ἀλλ' οὐδὲν ἧττον
73. εἰ ὁποτερωσοῦν πεποίηκεν ἡμάρτηκεν. Επεὶ δ' ἔνια λανθάνῃ τῶν ὁμω-
νύμων ἐρωτῶντι μὲν, ὡς συνωνύμοις χρηστέον. οὐ δὲ ἐφαρμόσει ὁ θατέ-
ρου ὅρος ἐπὶ θάτερον. ὥστε δόξει οὐχ ὡρίσθαι κατὰ τρόπον. δεῖ δὲ ἐπὶ
παντὸς τὸ συνώνυμον ἐφαρμόττειν. αὐτῷ δ' ἀποκρινομένῳ διαιρετέον.

Aduersus eos qui ponunt ἰδέας si illas deficientes aliquam passionem aut actionem addiderint.

τούτους Caput 5.

Επεὶ

Επεὶ δ' ἔνιοι τῶν ἀποκρινομένων, τὸ μὲν συνώνυμον ὁμώνυμόν φα 74
σιν εἶναι. ὅταν μὴ ἐφαρμόττῃ ἐπὶ πᾶν ὁ ἀποδοθεὶς λόγος. τὸ δ' ὁμώνυ
μον συνώνυμον ἐὰν ἐπ' ἄμφω ἐφαρμόττῃ, προδιομολογητέον ὑπὲρ τ
τοιούτων. ἢ προσυλλογιστέον ὅτι ὁμώνυμον ἢ συνώνυμον ἢ ὁπότερον ἂν
ᾖ. μᾶλλον δ' συγχωροῦσιν οὐ προορῶντες τὸ συμβησόμενον. ἂν δ' μὴ γε
νομένης ὁμολογίας, φῇ τις τὸ συνώνυμον ὁμώνυμον εἶναι, διὰ τὸ μὴ ἐ
φαρμόττειν καὶ ἐπὶ τούτου τὸν ἀποδοθέντα λόγον, σκοπεῖν εἰ ὁ τούτου λό
γος ἐφαρμόττει καὶ ἐπὶ τὰ λοιπά. δῆλον γὰρ ὅτι συνώνυμον ἂν εἴη
τοῖς λοιποῖς. εἰ δὲ μή, πλείους ἔσονται ὁρισμοὶ τοῖς λοιποῖς. δύο
γὰρ οἱ κατὰ τοὔνομα λόγοι ἐφαρμόττουσιν ἐπ' ἀμφότερα, ὅ, τε πρότερος
ἀποδοθείς, καὶ ὁ ὕστερος. Πάλιν εἴτις ὁρισάμενος τῶν πολλαχῶς τι 75.
λεγομένων, καὶ τοῦ λόγου μὴ ἐφαρμόττοντος ἐπὶ πάντα. ὅτι μὲν ὁμώνυ
μον μὴ λέγοι. δῆλον δ' ὄνομα μὲν φαίη ἐφαρμόττειν ἐπὶ πάντα, ὅτι οὐδ' ὁ
λόγος, ζητέον πρὸς τὸν ζητοῦντα. ὅτι τῇ μὲν ὀνομασίᾳ δεῖ χρῆσθαι τῇ
παραδεδομένῃ καὶ παρεπομένῃ, τὸ μὴ κινεῖν τὰ ζητούμενα. ἐνια δ' οὐ λε
κτέον ὁμοίως τοῖς πολλοῖς, Ἐὰν δ' τῶν συμπεπλεγμένων τινὸς 76.
ἀποδοθῇ ὅρος, σκοπεῖν ἀφελόντα τὸν θατέρου τῶν συμπεπλεγμένων λό
γον, εἰ καὶ ὁ λοιπὸς τοῦ λοιποῦ. εἰ γὰρ μή, δῆλον ὅτι οὐδὲ ὁ ὅλος τοῦ
ὅλου. οἷον εἰ ὡρίσατο γραμμὴν πεπερασμένην εὐθεῖαν, πέρας ἐπιπέδου
ἔχοντος πέρατα, οὐ τὸ μέσον ἐπιπροσθεῖ τοῖς πέρασιν. εἰ τοῦ πεπερασμέ
νης γραμμῆς, λόγος ἐστὶ πέρας ἐπιπέδου ἔχοντος πέρατα τὰ εὐθέος τὸ
λοιπὸν δεῖ εἶναι οὐ τὸ μέσον ἐπιπροσθεῖ τοῖς πέρασιν. ἀλλ' ἢ ἄπειρος οὔ
τε μέσον οὔτε πέρατα ἔχει, εὐθεῖα δέ ἐστιν. ὥστε οὐκ ἔστιν ὁ λοιπὸς τοῦ
λοιποῦ λόγος. Ετι εἰ συνθέτου ὄντος τοῦ ὁριζομένου, ἰσόκωλος ὁ λόγος ἀπ 77.
οδοθείη τοῦ ὁριζομένου. ἰσόκωλος δὲ λέγεται ὁ λόγος εἶναι, ὅτε ὁσαπερ
ἂν ᾖ τὰ συγκείμενα, ζοσαυτὰ καὶ τὰ ἐν τῷ λόγῳ ὀνόματα καὶ ῥήματα
ᾖ. ἀνάγκη γὰρ ἐν τοῖς ζιόρισι, αὐτῶν τῶν ὀνομάτων μεταλλαγὴν

γίνεσθαι

γίνεσθαι, ἢ πάντων, ἢ τινῶν. ἐπειδὴ οὐδὲν πλείω νῦν ἢ πρότερον ὀνό-
ματα εἴρηται. δεῖ δὲ τὸν ὁριζόμενον, λόγον ἀντὶ τῶν ὀνομάτων ἀπο-
δοῦναι, μάλιστα μὲν τῶν πάντων. εἰ δὲ μὴ, τῶν πλείστων. οὕτω μὲν
γὰρ καὶ ἐπὶ τῶν ἁπλῶν ὁ τοὔνομα μεταλαβὼν, οὐχ ὁρισάμενος εἴη.
78. οἷον ἀντὶ λωπίου ἱμάτιον. ἔτι δὲ μείζων ἡ ἁμαρτία, εἰ καὶ ἀγνω-
στοτέρων ὀνομάτων τὴν μετάληψιν ἐποιήσατο. οἷον ἀντὶ τοῦ ἀνθρώ-
που λευκοῦ, βροτὸν ἀργόν. οὔτε γὰρ ὥρισται. ἧττόν τε σαφὲς οὕτω τὸ
79. ῥηθέν. Σκοπεῖν δὲ καὶ ἐν τῇ μεταλλαγῇ τῶν ὀνομάτων, εἰ
μὴ ταυτὸν ἔτι σημαίνει. οἷον ὁ τὴν θεωρητικὴν ἐπιστήμην, ὑπόληψιν
θεωρητικὴν εἰπών. ἡ γὰρ ὑπόληψις τῇ ἐπιστήμῃ οὐ ταυτόν. δεῖ δέ
γε, εἴπερ μέλλει καὶ τὸ ὅλον ταυτὸν εἶναι. τὸ μὲν γὰρ θεωρητικὸν,
κοινὸν ἐν ἀμφοτέροις τοῖς λόγοις ἐστί. τὸ δὲ λοιπὸν, διάφορον.
80. Ετι εἰ θατέρου τῶν ὀνομάτων μετάληψιν ποιούμενος, μὴ τῆς δια-
φορᾶς, ἀλλὰ τοῦ γένους τὴν μεταλλαγὴν ἐποιήσατο. καθάπερ ἐπὶ τοῦ
ἀρτίως ῥηθέντος. ἀγνωστότερον γὰρ ἡ θεωρητικὴ τῆς ἐπιστήμης. τὸ
μὲν γὰρ γένος. τὸ δὲ διαφορά. πάντων δὲ γνωριμώτερον τὸ γένος. κοι-
νότερον γὰρ. ὥστε οὐ τοῦ γένους, ἀλλὰ τῆς διαφορᾶς, ἔδει τὴν με-
τάληψιν ποιήσασθαι. ἐπειδὴ ἀγνωστότερόν ἐστιν. ἢ οὐκ μὲν γελοῖον
τὸ ἐπιτίμημα, οὐδὲν γὰρ κωλύει τὴν μὲν διαφορὰν τῷ γνωριμωτά-
τῳ ὀνόματι εἰρῆσθαι. τὸ δὲ γένος μή. οὕτως δὲ ἐχόντων δηλονότι τοῦ
γένους καὶ οὐ τῆς διαφορᾶς, κατὰ τοὔνομα τὴν μετάληψιν ποιητέ-
ον. εἰ δὲ μὴ ὄνομα ἀντὶ ὀνόματος, ἀλλὰ λόγον ἀντ' ὀνόματος, μεταλαμ-
βάνει, δῆλον ὅτι τῆς διαφορᾶς μᾶλλον ἢ τοῦ γένους, ὁρισμὸν ἀπο-
δοτέον. ἐπειδὴ τοῦ γνωρίσαι χάριν ὁ ὁρισμὸς ἀποδίδοται. ἧττον γὰρ
81. ἡ διαφορὰ τοῦ γένους γνώριμος. Ει δὲ τῆς διαφορᾶς τὸν
+ καὶ ὅρον ἀπέδωκε, σκοπεῖν εἰ ~~γὰρ~~ ἄλλου τινὸς κοινὸς ὁ ἀποδοθεὶς ὅρος.
οἷον ὅταν τὸν περιττὸν ἀριθμὸν, ἀριθμὸν μέσον ἔχοντα εἴπῃ, ἐπιδιορι-
στέον τὸ

φ μονάδα μέσην ἔχει ὁ περιττὸς ἀριθμός

στέον τὸ πῶς μέσον ἔχοντα. ὁ μὲν γὰρ ἀριθμὸς, κοινὸς ἐν ἀμφοτέροις τοῖς λόγοις ὑπάρχει. τοῦ δὲ περιττοῦ, μετείληπται ὁ λόγος. ἔχει δὲ καὶ γραμμὴ καὶ σῶμα μέσον, οὐ περιττὰ ὄντα. ὥστε οὐκ ἂν εἴη ὁ ὁρισμὸς οὗτος τοῦ περιττοῦ. εἰ δὲ πολλαχῶς λέγεται τὸ μέσον ἔχον, διοριστέον τὸ πῶς μέσον ἔχον. ὥστε ἢ ἐπιτίμησις ἔσται ἢ συλλογισμὸς, ὅτι οὐχ ὥρισται. Γάλιν εἰ οὖν μὲν τὸν λόγον ἀποδίδωσι τῶν ὄντων ἐστί. τὸ 82.
δ' ὑπὸ τὸν λόγον μὴ τῶν ὄντων. οἷον εἰ τὸ λευκὸν ὡρίσατο χρῶμα πυρὶ μεμιγμένον. ἀδύνατον γὰρ τὸ ἀσώματον μιχθῆναι σώματι. ὥστε οὐκ ἂν εἴη χρῶμα πυρὶ μεμιγμένον. λευκὸν δέ ἐστιν. Ετι ὅ- 83.
σοι μὴ διαιροῦσιν ἐν τοῖς πρόστι πρὸς ὃ λέγεται, ἀλλ' ἐν πλείοσι περιλαβόντες εἶπον, ἢ ὅλως, ἢ ἐπίτι ψεύδονται. οἷον εἴ τις τὴν ἰατρικὴν ὄντος εἶπεν. εἰ μὲν γὰρ μηδενὸς τῶν ὄντων ἡ ἰατρικὴ ἐπιστήμη, δῆλον ὅτι ὅλως ὁ λόγος ἔψευσται. εἰ δὲ τινὸς μέν. τινὸς δὲ μὴ, ἐπίτι ἔψευσται. δεῖ γὰρ παντὸς εἴπερ καθ' αὑτὸ, καὶ μὴ κατὰ συμβεβηκὸς ὄντος εἶναι λέγεται. καθάπερ ἐπὶ τῶν ἄλλων ἔχει τῶν πρόστι. πᾶν τὸ ἐπιστητὸν, πρὸς ἐπιστήμην λέγετε. ὁμοίως δὴ καὶ ἐπὶ τῶν ἄλλων. ἐπειδὴ ἀντιστρέφει πάντα τὰ πρόστι. πᾶν δὲ ἐπιστητὸν πρόστι. Ετι εἴπερ ὁ μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς τὴν ἀπόδοσιν ποιούμενος, ὀρθῶς ἀποδίδωσιν, οὐ πρὸς ἕν, ἀλλὰ πρὸς πλείω ἕκαστον ἂν αὐτῶν πρόστι λέγοιτο. οὐδὲν δὲ κωλύει τὸ αὐτὸ καὶ ὂν καὶ λευκὸν καὶ ἀγαθὸν εἶναι. ὥστε πρὸς ὁποιονοῦν τούτων ἀποδοὺς, ὀρθῶς ἂν εἴη ἀποδοὺς, εἴπερ ὁ κατὰ συμβεβηκὸς ἀποδιδοὺς, ὀρθῶς ἀποδίδωσιν. Ετι δὲ ἀδύνατον τὸν τοιοῦτον λόγον, ἴδιον τοῦ ἀποδοθέντος εἶναι. οὐ τὸ μόνον ἡ ἰατρικὴ, ἀλλὰ καὶ τῶν ἄλλων ἐπιστημῶν αἱ πολλαὶ πρὸς ὂν λέγοντε. ὥστε ἑκάστη ἐπιστήμη ὄντος ἔσται. δῆλον οὖν ὅτι οὗτος, οὐδεμιᾶς ἐπιστήμης ἐστὶν ὁρισμός. ἴδιον δὲ καὶ οὐ κοινὸν δεῖ τὸν ὁρισμὸν εἶναι. ἐνίοτε δὲ ὁρίζοντε οὐ τὸ πρᾶγμα, ἀλ- 84
λὰ τὸ πρᾶγμα εὖ ἔχον ἢ τετελεσμένον. τοιοῦτος δὲ καὶ ὁ τοῦ ῥήτορος καὶ τοῦ

κλέπτου ὅρος, εἴπερ ἔστι ῥήτωρ ὁ δυνάμενος τὸ ἐν ἑκάστῳ πιθανὸν θεω-
ρεῖν, καὶ μηδὲν παραλιπεῖν. κλέπτης δὲ, ὁ λάθρα λαμβάνων. δῆλον δὲ
ὅτι τοιοῦτος ὢν, ἀγαθὸς ἑκάτερος, ὁ μὲν, ἀγαθὸς ῥήτωρ. ὁ δὲ, ἀγαθὸς
κλέπτης ἔσται. οὐδὲ ὁ λάθρα λαμβάνων, ἀλλ' ὁ βουλόμενος λάθρα λα-
85. βεῖν, κλέπτης ἐστί. Γάλιν εἰ τὸ δι' αὐτὸ αἱρετὸν, ὡς πρακτικὸν, ἢ
ποιητικὸν, ἢ ὁπωσοῦν δι' ἄλλο αἱρετὸν ἀποδέδωκεν. οἷον τὴν δικαιο-
σύνην νόμων σωστικὴν εἰπὼν ἢ τὴν σοφίαν ποιητικὴν εὐδαιμονίας.
τὸ γὰρ ποιητικὸν ἢ σωστικὸν, τῶν δι' ἄλλο αἱρετῶν, ἢ οὐδὲν μὲν κωλύει
τὸ δι' αὐτὸ αἱρετὸν, καὶ δι' ἄλλο εἶναι αἱρετόν. οὐ μὴν, ἀλλ' οὐδὲν ἧττον
ἡμάρτηκεν, ὁ οὕτως διορισάμενος τὸ δι' αὐτὸ αἱρετόν. ἑκάστῳ δὲ τὸ
βέλτιστον, ἐν τῇ οὐσίᾳ μάλιστα. βέλτιον δὲ τὸ δι' αὐτὸ εἶναι αἱρετὸν,
τοῦ δι' ἕτερον. ὥστε τοῦτο καὶ τὸν ὁρισμὸν ἔδει μᾶλλον σημαίνειν.

Caput. 6.

86 Σκοπεῖν δὲ καὶ εἴ τινος ὁρισμὸν ἀποδιδοὺς τάδε, ἢ τὸ ἐκ τούτων, ἢ τόδε
μετὰ τοῦδε ὡρίσατο. εἰ μὲν δὲ τάδε, συμβήσετε ἀμφοῖν καὶ μηδετέ-
ρῳ ὑπάρχειν. οἷον εἰ τὴν δικαιοσύνην, σωφροσύνην καὶ ἀνδρίαν ὡρί-
σατο. δύο δὲ ὄντων, εἰ ἑκάτερον θάτερον ἔχει, ἀμφότεροι δίκαιοι ἔσον-
ται, καὶ οὐδέτερος. ἐπειδὴ ἀμφότεροι μὲν ἔχουσι δικαιοσύνην, ἑκάτε-
ρος δὲ οὐχ ἔχει. εἰ δὲ μήπω τὸ εἰρημένον σφόδρα ἄτοπον, διὰ τὸ καὶ
ἐπ' ἄλλων συμβαίνειν τὸ τοιοῦτον. οὐδὲν γὰρ κωλύει ἀμφοτέρους ἔχειν
μνᾶν, μηδετέρου ἔχοντος, ἀλλ' οὖν τόγε τἀναντία ὑπάρχειν τοῖς αὐ-
τοῖς, παντελῶς ἄτοπον δόξειεν ἂν εἶναι. συμβήσεται δὲ τοῦτο, ἐὰν ὁ
μὲν αὐτῶν σωφροσύνην καὶ δειλίαν ἔχῃ, ὁ δὲ ἀνδρίαν καὶ ἀκολασί-
αν. ἀμφότερα γὰρ δικαιοσύνην καὶ ἀδικίαν ἕξουσιν. εἰ γὰρ δικαιο-
σύνη, σωφροσύνη καὶ ἀνδρία ἐστὶν, ἡ ἀδικία, δειλία καὶ ἀκολασία ἔ-
σται. ὅλως τε ὅσα ἐστὶν ἐπιχειρεῖν, ὅτι οὐ ταυτόν ἐστι τὰ μέρη τε καὶ
τὸ ὅλον, πάντα χρήσιμα πρὸς τὸ νῦν εἰρημένον. ἔοικε γὰρ ὁ οὕτως ὁ-
ριζόμενος, τὰ μέρη τῷ ὅλῳ τὰ αὐτὰ φάσκειν εἶναι. μάλιστα δὲ οἰκεῖοι

γίνον

γίνονται οἱ λόγοι, ἐφ' ὅσων κατάδηλος ἡ τῶν μερῶν ἐστι σύνθεσις. καθάπερ ἐστὶν οἰκίας καὶ τῶν ἄλλων τῶν τοιούτων. δῆλον γὰρ ὅτι τῶν μερῶν ὄντων, οὐδὲν κωλύει τὸ ὅλον μὴ εἶναι. ὥστε οὐ ταυτὸν τὰ μέρη τῷ ὅλῳ. Εἰ δὲ μὴ ταῦτα ἀλλὰ τὸ ἐκ τούτων ἔφησεν εἶναι τὸ ὁ= 87.
ριζόμενον, πρῶτον μὲν ἐπισκοπεῖν, εἰ μὴ πέφυκεν ἔντι γίνεσθαι ἐκ τῶν εἰρημένων. Ενια γὰρ οὕτως ἔχει πρὸς ἄλληλα, ὥστε μηδὲν ἐξ αὐτῶν γίνεσθαι. οἷον γραμμὴ καὶ ἀριθμός. Ετι εἰ τὸ μὲν ὡρισμέ 88.
νον ἐν ἑνί τινι τῷ πρώτῳ πέφυκε γίνεσθαι. ἐξ ὧν δὲ ἔφησεν αὐτὸ εἶναι, μὴ ἐν ἑνὶ τῷ πρώτῳ πέφυκε γίνεσθαι, ἀλλ' ἑκάτερον ἐν ἑκατέρῳ. δῆλον γὰρ ὅτι οὐκ ἂν εἴη ἐκ τούτων ἐκεῖνο. ἐν οἷς γὰρ τὰ μέρη καὶ τὸ ὅλον ἀνάγκη ὑπάρχειν. ὥστε οὐκ ἐν ἑνὶ τὸ ὅλον πρώτῳ ἀλλ' ἐν πλείοσιν. Εἰ δὲ καὶ τὰ μέρη καὶ τὸ ὅλον ἐν ἑνὶ τῷ πρώτῳ, 89.
σκοπεῖν εἰ μὴ ἐν τῷ αὐτῷ, ἀλλ' ἐν ἑτέρῳ τὰ μέρη, καὶ ἐν ἑτέρῳ τὸ ὅλον. Πάλιν εἰ τῷ ὅλῳ συμφθείρεται τὰ μέρη. ἀνάπαλιν δὲ δεῖ 90
συμβαίνειν τῶν μερῶν φθαρέντων, φθείρεσθαι τὸ ὅλον. τοῦ δὲ ὅλου φθαρέντος, οὐκ ἀνάγκη καὶ τὰ μέρη ἐφθάρθαι. ἢ εἰ τὸ μὲν ὅλον, ἀγαθὸν ἢ 91.
κακόν. τὰ δὲ μέρη, μηδέτερα, ἢ ἀνάπαλιν. τὰ μὲν μέρη ἀγαθὰ ἢ κακὰ, τὸ δ' ὅλον μηδέτερον. οὔτε γὰρ ἐκ +μηδετέρου ἀγαθόντι ἢ κακὸν γενέσθαι δυνατὸν, οὔτε ἐκ κακῶν ἢ ἀγαθῶν, μηδέτερον. +εἰ μᾶλλον μὲν 92. +ἢ εἰ μᾶλλον
θάτερον ἀγαθὸν, ἢ θάτερον κακόν. τὸ δ' ἐκ τούτων, μὴ μᾶλλον ἀγαθὸν, ἢ κακόν. οἷον εἰ ἡ +ἀνέδεια ἐξ ἀνδρίας καὶ ψευδοῦς δόξης. μᾶλλον γὰρ ἀγαθὸν ἡ ἀνδρία, ἢ κακὸν ἡ ψευδὴς δόξα ἔδει οὖν καὶ τὸ ἐκ τούτων ἀκολουθεῖν τῷ μᾶλλον. καὶ εἶναι ἢ ἁπλῶς ἀγαθὸν, ἢ μᾶλλον ἀγαθὸν ἢ κακὸν, +καὶ τοῦτο μὲν οὐκ ἀναγκαῖον, ἐὰν μὴ ἑκάτερον ᾖ καθ' αὑτὸ ἀγαθὸν ἢ κακόν, πολλὰ γὰρ τῶν ποιητικῶν καθ' αὑτὰ μὲν οὐκ ἔστιν ἀγαθὰ μιχθέντα δέ τισι, γίνεται ἀγαθά. τὰ δὲ ἀναπάλιν ἑκάτερον μὲν ἀγαθὸν, μιχθέντα δὲ, κακὸν, ἢ οὐδέτερον. μάλιστα δὲ καταφανὲς,

+ μηδετέρων
+ ἀναίδεια
ἢ

τὸ νῦν ῥηθὲν, ἐπὶ τῶν ὑγιεινῶν καὶ τῶν νοσοδῶν. Ενια γὰρ τῶν φαρμά
κων οὕτως ἔχει, ὡς ἑκάτερον μὲν εἶναι ἀγαθὸν, ἐὰν δὲ ἄμφω δοθῇ μι
93 χθέντα, κακόν. Γάλιν εἰ ἐκ βελτίονος, καὶ χείρονος, ὧν μή ἐστι
τὸ ὅλον, τοῦ μὲν βελτίονος, χεῖρον. τοῦ δὲ χείρονος, βέλτιον, ἢ οὐδὲ
τοῦτο ἀναγκαῖον, ἐὰν μὴ καθ' αὑτὰ ᾖ τὰ ἐξ ὧν σύγκειται ἀγαθά, ἀλλ' οὐ
δὲν κωλύει τὸ ὅλον μὴ γίνεσθαι ἀγαθὸν, καθάπερ ἐπὶ τῶν ἀρτίως ῥη
94 θέντων. Ετι εἰ συνώνυμον τὸ ὅλον θατέρῳ. οὐ δεῖ γὰρ καθάπερ
οὐδὲ ἐπὶ τῶν συλλαβῶν. οὐδενὶ γὰρ τῶν στοιχείων ἐξ ὧν σύγκειται
95 ἡ συλλαβὴ συνώνυμός ἐστιν. Ετι εἰ μὴ εἴρηκε τὸν τρόπον τῆς
συνθέσεως. οὐ γὰρ αὔταρκες πρὸς τὸ γνωρίσαι, τὸ εἰπεῖν ἐκ τού=
των. οὐδὲ γὰρ τὸ ἐκ τούτων. ἀλλὰ καὶ οὕτως ἐκ τούτων ἑκάστου
τῶν συνθέτων ἡ οὐσία. καθάπερ ἐπὶ οἰκίας. οὐ γὰρ ἂν ὁπωσοῦν συν=
96 τεθῇ, ταῦτα οἰκία ἐστίν. Εἰ δὲ τόδε μετὰ τοῦδε ἀποδέδωκε,
πρῶτον μὲν ῥητέον ὅτι τόδε μετὰ τοῦδε, ἢ τοῖσδε ταυτὸν, ἢ τὸ ἐκ
τῶνδε. ὁ γὰρ λέγων μέλι μεθ' ὕδατος, ἤτοι μέλι καὶ ὕδωρ λέγει,
ἢ τὸ ἐκ μέλιτος καὶ ὕδατος. ὥστ' ἂν ὁποτερωοῦν τῶν εἰρημένων
ταυτὸν ὁμολογήσει εἶναι τὸ τόδε μετὰ τοῦδε, ταῦτα ἁρμόσει λέγειν.
97 ἅπερ πρὸς ἑκάτερον τούτων ἔμπροσθεν εἴρηται. Ετι διελόμενον
ὁσαχῶς λέγεται ἕτερον μεθ' ἑτέρου, σκοπεῖν εἰ μηδαμῶς τόδε μετὰ
τοῦδε. οἷον εἰ λέγεται ἕτερον μεθ' ἑτέρου, ἢ ὡς ἔντινι ταυτῷ δεκτι-
κῷ. καθάπερ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρία ἐν ψυχῇ. ἢ ἐν τόπῳ τῷ αὐτῷ
ἢ ἐν χρόνῳ τῷ αὐτῷ, μηδαμῶς δ' ἀληθὲς ᾖ τὸ εἰρημένον ὑπὸ τούτων,
δῆλον ὅτι οὐδενὸς ἂν εἴη ὁ ἀποδοθεὶς ὁρισμός. ἐπειδὴ οὐδαμῶς τό
98 δε μετὰ τοῦδέ ἐστιν. Ει δὲ τῶν διαιρεθέντων ὁσαχῶς λέγεται
ἕτερον μεθ' ἑτέρου, ἀληθὲς τὸ ἐν τῷ αὐτῷ χρόνῳ ὑπάρχειν, ἑκάτερον,
σκοπεῖν εἰ ἐνδέχεται μὴ πρὸς ταυτὸν ἑκάτερον λέγεσθαι τέλος. οἷ
ον εἰ τὴν ἀνδρίαν ὡρίσατο τόλμαν μετὰ διανοίας ὀρθῆς. ἐνδέχε=
ται δὲ

ται γὰρ τόλμαν μὲν ἔχειν τοῦ ἀποστερεῖν, ὀρθὴν δὲ διάνοιαν περὶ τὰ
ὑγιεινά· ἀλλ' οὔπω ἀνδρεῖος, ὃ ἐν τῷ αὐτῷ χρόνῳ τόδε μετὰ τοῦδε ἔ-
χων. Ετι εἰ καὶ πρὸς ταυτὸν ἄμφω λέγεται. ὅιον πρὸς τὰ ἰατρι= 99.
κά. οὐδὲν γὰρ κωλύει καὶ τόλμαν τινὰ καὶ ὀρθὴν διάνοιαν ἔχειν πρὸς
τὰ ἰατρικὰ, ἀλλ' ὅμως οὐδ' οὗτος ἀνδρεῖος ὁ τόδε μετὰ τοῦδε ἔχων.
οὔτε γὰρ πρὸς ἕτερον ἑκάτερον αὐτῶν δεῖ λέγεσθαι, οὔτε πρὸς ταυ=
τὸν τὸ τυχὸν, ἀλλὰ πρὸς τὸ τῆς ἀνδρίας τέλος. ὅιον πρὸς τοὺς πολεμι=
κοὺς κινδύνους, ἢ εἴ τι μᾶλλον τούτου τέλος. Ενια δὲ τῶν οὕτως
ἀποδεδομένων, οὐδαμῶς ὑπὸ τὴν εἰρημένην πίπτει διαίρεσιν. ὅιον
εἰ ἡ ὀργὴ λύπη ἐστὶ μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι. ὅτι δὲ διὰ τὴν
ὑπόληψιν τὴν τοιαύτην ἡ λύπη γίνεται. τοῦτο βούλεται δηλοῦν. τό
δε διὰ τοῦτο γίνεσθαί τι, οὐκ ἔστι ταυτὸν τῷ μετὰ τούτου τόδε εἶναι,
κατ' οὐδένα τῶν εἰρημένων τρόπων. Γάλιν εἰ τὴν τούτων σύνθε 100.
σιν, εἴρηκε τὸ ὅλον. ὅιον τῆς ψυχῆς καὶ σώματος σύνθεσιν, τὸ ζῶον. πρῶ
τον μὲν σκοπεῖν, εἰ μὴ εἴρηκε ποία σύνθεσις. καθάπερ εἰ σάρκα ὁριζό
μενος ἢ ὀστοῦν, τὴν πυρὸς καὶ γῆς καὶ ἀέρος σύνθεσιν εἶπεν. οὐ γὰρ
ἀπόχρη τὸ σύνθεσιν εἰπεῖν, ἀλλὰ καὶ ποία τὶς προσδιοριστέον. οὐ γὰρ
ὁπωσοῦν συντεθέντων τούτων σὰρξ γίνεται. ἀλλ' οὑτωσὶ μὲν συντε
θέντων σὰρξ, οὑτωσὶ δὲ ὀστοῦν. ἔοικε δ' εἶναι τὸ παράπαν συνθέσει
ταυτὸν, οὐδέτερον τῶν εἰρημένων. συνθέσει μὲν γὰρ πάσῃ, διάλυσις
ἐναντίον. τῶν δ' εἰρημένων οὐδέτερον οὐδέν. Ετι εἰ ὁμοίως πιθανὸν + οὐδετέρῳ
πᾶν τὸ σύνθετον σύνθεσιν εἶναι, ἢ μηδέν. τῶν δὲ ζώων ἕκαστον σύνθετον
ὄν, μή ἐστι σύνθεσις, οὐδὲ τῶν ἄλλων οὐδὲν τῶν συνθέτων, σύνθεσις ἂν
εἴη. Γάλιν εἰ ὁμοίως ἔντινι πέφυκεν ὑπάρχειν τἀναντία, ὥ= 101.
ρισται δὲ διὰ θατέρου. δῆλον γὰρ ὅτι οὐχ ὥρισται. εἰ δὲ μὴ, πλεί=
ους τοῦ αὐτοῦ συμβήσεται ὁρισμοὺς εἶναι. τὶ γὰρ μᾶλλον ὁ διὰ τού=
του ἢ ὁ διὰ τοῦ ἑτέρου ὁρισάμενος εἴρηκεν. ἐπεὶ ὁμοίως ἀμφότερα
πέφυ

πέφυκε γίνεσθαι ἐν αὐτῷ τοιοῦτος δ' ὁ τῆς ψυχῆς ὅρος, εἴπερ ἔστιν οὐσία ἐπιστήμης λεκτική, ὁμοίως γὰρ καὶ ἀγνοίας ἐστὶ λεκτική.

102 Δεῖ δὲ καὶ ἐὰν μὴ πρὸς ὅλον ἔχῃ τις ἐπιχειρεῖν τὸν ὁρισμόν, διὰ τὸ μὴ γνώριμον εἶναι τὸ ὅλον, παρὰ τῶν μερῶντι ἐπιχειρεῖν, ἐὰν ᾖ γνώριμον καὶ μὴ καλῶς ἀποδεδομένον φαίνηται. τοῦ γὰρ μέρους ἀναιρεθέντος, καὶ ὁ πᾶς ὁρισμὸς ἀναιρεῖται. Ὅσοι δ' ἀσαφεῖς τῶν ὁρισμῶν, σωσδιορθώσαντα καὶ συχηματίσαντα πρὸς τὸ ἀπλοῦντι καὶ ἔχειν ἐπιχείρημα, οὕτως ἐπισκοπεῖν. ἀναγκαῖον γὰρ τῷ ἀποκρινομένῳ ἢ λέγεσθαι τὸ ἐκλαμβανόμενον ὑπὸ τοῦ ἐρωτῶντος. ἢ αὐτὸν διασαφῆσαι πότε τυγχάνει τὸ ἀπλούμενον ὑπὸ τοῦ λόγου.

Ἔτι καθάπερ ἐν ταῖς ἐκκλησίαις νόμον εἰώθασιν ἐπισφέρειν, κἂν ᾖ βελτίων ὁ εἰσφερόμενος, ἀνεροῦσι τὸν ἔμπροσθεν, οὕτως καὶ ἐπὶ τῶν ὁρισμῶν ποιητέον. καὶ αὐτὸν ὁρισμὸν ἕτερον οἰστέον. ἐὰν γὰρ φαίνηται βελτίων, καὶ μᾶλλον δῆλον τὸ ὁριζόμενον, δῆλον ὅτι ἀνῃρημένος ἔσται ὁ κείμενος. ἐπεὶ δὴ οὐκ εἰσὶ πλείους τοῦ αὐτοῦ ὁρισμοί.

+ ἀσαφεῖς Γρ. ἀσαφῆτας δὲ τοὺς ὁρισμοὺς, οὐκ ἐλάχιστον στοιχεῖον. τὸ πρὸς ἔξωθεν ἐνδόξως δοκεῖσθαι τὸ προκείμενον, ἢ καλῶς εἰρημένον ὅρον ἀναλαβεῖν. ἀνάγκη γὰρ ὥσπερ πρὸς παράδειγμα θεώμενον, τότε ἐλλιπῶν ὢν προσῆκον ἔχειν τὸν ὁρισμὸν καὶ τὸ προκείμενον περιέργως καθορᾶν. ὥστε μᾶλλον ἐπιχειρημάτων εὐπορεῖν. τὰ μὲν οὖν περὶ τοὺς ὁρισμοὺς, ἐπὶ τοσοῦτον εἰρήσθω.

ΤΕΛΟΣ ΤΟΥ ΕΚΤΟΥ ΤΩΝ ΤΟΠΙΚΩΝ.

ΑΡΙ-

ΑΡΙΣΤΟΤΕ-
ΛΟΥΣ ΤΟΠΙΚΩΝ
ΕΒΔΟΜΟΝ.



ΠΟΤΕΡΟΝ δὲ ταὐτὸν ἢ ἕτερον κατὰ τὸν κυριώ- 1 Caput 1
τατον τῶν ῥηθέντων περὶ ταυτοῦ τρόπων, ῥητέον.
ἐλέγετο δὲ κυριώτατα ταὐτὸν, τὸ τῷ ἀριθμῷ ἓν,
σκοπεῖν ἔκτε τῶν πτώσεων καὶ τῶν συστοίχων καὶ τῶν
ἀντικειμένων. εἰ γὰρ ἡ δικαιοσύνη ταὐτὸν τῇ ἀν-
δρίᾳ, καὶ ὁ δίκαιος τῷ ἀνδρείῳ. καὶ τὸ δικαίως τῷ ἀνδρείως. ὁμοίως δὲ 2
καὶ ἐπὶ τῶν ἀντικειμένων. εἰ δὲ τάδε ταυτὰ, καὶ τὰ ἀντικείμενα τούτοις
ταυτὰ, καθ' ὁποιανοῦν τῶν λεγομένων ἀντιθέσεων. οὐδὲν δὲ διαφέρει τὸ
τούτῳ ἢ τούτῳ ἀντικείμενον λαβεῖν, ἐπειδὴ ταυτόν ἐστι. Γάλιν ἐκ τῶν 3.
ποιητικῶν καὶ φθαρτικῶν. καὶ γενέσεων καὶ φθορῶν, καὶ ὅλως τῶν ὁμοίως ἐ-
χόντων πρὸς ἑκάτερον. ὅσα δὲ ἁπλῶς ταυτὰ, καὶ αἱ γενέσεις αὐτῶν καὶ αἱ
φθοραὶ, αἱ αὐταί. καὶ τὰ ποιητικὰ καὶ τὰ φθαρτικά. Σκοπεῖν δὲ καὶ 4
ὧν θάτερον μάλιστα λέγετε ὁτιοῦν, εἰ καὶ θάτερον τῶν αὐτῶν τούτων κα-
τὰ τὸ αὐτὸ μάλιστα λέγετε. καθάπερ Ξενοκράτης τὸν εὐδαίμονα βίον καὶ
τὸν σπουδαῖον ἀποδείκνυσι τὸν αὐτόν. ἐπειδὴ πάντων τῶν βίων αἱρετώ-
τατος ὁ σπουδαῖος, καὶ εὐδαίμων. ἓν γὰρ τὸ αἱρετώτατον καὶ μέγι-
στον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. δεῖ δ' ἑκάτερον ἓν ἀ-
ριθμῷ εἶναι τὸ λεγόμενον μέγιστον, ἢ αἱρετώτατον. εἰ δὲ μὴ, οὐκ ἔσται δε-
δειγμένον ὅτι ταυτόν. οὐδὲ ἀναγκαῖον εἰ ἀνδρειότατοι τῶν ἑλλήνων πε-
λοπονήσιοι καὶ λακεδαιμόνιοι, τοὺς αὐτοὺς εἶναι πελοπονησίους τοῖς λακε-
δαιμονίοις. ἐπειδὴ οὐχ εἷς ἀριθμῷ πελοπονήσιος, οὐδὲ λακεδαιμόνι-
ος. ἀλλὰ περιέχεσθαι μὲν τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου ἀναγκαῖον, καθάπερ
οἱ λακεδαιμόνιοι ὑπὸ τῶν πελοπονησίων. εἰ δὲ μὴ συμβήσεται ἀλλή-
λων εἶναι

λων εἶναι βελτίους, ἐὰν μὴ περιέχωνται οἱ ἕτεροι ὑπὸ τῶν ἑτέρων. ἀναγκαῖον γὰρ τοὺς πελοποννησίους βελτίους εἶναι τῶν λακεδαιμονίων, εἴπερ μὴ περιέχονται οἱ ἕτεροι ὑπὸ τῶν ἑτέρων. πάντων γὰρ τῶν λοιπῶν εἰσὶ βελτίους. ὁμοίως δὲ καὶ τοὺς λακεδαιμονίους ἀνάγκη βελτίους εἶναι τῶν πελοποννησίων. καὶ γὰρ καὶ δυοῖν πάντων τῶν λοιπῶν εἰσὶ βελτίους. ὥστε ἀλλήλων βελτίους γίνονται. δῆλον οὖν ὅτι ἓν ἀριθμῷ εἶναι τὸ βέλτιστον καὶ μέγιστον λεγόμενον, εἰ μέλλοι ὅ, τι ταὐτὸν ἀποδείκνυσθαι. δηλονὴ ξενοκράτης οὐκ ἀποδείκνυσιν. οὐ γὰρ ἓς ἀριθμῷ ὁ εὐδαίμων· οὐδ' ὁ σπευσιππείος βίος. ὥστ' οὐκ ἀναγκαῖον τὴν αὐτὴν εἶναι, δηλότι ἄμφω αἱρετώτατοι. ἀλλὰ τὴν ἕτερον ὑπὸ τὸν ἕτερον. 5 Πάλιν σκοπεῖν, εἰ ᾧ θάτερον ταὐτὸν, καὶ θάτερον, εἰ γὰρ μὴ ἀμφότερα τῷ αὐτῷ ταὐτὰ, δῆλον ὅτι οὐδ' ἀλλήλοις. 6. Ἔτι ἐκ τῶν τούτοις συμβεβηκότων, καὶ ὅις ταῦτα συμβέβηκεν ἐπισκοπεῖν. ὅσα γὰρ θατέρῳ συμβέβηκε, καὶ θατέρῳ δεῖ συμβεβηκέναι. καὶ ὅις θάτερον αὐτῶν συμβέβηκε, καὶ θάτερον δεῖ συμβεβηκέναι. εἰ δέτι τούτων διαφωνεῖ, δῆλον ὅτι οὐ ταὐτά. 7. Ὁρᾶν δὲ καὶ εἰ μὴ ᾗ ἐνί γένει κατηγορίας ἀμφότερα. ἀλλὰ τὸ μὲν, 8 ποιόν. τὸ δὲ, ποσόν, ἢ πρός τι, δῆλοῖ. Πάλιν εἰ τὸ γένος ἑκατέρου μὴ ταὐτόν. ἀλλὰ τὸ μὲν ἀγαθόν. τὸ δὲ κακόν, ἢ τὸ μὲν ἀρετὴ, τὸ δὲ 9 ἐπιστήμη. Ἢ εἰ τὸ μὲν γένος ταὐτὸν, αἱ διαφοραὶ δὲ, μὴ αἱ αὐταὶ ἑκατέρου κατηγοροῦνται. ἀλλὰ τὸ μὲν ὅτι θεωρητικὴ ἐπιστήμη. τὸ δὲ ὅτι πρακτική. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. 10 Ἔτι ἐκ τοῦ μᾶλλον. εἰ τὸ μὲν δέχεται τὸ μᾶλλον. τὸ δὲ μή, ἢ εἰ ἄμφω μὲν δέχεται, μὴ ἅμα δέ. καθάπερ ὁ μᾶλλον ἐρῶν, οὐ μᾶλλον ἐπιθυμεῖ τῆς σωσουσίας. ὥστε οὐ ταὐτὸν ἔρως καὶ ἐπιθυμία σωσουσίας. 11 Ἔτι ἐκ τῆς προθέσεως, εἰ τῷ αὐτῷ ἑκάτερον προστιθέμενον, 12 μὴ ποιεῖ τὸ ὅλον ταὐτόν. Ἢ εἰ τοῦ αὐτοῦ ἀφ' ἑκατέρου ἀφαιρε-

θέντος

θέντος, τὸ λοιπὸν ἕτερον. ὅιον εἰ διπλάσιον ἡμίσεος καὶ πολλαπλά=
σιον ἡμίσεος ταυτὸν ἔφησεν εἶναι. ἀφαιρεθέντος γὰρ ἀφ' ἑκατέρου
τοῦ ἡμίσεος. τὰ λοιπὰ ταυτὸν ἔδει δηλοῦν. οὐ δηλοῖ δέ. τὸ γὰρ δι=
πλάσιον καὶ πολλαπλάσιον, οὐ ταυτὸν δηλοῖ. Σκοπεῖν δὲ μὴ μό= 13.
νον εἰ ἤδη τὶ συμβαίνει ἀδύνατον διὰ τῆς θέσεως, ἀλλὰ καὶ εἰ δυνα=
τὸν ἐξ ὑποθέσεως ὑπάρξαι, καθάπερ τοῖς τὸ κενὸν καὶ τὸ πλῆρες ἀέ=
ρος ταυτὸν φάσκουσιν εἶναι. δῆλον γὰρ ὅτι ἐὰν ἐξέλθῃ ὁ ἀὴρ, κενὸν
μὲν οὐχ ἧττον, ἀλλὰ μᾶλλον ἔσται. πλῆρες δ' ἀέρος οὐκέτι ἔσται. ὥστε ὑ
ποτεθέντος τινὸς εἴτε ψευδοῦς, εἴτε ἀληθοῦς. οὐδὲν ἡ διαφέρει εἰ τὸ
μὲν ἕτερον ἀναιρεῖται αὐτῶν. τὸ δὲ ἕτερον οὔ. ὥστ' οὐ ταυτόν. Καθό 14.
λου δ' εἰπεῖν, ἐκ τῶν ὁπωσοῦν ἑκατέρου κατηγορουμένων. καὶ ὧν ταῦ
τα κατηγορεῖται, σκοπεῖν, εἴπου διαφωνεῖ. ὅσα γὰρ θατέρου κατηγο=
ρεῖται, καὶ θατέρου κατηγορεῖσθαι δεῖ. καὶ ὧν θάτερον κατηγόρηται,
καὶ θάτερον κατηγορεῖσθαι δεῖ. Ετι ἐπεὶ πολλαχῶς τὸ ταυτὸν λέγε 15
ται, σκοπεῖν εἰ καθ' ἕτερόν τινα τρόπον ταυτά ἐστι. τὰ γὰρ εἴδει ἢ γέ=
νει ταυτὰ, οὐκ ἀνάγκη ἀριθμῷ ταυτὰ εἶναι. ἐπισκοποῦμεν δὲ πό=
τερον οὕτως ταυτὰ ἢ οὐχ οὕτως. Ετι εἰ δυνατὸν θάτερον 16.
ἄνευ θατέρου εἶναι, οὐ γὰρ ἂν εἴη ταυτόν, Οἱ μὲν οὖν πρὸς
τὸ ταυτὸν τόποι, τοσοῦτοι λέγονται, δῆλον δὲ ἐκ τῶν εἰρημένων, ὅτι 17. Caput 2
ἅπαντες οἱ πρὸς τὸ ταυτὸν ἀνασκευαστικοὶ τόποι, καὶ πρὸς ὅρον χρή=
σιμοι, καθάπερ ἔμπροσθεν εἴρηται. εἰ γὰρ μὴ ταυτὸν δηλοῖ τό, τοὔ=
νομα καὶ ὁ λόγος, δῆλον ὅτι οὐκ ἂν εἴη ὁρισμὸς ὁ ἀποδοθεὶς λόγος.
τῶν δὲ κατασκευαστικῶν τόπων, οὐδεὶς χρήσιμος πρὸς ὅρον. οὐ 18.
γὰρ ἀπόχρη δεῖξαι ταυτὸν τὸ ὑπὸ τὸν λόγον καὶ τοὔνομα, τὰ πρὸς
τὸ κατασκευάσαι ὅτι ὁρισμὸς, ἀλλὰ καὶ τὰ ἄλλα πάντα δεῖ ἔχειν τὰ
παρηγγελμένα τὸν ὁρισμόν. ἀναιρεῖν μὲν οὖν ὅρον, οὕτως καὶ διὰ τού
των ἀεὶ πειρατέον. Εὰν δὲ κατασκευάζειν βουλώμεθα, πρῶτον μὲν 19.

εἰδέναι δεῖ διότι οὐδεὶς, ἢ ὀλίγοι τῶν διαλεγομένων, ὅρον συλλογί-
ζονται. ἀλλὰ πάντες ἀρχὴν τὸ τοιοῦτον λαμβάνουσιν. οἷον οἵτε περὶ
20. γεωμετρίαν καὶ ἀριθμοὺς, καὶ τὰς ἄλλας τὰς τοιαύτας μαθήσεις. εἶθ'
ὅτι δι' ἀκριβείας μὲν ἄλλης ἐστὶ πραγματείας ἀποδοῦναι καὶ τί ἐ-
στιν ὅρος καὶ πῶς ὁρίζεσθαι δεῖ. νῦν δ' ὅσον ἱκανὸν πρὸς τὴν παροῦ-
σαν χρείαν, τοσοῦτον μόνον λεκτέον, ὅτι δυνατὸν γενέσθαι καὶ τοῦ
τὶ ἦν εἶναι συλλογισμόν. εἰ γάρ ἐστιν ὅρος, λόγος ὁ τὸ τὶ ἦν εἶναι τῷ
πράγματι δηλῶν. καὶ δεῖ τὰ ἐν τῷ ὅρῳ κατηγορούμενα, ἐν τῷ τί
ἐστι τοῦ πράγματος μόνα κατηγορεῖσθαι. κατηγορεῖται δὲ ἐν τῷ
τί ἐστι τὰ γένη, καὶ αἱ διαφοραὶ, φανερὸν ὡς εἴτις λάβοι ταῦ-
τα μόνον ἐν τῷ τί ἐστι τοῦ πράγματος κατηγορεῖσθαι δεῖ. ὅτι
ὁ ταῦτα ἔχων λόγος, ὅρος ἐξ ἀνάγκης ἂν εἴη. οὐ γὰρ ἐνδέχε-
ται ἕτερον εἶναι ὅρον. ἐπειδὴ οὐδὲν ἕτερον ἐν τῷ τί ἐστι πράγμα-
τος κατηγορεῖται. ὅτι μὲν οὖν ἐγχωρεῖ συλλογισμὸν ὅρου γενέ-
21. σθαι, φανερόν. ἐκ τίνων δὲ δεῖ κατασκευάζειν, διώρισται μὲν ἐν
ἑτέροις ἀκριβέστερον. πρὸς δὲ τὴν προκειμένην μέθοδον, οἱ αὐτοὶ
τόποι χρήσιμοι. σκεπτέον γὰρ ἐπὶ τῶν ἐναντίων, καὶ τῶν ἄλ-
λων τῶν ἀντικειμένων, καὶ ὅλους τοὺς λόγους καὶ κατὰ μέρος ἐπι-
σκοποῦντα. εἰ γὰρ ὁ ἀντικείμενος τοῦ ἀντικειμένου, καὶ τὸν εἰρη-
22. μένον τοῦ προκειμένου ἀνάγκη εἶναι. ἐπὶ δὲ τῶν ἐναντίων πλεί-
ους συμπλοκαὶ, ληπτέον ἐκ τῶν ἐναντίων ὁποῖος ἂν μάλιστα φα-
νείη ὁ ἐναντίος ὁρισμός. ὅλους μὲν οὖν τοὺς λόγους καθάπερ εἴ-
23. ρηται σκεπτέον. κατὰ μέρος δὲ ὧδε. Πρῶτον μὲν οὖν ὅτι τὸ
ἀποδοθὲν γένος ὀρθῶς ἀποδέδοται. εἰ γὰρ τὸ ἐναντίον ἐν τῷ ἐναν-
τίῳ. τὸ δὲ προκείμενον μή ἐστιν ἐν τῷ αὐτῷ, δῆλον ὅτι ἐν τῷ ἐ-
ναντίῳ ἂν εἴη. ἐπειδὴ ἀνάγκη τὰ ἐναντία, ἢ ἐν τῷ αὐτῷ γένει ἢ ἐν
24. τοῖς ἐναντίοις γένεσιν εἶναι, καὶ τὰς διαφορὰς δὲ τὰς ἐναντίας,

τῶν ἐναν

ἐναντίων ἀξιοῦμεν κατηγορεῖσθαι. καθάπερ λευκοῦ καὶ μέλανος. τὸ μὲν γὰρ διακριτικόν, τὸ δὲ συγκριτικὸν ὄψεως. ὥστε εἰ τοῦ ἐναντίου αἱ ἐναντίαι κατηγοροῦνται, τοῦ προκειμένου αἱ ἀποδοθεῖσαι κατηγορεῖντο ἄν. ὥστε ἐπεὶ καὶ τὸ γένος καὶ αἱ διαφοραὶ ὀρθῶς ἀποδέδονται, δῆλον ὅτι ὁρισμὸς ἂν εἴη ὁ ἀποδοθεὶς, ἢ οὐκ ἀναγκαῖον τῶν ἐναντίων τὰς ἐναντίας διαφορὰς κατηγορεῖσθαι, ἐὰν μὴ ἐν τῷ αὐτῷ γένει τὰ ἐναντία ᾖ. ὧν δὲ τὰ γένη ἐναντία, οὐδὲν κωλύει τὴν αὐτὴν διαφορὰν κατ' ἀμφοῖν λέγεσθαι. οἷον κατὰ δικαιοσύνης καὶ ἀδικίας. τὸ μὲν γὰρ, ἀρετή. τὸ δὲ, κακία ψυχῆς. ὥστε ἡ ψυχῆς, διαφορὰ ἐπ' ἀμφοῖν λέγεται. ἐπεὶ καὶ σώματός ἐστιν ἀρετὴ καὶ κακία. ἀλλ' οὕτω τοῦ τόγε ἀληθὲς, ὅτι τῶν ἐναντίων ἢ αἱ ἐναντίαι, ἢ αἱ αὐταὶ διαφοραί εἰσιν. εἰ οὕτω τοῦ ἐναντίου ἡ ἐναντία κατηγορεῖται. τούτου δὲ μή, δῆλον ὅτι οὐ εἰρημένη τούτου ἂν κατηγορεῖτο. καθόλου δὲ εἰπεῖν, εἴπερ ὁ ὁρισμὸς ἐστιν ἐκ γένους καὶ διαφορῶν, ἂν ᾖ τοῦ ἐναντίου ὁ ὁρισμὸς φανερὸς, καὶ ὁ τοῦ προκειμένου ὁρισμὸς φανερὸς ἔσται. ἐπεὶ γὰρ τὸ ἐναντίον ἐν τῷ αὐτῷ γένει, ἢ ἐν τῷ ἐναντίῳ. ὁμοίως δὲ καὶ αἱ διαφοραὶ, ἢ αἱ ἐναντίαι τῶν ἐναντίων ἢ αἱ αὐταὶ κατηγοροῦνται, δῆλον ὅτι τοῦ προκειμένου ἤτοι γένος ἂν κατηγορεῖτο ὅπερ καὶ τὸ ἐναντίου, αἱ δὲ διαφοραὶ ἐναντίαι, ἢ πᾶσαι ἢ τινὲς, αἱ δὲ λοιπαὶ αἱ αὐταὶ, ἢ ἀνάπαλιν αἱ μὲν διαφοραὶ αἱ αὐταὶ, τὰ δὲ γένη ἐναντία, ἢ ἄμφω ἐναντία καὶ τὰ γένη καὶ αἱ διαφοραί. ἀμφότερα μὲν γὰρ ταῦτα εἶναι οὐκ ἐνδέχεται. εἰ δὲ μή, ὁ αὐτὸς ὁρισμὸς τῶν ἐναντίων ἔσται. ἔτι ἐκ τῶν πτώσεων καὶ τῶν συστοίχων. ἀνάγκη γὰρ ἀκολουθεῖν τὰ γένη τοῖς γένεσι καὶ τοὺς ὅρους τοῖς ὅροις. οἷον εἰ ἡ λήθη ἐστὶν ἀποβολὴ ἐπιστήμης, καὶ τὸ ἐπιλαθάνεσθαι, ἀποβάλλειν ἐπιστήμην ἔσται. καὶ τὸ ἐπιλελῆσθαι, ἀποβεβληκέναι ἐπιστήμην. ἐνὸς δοθέντος ὁμοιοτρόπως τῶν εἰρημένων

μιῶν ὁμολογηθέντος. ἀνάγκη, καὶ τὰ λοιπὰ ὁμολογεῖσθαι. ὁμοίως δὲ
καὶ εἰ ἡ φθορὰ διάλυσις οὐσίας, καὶ τὸ φθείρεσθαι, διαλύεσθαι οὐσίαν.
καὶ τὸ φθαρτικῶς διαλυτικῶς. εἴη δ' ἂν τὸ φθαρτικὸν διαλυτικὸν οὐσίας.
καὶ ἡ φθορὰ διάλυσις οὐσίας. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥσθ' ἑνὸς
27 ὁποιουοῦν ληφθέντος, καὶ τὰ λοιπὰ πάντα ὁμολογεῖται. καὶ ἐκ τῶν
ὁμοίως ἐχόντων πρὸς ἄλληλα. εἰ γὰρ τὸ ὑγιεινόν, ποιητικὸν ὑγιείας,
καὶ τὸ εὐεκτικόν, ποιητικὸν εὐεξίας ἔσται. καὶ τὸ ὠφέλιμον, ποιητικὸν
ἀγαθοῦ. ὁμοίως γὰρ ἕκαστον τῶν εἰρημμένων πρὸς τὸ οἰκεῖον τέλος ἔχει.
ὥστε εἰ ἑνός ἐστιν ὁρισμὸς ἐστί, τὸ, ποιητικὸν εἶναι τοῦ τέλους, καὶ τὰ
28 λοιπῶν ἑκάστου οὕτως ἂν εἴη ὁρισμός. Ἔτι ἐκ τοῦ, μᾶλλον καὶ ἐκ
τοῦ ὁμοίως, ὅσα χῶς ἐνδέχεται κατασκευάζειν, δύο πρὸς δύο συγκρί-
νοντα. οἷον, εἰ μᾶλλον ὅδε τῷδε, ἢ ὅδε τῷδε ὁρισμός. ὃ δὲ ἦν δυ-
κῶν ὁρισμός ἐστι, καὶ ὁ μᾶλλον, κἂν εἰ ὁμοίως ὅδε τῷδε, καὶ ὅδε τῷδε.
29 εἰ ὁ ἕτερος τοῦ ἑτέρου, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ. ἑνὸς δὲ ὁρισμοῦ πρὸς
δύο συγκρινομένου, ἢ δύο ὁρισμῶν πρὸς ἕνα, οὐδὲν χρήσιμος ἢ ἐκ τοῦ
μᾶλλον ἐπισκέψις, οὔτε τοῦ ἕνα δυοῖν, οὔτε δύο τοῦ αὐτοῦ ὅρους δύω-
30 νύμους εἶναι. Εἰσὶ δὲ ἐπικαιρότατοι τῶν τόπων, οἵτε νῦν εἰρημένοι,
καὶ οἱ ἐκ τῶν πλαγίων καὶ τῶν συζύγων. διὸ καὶ δεῖ μάλιστα κατ' ἐ-
χειν καὶ προχείρους ἔχειν τούτους. χρησιμώτατοι γὰρ πρὸς ἅπαντα.
31 καὶ τῶν ἄλλων δὲ ζητεῖν μάλιστα κοινούς. οὗτοι γὰρ ἐνεργότατοι τῶν λοι-
πῶν. διὸν τοῦτ' ἐπιβλέπειν ἐπὶ τὰ καθ' ἕκαστα, καὶ ἐπὶ τῶν εἰδῶν σκο-
πεῖν, εἰ ἐφαρμόττει ὁ λόγος. ἐπεὶ ἡ συνώνυμον τὸ εἶδος ἔστιν. ἔστι δὲ χρή-
σιμος ὁ τόπος πρὸς τοὺς τιθεμένους ἰδέας εἶναι, καθάπερ πρότερον
32 εἴρηται. Ἔτι εἰ μεταφέρων εἴρηκε τοὔνομα, ἢ αὐτὸ αὑτοῦ κατη-
γόρησεν ὡς ἕτερον. καὶ εἴ τις ἄλλος κοινὸς καὶ ἐνεργὸς τῶν τόπων ἐ-
στί, τούτῳ χρηστέον. ὅτι δὲ χαλεπώτερον κατασκευάζειν ἢ ἀνασκευάζειν
ὅρον, ἐκ τῶν μετὰ ταῦτα ληφθησομένων φανερόν. καὶ γὰρ ἰδεῖν αὐτὸν

Caput. 3

καὶ λαβεῖν

καὶ λαβεῖν παρὰ τῶν ἐρωτωμένων τὰς τοιαύτας προτάσεις, οὐκ εὐ=
πετές. δῖον ὅτι τῶν ἐν τῷ ἀποδοθέντι λόγῳ, τὸ μὲν, γένος. τὸ δὲ, δια=
φορά. καὶ ὅτι ἐν τῷ τί ἐστι τὸ γένος καὶ αἱ διοφοραὶ κατηγοροῦνται.
ἄνευ δὲ τούτων, ἀδύνατον ὁρισμοῦ γενέσθαι συλλογισμόν. εἰ γάρ τινα
καὶ ἄλλα ἐν τῷ τί ἐστι τοῦ πράγματος κατηγορεῖται, ἄδηλον πότερον ὁ
ῥηθεὶς, ἢ ἕτερος αὐτοῦ ὁρισμός ἐστιν. ἐπειδὴ ὁρισμός ἐστι, λόγος ὁ τὸ τί ἦν
εἶναι σημαίνων. δῆλον δὲ καὶ ἐκ τῶνδε. ῥᾷον γὰρ ἓν συμπεραίνεσθαι
ἢ πολλὰ, ἀναιροῦντι μὲν οὖν, ἀπόχρη πρὸς ἕνα διαλεγῆναι. ἓν γὰρ
ὁποιονοῦν ἀνασκευάσαντες, ἀνηρηκότες ἐσόμεθα τὸν ὅρον. κατασκευά
ζοντι δὲ, πάντα ἀνάγκη συμβιβάζειν ὅτι ὑπάρχει τὰ ἐν τῷ ὅρῳ.

Ετι κατασκευάζοντι μὲν, καθόλου οἰστέον συλλογισμόν. δεῖ γὰρ κα
τὰ παντὸς οὗ τοὔνομα, κατηγορῆσθαι τὸν ὅρον, καὶ ἔτι πρὸς τούτοις ἀν
τιστρέφειν καθ' οὗ τὸν λόγον καὶ τοὔνομα, εἰ μέλλει ἴδιος εἶναι ὁ ἀπο=
δοθεὶς ὅρος. ἀνασκευάζοντι δὲ, οὐκ ἀνάγκη δεῖξαι τὸ καθόλου. ἀπόχρη
γὰρ τὸ δεῖξαι ὅτι οὐκ ἀληθεύεται περίτινος τῶν ὑπὸ τοὔνομα ὁ λό
γος. εἴ τε καθόλου δέοι ἀνασκευάσαι, οὐδ' ὡς τὸ ἀντιστρέφειν ἀναγκαῖον
ἐπὶ τοῦ ἀνασκευάζειν. ἀπόχρη γὰρ ἀνασκευάζοντα καθόλου τὸ δεῖ=
ξαι, ὅτι κατά τινος ὧν τοὔνομα κατηγορεῖται, ὁ λόγος οὐ κατηγορεῖ
ται. τὸ δ' ἀνάπαλιν, οὐκ ἀναγκαῖον πρὸς τὸ δεῖξαι ὅτι καθ' ὧν ὁ λό=
γος μὴ κατηγορεῖται, οὐδὲ τοὔνομα. Ετι εἰ καὶ παντὶ ὑπάρχει
τῷ ὑπὸ τοὔνομα, μὴ μόνῳ δὲ, ἀνηρημένος ὑπάρχει ὁ ὁρισμός.
Ομοίως δὲ καὶ περὶ τὸ ἴδιον καὶ τὸ γένος ἔχει. ἐν ἀμφοτέροις γὰρ
ἀνασκευάζειν, ἢ κατασκευάζειν ῥᾷον. περὶ μὲν οὖν τοῦ ἰδίου, φανερὸν
ἐκ τῶν εἰρημένων. ὡς γὰρ ἐπιτοπολὺ, ἐν συμπλοκῇ τὸ ἴδιον ἀποδί
δοται. ὥστε ἀνασκευάζειν μέν ἐστιν, ἓν ἀνελόντα. κατασκευάζοντα δὲ,
πάντα συλλογίζεσθαι ἀνάγκη. σχεδὸν δὲ πάντα ὅσα πρὸς τὸν ὁρι=
σμὸν, καὶ πρὸς τὸ ἴδιον ἁρμόσει λέγεσθαι. παντί τε γὰρ δεῖ τῷ ὑ=
πὸ τοὔ=

τῶ τοὔνομα μὲν κατασκευάζοντα λευκαίνειν, ὅτι ὑπάρχει. ἀνασκευάζον
τα δὲ, ἀπόχρη ἑνὶ λεῖψαι μὴ ὑπάρχον, εἴτε καθόλου τινὶ ὑπάρχει, μὴ
μόνῳ δὲ, καὶ οὕτως ἀνασκευασμὸν γίνεσθαι, καθάπερ καὶ ἐπὶ τοῦ ὁ=
ρισμοῦ ἐλέγετο. Περὶ δὲ τοῦ γένους, ὅτι κατασκευάζειν μὲν, ἀ=
νάγκη μοναχῶς παντὶ λείψαντα ὑπάρχειν. ἀνασκευάζοντα δὲ λιχῶς.
καὶ γὰρ εἰ μηδενὶ καὶ εἴτινι λέλεικται μὴ ὑπάρχον, ἀνῄρηται τὸ ὂν
ἀρχῇ. Ετι κατασκευάζοντι μὲν, οὐκ ἀπόχρη ὅτι ὑπάρχει λεῖ=
ψαι. ἀλλὰ καὶ διότι ὡς γένος ὑπάρχει λεκτέον. ἀνασκευάζοντι δὲ, ἱκα
νὸν τὸ λεῖψαι μὴ ὑπάρχον, ἤτινι ἢ μηδενί. ἔοικε δὲ ὥσπερ καὶ ἐν τοῖς
ἄλλοις τὸ διαφθεῖραι τοῦ ποιῆσαι, ῥᾷον οὕτω, καὶ ἐπὶ τούτων τὸ ἀνα=
σκευάσαι τοῦ κατασκευάσαι. Επὶ δὲ τοῦ συμβεβηκότος, τὸ μὲν
καθόλου, ῥᾷον ἀνασκεύάζειν, ἢ κατασκευάζειν. κατασκευάζοντα μὲν δεῖ
λεκτέον ὅτι παντί. ἀνασκεύάζοντα δὲ, ἀπόχρη ἑνὶ λεῖψαι μὴ ὑπάρ=
χον. τὸ δὲ ἐπὶ μέρους, ἀνάπαλιν. ῥᾷον γὰρ κατασκευάσαι ἢ ἀνασκευά=
σαι. κατασκευάζοντι μὲν γὰρ, ἀπόχρη τὸ λεῖψαι τινὶ ὑπάρχον. ἀνα=
σκευάζοντι δὲ, λεκτέον ὅτι οὐδενὶ ὑπάρχει. φανερὸν δὲ καὶ διότι
πάντων ῥᾷον, ὅρον ἀνασκευάσαι. πλεῖστα μὲν γὰρ ἐν αὐτῷ τὰ λεδυ=
μένα πολλῶν εἰρημένων. ἐκ δὲ τῶν πλειόνων, θᾶττον γίνεται συλλογι=
σμός. εἰκὸς γὰρ ἐν τοῖς πολλοῖς μᾶλλον ἢ ἐν τοῖς ὀλίγοις ἁμάρτημα
γίνεσθαι. Ετι πρὸς μὲν ὅρον ἐνδέχεται διὰ τῶν ἄλλων ἐπιχει
ρεῖν. εἴτε γὰρ μὴ ἴδιος ὁ λόγος, εἴτε μὴ γένος τὸ ἀποδοθέν. εἴτε μὴ ὑ=
πάρχει τι τῶν ἐν τῷ λόγῳ, ἀνῄρηται ὁ ὁρισμός. πρὸς δὲ
τἄλλα, οὔτε τὰ ἐκ τῶν ὅρων, οὔτε τἄλλα ἐνδέχεται πάντα ἐπιχει=
ρεῖν. μόνα γὰρ τὰ πρὸς τὸ συμβεβηκός, κοινὰ πάντων τῶν εἰρημένων
ἐστίν. ὑπάρχειν μὲν γὰρ δεῖ ἕκαστον τῶν εἰρημένων. εἰ δὲ μὴ ὡς ἴδιον
ὑπάρχει τὸ γένος, οὐδέπω ἀνῄρηκε τὸ γένος. ὁμοίως δὲ καὶ τὸ ἴδιον,
οὐκ ἀναγκαῖον ὡς γένος, οὐδὲ τὸ συμβεβηκὸς, ὡς γένος ἢ ἴδιον, ἀλλ' ὑ=
πάρχειν.

πάρχειν μόνον. ὥστε οὐ δυνατὸν ἐκ τῶν ἑτέρων πρὸς τὰ ἕτερα ἐπι-
χειρεῖν, ἀλλ' ἢ ἐπὶ τοῦ ὁρισμοῦ. δῆλον οὖν ὅτι ῥᾷστον πάντων ὅρον ἀ-
ναιρεῖν. κατασκευάζειν δὲ, χαλεπώτατον. ἐκεῖνά τε γὰρ πάντα δεῖ
συλλογίζεσθαι. καὶ γὰρ ὅτι ὑπάρχει τὰ εἰρημένα. καὶ ὅτι γένος τὸ
ἀποδοθὲν, καὶ ὅτι ἴδιος ὁ λόγος. καὶ ἔτι παρὰ ταῦτα, ὅτι δηλοῖ τότι
ἦν εἶναι ὁ λόγος. καὶ οὐδὲ καλῶς δεῖ πεποιηκέναι. τῶν δ' ἄλλων τὸ ἴ-
διον μάλιστα τοιοῦτον. ἀναιρεῖν μὲν γὰρ, ῥᾷον διὰ τὸ ἐκ πολλῶν ὡς ἐπὶ
τὸ πολὺ εἶναι. κατασκευάζειν δὲ χαλεπώτατον. ὅτι τὲ πολλὰ δεῖ συμ
βιβάσαι, καὶ πρὸς τούτῳ, ὅτι μόνῳ ὑπάρχει καὶ ἀντικατηγορεῖ-
ται τοῦ πράγματος. ῥᾷστον δὲ πάντων κατασκευάσαι τὸ συμβεβηκός.
ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐ μόνον ὑπάρχον, ἀλλὰ καὶ οὕτως ὑπάρχει,
δεικτέον. ἐπὶ δὲ τοῦ συμβεβηκότος ὅτι ὑπάρχει μόνον, ἱκανὸν δεῖξαι.
ἀνασκευάζειν δὲ χαλεπώτατον τὸ συμβεβηκὸς, ὅτι ἐλάχιστα ἐν αὐτῷ
δέδοται. οὐ γὰρ προσημαίνει ἐν τῷ συμβεβηκότι πῶς ὑπάρχει. ὥ-
στε ἐπὶ μὲν τῶν ἄλλων, διχῶς ἐστιν ἀναιρεῖν, ἢ δείξαντι ὅτι
οὐχ ὑπάρχει, ἢ ὅτι οὐχ οὕτως ὑπάρχει ἐπὶ δὲ τοῦ συμ
βεβηκότος, οὐκ ἔστιν ἀνελεῖν, ἀλλ' ἢ δείξαντα, ὅτι
οὐχ ὑπάρχει. οἱ μὲν οὖν τόποι δι' ὧν εὐ-
πορήσομεν πρὸς ἕκαστα τῶν προ-
βλημάτων ἐπιχειρεῖν, σχε-
δὸν ἱκανῶς ἐξηρίθ-
μηνται.

ΤΕΛΟΣ ΤΟΥ ΕΒΔΟ-
ΜΟΥ ΤΩΝ ΤΟ-
ΠΙΚΩΝ.

ΑΡΙ-

ΑΡΙΣΤΟΤΕ-

ΛΟΥΣ ΤΟΠΙΚΩΝ

ΟΓΔΟΟΝ.

Capit. 1.

1 ΜΕΤΑ δὲ ταῦτα περὶ τάξεως καὶ πῶς δεῖ ἐρωτᾶν, λεκτέον. δεῖ δὲ πρῶτον μὲν ἐρωτᾶν μέλοντα τόπον εὑρεῖν, ὅθεν ἐπιχειρητέον. δεύτερον δὲ ἐρωτηματίσαι καὶ τάξαι, καθ' ἕκαστα πρὸς ἑαυτόν. τὸ δὲ λοιπὸν

2 καὶ τρίτον, εἰπεῖν ἢ μὴ ταῦτα πρός ἕτερον. μέχρι μὲν οὖν τοῦ εὑρεῖν τὸν τόπον, ὁμοίως τοῦ φιλοσόφου καὶ τοῦ διαλεκτικοῦ, ἡ σκέψις· τὸ δὲ ἢ μὴ ταῦτα τάττειν καὶ ἐρωτηματίζειν, ἴδιον τοῦ διαλεκτικοῦ· πρὸς ἕτερον γὰρ ὧν τὸ τοιοῦτον. τῷ δὲ φιλοσόφῳ καὶ ζητοῦντι καθ' ἑαυτόν, οὐδὲν μέλει, ἐὰν ἀληθῆ μὲν ᾖ καὶ γνώριμα δι' ὧν ὁ συλλογισμός, μὴ θῇ δὲ αὐτὰ ὁ ἀποκρινόμενος, διὰ τὸ σύνεγγυς εἶναι τῷ ἐξ ἀρχῆς. καὶ προορᾶν τὸ συμβησόμενον. ἀλλ' ἴσως ἂν καὶ τοῦτο διαφέροι, ὅτι μᾶλλον γνώριμα καὶ σύνεγγυς εἶναι τὰ ἀξιώματα. ἐκ τούτων γὰρ οἱ ἐπιστημονικοὶ συλλογισμοί. τοὺς μὲν οὖν τόπους ὅθεν δεῖ λαμβάνειν, εἴρηται πρότερον. περὶ τάξεως δὲ καὶ τοῦ ἐρωτηματίσαι λεκτέον, διελόμενον τὰς προτάσεις ὅσαι λητταῖαι παρὰ τὰς ἀναγκαίας. ἀναγκαῖαι δὲ λέγονται, δι' ὧν ὁ συλλογισμὸς γίνεται, αἱ δὲ παρὰ ταύτας λαμ-

3 βανόμεναι, τέτταρες εἰσίν. ἢ γὰρ ἐπαγωγῆς χάριν τοῦ δοθῆναι τὸ καθόλου. ἢ εἰς ὄγκον τοῦ λόγου. ἢ εἰς κρύψιν τοῦ συμπεράσματος. ἢ πρὸς τὸ σαφέστερον εἶναι τὸν λόγον. παρὰ δὲ ταύτας, οὐθὲν μᾶλλον ἢ πέον πρότασιν, ἀλλ' ἢ διὰ τούτων αὔξειν καὶ ἐρωτηματίζειν πειρατέον. εἰσὶ δὲ αἱ πρὸς κρύψιν, ἀγῶνος χάριν. ἀλλ' ἔστω δὴ πᾶσα ἢ τοιαύτη πραγματεία πρός ἕτερόν ἐστιν, ἀνάγκη δὴ ταύταις χρῆσθαι. τὰς μὲν οὖν ἀναγ-

+ 1. φωνητικώτεραι καὶ σοφιστικώτεραι

5 μὴ τοῦ ἀναγκαίας φαυλότ

κείας. δεῖ οὖν ὁ συλλογισμὸς, οὐκ εὐθὺς προτακτέον. ἀλλ' ἀποσκευάζεσθαι ὅτι ἀναιρετέον. ὅλον μὴ τῶν ἐναντίων ἀξιοῦντα τινὶ ἀντιτίθεσθαι, ἂν ἔχῃ βούλησιν λαβεῖν, ἀλλὰ τῶν ἀντικειμένων. τεθέντος γὰρ τοῦ ζώου καὶ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη συλλογίζεται. ἐπεὶ δὲ τῶν ἀντικειμένων τὰ ἐναντία. ἐὰν δὲ μὴ τιθῇ, δεῖ ἐπαγωγῆς λαμβάνειν, προτείνοντα ἐπὶ τῶν κατὰ μέρος ἐναντίων. ἢ δι' ἀπὸ συλλογισμοῦ, ἢ δι' ἐπαγωγῆς τὰς ἀναγκαίας λαμβάνειν. ἢ τὰς μὲν ἐπαγωγῆς, τὰς δὲ συλλογισμῷ. ὅσαι δὲ ἐνδοξαι προφανεῖς εἰσι, μὴ αὐτὰς προτείνοντα. ἀσυλλόγιστον γὰρ καὶ ἀεὶ ἐν τῇ ἀποσκευῇ τῇ ἐπαγωγῇ τὸ συμβησόμενον. μὴ ἅμα τὰ αὐτὰς τὰς χρησίμους προτεῖναι καὶ μὴ συναμφότερον ἐκεῖνος λαβεῖν, ἔτι μᾶλλον. τὰς δὲ παρὰ ταύτας εἰρημένας, λαμβάνειν μὲν τῶν χάριν. ἐκάστη δὲ ὧν λεκτέον. ἐπισκοποῦντα μὲν ἀπὸ τῶν κατὰ μέρος, ἐπὶ τὰ καθόλου. μὴ τῶν γνωρίμων ἐπὶ τὰ ἄγνωστα. γνώριμα δὲ μᾶλλον τὰ κατὰ τὴν αἴσθησιν. ἢ ἁπλῶς, ἢ τοῖς πολλοῖς. κρύπτοντα δὲ προσυλλογίζεσθαι δεῖ οὖν ὁ συλλογισμὸς τὸ ἐξ ἀρχῆς μέλλει γίνεσθαι μὴ ταὐτὰ ὡς πολλάκις. εἰσὶ δ' ἂν ἔχῃ, εἰ μή τις μὴ μόνον τὰς ἀναγκαίας, ἀλλὰ μὴ τὰ πρὸς ταῦτα χρησίμων τινὰ συλλογίζοιο. ἔτι τὰ συμπεράσματα μὴ λέγειν, ἀλλ' ὕστερον συλλογίζεσθαι ἀθρόα. οὕτω δὲ ἂν πορρωτάτω ἀποσκοποῖεν τῆς ἐξ ἀρχῆς θέσεως. καθόλου δὲ εἰπεῖν, οὕτω δεῖ ἐρωτᾶν τὸν κρυπτικῶς συνθανόμενον. ὥστε ἐρωτημένα τοῖς ἀκούουσι λόγῳ, μὴ εἰσπόντος τὸ συμπέρασμα, ζητεῖσθαι τὸ δοκεῖ. ἔσται δὲ ἥκιστα διὰ τὸ λεχθέντος πρόδηλον εἶναι. μόνον δὲ τὸ ἑκάστου ἠθένδος συμπεράσματος, ἄδηλόν πως συμβαίνει. διὰ τὸ μὴ προσδοκᾶν τὸν ἀποκρινόμενον ἐκ τίνος συμβαίνει, μὴ διαρθρωθέντων τῶν προτέρων συλλογισμῶν, ἥκιστα δ' ἂν διαρθρωθείη ὁ συλλογισμὸς τοῦ συμπεράσματος, μὴ τὰ ζυλλήμματα ἡμῶν τιθέντων, ἀλλ' ἐκεῖνα ὑφ' ὧν συλλογισμὸς γίνεται. χρήσιμον δὲ καὶ τὸ μὴ συνεχῆ τὰ ἀξιώματα λαμβάνειν ἐξ ὧν οἱ συλλογισμοί. ἀλλ' ἐναλλὰξ πρός ἕτε

κοινότερα καὶ κοινότερα

ἀναγκαίας

quid agere debeat qui vult occultare conclusionem.

ρον καὶ ἕτερον συμπέρασμα. τιθεμένων δὲ τῶν οἰκείων παράλληλα, μᾶλλον τὸ συμβησόμενον ἐξ αὐτῶν προφανές. Χρὴ δὲ καὶ ὁρισμῷ λαμβάνειν ἐφ' ὧν ἐνδέχεται τὴν καθόλου πρότασιν, μὴ ἐπ' αὐτῶν, ἀλλ' ἐπὶ τῶν συστοίχων. παραλογίζοντες δὲ ἑαυτοὺς, ὅταν ἐπὶ τοῦ συστοίχου ληφθῇ ὁ ὁρισμὸς, ὡς οὐ τὸ καθόλου συγχωροῦντες. οἷον εἰ δέοι λαβεῖν, ὅτι ὁ ὀργιζόμενος ὀρέγεται τιμωρίας. ληφθείη δὲ ἡ ὀργὴ ὄρεξις εἶναι τιμωρίας διὰ φαινομένην ὀλιγωρίαν. δῆλον δὲ ὅτι τούτου ληφθέντος ἔχοιμεν ἂν καθόλου ὃ προαιρούμεθα. Τοῖς δὲ ἐπ' αὐτῶν προτείνουσι, πολλάκις ἀνανεύειν συμβαίνει τὸν ἀποκρινόμενον, διὰ τὸ μᾶλλον ἔχειν ἐπ' αὐτοῦ τὴν ἔνστασιν. οἷον ὅτι οὐ πᾶς ὁ ὀργιζόμενος ὀρέγεται τιμωρίας. τοῖς δὲ γονεῦσιν, ὀργιζόμεθα μὲν, οὐκ ὀρεγόμεθα δὲ τιμωρίας. ἴσως μὲν οὖν οὐκ ἀληθὴς ἡ ἔνστασις. παρ' ἐνίων δὲ ἱκανὴ τιμωρία τὸ λυπῆσαι μόνον, καὶ ποιῆσαι μεταμελεῖσθαι. οὐ μὴν ἀλλ' ἔχει τι πιθανὸν πρὸς τὸ μὴ δοκεῖν ἀλόγως ἀρνεῖσθαι τὸ προτεινόμενον. ἐπὶ δὲ τοῦ τῆς ὀργῆς ὁρισμοῦ οὐ ῥᾴδιον εὑρεῖν ἔνστασιν. Ετι τὸ προτείνειν ὡς οὐ δι' αὐτὸ, ἀλλ' ἄλλου χάριν προτείνοντα. εὐλαβοῦνται δὲ τὰ πρὸς τὴν θέσιν χρήσιμα. ἁπλῶς δὲ εἰπεῖν, ὅτι μάλιστα ποιεῖ ἄδηλον πότερον τὸ προτεινόμενον ἢ τὸ ἀντικείμενον βούλετε λαβεῖν. ἀδήλου δὲ ὄντος τοῦ πρὸς τὴν θέσιν χρησίμου, μᾶλλον τὸ δοκοῦν αὐτοῖς τιθέασιν. Ετι διὰ τῆς ὁμοιότητος πανθάνεσθαι. καὶ δὲ πιθανὸν, καὶ λανθάνει μᾶλλον τοῦ καθόλου. οἷον ὅτι ὥσπερ ἐπιστήμη καὶ ἄγνοια τῶν ἐναντίων ἡ αὐτὴ, οὕτω καὶ ἡ αἴσθησις τῶν ἐναντίων ἡ αὐτὴ, ἢ ἀνάπαλιν. ἐπειδὴ ἡ αἴσθησις ἡ αὐτὴ τῶν ἐναντίων, καὶ ἐπιστήμη. τῶν δέ ἐστιν ὅμοιον ἐπαγωγῇ, οὐ μὲν ταυτόνγε. ἐκεῖ μὲν δὲ ἀπὸ τῶν καθέκαστον τὸ καθόλου λαμβάνετε. ἐπὶ δὲ τῶν ὁμοίων, οὐκ ἔστι τὸ λαμβανόμενον τὸ καθόλου, ἐφ' ᾧ πάντα τὰ ὅμοιά ἐστι. Δεῖ δὲ καὶ αὐτὸν ἑαυτῷ ποτε ἔνστασιν φέρειν. ἀνυπόπτως δὲ ἔχουσιν οἱ ἀποκρινόμενοι πρὸς τοὺς δοκοῦντας δικαίως ἐπιχειρεῖν. Χρήσιμον δὲ καὶ τὸ ἐπιλέγειν, ὅτι

σύνηθες

σύνηθες καὶ λεγόμενον τὸ τοιοῦτον. ὀκνοῦσι δὲ κινεῖν τὸ εἰωθὸς ἔνστασιν μὴ ἔχοντες. ἅμα δὲ καὶ διὰ τὸ χρῆσθαι καὶ αὐτοὶ τοῖς τοιούτοις, φυλάττονται κινεῖν αὐτά. Ετι τὸ μὴ σπουδάζειν, κἂν ὅλως χρήσιμον ᾖ. πρὸς δὲ τοὺς σπουδάζοντας μᾶλλον ἀντιτείνουσι. καὶ τὸ ὡς ἐν παραβολῇ προτείνειν. τὸ δὲ δι' ἄλλότι προτεινόμενον καὶ μὴ δι' αὐτὸ χρήσιμον, τιθέασι μᾶλλον. Ετι μὴ αὐτὸ προτείνειν ὃ δεῖ ληφθῆναι, ἀλλ' ᾧ τοῦτο ἕπεται ἐξ ἀνάγκης. μᾶλλον τὲ δὲ συγχωροῦσι, διὰ τὸ μὴ ὁμοίως ἐκ τούτων φανερὸν εἶναι τὸ συμβησόμενον, καὶ ληφθέντος τούτου, εἴληπται κἀκεῖνο. καὶ τὸ ἐπ' ἐσχάτῳ ἐρωτᾶν, ὃ μάλιστα βούλετο λαβεῖν. μάλιστα δὲ τὰ πρῶτα ἀνανεύουσι, διὰ τὸ τοὺς πλείστους τῶν ἐρωτώντων πρῶτα λέγειν περὶ ἃ μάλιστα σπουδάζουσι. πρὸς ἐνίους δὲ πρῶτα τὰ τοιαῦτα προτείνειν. οἱ δὲ δύσκολοι τὰ πρῶτα μάλιστα συγχωροῦσιν, ἐὰν μὴ παντελῶς φανερὸν ᾖ τὸ συμβησόμενον. ἐπὶ τελευτῇ δὲ, δυσκολαίνουσιν. ὁμοίως δὲ καὶ ὅσοι οἴοντο δεοιμεῖς εἶναι ἐν τῷ ἀποκρίνεσθαι. θέντες δὲ τὰ πλεῖστα, ἐπὶ τέλους τερθρεύοντο ὡς οὐ συμβαίνοντος ἐκ τῶν κειμένων. τιθέασι δὲ προχείρως, πιστεύοντες τῇ ἕξει. καὶ ὑπολαμβάνοντες οὐδὲν πείσασθαι. Ετι τὸ μηκύνειν καὶ παρεμβάλλειν τὰ μηδὲν χρήσιμα πρὸς τὸν λόγον. καθάπερ οἱ ψευδογραφοῦντες. πολλῶν δὲ ὄντων, ἄδηλον ἐν ὁποίῳ τὸ ψεῦδος. διὸ καὶ λανθάνουσιν ἐνίοτε οἱ ἐρωτῶντες ἐν παραβύστῳ, προστιθέντες ἃ καθ' αὑτὰ προτεινόμενα, οὐκ ἂν τεθείη. Εἰς μὲν οὖν κρύψιν, τοῖς εἰρημένοις χρηστέον. εἰς δὲ κόσμον, ἐπαγωγῇ καὶ διαιρέσει τῶν συγγενῶν. ἡ μὲν οὖν ἐπαγωγὴ ὁποῖον τί ἐστι δῆλον. τὸ δὲ διαιρεῖσθαι τοιοῦτον. οἷον ὅτι ἐπιστήμη ἐπιστήμης βελτίων, ἢ τῷ ἀκριβεστέρα εἶναι, ἢ τῷ βελτιόνων. καὶ ὅτι τῶν ἐπιστημῶν. αἱ μὲν θεωρητικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ποιητικαί. τῶν δὲ τοιούτων ἕκαστον συνεπικοσμεῖ μὲν τὸν λόγον. οὐκ ἀναγκαῖον δὲ ζηθῆναι, πρὸς τὸ συμπέρασμα. Εἰς δὲ σαφήνειαν, παραδείγματα καὶ παραβολὰς οἰστέον. παραδείγματα δὲ οἰκεῖα ἐξ ὧν ἴσμεν. οἷα ὅμηρος. μὴ οἷα χοι-

Caput. 2.

 εἷλος

εἶλος. οὕτω γὰρ ἂν σαφέστερον εἴη τὸ προτεινόμενον. Χρηστέον δὲ ἐν τῷ διαλέγεσθαι, τῷ μὲν συλλογισμῷ, πρὸς τοὺς διαλεκτικοὺς μᾶλλον ἢ πρὸς τοὺς πολλούς. τῇ δὲ ἐπαγωγῇ, τοὐναντίον πρὸς τοὺς πολλοὺς μᾶλλον. εἴρηται δὲ ὑπὲρ τούτων, καὶ πρότερον. Εστι δὲ ἐπ' ἐνίων μὲν ἐπάγοντα δυνατὸν ἐρωτῆσαι τὸ καθόλου. ἐπ' ἐνίων δὲ, οὐ ῥᾴδιον. διὰ τὸ μὴ κεῖσθαι ταῖς ὁμοιότησιν ὄνομα πάσαις κοινόν. ἀλλ' ὅταν δέῃ τὸ καθόλου λαβεῖν, οὕτως ἐπὶ πάντων τῶν τοιούτων φασί. τοῦτο διορίσαι, τῶν χαλεπωτάτων ἐστὶν, ὁποῖα τῶν προφερομένων τοιαῦτα, καὶ ὁποῖα οὔ. καὶ παρὰ τοῦτο πολλάκις ἀλλήλους παρακρούονται κατὰ τοὺς λόγους. οἱ μὲν φάσκοντες ὅμοια εἶναι τὰ μὴ ὄντα ὅμοια. οἱ δὲ ἀμφισβητοῦντες τὰ ὅμοια, μὴ εἶναι ὅμοια. διὸ πειρατέον ἐπὶ πάντων τῶν τοιούτων ὀνοματοποιεῖν αὐτὸν, ὅπως μήτε τῷ ἀποκρινομένῳ ἐξῇ ἀμφισβητεῖν ὡς οὐχ ὁμοίως τὸ ἐπιφερόμενον λέγεται. μήτε τῷ ἐρωτῶντι συκοφαντεῖν, ὡς ὁμοίως λεγομένου. ἐπειδὴ πολλὰ τῶν οὐχ ὁμοίως λεγομένων, ὁμοίως φαίνεται λέγεσθαι. Οταν δὲ ἐπάγοντος ἐπὶ πολλῶν μὴ διδῶ τὸ καθόλου, τότε δίκαιον ἀπαιτεῖν ἔνστασιν. μὴ εἰπόντα δ'. αὐτὸν ἐπὶ τίνων οὕτως, οὐ δίκαιον ἀπαιτεῖν ἐπὶ τίνων οὐχ οὕτως. δεῖ δὲ ἐπάγοντα πρότερον, οὕτω τὴν ἔνστασιν ἀπαιτεῖν. Αξιωτέον τὲ τὰς ἐνστάσεις μὴ ἐπ' αὐτοῦ τοῦ προτεινομένου φέρειν, ἂν μὴ ἓν μόνον ᾖ τὸ τοιοῦτον. καθάπερ ἡ δυὰς τῶν ἀρτίων ἀριθμῶν μόνος πρῶτος. δεῖ δὲ τὸν ἐνιστάμενον, ἐφ' ἕτερον τὴν ἔνστασιν φέρειν, ἢ λέγειν, ὅτι τοῦτο μόνον τοιοῦτον. Πρὸς δὲ τοὺς ἐνισταμένους τῷ καθόλου. μὴ ἐν αὐτῷ δὲ τὴν ἔνστασιν φέροντας, ἀλλ' ἐν τῷ ὁμωνύμῳ. οἷον ὅτι ἔχοι ἄν τις τὸ μὴ αὐτοῦ χρῶμα, ἢ πόδα, ἢ χεῖρα. ἔχοι δὲ ἂν ὁ ζωγράφος τὸ μὴ αὐτοῦ χρῶμα, καὶ ὁ μάγειρος πόδα τὸν μὴ ἑαυτοῦ. διελόμενον οὖν ἐπὶ τῶν τοιούτων, ἐρωτητέον. λανθανούσης δὲ τῆς ὁμωνυμίας, εὖ δόξει ἐνστῆναι τῇ προτάσει.

Εὰν δὲ μὴ ἐν τῷ ὁμωνύμῳ, ἀλλ' ἐν αὐτῷ ἐνιστάμενος κωλύῃ τὴν ἐρώτησιν

quo inductiuis propo-
nibus utendū.

τοῦτο δὲ διορί-
σαι

ρώτησιν, ἀφαιροῦντα δεῖ ἐν ᾧ ἡ ἔνστασις, προτείνειν τὸ λοιπὸν ἀκόλουθον ποιοῦντα, ἕως ἂν λάβῃ τὸ χρήσιμον. οἷον ἐπὶ τῆς λύπης καὶ τοῦ ἐπιλελῆσθαι. οὐ δὲ συγχωρῆσαι τὸν ἀποβεβληκότα τιμὴν ἐπιμέλειαν, ἐπιλελῆσθαι. διότι μεταπεσόντος τοῦ πράγματος ἀπόβεβληκε, ἐπιλέλησται δ' οὔ. ζητέον δὲ ἐν ἀφελόντα ἐν ᾧ ἡ ἔνστασις τὸ λοιπόν. οἷον εἰ δικαιοῦσθαι τοῦ πράγματος, ἀπόβεβληκε τιμὴν διότι ἐπιλέλησται. Ομοίως δὲ καὶ πρὸς τοὺς ἐνισταμένους διότι τῷ μείζονι ἀγαθῷ μεῖζον ἀντίκειται κακόν. προφέρουσι δ' ὅτι τῇ ὑγιείᾳ ἐλάττονι ὄντι ἀγαθῷ τῆς εὐεξίας, μεῖζον κακὸν ἀντίκειται. τιμὴ δὲ νόσου μεῖζον εἶναι κακὸν τῆς κακεξίας ἀφαιρετέον οὖν καὶ ἐπὶ τούτων ἐν ᾧ ἡ ἔνστασις. ἀφαιρεθέντος δὲ, μᾶλλον ἂν θείη. οἷον ὅτι τῷ μείζονι ἀγαθῷ μεῖζον κακὸν ἀντίκειται, ἐὰν μὴ συνεπιφέρῃ θάτερον θάτερον· κακὸν ἁπλῶς ἡ εὐεξία τιμὴ ὑγιείαν. Οὐ μόνον δὲ ἐνισταμένῳ τοῦτο ποιητέον, ἀλλὰ κἂν ἄνθυ ἐνστάσεως ἀρνῆται, διὰ τὸ προορᾶν τι τῶν τοιούτων. ἀφαιρεθέντος δὲ ἐν ᾧ ἡ ἔνστασις, ἀναγκαῖόν ἐστιν τιθέναι, διὰ τὸ μὴ προορᾶν ἐν τῷ λοιπῷ, ἐπί τινος οὐχ οὕτως· ἐὰν δὲ μὴ τιθῇ ἀπαυτόματος ἔνστασιν, οὐκ ἔξεστι ἀποδοῦναι. εἰσὶ δὲ διαφοραὶ τῶν προτάσεων. αἱ ἐπί τι μᾶλλον φύσεις, ἐπί τι δὲ ἀληθεῖς. ἐπὶ τούτων γάρ ἐστιν ἀφελόντα τὸ λοιπὸν ἀληθὲς καταλιπεῖν. Ἐὰν δὲ ἐπὶ πολλῶν προτείνοντα μὴ φέρῃ τιμὴν ἔνστασιν, ἀξιωτέον προτιθέναι. διαλεκτικὴ δέ ἐστι πρότασις, πρὸς ἣν οὕτως ἐπὶ πολλῶν ἔχουσαν, μή ἐστιν ἔνστασις. Οταν δὲ συλλέγεται τὸ αὐτὸ ἄνθυ τοῦ ἀδυνάτου, καὶ διὰ τοῦ ἀδυνάτου συλλογίζεσθαι· ἀποδεικνῦσι μὲν καὶ διαλεγομένῳ, οὐδὲν διαφέρει ἢ οὕτως ἢ ἐκείνως συλλογίσασθαι. διαλεγομένῳ δέ, οὐ χρησέον τῷ διὰ τοῦ ἀδυνάτου συλλογισμῷ. ἄνθυ μὲν γὰρ τοῦ ἀδυνάτου συλλογισαμένῳ, οὐκ ἔστιν ἀμφισβητεῖν. ὅταν δὲ τὸ ἀδύνατον συλλογίσωνται, ἂν μὴ λίαν ᾖ περιφανὲς ψεῦδος ὃν οὐκ ἀδύνατόν φασιν εἶναι. ὥστε οὐ γίνεται τοῖς ἐρωτῶσιν ὃ βούλονται.

του. Δεῖ δὲ προτείνειν ὅσα ἐστὶ πολλῶν μὲν οὕτως ἔχει. ἔν-
στασις δὲ ἢ ὅλως μή ἐστιν, ἢ μὴ ἐστὶ πολλῆς ἐστὶ τὸ σωμιλεῖν. μὴ λωμάμε-
νοι γὰρ σωμορᾶν ἐφ' ὧν οὐχ οὕτως, οὐκ ἀληθὲς τιθέασιν.

Οὐ δεῖ δὲ τὸ συμπέρασμα ἐρώτημα ποιεῖν. εἰ δὲ μὴ ἀναπεύσαντος οὐ
δοκεῖ γεγονέναι συλλογισμός. πολλάκις γὰρ καὶ μὴ ἐρωτῶντος, ἀλλ'
ὡς συμβαῖνον ἐπιφέροντος, ἀγνοοῦσι. καὶ ὅλως ποιοῦντες οὐ δοκοῦσιν
ἐλέγχεσθαι τοῖς μὴ σωμορῶσιν ὅ, τι συμβαίνει ἐκ τῶν τεθέντων. ὅταν
οὖν μὴ δὲ φήσας συμβαίνειν, ἐρωτήσῃ. ὁ δὲ ἀρνηθῇ πάντως, οὐ δο-
κεῖ γεγονέναι συλλογισμός. Οὐ δοκεῖ δὲ πᾶν τὸ καθόλου δια
λεκτικὴ πρότασις εἶναι. οἷον τί ἐστιν ἄνθρωπος. ἢ πόσαχῶς λέγεται τὸ
ἀγαθόν. ἔστι γὰρ πρότασις διαλεκτικὴ πρὸς ἣν ἐστιν ἀποκρίνεσθαι ναὶ
ἢ οὔ. πρὸς δὲ τὰς εἰρημένας, οὐκ ἔστι. διὸ οὐ δὲ διαλεκτικὴ ἐστὶ τὰ τοι-
αῦτα τῶν ἐρωτημάτων, ἐὰν μὴ αὐτὸς ποιήσας ἢ διελόμενος εἴπῃ. οἷον
ἆρά γε τἀγαθὸν οὕτως ἢ οὕτως λέγεται. πρὸς γὰρ τὰ ζωιαῦτα ῥᾳδία
ἡ ἀπόκρισις, ἢ καταφήσαντι, ἢ ἀποφήσαντι. διὸ πειρατέον οὕτω προ
τείνειν τὰς τοιαύτας τῶν προτάσεων. ἅμα δὲ καὶ δίκαιον ἴσως παρ' ἐ
κείνῳ ζητεῖν πόσαχῶς λέγεται τἀγαθόν. ὅταν αὐτὸ διαιρουμένῳ καὶ
προτείνοντος μηδαμῶς συγχωρήσῃ. Οστις δ' ἕνα λόγον πολὺν
χρόνον ἐρωτᾷ, κακῶς ποιοῦσιν. εἰ μὲν γὰρ ἀποκρινομένου τοῦ ἐ-
ρωτωμένου τὸ ἐρωτηθέν, δῆλον ὅτι πολλὰ ἐρωτήματα ἐρωτᾷ. ἢ
πολλάκις ταὐτά. ὥστε ἢ ἀδολεχεῖ, ἢ οὐκ ἔχει συλλογισμόν. ἐξ ὀλίγων
γὰρ πᾶς συλλογισμός. εἰ δὲ μὴ ἀποκρινομένου, ὅτι οὐκ ἐπιτιμᾷ ἢ
ἀφίσταται. Εστι δ' ἐπιχειρεῖν τε χαλεπὸν καὶ ὑπέχειν ῥᾴδιον
τὰς αὐτὰς ὑποθέσεις. ἔστι δὲ τοιαῦτα τάπε φύσει πρῶτα καὶ τὰ ἔκ
τα. τὰ μὲν γὰρ πρῶτα, ὅρου δεῖται. τὰ δ' ἔκτα διὰ πολλῶν περαί-
νεται, βουλομένῳ τὸ συνεχὲς λαμβάνειν ἀπὸ τῶν πρώτων. ἢ σοφισμα
τώδη φαίνεται τὰ ἐπιχειρήματα. ἀδιάπτωτον γὰρ ἀποδεῖξαί τι, μὴ ἀρ

ξάμενον

ahy in interrogation?
τί οὐκ ἐπιτιμᾷ, ἢ ἀφίσταται;

ξάμενον ἀπὸ τῶν οἰκείων ἀρχῶν, καὶ συνείραντα μέχρι τῶν ἐσχάτων. ὁρίζεσθαι μὲν οὖν οὔτ' ἀξιοῦσιν οἱ ἀποκρινόμενοι, οὔτ' ἂν ὁ ἐρωτῶν ὁρίζηται, προσέχουσι. μὴ γενομένου δὲ φανεροῦ τί ποτ' ἐστὶ τὸ προκείμενον, οὐ ῥᾴδιον ἐπιχειρεῖν. μάλιστα δὲ τὸ τοιοῦτον περὶ τὰς ἀρχὰς συμβαίνει. τὰ μὲν γὰρ ἄλλα διὰ τούτων δείκνυται. ταῦτα δ' οὐκ ἐνδέχεται δι' ἑτέρων. ἀλλ' ἀνασκαῖον ὁρισμῷ τῶν τοιούτων ἕκαστον γνωρίζειν. Εστι δὲ δυσεπιχείρητα καὶ τὰ λίαν ἐγγὺς τῆς ἀρχῆς. οὐ γὰρ ἐνδέχεται πολλοὺς πρὸς αὐτὰ λόγους ποιήσασθαι, ὀλίγων ὄντων τῶν ἀνὰ μέσον αὐτοῖς καὶ τῆς ἀρχῆς, δι' ὧν ἀνάγκη δείκνυσθαι τὰ μετ' αὐτά. Τῶν δὲ ὅρων δυσεπιχειρητότατοι οὗτοι πάντων εἰσὶ μάλιστα, ὅσοι κέχρηνται τοιούτοις ὀνόμασιν. ἃ πρῶτον μὲν ἄδηλά ἐστιν, εἴτε ἁπλῶς εἴτε πολλαχῶς λέγεται. πρὸς δὲ τούτοις, μὴ δὲ γνώριμα, πότερον κυρίως ἢ κατὰ μεταφορὰν ὑπὸ τοῦ ὁρισαμένου λέγεται. διὰ μὲν δὴ τὸ ἀσαφῆ εἶναι οὐκ ἔχει ἐπιχειρήματα. διὰ δὲ τὸ ἀγνοεῖσθαι εἰ παρὰ τὸ κατὰ μεταφορὰν λέγεσθαι τοιοῦτόν ἐστιν, οὐκ ἔχει ἐπιτίμησιν. Ὅλως δὴ πᾶν πρόβλημα ὅταν ᾖ δυσεπιχείρητον, ἢ ὅρου δεῖσθαι ὑπολήπτεον, ἢ τῶν πολλαχῶς, ἢ τῶν κατὰ μεταφορὰν εἶναι λεγομένων ἢ οὐ πόῤῥω τῶν ἀρχῶν. ἢ διὰ τὸ μὴ φανερὸν εἶναι πρῶτον ἡμῖν τοῦτ' αὐτὸ καὶ τίνα ποτὲ τῶν εἰρημένων τρόπων ἐστίν, ὃ τὴν ἀπορίαν παρέχεται. φανεροῦ γὰρ ὄντος τοῦ τρόπου, δῆλον ὅτι ἢ ὁρίσεσθαι ἂν δέοι, ἢ διαιρεῖσθαι. ἢ τὰς ἀνὰ μέσον προτάσεις ὁρίζεσθαι. διὰ τούτων γὰρ δείκνυται τὰ ἔσχατα. + Πολλαῖστε τῶν θέσεων μὴ καλῶς ἀποδιδομένου τοῦ ὁρισμοῦ, οὐ ῥᾴδιον διαλέγεσθαι καὶ ἐπιχειρεῖν. οἷον πότερον ἓν ἑνὶ ἐναντίον, ἢ πλείω. ὁρισθέντων δὴ τῶν ἐναντίων κατὰ τρόπον, ῥᾴδιον συμβιβάσαι πότερον ἐνδέχεται πλείω τῶν αὐτῶν εἶναι ἐναντία, ἢ οὔ. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν ἄλλων τῶν ὁρισμοῦ δεομένων.

Εοικε δὲ καὶ ἐν τοῖς μαθήμασιν ἔνια δι' ὁρισμοῦ ἔλλειψιν οὐ ῥᾳδίως γράφεσθαι

+ Ἀμφιδίζεις
+ Ἐν πολλαῖστε
καὶ τρόπον. /. καλῶς

ως γεγράφθαι. οἷον καὶ ὅτι ἡ παρὰ τὴν τοῦ τράγου τέμνουσα τὴν ἐπιπέδον γραμμὴ, ὁμοίας διαιρεῖ τήν τε γραμμὴν καὶ τὸ χωρίον. τοῦ δὲ ὁριαμοῦ ξηθέντος, φανερὸν τὸ λεγόμενον. τῇ γὰρ αὐτῇ ἀνταναίρεσιν ἔχει τὰ χωρία καὶ αἱ γραμμαί. ἔστι δ' ὁρισμὸς τοῦ αὐτοῦ λόγου οὗτος. Ἁπλῶς δὲ τὰ πρῶτα τῶν στοιχείων, τι θεμιλίων μὴν τῶν ὁρισμῶν, οἷον τί γραμμή. καὶ τί κύκλος, ξῆσαι δεῖ ξαι. πλὴν οὐ πολλάκις πρόσεστιν ἐνίοις τούτων ἐγχειρεῖν, διὰ τὸ μὴ πολλὰ τὰ ἀνὰ μέσον εἶναι. ἐὰν δὲ μή τι θῶνται οἱ τῶν ἀρχῶν ὁρισμοί, χαλεπόν. τάχα δ' ὅλως ἀδιάκτον. ὁμοίως δὲ τούτοις καὶ ἐπὶ τῶν κατὰ τοὺς λόγους ἔχοι οὐκοῦν λανθάνειν, ὅταν συστήσεται ἡ θέσις, ὅτι ἐπονθέτει τῶν ἐξημμένων. Οταν δὲ ἡ πρὸς τὸ ἀξίωμα καὶ τὴν πρόταξιν μεῖζον ἔργον διαλεγῆναι ἢ τὴν θέσιν, διαπορήσειεν ἄντις, πότερον θετέον τὰ τοιαῦτα ἢ οὔ. εἰ γὰρ μὴ θήσει, ἀλλ' ἀξιώσει καὶ πρὸς τοῦτο διαλέγεσθαι, μεῖζον προσάξει τοῦ ἐξ ἀρχῆς κειμένου. εἰ δὲ θήσει, πιστεύσει ἐξ ἧττον πιστῶν. εἰ μὴν οὕτω δεῖ μὴ χαλεπώτερον τὸ πρόβλημα ποιεῖν, θετέον. εἰ δὲ διὰ γνωριμωτέρων συλλογίζεσθαι, οὐ θετέον. ἢ τῷ μὲν μανθάνοντι οὐ θετέον ἂν μὴ γνωριμώτερον ᾖ. τῷ δὲ γυμναζομένῳ θετέον, ἂν ἀληθὲς μόνον φαίνηται. ὥστε φανερὸν ὅτι οὐχ ὁμοίως ἐρωτῶντι τὲ καὶ διδάσκοντι ἀξιωτέον τιθέναι.

πῶς μὲν οὖν ἐρωτηματίζειν καὶ τάπτειν, ἐκδὸν ἱκανὰ τὰ εἰρημένα.

3. περὶ δὲ ἀποκρίσεως, πρῶτον μὲν διορισέον, τί ἐστιν ἔργον τοῦ καλῶς ἀποκρινομένου, καθάπερ τοῦ καλῶς ἐρωτῶντος. ἔστι δὲ τοῦ μὲν ἐρωτῶντος, τὸ οὕτως μεταγαγεῖν τὸν λόγον. ὥστε ποιῆσαι τὸν ἀποκρινόμενον τὰ ἀδοξότατα λέγειν τῶν διὰ τὴν θέσιν ἀναγκαίων. τοῦ δ' ἀποκρινομένου, τὸ μὴ δι' ἀυτὴν φαίνεσθαι συμβαίνειν τὸ ἀδιάνατον ἢ τὸ παράδοξον, ἀλλὰ διὰ τὴν θέσιν. ἕτερα γὰρ ἴσως ἁμαρτία, τὸ θέσθαι πρῶτον ὃ μὴ δεῖ. καὶ τὸ θέμενον μὴ φυλάξαι κατὰ τρόπον.

Επεὶ

τοῦ διαλέγεσθαι

μεῖζον λόγου διαλεγ

δεῖ λαμβάνειν

τὸ θέσιν μεῖζον τοῦ βλήμα

Επεὶ δέ ἐστιν ἀδιόριστα τοῖς, γυμνασίας καὶ πείρας ἕνεκα τοὺς λόγους ποιουμένοις. οὐ γὰρ οἱ αὐτοὶ σκοποὶ τοῖς τε διδάσκουσιν ἢ μανθάνουσι, καὶ τοῖς ἀγωνιζομένοις. οὐ δὲ τούτοις τὲ καὶ τοῖς διατρίβουσιν ἀεὶ μετ' ἀλλήλων σκέψεως χάριν. τῷ μὲν γὰρ μανθάνοντι θετέον ἀεὶ τὰ δοκοῦντα. καὶ γὰρ οὐδὲ ἐπιχειρεῖ ψεῦδος οὐδεὶς διδάσκειν. τῶν δὲ ἀγωνιζομένων, τὸν μὲν ἐρωτῶντα φαίνεσθαι τὶ δεῖ ποιεῖν πάντως. τὸν δ' ἀποκρινόμενον, μηδὲν φαίνεσθαι πάσχειν, ἐν δὲ ταῖς διαλεκτικαῖς συνόδοις, τοῖς μὴ ἀγῶνος χάριν, ἀλλὰ πείρας καὶ σκέψεως τοὺς λόγους ποιουμένοις, οὐ διήρθρωταί πως τίνος δεῖ στοχάζεσθαι τὸν ἀποκρινόμενον. καὶ ὁποῖα διδόναι, καὶ ποῖα μὴ, πρὸς τὸ καλῶς ἢ μὴ καλῶς φυλάττειν τὴν θέσιν. ἐπεὶ οὖν οὐδὲν ἔχομεν παραδεδομένον ὑπ' ἄλλων, αὐτοί τι πειραθῶμεν εἰπεῖν. ἀνάγκη δὴ τὸν ἀποκρινόμενον ὑπέχειν λόγον, θέμενον ἤτοι ἔνδοξον, ἢ ἄδοξον θέσιν, ἢ μηδέτερον. καὶ ἤτοι ἁπλῶς ἔνδοξον ἢ ἄδοξον, ἢ ὡρισμένως, οἷον τῷ δέτινι ἢ αὐτῷ ἢ ἄλλῳ. διαφέρει δ' οὐδὲν ὁπωσοῦν ἐνδόξου ἢ ἀδόξου οὔσης. ὁ γὰρ αὐτὸς τρόπος ἔσται τοῦ καλῶς ἀποκρίνεσθαι, καὶ δοῦναι ἢ μὴ διδόναι τὸ ἐρωτηθέν. ἀδόξου μὲν οὖν οὔσης τῆς θέσεως, ἔνδοξον ἀνάγκη τὸ συμπέρασμα γίνεσθαι. ἐνδόξου δὲ, ἄδοξον. τὸ γὰρ ἀντικείμενον ἀεὶ τῇ θέσει ὁ ἐρωτῶν συμπεραίνεται. εἰ δὲ μήτ' ἄδοξον μήτ' ἔνδοξον τὸ κείμενον, καὶ τὸ συμπέρασμα ἔσται τοιοῦτον.

Επεὶ δ' ὁ καλῶς συλλογιζόμενος ἐξ ἐνδοξοτέρων καὶ γνωριμωτέρων τὸ προβληθὲν ἀποδείκνυσι. φανερὸν ὡς ἀδόξου μὲν ὄντος ἁπλῶς τοῦ κειμένου, οὐ δοτέον τῷ ἀποκρινομένῳ, οὐδ' ὃ μὴ δοκεῖ ἁπλῶς, οὐδ' ὃ δοκεῖ μὲν, ἧττον δὲ τοῦ συμπεράσματος δοκεῖ. ἀδόξου γὰρ οὔσης τῆς θέσεως, ἔνδοξον τὸ συμπέρασμα. ὥστε δεῖ τὰ λαμβανόμενα. ἔνδοξα πάντ' εἶναι. καὶ μᾶλλον ἔνδοξα τοῦ προκειμένου, εἰ μέλλει διὰ τῶν γνωριμωτέρων τὸ ἧττον ἔνδοξον περαίνεσθαι. ὥστ' εἰ μήτε τοιοῦτόν ἐστι

τῶν ἐρωτωμένων, οὐ θετέον τῷ ἀποκρινομένῳ. εἰ δ' ἔνδοξος ἁπλῶς ἡ θέσις, δῆλον ὅτι τὸ συμπέρασμα ἁπλῶς ἄδοξον. θετέον οὖν τάτε δοκοῦντα πάντα, καὶ τῶν μὴ δοκούντων ὅσα ἧττόν ἐστιν ἄδοξα τοῦ συμπεράσματος. ἱκανῶς γὰρ ἂν δόξειε διειλέχθαι. Ομοίως δὲ εἰ μήτ' ἄδοξος, μήτ' ἔνδοξός ἐστιν ἡ θέσις. καὶ δὲ οὕτως τάτε φαινόμενα ἅπαντα δοτέον, καὶ τῶν μὴ δοκούντων ὅσα μᾶλλον ἔνδοξα τοῦ συμπεράσματος. οὕτω γὰρ ἂν ἐνδοξοτέρους συμβήσεται τοὺς λόγους γίνεσθαι. εἰ μὲν οὖν ἁπλῶς ἔνδοξον, ἢ ἄδοξον τὸ κείμενον πρὸς τὰ δοκοῦντα, ἁπλῶς τὴν σύγκρισιν ποιητέον. εἰ δὲ μὴ ἁπλῶς ἔνδοξον ἢ ἄδοξον εἴη τὸ κείμενον, ἀλλὰ τῷ ἀποκρινομένῳ, πρὸς αὐτὸν τὸ δοκοῦν καὶ μὴ δοκοῦν κρίνοντα, θετέον, ἢ οὐ θετέον. ἂν δὲ ἑτέρου δόξαν διαφυλάττῃ ὁ ἀποκρινόμενος, δῆλον ὅτι πρὸς τὴν ἐκείνου διάνοιαν ἀποβλέποντα, θετέον ἕκαστα καὶ ἀρνητέον. διὸ καὶ οἱ κομίζοντες ἀλλοτρίας δόξας, οἷον ἀγαθὸν καὶ κακὸν εἶναι ταυτὸν, καθάπερ ἡράκλειτός φησιν, οὐ διδόασι μὴ παρεῖναι ἅμα τῷ αὐτῷ τἀναντία. οὐχ ὡς οὐ δοκοῦν αὐτοῖς τοῦτο. ἀλλ' ὅτι παρ' ἡράκλειτον, οὕτω λεκτέον. ποιοῦσι δὲ τοῦτο καὶ οἱ παρ' ἀλλήλων δεχόμενοι τὰς θέσεις. στοχάζοντες γὰρ ὡς ἂν εἴποι ὁ θέμενος. φανερὸν οὖν τίνων στοχαστέον τῷ ἀποκρινομένῳ, εἴτε ἁπλῶς ἔνδοξον. εἴτε τινὶ τὸ κείμενόν ἐστιν. Επεὶ δ' ἀνάγκη πᾶν τὸ ἐρωτώμενον ἢ ἔνδοξον εἶναι, ἢ ἄδοξον, ἢ μηδέτερον, καὶ ἢ πρὸς τὸν λόγον. ἢ μὴ πρὸς τὸν λόγον, εἶναι τὸ ἐρωτώμενον. ἐὰν μὲν ᾖ δοκοῦν καὶ μὴ πρὸς τὸν λόγον, δοτέον φήσαντα δοκεῖν. οὐ γὰρ ἀναιρεῖται τιθέντος τοῦ ἐν ἀρχῇ. ἐάντε μὴ δοκοῦν καὶ μὴ πρὸς τὸν λόγον, δοτέον μὲν, ἐπισημαντέον δὲ τὸ μὴ δοκοῦν πρὸς εὐλάβειαν εὐηθείας. ὄντος δὲ πρὸς τὸν λόγον καὶ δοκοῦντος, λεκτέον ὅτι δοκεῖ μὲν, ἀλλὰ λίαν σύνεγγυς τοῦ ἐν ἀρχῇ ἐστι. καὶ ἀναιρεῖται τούτου τεθέντος τὸ κείμενον. εἰ δὲ πρὸς τὸν λόγον λίαν ἄδοξον τὸ ἀξίωμα, συμβαίνειν μὲν

φατέ

φατέον τούτου τεθέντος, ἀλλὰ λίαν εὔηθες εἶναι τὸ προτεινόμενον. εἰ δὲ μήτε ἄδοξον, μήτε ἔνδοξον, εἰ μὲν μηδὲν πρὸς τὸν λόγον, δοτέον μηδὲν διορίσαντα. εἰ δὲ πρὸς τὸν λόγον, ἐπισημαντέον ὅτι ἀναιρεῖται τεθέντος τὸ ἐν ἀρχῇ. οὕτω γὰρ ὅ, τε ἀποκρινόμενος, οὐδὲν δόξει δι' αὐτὸν πάσχειν. ἐάν περ προορῶν ἕκαστα τιθῇ, ὅ, τε ἐρωτῶν τεύξεται συλλογισμοῦ, τιθεμένων αὐτῷ πάντων τῶν ἐνδοξοτέρων τοῦ συμπεράσματος. ὅσοι δὲ ἐξ ἀδοξοτέρων τοῦ συμπεράσματος ἐπιχειροῦσι συλλογίζεσθαι, δῆλον ὡς οὐ καλῶς συλλογίζονται. διὸ τοῖς ἐρωτῶσιν οὐ θετέον. Ομοίως δὲ καὶ ἐπὶ τῶν ἀσαφῶς καὶ πλεοναχῶς λεγομένων ἀπαντητέον. ἐπεὶ γὰρ δέδοται τῷ ἀποκρινομένῳ μὴ μανθάνοντι εἰπεῖν ὅτι οὐ μανθάνω καὶ πλεοναχῶς λεγομένου μὴ ἐξ ἀνάγκης ὁμολογῆσαι ἢ ἀρνήσασθαι, δῆλον ὡς πρῶτον μὲν ἂν μὴ σαφὲς ᾖ τὸ ῥηθὲν, οὐκ ἀποκνητέον τὸ φᾶναι μὴ συνιέναι. πολλάκις δὲ ἐκ τοῦ μὴ σαφῶς ἐρωτηθέντας διδόναι, ἀπαντῶντι δυσχερές. ἐὰν δὲ γνώριμον μὲν ᾖ τὸ πλεοναχῶς λεγόμενον, ἐὰν μὲν ἐπὶ πάντων ἀληθὲς ἢ ψεῦδος ἢ τὸ λεγόμενον, δοτέον ἁπλῶς τὸ λεγόμενον ἢ ἀρνητέον. ἐὰν δὲ ἐπί τι μὲν ψεῦδος ᾖ, ἐπί τι δὲ ἀληθὲς, ἐπισημαντέον ὅτι πλεοναχῶς λέγεται. καὶ διότι τὸ μὲν, ψεῦδος. τὸ δὲ ἀληθὲς, ὕστερον δὲ διαιρουμένου, ἄδηλον εἰ καὶ ἐν ἀρχῇ συνεώρα τὸ ἀμφίβολον. Εὰν δὲ μὴ προΐδῃ τὸ ἀμφίβολον, ἀλλ' εἰς ἕτερον βλέψας θῇ, ῥητέον πρὸς τὸν ἐπὶ θάτερον ἄγοντα, ὅτι οὐκ εἰς τοῦτο βλέπων ἔθηκεν, ἀλλ' εἰς θάτερον αὐτῶν. πλειόνων γὰρ ὄντων τῶν ὑπὸ ταυτὸ ὄνομα ἢ λόγον, ῥᾳδία ἡ ἀμφισβήτησις· ἐὰν δὲ καὶ σαφὲς ᾖ καὶ ἁπλοῦν τὸ ἐρωτώμενον, ἢ ναὶ ἢ οὐ ἀποκριτέον. Επεὶ δὲ πᾶσα πρότασις συλλογιστικὴ, ἢ τούτων τίς ἐστιν ἐξ ὧν ὁ συλλογισμὸς, ἤτινος τούτων ἕνεκα. δῆλον δ' ὅταν ἑτέρου χάριν λαμβάνηται τῷ πλείω τὰ ὅμοια ἐρωτᾶν, ἢ δὲ δι' ἐπαγωγὴν ἢ δι' ὁμοιότητα ὡς ἐπὶ τὸ πολὺ τὸ καθόλου λαμβάνου-

σι, τὰ μὲν καθέκαστα πάντα θετέον, ἂν ᾖ ἀληθῆ καὶ ἔνδοξα. πρὸς δὲ τὸ καθόλου πειρατέον ἔνστασιν φέρειν. τὸ γὰρ ἄνευ ἐνστάσεως ἢ οὔσης, ἢ δοκούσης κωλύειν τὸν λόγον, δυσκολαίνειν ἐστίν. εἰ οὖν ἐπεὶ πολλῶν φαινομένων οὐ δίδωσι τὸ καθόλου μὴ ἔχων ἔνστασιν, φανερὸν ὅτι δυσκολαίνει. Ετι δὲ εἰ μὴ δ' ἀντεπιχειρεῖν ἔχοι ὅτι οὐκ ἀληθὲς μᾶλλον ἂν δόξειε δυσκολαίνειν. καί τοι οὐδὲ τοῦ ἱκανόν. πολλοὺς γὰρ λόγους ἐναντίους ἔχομεν ταῖς δόξαις, οὓς χαλεπὸν λύειν. καθάπερ τοῦ Ζήνωνος, ὅτι οὐκ ἐνδέχεται κινεῖσθαι. οὐδὲ τὸ στάδιον διελθεῖν. ἀλλ' οὐ διὰ τοῦτο τὰ ἀντικείμενα τούτοις οὐ θετέον. εἰ οὖν μήτε ἀντεπιχειρεῖν ἔχων, μήτε ἐνίστασθαι, οὐ τίθησι, δῆλον ὅτι δυσκολαίνει. ἔστι γὰρ ἡ ἐν λόγοις δυσκολία, ἀπόκρισις παρὰ τοὺς εἰρημένους τρόπους συλλογισμοῦ φθαρτική. Επέχειν δὲ καὶ θέσιν καὶ ὁρισμὸν αὐτὸν αὐτῷ δεῖ προεγχειρήσαντα. ἐξ ὧν γὰρ ἀναιροῦσιν οἱ πυνθανόμενοι τὸ κείμενον, δῆλον ὅτι τούτοις ἐναντιωτέον. Αδοξον δὲ ὑπόθεσιν εὐλαβητέον ὑπέχειν. εἴη δ' ἂν ἄδοξος, πλεοναχῶς. καὶ γὰρ ἐξ ἧς ἄτοπα συμβαίνει λέγειν, οἷον εἰ πάντα φαίη τὶς κινεῖσθαι ἢ μηδὲν, καὶ ὅσα χείρονος ἤθους ἑλέσθαι καὶ ὑπεναντίῳ ταῖς βουλήσεσιν. οἷον ὅτι ἡ ἡδονὴ ἀγαθόν, καὶ τὸ ἀδικεῖν βέλτιον τοῦ ἀδικεῖσθαι. οὐ γὰρ ὡς λόγου χάριν ὑπέχοντα, ἀλλ' ὡς τὰ δοκοῦντα λέγοντα μισοῦσιν. Οσοι δὲ τῶν λόγων ψεῦδος συλλογίζονται, λυτέον ἀναιροῦντα παρ' ὃ γίνεται τὸ ψεῦδος. οὐ γὰρ ὁτιοῦν ἀνελὼν, λέλυκεν. οὐδ' εἰ ψεῦδός ἐστι τὸ ἀναιρούμενον. ἔχοι γὰρ ἂν πλείω ψευδῆ ὁ λόγος. οἷον εἴ τις λάβοι τὸν καθήμενον γράφειν. σωκράτην δὲ καθῆσθαι. συμβαίνει γὰρ ἐκ τούτων σωκράτην γράφειν. ἀναιρεθέντος οὖν τοῦ σωκράτην καθῆσθαι, οὐδὲν μᾶλλον λέλυται ὁ λόγος. καί τοι ψεῦδος τὸ ἀξίωμα. ἀλλ' οὐ παρὰ τοῦτο ὁ λόγος ψευδής. ἐὰν γάρ τις τύχῃ καθήμενος μὲν, μὴ γράφων δὲ, οὐκέτι ἐπὶ τοῦ τοιούτου ἡ αὐ-

τὴ λύ

τὴ λύσις ἁρμόσει. ὥστε οὐ τοῦτο ἀναιρετέον. ἀλλὰ τὸ τὸν καθήμενον γράφειν. οὐ γὰρ πᾶς ὁ καθήμενος γράφει. λέλυκε μὲν οὖν πάντως ὁ ἀνελὼν παρ' ὃ γίνεται τὸ ψεῦδος, οἶδε δὲ τὴν λύσιν ὁ εἰδὼς ὅτι παρὰ τοῦτο ὁ λόγος καθάπερ ἐπὶ τῶν ψευδογραφουμένων. οὐ γὰρ ἀπόχρη τὸ ἐνστῆναι, οὐδ' ἂν ψεῦδος ᾖ τὸ ἀναιρούμενον. ἀλλὰ καὶ διότι ψεῦδος, ἀποδεικτέον· οὕτω γὰρ ἂν εἴη φανερὸν, πότερον προορῶσιν, ἢ οὔ, ποιεῖται τὴν ἔνστασιν. Εστι δὲ λόγον κωλῦσαι συμπεράνεσθαι, τετραχῶς. ἢ γὰρ ἀνελόντα παρ' ὃ γίνεται τὸ ψεῦδος, ἢ πρὸς τὸν ἐρωτῶντα ἔνστασιν εἰπόντα· πολλάκις μὲν γὰρ οὐ λέλυκε μέν. ὁ μὲν τοι πανθανόμενος, οὐ δύναται πορρωτέρω προάγειν. τρίτον δὲ, πρὸς τὰ ἠρωτημένα. συμβαίνοι γὰρ ἂν ἐκ μὲν τῶν ἠρωτημένων, μὴ γίνεσθαι, ὃ βουλόμεθα, διὰ τὸ κακῶς ἠρωτῆσθαι. προτεθέντος δέτινος γίνεσθαι τὸ συμπέρασμα. εἰ μὲν οὖν μηκέτι δύναται προάγειν ὁ ἐρωτῶν, εἰς τὸν ἐρωτῶντα εἴη ἂν ἡ ἔνστασις. εἰ δὲ δύναται, πρὸς τὰ ἠρωτημένα. τετάρτη δὲ καὶ χειρίστη τῶν ἐνστάσεων, ἡ πρὸς τὸν χρόνον. ἔνιοι γὰρ τοιαῦτα ἐνίστανται, πρὸς ἃ διαλεχθῆναι πλείονός ἐστι χρόνου, ἢ τῆς παρούσης διατριβῆς. αἱ μὲν οὖν ἐνστάσεις καθάπερ εἴπομεν, τετραχῶς γίνονται. λύσις δέ ἐστι τῶν εἰρημένων, ἡ πρώτη μόνον. αἱ δὲ λοιπαὶ, κωλύσεις τινὲς καὶ ἐμποδισμοὶ τῶν συμπερασμάτων. ἐπιτίμησις δὲ τοῦ λόγου, καθ' αὑτόν τε τὸν λόγον, καὶ ὅταν ἐπερωτᾶται οὐχ ἡ αὐτή. πολλάκις γὰρ τοῦ μὴ καλῶς διειλέχθαι τὸν λόγον, ὁ ἐρωτώμενος αἴτιος, διὰ τὸ μὴ συγχωρεῖν ἐξ ὧν ἦν διαλεχθῆναι καλῶς πρὸς τὴν θέσιν. οὐ γάρ ἐστιν ἐπὶ θατέρῳ μόνῳ τὸ καλῶς ἐπιτελεσθῆναι τὸ κοινὸν ἔργον. ἀναγκαῖον οὖν ἐνίοτε πρὸς τὸν λέγοντα, καὶ μὴ πρὸς τὴν θέσιν ἐπιχειρεῖν. ὅταν ὁ ἀποκρινόμενος τἀναντία τῷ ἐρωτῶντι παρατηρῇ προσεπιρεάζων. δυσκολαίνοντες οὖν, ἀγωνιστικὰς καὶ οὐ διαλεκτικὰς ποιοῦνται

προορῶν τι

4.

τὰς δι

τὰς διατριβάς. Ετι δὲ ἐπὶ συμνασίας καὶ πείρας χάριν, ἀλλ' οὐ διδασκαλίας ὁι τοιοῦτοι τῶν λόγων, δῆλον ὡς οὐ μόνον τἀληθῆ συλλογιστέον, ἀλλὰ καὶ ψεῦδος. οὐ δὲ δι' ἀληθῶν ἀεὶ, ἀλλ' ἐνίοτε καὶ ψευδῶν. πολλάκις γὰρ ἀληθοῦς τεθέντος, ἀναιρεῖν ἀνάγκη τὸν διαλεγόμενον ὥστε προτατέον τὰ ψευδῆ, ἐνίοτε δὲ καὶ ψευδοῦς τεθέντος, ἀναιρετέον διὰ ψευδῶν. οὐδὲν κωλύει τινὶ δοκεῖν τὰ μὴ ὄντα μᾶλλον τῶν ἀληθῶν. ὥστε ἐκ τῶν ἐκείνῳ δοκούντων τοῦ λόγου γινομένου, μᾶλλον ἔσται πεπεισμένος, ἢ ὠφελημένος. δεῖ δὲ τὸν καλῶς μεταβιβάζοντα, διαλεκτικῶς καὶ μὴ ἐριστικῶς διαβιβάζειν. καθάπερ τὸν γεωμέτρην γεωμετρικῶς, ἄντε ψεῦδος ἄντ' ἀληθὲς ᾖ τὸ συμπεραινόμενον. ὁποῖοι δὲ διαλεκτικοὶ συλλογισμοὶ, πρότερον εἴρηται. ἐπεὶ δὲ φαῦλος κοινωνὸς ὁ ἐμποδίζων τὸ κοινὸν ἔργον, δῆλον ὅτι καὶ ἐν λόγοις. κοινὸν γάρ τι προκείμενον καὶ ἐν τούτοις ἐστὶ, πλὴν τῶν ἀγωνιζομένων. τούτοις δὲ οὐκ ἔστιν ἀμφοτέροις τοῦ αὐτοῦ τέλους τυχεῖν. πλείους γὰρ ἑνὸς ἀδύνατον νικᾶν. διαφέρει δὲ οὐδὲν, ἄντε διὰ τοῦ ἀποκείνεσθαι, ἄντε διὰ τοῦ ἐρωτᾶν ποιῇ αὐτό. ὅτε γὰρ ἐριστικῶς ἐρωτῶν, φαύλως διαλέγεται. ὅτε ἐν τῷ ἀποκείνεσθαι μὴ διδοὺς τὸ φαινόμενον. μὴ δὲ ἐκδεχόμενος ὅ, τί ποτε βούλεται ὁ ἐρωτῶν πυθέσθαι. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐχ ὁμοίως ἐπιτιμητέον καθ' αὑτόν τε τῷ λόγῳ καὶ τῷ ἐρωτῶντι. οὐδὲν γὰρ κωλύει τὸν μὲν λόγον, φαῦλον εἶναι. τὸν δὲ ἐρωτῶντα, ὡς ἐνδέχεται βέλτιστα πρὸς τὸν ἀποκρινόμενον διειλέχθαι. πρὸς γὰρ τοὺς δυσκολαίνοντας οὐ δυνατὸν ἴσως εὐθὺς οἵους τὶς βούλεται, ἀλλ' οἵους ἐνδέχεται ποιεῖσθαι τοὺς συλλογισμούς. Επεὶ δέ ἐστιν ἀδιόριστον πότε τἀναντία. καὶ πότε τὰ ἐν ἀρχῇ λαμβάνουσιν οἱ ἄνθρωποι. πολλάκις ἢ καθ' αὑτοὺς λέγοντες ἐναντία λέγουσι. καὶ ἀνανεύσαντες πρότερον, διδόασιν ὕστερον διόπερ ἐρωτώμενοι, καὶ τὰ ἐναντία καὶ τὰ ἐν ἀρχῇ πολλάκις

ὑπακούου

ὑπακούουσιν, ἀνάγκη φαύλους γίνεσθαι τοὺς λόγους. αἴτιος δὲ ὁ ἀπο-
κρινόμενος τὰ μὲν οὐ διδούς. τὰ δὲ, τοιαῦτα διδούς. φανερὸν οὖν
ὅτι οὐχ ὁμοίως ἐπιτιμητέον τοῖς ἐρωτῶσι καὶ τοῖς λόγοις. καθ' αὑ-
τοὺς δὲ τῷ λόγῳ, πέντε εἰσὶν ἐπιτιμήσεις. πρώτη μὲν ὅταν ἐκ τῶν ἠ-
ρωτημένων μὴ συμπεραίνηται, μήτε πρὸς τὸ τεθὲν μήτε ὅλως μηδὲν,
ὄντων ἢ ψευδῶν ἢ ἀδόξων. ἢ πάντων ἢ τῶν πλείστων, ἐν οἷς τὸ συμπέ-
ρασμα. καὶ μήτε ἀφαιρεθέντων τινῶν, μήτε προστεθέντων. μὴ δὲ τῶν
μὲν ἀφαιρεθέντων, τῶν δὲ προστεθέντων γίνεται τὸ συμπέρασμα. δευ-
τέρα δὲ εἰ πρὸς τὴν θέσιν μὴ γίνοιτο ὁ συλλογισμὸς ἐκ τοιούτων τὲ
καὶ οὕτως ὡς εἴρηται πρότερον. τρίτη δὲ, εἰ προστεθέντων τινῶν γί-
νοιτο συλλογισμός. ταῦτα δ' εἴη χείρω τῶν ἐρωτηθέντων. καὶ ἧττον
ἔνδοξα τοῦ συμπεράσματος. πάλιν εἰ ἀφαιρεθέντων τινῶν. ἐνίοτε ἢ
πλείονα λαμβάνουσι τῶν ἀναγκαίων. ὥστε οὐ τῷ ταῦτα εἶναι, λέ-
γεται ὁ συλλογισμός. ἔτι εἰ ἐξ ἐνδοξοτέρων καὶ ἧττον πιστῶν τοῦ συμ- ἀδοξοτέρων
περάσματος, ἢ ἐξ ἀληθῶν, ἀλλὰ πλείονος ἔργου δεομένων ἀποδεῖξαι
τοῦ προβλήματος. Οὐ δεῖ δὲ πάντων τῶν προβλημάτων
ὁμοίως ἀξιοῦν τοὺς συλλογισμοὺς, ἐνδόξους εἶναι καὶ πιθανούς. φύσει
γὰρ εὐθὺς ὑπάρχει τὰ μὲν, ῥᾴω. τὰ δὲ, χαλεπώτερα τῶν ζητουμένων.
ὥστε ἂν ἐξ ὧν ἐνδέχεται μάλιστα ἐνδόξων συμβιβάσῃ, διείλεκται
καλῶς. φανερὸν οὖν ὅτι οὐδὲ τῷ λόγῳ ἡ αὐτὴ ἐπιτίμησις, πρός τε
τὸ προβληθὲν καὶ καθ' αὑτό. οὐδὲν γὰρ κωλύει καθ' αὑτὸν μὲν εἶ-
ναι τὸν λόγον ψεκτὸν, πρὸς δὲ τὸ πρόβλημα ἐπαινετόν. καὶ πάλιν ἀν-
τεστραμμένως. καθ' αὑτὸν μὲν ἐπαινετόν. πρὸς δὲ τὸ πρόβλημα, ψεκτὸν.
ὅταν ἐκ πολλῶν ἐνδόξων συμπεραίνεσθαι ῥᾴδιον ᾖ καὶ ἀληθῶν.

Εἴη δ' ἄν ποτε λόγος καὶ συμπεπερασμένος μὴ συμπεπερα-
σμένου χείρων, ὅταν ὁ μὲν ἐξ εὐηθῶν συμπεραίνηται, μὴ τοιούτου
τοῦ προβλήματος ὄντος, ὁ δὲ προσδέηται τοιούτων, ἅ ἐστιν ἔνδο-

ξα καὶ

ξα καὶ ἀληθῆ. καὶ μὴ ἐν τοῖς προσλαμβανομένοις ἢ ὁ λόγος. Τοῖς δὲ διὰ ψευδῶν ἀληθὲς συμπεραίνεσθαι οὐ δίκαιον ἐστὶ τιμᾶν. ψεῦδος μὲν γὰρ ἀεὶ ἀνάγκη διὰ ψευδῶν συλλογίζεσθαι, τὸ δ' ἀληθὲς ἔστι καὶ διὰ ψευδῶν ποτε συλλογίσεσθαι. φανερὸν δὲ, ἐκ τῶν ἀναλυτικῶν.

Οταν δὲ ἀποδείξεις ἢ τινὸς ὁ εἰρημένος λόγος, εἰ τί ἐστιν ἄλλο πρὸς τὸ συμπέρασμα μηδαμῶς ἔχον, οὐκ ἔσται περὶ ἐκείνου συλλογισμός. ἐὰν δὲ φαίνηται, σόφισμα ἔσται καὶ οὐκ ἀποδείξις. ἔστι δὲ φιλοσόφημα μὲν, συλλογισμὸς, ἀποδεικτικός. ἐπιχείρημα δὲ, συλλογισμὸς διαλεκτικός. σόφισμα δὲ, συλλογισμὸς ἐριστικός. ἀπόρημα δὲ, συλλογισμὸς διαλεκτικὸς ἀντιφάσεως. εἰ δὲ ἐξ ἀμφοτέρων τὶ δοκούντων διειχθείη, μὴ ὁμοίως δὲ δοκούντων, οὐδὲν κωλύει τὸ διειχθὲν μᾶλλον ἑκατέρου δοκεῖν, ἀλλ' εἰ τὸ μὲν δοκοίη, τὸ δὲ μηδετέρως. ἢ εἰ τὸ μὲν δοκοίη τὸ δὲ μὴ δοκοίη μὲν ὁμοίως, ὁμοίως ἂν εἴη καὶ μή. εἰ δὲ μᾶλλον θάτερον, ἀκολουθήσει τὸ μᾶλλον. ἔστι δὲ τις ἁμαρτία καὶ αὕτη κατὰ τοὺς συλλογισμούς, ὅταν διείῃ διὰ μακροτέρων, συνδιεχόμενον δὲ ἐλαττόων καὶ ἐν τῷ λόγῳ ὑπαρχόντων. οἷον ὅτι ἐστὶ δόξα μᾶλλον ἑτέρα ἑτέρας, εἴτις αἰτήσαιτο αὐτοέκαστον μάλιστα εἶναι. εἶναι δὲ δοξαστὸν ἀνθρώπῳ ἀληθῶς. ὥστε τῶν τινῶν μᾶλλον αὐτό. πρὸς δὲ τὸ μᾶλλον, μᾶλλον τὸ λεγόμενον εἶναι. εἶναι δὲ καὶ αὐτοδόξαν ἀληθῆ. ἢ ἔστω μᾶλλον ἀκριβὴς τῶν τινῶν. ἔστιν δὲ, καὶ αὐτοδόξαν ἀληθῆ εἶναι. καὶ αὐτοέκαστον μάλιστα εἶναι. ὥστε αὕτη ἡ δόξα ἡ μάλιστα ἀληθὴς, ἀκριβεστέρα ἐστί. πῆ δὲ ἡ μοχθηρία, ἢ ὅτι ποιᾷ παρ' ὃ ὁ λόγος, λανθάνειν τὸ αἴτιον. Λόγος δέ ἐστι διῆλος, ἕνα μὲν τρόπον καὶ δημοσιώτατον ἐὰν ᾖ συμπεπερασμένος οὕτως. ὥστε μηδὲν δεῖν ἐπερωτῆσαι. ἕνα δὲ καὶ ὡς μάλιστα λέγεται, ὅταν εἰλημμένα μὲν ᾖ ἐξ ὧν ἀναγκαῖον εἶναι. ᾖ δὲ διὰ συμπερασμάτων, συμπεραινόμενα. ἔτι, εἰ ἐλλείπει τὸ σφόδρα ἔνδοξον. Ψευδὴς δὲ λόγος καλεῖται τε-

ζ τραχῶς

πραχῶς. ἕνα μὲν τρόπον, ὅταν φαίνηται συμπεραίνεσθαι μὴ συμπερασ-
νόμενος, ὃ καλεῖται συλλογισμὸς ἐριστικός. ἄλλον δέ, ὅταν συμπεραί-
νηται μέν, μὴ μέντοι πρὸς τὸ προκείμενον. ὅπερ συμβαίνει μάλιστα
πρὸς εἰς τὸ ἀλλάττειν ἄγουσιν. ἢ πρὸς τὸ προκείμενον μὲν συμπεραίνη-
ται, μὴ μέντοι κατὰ τὴν οἰκείαν μέθοδον. ἔστι δέ ἐστιν, ἐὰν ὁ μὴ ὢν
ἰατρικὸς, δοκῇ ἰατρικὸς εἶναι. ἢ γεωμετρικὸς, μὴ ὢν γεωμετρικός.
ἢ διαλεκτικὸς, μὴ ὢν διαλεκτικὸς, ἅπαντες ψεῦδος, ἅπαντες ἀληθὲς ἢ
τὸ συμβαῖνον. ἄλλον δὲ τρόπον, ἐὰν διὰ ψευδῶν συμπεραίνηται.
τούτου δὲ ἔσται ποτὲ μὲν τὸ συμπέρασμα ψεῦδος. ποτὲ δὲ ἀλη-
θές. τὸ μὲν γὰρ ψεῦδος, ἀεὶ διὰ ψευδῶν συμπεραίνεται. τὸ δ'
ἀληθὲς, ἐγχωρεῖ καὶ μὴ δι' ἀληθῶν, ὥσπερ εἴρηται καὶ πρότε-
ρον. τὸ μὲν οὖν ψευδῆ τὸν λόγον εἶναι, τοῦ λέγοντος ἁμάρτη-
μα μᾶλλον ἢ τοῦ λόγου. καὶ οὐ δὲ τοῦ λέγοντος ἀεί, ἀλλ' ὅταν
λανθάνῃ αὐτὸν, ὅτι ψευδῆ λόγον εἶπε τινά. ἐπεὶ καθ' ἑαυτόν γε,
πολλῶν ἀληθῶν ἀποδεχόμεθα μᾶλλον, ἂν ἐξ ὅτι μάλιστα δοκούν-
των ἀναιρῇ τι τῶν ἀληθῶν. τοιοῦτος γὰρ ὢν, ἀληθῶν ἀποδοτικώ-
τερός ἐστι. δεῖ γὰρ τῶν κειμένων τὶ μὴ εἶναι πανταχῶς. ὥστε ἔσται
τούτου ἀποδεικτικὸς εἰ δὲ ἀληθὲς συμπεραίνοιτο διὰ ψευδῶν καὶ
λίαν ἐνθῶν, πολλῶν ἂν εἴη χειρόν ψεῦδος συλλογιζομένων. εἴη
δ' ἂν τοιοῦτος καὶ ψεῦδος συμπεραινόμενος. ὥστε δῆλον ὅτι πρώ-
τη μὲν ἐπίσκεψις λόγου καθ' αὑτὸν, εἰ συμπεραίνεται. δευτέ-
ρα δέ, πότερον ἀληθὲς ἢ ψεῦδος. τρίτη δ' ἐκ ποίων τινῶν. εἰ μὲν
γὰρ ἐκ ψευδῶν, φαῦλος δέ, λογικός. εἰ δ' ἐξ ὄντων μὲν, ἀλό-
γων δέ, φαῦλος. εἰ δὲ καὶ ψευδῆ καὶ λίαν ἄδοξα, δῆλον ὅτι φαῦλος, ἢ
πάντως ἢ τοῦ πράγματος. Τὸ δ' ἐν ἀρχῇ ἢ τὰ ἐναντία πῶς αἰτῆ-
ται ὁ ἐρωτῶν, κατ' ἀλήθειαν μὲν ἐν τοῖς ἀναλυτικοῖς εἴρηται. κατὰ δόξαν
δ', νῦν λεκτέον. αἰτεῖσθαι δὴ φαίνονται τὸ ἐν ἀρχῇ, ὅταν ταχῶς φανε-

ρώτατα μὲν καὶ πρῶτον, εἴτις αὐτὸ τοῦτο δείκνυσθαι μέλλον αἰτήσει. τοῦτο δ' ἐστὶν αὐτὸ μὲν, οὐ ῥᾴδιον λαμβάνειν. ᾧ δὲ τοῖς συνωνύμοις καὶ ᾧ ὄνομα καὶ ὁ λόγος τὸ αὐτὸ σημαίνει, μᾶλλον. Δεύτερον δὲ, ὅταν κατὰ μέρος μέλλον ἀποδείξαι, καθόλου τις αἰτήσῃ. οἷον ἐπιχειρῶν ὅτι τῶν ἐναντίων μία ἐπιστήμη, ὅλως τῶν ἀντικειμένων ἀξιώσειε μίαν εἶναι. δυνατὸν γὰρ ὃ ἔδει καθ' αὐτὸ δεῖξαι μετ' ἄλλων αἰτεῖσθαι πλειόνων, τρίτον, εἴτις τὸ καθόλου δεῖξαι προκειμένου, κατὰ μέρος αἰτήσειεν. οἷον εἰ πάντων τῶν ἐναντίων προκειμένου, τῶνδε τινῶν ἀξιώσειε. δυνατὸν γὰρ καὶ οὗτος, ὃ μετὰ πλειόνων, ἔδει δεῖξαι, καθ' αὑτὸ χωρὶς αἰτεῖσθαι. πάλιν εἴτις διελών, αἰτήσαιτο τὸ πρόβλημα. οἷον εἰ μέλλον δεῖξαι τὴν ἰατρικὴν ὑγιεινὸν καὶ νοσώδους, χωρὶς ἑκάτερον ἀξιώσειεν, ἢ εἴ τις τῶν ἐπομένων ἀλλήλοις ἐξ ἀνάγκης, θάτερον αἰτήσειεν. οἷον τὴν πλευρὰν ἀσύμμετρον τῇ διαμέτρῳ, μέλλον ἀποδεῖξαι ὅτι ἡ διάμετρος τῇ πλευρᾷ. † Ὅσα χῶς δὲ καὶ τὰ ἐναντία αἰτοῦνται τῷ ἐξ ἀρχῆς. πρῶτον μὲν γὰρ εἴτις τὰς ἀντικειμένας αἰτήσαιτο, φάσιν καὶ ἀπόφασιν. Δεύτερον δὲ, τἀναντία κατὰ τὴν ἀντίθεσιν. οἷον ἀγαθὸν καὶ κακὸν, ταυτόν· τρίτον, εἴτις τὸ καθόλου ἀξιώσας, ἐπὶ μέρους αἰτοῖτο τὴν ἀντίφασιν. οἷον εἰ λαβὼν τῶν ἐναντίων μίαν ἐπιστήμην, ὑγιεινὸν καὶ νοσώδους ἑτέραν ἀξιώσειεν, ἢ τοῦτο αἰτησάμενος, ἐπὶ τοῦ καθόλου τὴν ἀντίθεσιν πειρῶτο λαμβάνειν. πάλιν ἐάν τις αἰτήσῃ τὸ ἐναντίον τῷ ἐξ ἀνάγκης συμβαίνοντι διὰ τῶν κειμένων. κἂν εἴτις αὐτὰ μὲν μὴ λάβῃ τὰ ἀντικείμενα, τοιαῦτα δ' αἰτήσαιτο δι' ὧν ἔσται ἡ ἀντικειμένη ἀντίφασις. Διαφέρει δὲ τὸ τἀναντία λαμβάνειν τοῦ ἐν ἀρχῇ. ὅτι τοῦ μὲν ἐστὶν ἡ ἁμαρτία πρὸς τὸ συμπέρασμα. πρὸς γὰρ ἐκεῖνο βλέποντες, τὸ ἐν ἀρχῇ λέγομεν αἰτεῖσθαι. τὰ δ' ἐναντία ἐστὶν ἐν ταῖς προτάσεσι, τῷ ἔχειν πῶς ταύτας πρὸς ἀλλήλας. Πρὸς δὲ γυμνασίαν καὶ μελέτην τῶν τοιούτων λόγων

πρῶτον

πρῶτον μὲν ἀντιξέφειν ἐθίζεσθαι χρὴ τοὺς λόγους, οὕτως γὰρ πρός τε τὸ λεγόμενον εὐπορώτερον ἕξομεν, καὶ ὀλίγοις πολλοὺς ἐξετάσομεν λόγους. τὸ γὰρ ἀντιξέφειν ἐστί, τὸ μεταλαβόντα τὸ συμπέρασμα μετὰ τῶν λοιπῶν ἐρωτημάτων, ἀνελεῖν ἓν τῶν δοθέντων. ἀνάγκη γὰρ εἰ τὸ συμπέρασμα μὴ ἔστι, μίαν τινὰ ἀναιρεῖσθαι τῶν προτάσεων. εἴπερ πασῶν τεθεισῶν ἀνάγκη ἦν τὸ συμπέρασμα εἶναι, πρὸς ἅπασάν τε θέσιν. καὶ ὅτι οὕτως, καὶ ὅτι οὐχ οὕτως τὸ ἐπιχείρημα σκεπτέον. καὶ εὑρόντα τὴν λύσιν εὐθὺς ζητητέον. οὕτω γὰρ ἅμα συμβήσεται πρός τε τὸ ἐρωτᾶν, καὶ πρὸς τὸ ἀποκρίνεσθαι γεγυμνάσθαι. κἂν πρὸς μηδένα ἄλλον ἔχωμεν, καθ' αὑτούς. παραλλήλα τε παραβάλλειν, ἐκλέγοντα πρὸς τὴν ἀντίθεσιν ἐπιχειρήματα. τοῦτο γὰρ πρός τε τὸ διάξεσθαι πολλὴν εὐπορίαν ποιεῖ, καὶ πρὸς τὰ ἐλέγχειν μεγάλην ἔχει βοήθειαν, ὅταν εὐπορῇ τις, καὶ ὅτι οὕτως, καὶ ὅτι οὐχ οὕτως. πρὸς τὰ ἐναντία γὰρ συμβαίνει ποιεῖσθαι τὴν φυλακήν, πρός τε τὴν γνῶσιν καὶ τὴν κατὰ φιλοσοφίαν φρόνησιν, τὸ δύνασθαι σωρεύειν, καὶ συνειρακέναι, τὰ ἀφ' ἑκατέρας συμβαίνοντα τῆς ὑποθέσεως, οὐ μικρὸν ὄργανον. λοιπὸν γὰρ ζύτων ὀρθῶς ἐλέσθαι θάτερον. δεῖ δὲ πρὸς τὸ τοιοῦτον ὑπάρχειν εὐφυᾶ. καὶ τοῦτ' ἔστιν ἡ κατ' ἀλήθειαν εὐφυία, τὸ δύνασθαι κρίνειν ἐλέσθαι τἀληθές, καὶ φυγεῖν τὸ ψεῦδος. ὅπερ οἱ πεφυκότες εὖ, δύνανται ποιεῖν εὖ. οἱ γὰρ φιλοῦντες, καὶ μισοῦντες, τὸ προσφερόμενον εὐκρινοῦσι τὸ βέλτιστον. πρός τε τὰ παλαισάκις ἐμπίπτοντα τῶν προβλημάτων ἐξεπίστασθαι δεῖ λόγους, καὶ μάλιστα περὶ τῶν πρώτων θέσεων. ἐν τούτοις γὰρ ἀποδυσπετοῦσιν οἱ ἀποκρινόμενοι πολλάκις. ἔτι τὲ ὅρων εὐπορεῖν δεῖ καὶ τῶν ἐνδόξων τὲ καὶ τῶν πρώτων ἔχειν προχείρους. δεῖ γὰρ τούτων οἱ συλλογισμοὶ γίνονται. πειρατέον δὲ καὶ εἰς ἃ παλαισάκις ἐμπίπτουσιν οἱ ἄλλοι λόγοι κατέχειν. ὥσπερ γὰρ

ἐν γεωμετρίᾳ πρὸ ἔργου ἡ περὶ τὰ στοιχεῖα, γεγυμνάσθαι· καὶ ἐν ἀριθμοῖς τὸ περὶ τοὺς κεφαλισμοὺς προχείρως ἔχειν· καὶ μέγα διαφέρει πρός τε, καὶ τὸν ἅμα ἀριθμὸν γινώσκειν πολλαπλασιάσμων. ὁμοίως καὶ ἐν τοῖς λόγοις, τὸ πρόχειρον εἶναι περὶ τὰς ἀρχὰς καὶ τὰς προτάσεις ἀπὸ σώματος ἐξεστάσθαι. καθάπερ γὰρ ἐν τῇ μνημονικῇ μόνον οἱ τόποι τεθέντες εὐθὺς ποιοῦσιν αὐτὰ μνημονεύειν. καὶ ταῦτα τοιήσει συλλογιστικώτερον, διὰ τὸ πρὸς ὡρισμένας αὐτὰς βλέπειν κατ' ἀριθμόν. πρότασίν τε κοινὴν μᾶλλον εἰς λόγον, ἢ μνήμιον θετέον. ἀρχῆς γὰρ καὶ ὑποθέσεως εὐπορῆσαι μετρίως, χαλεπὸν· ἔτι τὸν ἕνα λόγον πολλοὺς ποιεῖν ἐθιστέον, ὡς ἀσημότατα κρύπτοντας. εἰσὶ δ' ἂν τοιοῦτον, εἴ τις ὅτι πλεῖστον ἀφαιρεῖ τῆς συγγενείας περιὼν ὁ λόγος. ἔσονται δὲ διαφοραὶ τῶν λόγων, οἱ μάλιστα καθόλα τοῦτο πάσχειν δύνανται. ὅσον ὅτι οὐκ ἔστι μία πλειόνων ἐπιστήμη. οὕτω γὰρ καὶ ἐπὶ τῶν πρός τι· καὶ ἐπὶ τῶν ἐναντίων καὶ συστοίχων ἐστί. δεῖ δὲ καὶ τὰς ἀπομνημονεύσεις καθόλου ποιεῖσθαι τῶν λόγων. κἂν ᾖ διειλεγμένος ἐπὶ μέρους. οὕτω γὰρ καὶ πολλοὺς ἐξέστω τὸν ἕνα ποιεῖν. ὁμοίως δὲ καὶ ἐν ῥητορικοῖς ἐπὶ τῶν ἐνθυμημάτων. αὐτὸν δ' ὅτι μάλιστα φεύγειν ἐπὶ τὸ καθόλου φέρειν τοὺς συλλογισμούς. ἀεί τε δεῖ σκοπεῖν τὸ ὑπὸ λόγους, εἰ ἐπὶ πλειόνων κοινῶν διαλέγονται. πάντες γὰρ οἱ μέρει καὶ καθόλα διειλεγμένοι εἰσί, καὶ ἔνεστιν ἐν τῇ κατὰ μέρος, ἡ τοῦ καθόλα ἀπόδειξις· διὰ τὸ μὴ εἶναι συλλογίσασθαι μηδὲν ἄνευ τῶν καθόλου· τὴν δὲ γυμνασίαν ἀποστατέον, τῶν μὲν ἐπακτικῶν πρὸς νέον. τῶν δὲ συλλογιστικῶν, πρὸς ἔμπειρον. πειρατέον τε λαμβάνειν παρὰ μὲν τῶν συλλογιστικῶν τὰς προτάσεις. παρὰ δὲ τῶν ἐπακτικῶν τὰς παραβολάς. ἐν τούτῳ γὰρ ἕκαστοι γεγυμνασμένοι εἰσίν. ὅλως δ' ἐκ τοῦ γυμνάζεσθαι διαλεγόμενον, πειρατέον ἀποφέρεσθαι, ἢ συλλογισμόν τε τινος, ἢ λύσιν, ἢ πρότασιν, ἢ ἔνστασιν, ἢ εἰ ὀρθῶς τις εἴρετο, ἢ εἰ μὴ ὀρθῶς, ἢ

ἢ λόγον εἰς μνήμιον θετέον.

πειρ ἐν

ἀποκρινόμενον mell[ ]git f. fidentem

f. ἐνθυμ[ ]ibz aut alterae

θῶς, ἢ αὐτὸς, ἢ ἕτερος καὶ παρά τι ἑκάτερον. ἐκ τούτων γὰρ ἡ λύσις. τὸ δὲ γυμνάζεσθαι, λυσιτελείας χάριν. καὶ μάλιστα περὶ τὰς προτάσεις καὶ ἐνστάσεις. ἔστι γὰρ ὡς ἁπλῶς εἰπεῖν διαλεκτικός, ὁ προτατικὸς καὶ ἐνστατικός. ἔστι δὲ τὸ μὲν προτείνεσθαι, ἓν ποιεῖν τὰ πλείω. δεῖ γὰρ ἓν ὅλως ληφθῆναι πρὸς ὃ ὁ λόγος. τὸ δ' ἐνίστασθαι, τὸ ἓν πολλά. ἢ γὰρ διαιρεῖ, ἢ ἀναιρεῖ. τὸ μὲν διδοὺς, τὸ δ' οὔ, τῶν προτεινομένων. οὐχ ἅπαντι δὲ διαλεκτέον, οὐδὲ πρὸς τὸν τυχόντα γυμναστέον. ἀνάγκη δὲ πρὸς οἰκείους φαύλους γίνεσθαι τοὺς λόγους. πρὸς δὲ τὸν πάντως πειρώμενον φαίνεσθαι διαφεύγειν. δίκαιον μὲν πάντως πειρᾶσθαι συλλογίσασθαι, οὐχ εὐχερῶς δέ. διόπερ οὐ δεῖ σπουδάσαι εὐχερῶς πρὸς τοὺς τυχόντας. ἀνάγκη γὰρ πονηρολογίαν συμβαίνειν. καὶ γὰρ οἱ γυμναζόμενοι ἀδιαπτώτως ἀπέχεσθαι τοῦ διαλέγεσθαι μὴ ἀγωνιστικῶς. δεῖ δὲ καὶ πεποιημένους ἔχειν λόγους πρὸς τὰ τοιαῦτα τῶν προβλημάτων. οἷς ἐλαχίστων εὐπορήσαντες, πρὸς πολλῆσι χρήσιμοι ἐσόμεθα. οὗτοι δ' εἰσὶν οἱ κατὰ μόλυβδον καὶ πρὸς οὓς πορίζεσθαι χαλεπώτερον ἐκ τῶν παρὰ πόδας.

ΤΕΛΟΣ ΤΟΥ ΟΓΔΟΟΥ
τῶν Τοπικῶν, ἤτοι τῆς ὅλης
διαλεκτικῆς.

ΑΡΙΣΤΟΤΕ-
ΛΟΥΣ ΠΕΡΙ ΣΟΦΙΣΤΙ-
ΚΩΝ ΕΛΕΓΧΩΝ.



ΠΕΡΙ δὲ τῶν σοφιστικῶν ἐλέγχων. καὶ τῶν φαινο-
μένων μὲν ἐλέγχων. ὄντων δὲ παραλογισμῶν ἀλλ'
οὐκ ἐλέγχων, λέγωμεν ἀρξάμενοι κατὰ φύσιν ἀ-
πὸ τῶν πρώτων. ὅτι μὲν οὖν οἱ μὲν εἰσι συλλογι-
σμοί. οἱ δὲ οὐκ ὄντες δοκοῦσι, φανερόν. ὥσπερ καὶ ἐ-
πὶ τῶν ἄλλων τοῦτο γίνεται διάτινος ὁμοιότητος, καὶ ἐπὶ τῶν λόγων
ὡσαύτως ἔχει. καὶ γὰρ τὴν ἕξιν οἱ μὲν ἔχουσιν εὖ. οἱ δὲ φαίνονται φυ-
λετικῶς φυσήσαντες καὶ ἐπισκευάσαντες ἑαυτούς. καὶ καλοὶ οἱ μὲν
διὰ κάλλος. οἱ δὲ φαίνονται κομμώσαντες ἑαυτούς. ἐπί τε τῶν ἀψύ-
χων ὡσαύτως. καὶ γὰρ τούτων τὰ μὲν ἄργυρος. τὰ δὲ χρυσός ἐστιν ἀλη-
θῶς. τὰ δέ ἐστι μὲν οὔ, φαίνεται δὲ κατὰ τὴν αἴσθησιν. οἷον τὰ μὲν λι-
θαργύρινα, καὶ τὰ κατατιτέρινα, ἀργυρᾶ. τὰ δὲ χολοβάφινα, χρυσᾶ. τὸν
αὐτὸν δὲ τρόπον καὶ συλλογισμὸς καὶ ἔλεγχος, ὁ μὲν ἐστιν. ὁ δὲ οὐκ ἔστι
μὲν, φαίνεται δὲ διὰ τὴν ἀπειρίαν. οἱ γὰρ ἄπειροι, ὥσπερ ἂν ἀπέχον-
τες πόῤῥωθεν θεωροῦσιν. ὁ μὲν γὰρ συλλογισμὸς ἔκ τινων ἐστὶ τε-
θέντων, ὥστε συνάγειν ἕτερον ἐξ ἀνάγκης τὶ τῶν κειμένων διὰ τῶν κει-
μένων. ἔλεγχος δὲ, συλλογισμὸς μετ' ἀντιφάσεως τοῦ συμπέρασμα-
τος. οἱ δὲ τοῦτο ποιοῦσι μὲν οὔ, δοκοῦσι δὲ διὰ πολλὰς αἰτίας. ὧν εἷς
τόπος εὐφυέστατος καὶ δημοσιώτατος, ὁ διὰ τῶν ὀνομάτων. ἐπειδὴ
γὰρ οὐκ ἔστιν αὐτὰ καθ' αὑτὰ τὰ πράγματα διαλέγεσθαι φέροντας,
ἀλλὰ τοῖς ὀνόμασιν ἀντὶ τῶν πραγμάτων χρώμεθα συμβόλοις, τὸ συμ-
βαῖνον ἐπὶ τῶν ὀνομάτων, καὶ ἐπὶ τῶν πραγμάτων ἡγούμεθα συμ-
βαίνειν.

·ι· μὴ διὰ ἀσκήσεως, καὶ μὴ πρὸς ἀλήθειαν

βαίνειν. καθάπερ ἐπὶ τῶν ψήφων τοῖς λογιζομένοις. τὸ δὲ οὐκ ἔστιν ὅμοιον. τὰ μὲν γὰρ ὀνόματα πεπέρασται καὶ τὸ τῶν λόγων πλῆθος. τὰ δὲ πράγματα, τὸν ἀριθμὸν ἄπειρά ἐστιν. ἀναγκαῖον οὖν πλείω τὸν αὐτὸν λόγον, καὶ τοὔνομα τὸ ἓν σημαίνειν. ὥσπερ οὖν κἀκεῖ οἱ μὴ δεινοὶ τὰς ψήφους φέρειν, ὑπὸ τῶν ἐπιστημόνων παραλογίζονται καὶ αὐτοὶ διαλεγόμενοι, καὶ ἄλλων ἀκούοντες. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν καὶ τὰς λεχθησομένας, ἔστι συλλογισμὸς καὶ ἔλεγχος φαινόμενος, οὐκ ὢν δέ. ἐπεὶ δέ ἐστί τισι μᾶλλον πρὸ ἔργου τὸ δοκεῖν εἶναι σοφοῖς, ἢ τὸ εἶναι καὶ μὴ δοκεῖν. ἔστι γὰρ ἡ σοφιστικὴ, φαινομένη σοφία οὖσα καὶ μή. καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης, δῆλον ὅτι ἀναγκαῖον τούτοις, καὶ τὸ τοῦ σοφοῦ ἔργον μᾶλλον δοκεῖν ποιεῖν, ἢ ποιεῖν καὶ μὴ δοκεῖν. ἔστι δὲ ὡς ἓν πρὸς ἓν εἰπεῖν, ἔργον περὶ ἕκαστον τοῦ εἰδότος, ἀψευδεῖν μὲν αὐτὸν περὶ ὧν οἶδε, τὸν δὲ ψευδόμενον ἐμφανίζειν δύνασθαι. ταῦτα δέ ἐστι, τὸ μὲν ἐν τῷ δύνασθαι δοῦναι λόγον. τὸ δὲ, ἐν τῷ λαβεῖν. ἀναγκαῖον οὖν τοῖς βουλομένοις σοφιστεύειν, τὸ τῶν εἰρημένων λόγων γένος ζητεῖν. πρὸ ἔργου γάρ ἐστιν. ἡ γὰρ τοιαύτη δύναμις ποιήσει φαίνεσθαι σοφόν. οὗ τυγχάνουσι τὴν προαίρεσιν ἔχοντες. ὅτι μὲν οὖν ἐστι τοιοῦτον γένος λόγων. καὶ ὅτι τοιαύτης ἐφίενται δυνάμεως οὓς καλοῦμεν σοφιστὰς δῆλον. Πόσα δέ ἐστιν εἴδη τῶν λόγων τῶν σοφιστικῶν. καὶ ἐκ πόσων τὸν ἀριθμὸν ἡ δύναμις αὕτη συνέστηκε, καὶ πόσα μέρη τυγχάνει τῆς πραγματείας ὄντα, καὶ περὶ τῶν ἄλλων τῶν συντελούντων εἰς τὴν τέχνην ταύτην, ἤδη λέγομεν. ἔστι δὲ τῶν ἐν τῷ διαλέγεσθαι λόγων γένη τέτταρα. διδασκαλικοὶ, καὶ διαλεκτικοὶ, καὶ πειραστικοὶ, καὶ ἐριστικοί. καὶ διδασκαλικοὶ μὲν, οἱ ἐκ τῶν οἰκείων ἀρχῶν ἑκάστου μαθήματος καὶ οὐκ ἐκ τῶν ἀποκρινομένου δοξῶν συλλογιζόμενοι. δεῖ γὰρ πιστεύειν τὸν μανθάνοντα. διαλεκτικοὶ δὲ, οἱ ἐκ τῶν ἐνδόξων συλλογιστικοὶ ἀντιφάσεως.

2.

πειραστικοὶ

πειρασικοὶ ἢ, οἱ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ, μὴ ἀναγκαίων εἶ
ναι τῷ προτεθειμένῳ ἔχειν τὴν ἐπιστήμην, ὃν δόπον διώρισται ἐν
ἑτέροις. ἐριστικοὶ ἢ, οἱ ἐκ τῶν φαινομένων ἐνδόξων συλλογισμοί. περὶ
μὲν οὖν τῶν διδασκαλικῶν καὶ ἀποδεικτικῶν, ἐν τοῖς ἀναλυτικοῖς εἴρη
ται. περὶ δὲ τῶν διαλεκτικῶν, καὶ πειρασικῶν, ἐν τοῖς πρότερον.
3 περὶ δὲ τῶν ἀγωνιστικῶν καὶ ἐριστικῶν, ναῦν λέγωμεν. πρῶτον δὲ λη-
πτέον πόσων σχάζονται οἱ ἐν τοῖς λόγοις ἀγωνιζόμενοι καὶ διαφι-
λονεικοῦντες. εἰσὶ δὲ ταῦτα πέντε τὸν ἀριθμόν. ἔλεγχος, καὶ ψεῦ-
δος, καὶ παράδοξον, καὶ σολοικισμός, καὶ πέμπτον, τὸ ποιῆσαι ἀδυνα-
τοῦντα τὸν προσδιαλεγόμενον. ἔλεγχος μέν ἐστι τὸ, πολλάκις ἀναγκάζεσθαι
τὰυτὸ λέγειν, ἢ τὸ μὴ ὄν. ὁμοίως δὲ καὶ τὸ φαινόμενον εἶναι τούτων. μά-
λιστα μὲν γὰρ προαιροῦνται φαίνεσθαι ἐλέγχοντες. δεύτερον δὲ, ψεῦ-
δος δόμενόντι δεικνύναι. τρίτον, εἰς παράδοξον ἄγειν. τέταρτον, σολοικί-
ζειν ποιεῖν. ἔλεγχος δέ ἐστι, τὸ ποιῆσαι τῇ λέξει βαρβαρίζειν ἐκ τοῦ λόγου
τὸν ἀποκρινόμενον. τελευταῖον δὲ, τὸ πλεονάκις τὸ αὐτὸ λέγειν. τρόποι
δέ εἰσι τοῦ μὲν ἐλέγχειν δύο· οἱ μὲν γάρ εἰσι παρὰ τὴν λέξιν· οἱ δὲ
ἔξω τῆς λέξεως. ἔστι δὲ τὰ μὲν παρὰ τὴν λέξιν ἐμποιοῦντα τὴν φαν-
τασίαν, ἓξ ὧν ἀριθμόν. ταῦτα δέ ἐστιν ὁμωνυμία, ἀμφιβολία, σύνθε-
σις, διαίρεσις, προσῳδία, καὶ σχῆμα λέξεως. τούτου δὲ πίστις, ἥτε διὰ
τῆς ἐπαγωγῆς, καὶ συλλογισμός, ἄντε ληφθῇ τις ἄλλος. καὶ ὅτι τοσαυ
ταχῶς ἂν τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις μὴ δηλώσωμεν. εἰσὶ δὲ πα-
ρὰ μὲν τὴν ὁμωνυμίαν, οἱ ζητοῦντι τῶν λόγων. δῆλον ὅτι μανθάνουσιν οἱ
ἐπιστάμενοι· τὰ γὰρ ἀποσυματιζόμενα μανθάνουσιν οἱ γραμματικοί.
τὸ γὰρ μανθάνειν, ὁμώνυμον. τότε ξυμβαίνει χρώμενον τῇ ἐπιστήμῃ καὶ
τὸ λαμβάνειν τὴν ἐπιστήμην. καὶ πάλιν ὅτι τὰ κακὰ, ἀγαθά. τὰ γὰρ
πλέονα ἀγαθά. τὰ δὲ κακὰ πλέονα. διπλοῦν γὰρ τὸ πλέον. τότ' ἀναγκαῖ-
ον ὃ συμβαίνει πολλάκις ἐπὶ τῶν κακῶν. ἔστι γὰρ κακόντι ἀναγκαῖον.

καὶ

καὶ τὰ ἀγαθὰ δὲ δέοντα φαμὲν εἶναι. ἔτι τὸν αὐτὸν καθῆσθαι καὶ ἑστάναι καὶ κάμνειν καὶ ὑγιαίνειν. ὅσπερ γὰρ ἀνίστατο, ἕστηκε. καὶ ὅσπερ ὑγιάζετο, ὑγιαίνει. ἀνίσταται δὲ ὁ καθήμενος καὶ ὑγιάζεται ὁ κάμνων. τὸ γὰρ τὸν κάμνοντα ὁτιοῦν ποιεῖν ἢ πάσχειν, οὐχ ἓν σημαίνει. ἀλλ' ὁτὲ μὲν ὅτι ὁ νῦν κάμνων ἢ καθήμενος. ὁτὲ δὲ ὃς ἔκαμνε πρότερον. πλὴν ὑγιάζετο μὲν καὶ κάμνων ὁ κάμνων. ὑγιαίνει δὲ οὐ κάμνων, ἀλλ' ὁ κάμνων οὐ νῦν, ἀλλὰ πρότερον. Παρὰ δὲ τὴν ἀμφιβολίαν, οἱ τοιοίδε τὸ βούλεσθαι λαβεῖν με τοὺς πολεμίους. καὶ ἆρ' ὅτις γινώσκει; τοῦτο γινώσκει, καὶ γὰρ καὶ τὸν γινώσκοντα καὶ τὸ γινωσκόμενον, ἐνδέχεται ὡς γινώσκοντα σημᾶναι τούτῳ τῷ λόγῳ. καὶ ἆρα ὃ ὁρᾷ τις τοῦτο ὁρᾷ; ὁρᾷ δὲ τὸν κίονα. ὥστε ὁρᾷ ὁ κίων. καὶ ἆρα ὃ σὺ φὴς εἶναι, τοῦτο σὺ φὴς εἶναι; φὴς δὲ λίθος εἶναι. σὺ ἄρα φὴς λίθος εἶναι. καὶ ἆρά ἐστι σιγῶντα λέγειν; διττὸν γάρ ἐστι καὶ τὸ σιγῶντα λέγειν. τό, τε τὸν λέγοντα σιγᾶν, καὶ τὸ τὰ λεγόμενα. εἰσὶ δὲ τρεῖς τρόποι τῶν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν. εἷς μὲν ὅταν ὁ λόγος ἢ τοὔνομα κυρίως σημαίνῃ πλείω. οἷον ἀετὸς ἢ κύων, εἷς δὲ ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν. τρίτος δὲ, ὅταν τὸ συντεθὲν πλείω σημαίνῃ. κεχωρισμένα δὲ, ἁπλῶς. οἷον τὸ ἐπίστασθαι γράμματα. ἑκάτερον μὲν γὰρ εἰ ἔτυχεν, ἕν τι σημαίνει τὸ ἐπίσταται καὶ τὰ γράμματα ἄμφω δὲ πλείω, ἢ τὰ γράμματα αὐτὰ ἐπιστήμην ἔχειν. ἢ τῶν γραμμάτων ἄλλον. ἡ μὲν οὖν ἀμφιβολία καὶ ὁμωνυμία, παρὰ τούτους τοὺς τρόπους ἐστί. παρὰ δὲ τὴν σύνθεσιν τὰ τοιάδε. οἷον τὸ δύνασθαι καθήμενον βαδίζειν καὶ μὴ γράφοντα γράφειν. οὐ δὲ ταὐτὸν σημαίνει ἐὰν διελώντις εἴπῃ καὶ συνθεὶς, ὡς δυνατὸν τὸν καθήμενον βαδίζειν καὶ μὴ γράφοντα γράφειν, καὶ τοῦτ' ὡσαύτως ἄν τις συνθῇ, τὸν μὴ γράφοντα γράφειν σημαίνοι τὴν ἂν ὡς ἔχει δύναμιν τοῦ μὴ γράφων γράφειν. ἐὰν δὲ μὴ συνθῇ ὅτι ἔχει δύναμιν ὅτε οὐ

χίθον

γράφει τὰ γράφειν, καὶ μανθάνει νῦν γράμματα, εἰ περ ἐμάνθανον ἃ ἐπίστανται. ἔτι τὸ ἓν μόνον, πλανάμενον φέρειν, πολλὰ πλάνασθαι φέρειν. παρὰ δὲ τὴν διαίρεσιν, ὅτι τὰ πέντε ἐστὶ δύο καὶ τρία. καὶ περιττὰ καὶ ἄρτια. καὶ τὸ μεῖζον, ἴσον. τοσοῦτον γὰρ καὶ ἔτι πρός. ὁ γὰρ αὐτὸς λόγος διηρημένος καὶ συγκείμενος, οὐκ ἐστὶ ταὐτὸ σημαίνειν ἂν δόξειεν. διὸν ἐγώσε ἔφην δοῦλον ὄντα ἐλεύθερον. καὶ τὸ παντάπασιν ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς.

παρὰ δὲ τὴν προσῳδίαν, εἰ τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς, οὐ ῥᾴδιον ποιῆσαι λόγον. ἐν δὲ τοῖς γεγραμμένοις καὶ ποιήμασι, μᾶλλον. δῖον καὶ τὸν ὄμηρον ἔνιοι διορθοῦνται πρὸς τοὺς ἐλέγχοντας ὡς ἀτόπως εἰρηκότας, τὸ μὲν οὖν καταπύθεται ὄμβρῳ. λύουσι γὰρ αὐτὸ τῇ προσῳδίᾳ, λέγοντες τὸ ὂν ὀξύτερον, καὶ τὸ περὶ τὸ ξύλινον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτὸς ὁ ξύλῃ εἶπεν, ἀλλὰ μᾶλλον δεῖ ἔνυχος ἀρέσθαι. ἀλλὰ τῷ ξύλινον πίῳ ἐτέλετο διαλύσαι. τὰ μὲν οὖν τοιαῦτα παρὰ τὴν προσῳδίαν ἐστίν. οἱ δὲ παρὰ τὸ σχῆμα τῆς λέξεως συμβαίνουσιν, ὅταν τὸ μὴ ταὐτὸν ὡσαύτως ἑρμηνεύηται. δῖον, τὸ ἄῤῥεν, θῆλυ, ἢ τὸ θῆλυ, ἄῤῥεν ἢ τὸ μεταξύ, θάτερον τούτων, ἢ πάλιν τὸ ποσὸν, ποιὸν, ἢ τὸ ποιὸν ποσὸν, ἢ τὸ ποιοῦν πάσχον, ἢ τὸ διακείμενον ποιοῦν, καὶ τἄλλα ὡς διήρηται πρότερον. ἔστι γὰρ τὸ μὴ, τῶν ποιεῖν ὄν, ὡς τῶν ποιεῖν τι τῇ λέξει σημαίνειν. διὸν τὸ ὑγιαίνειν μοίῳ πλήκτρῳ τῆς λέξεως λέγεται τὸ τέμνειν, ἢ οἰκοδομεῖν. καίτοι τὸ μὲν ποιόντι καὶ διακειμένῳ πως ἔοικεν. τὸ δὲ ποιεῖν τι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. οἱ μὲν οὖν παρὰ τὴν λέξιν ἔλεγχοι, ἐκ τούτων τῶν τρόπων εἰσί.

Τῶν δὲ ἔξω τῆς λέξεως παραλογισμῶν, εἴδη εἰσὶν ἑπτά. ἓν μὲν, παρὰ τὸ συμβεβηκός. δεύτερον δὲ τὸ ἁπλῶς, ἢ μὴ ἁπλῶς, ἀλλὰ πῇ ἢ πῶς, ἢ ποτὲ, ἢ πρός τι λέγεσθαι. τρίτον δὲ, τὸ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν. τέταρτον δὲ, τὸ παρὰ τὸ

ἑπόμενον

ἑπόμενον. πέμπτον δὲ, τὸ παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν. ἕκτον δὲ, τὸ παρὰ τὸ, τὸ μὴ αἴτιον, ὡς αἴτιον τιθέναι. ἕβδομον δὲ, τὸ παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν. Οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅταν ὁμοίως ὁτιοῦν ἀξιωθῇ τῷ πράγματι καὶ τῷ συμβεβηκότι ὑπάρχειν. ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν, οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγορουμένοις, καὶ καθ' οὗ κατηγορεῖται ταῦτα πάντα ὑπάρχειν. πάντα γὰρ οὕτως ἔσται ταυτὰ ὥσπερ φασιν οἱ σοφισταί. οἷον εἰ ὁ Κορίσκος ἕτερος ἀνθρώπου, αὐτὸς αὑτοῦ ἕτερος. ἔστι γὰρ ἄνθρωπος, ἢ εἰ σωκράτους ἕτερος. ὁ δὲ σωκράτης ἄνθρωπος, ἕτερον ἀνθρώπου φασὶν ὡμολογηκέναι. διὰ τὸ συμβεβηκέναι οὗ ἕτερον ἔφησεν εἶναι, τοῦτον εἶναι ἄνθρωπον. Οἱ δὲ παρὰ τὸ, τὸ ἁπλῶς τόδε, ἢ πῇ λέγεσθαι καὶ μὴ κυρίως, ὅταν τὸ ἐν μέρει λεγόμενον ὡς ἁπλῶς εἰρημένον ληφθῇ. οἷον εἰ τὸ μὴ ὄν ἐστι δοξαστὸν, ὅτι τὸ μὴ ὄν ἐστιν. οὐ γὰρ ταυτὸν εἶναι τὲ τὶ, καὶ εἶναι ἁπλῶς, ἢ πάλιν ὅτι τὸ ὂν οὐκ ἔστιν ὄν, εἰ τῶν ὄντων τὶ μή ἐστιν. οἷον εἰ μὴ ἄνθρωπος οὐ γὰρ ταυτὸ μὴ εἶναί τι, καὶ ἁπλῶς μὴ εἶναι. φαίνεται δὲ διὰ τὸ παρεγγὺς τῆς λέξεως καὶ μικρὸν διαφέρειν τὸ εἶναί τι τοῦ εἶναι. καὶ τὸ μὴ εἶναί τι, τοῦ μὴ εἶναι. ὁμοίως τὸ καὶ δὲ, παρὰ τὸ πῇ καὶ ἁπλῶς, οἷον εἰ ὁ ἰνδὸς ὅλος μέλας ὢν, λευκός ἐστι τοὺς ὀδόντας. λευκὸς ἄρα καὶ οὐ λευκός ἐστιν. εἰ ἄμφω πῇ, ὅτι ἅμα τὰ ἐναντία ὑπάρξει. τὸ δὲ τοιοῦτον ἐπ' ἐνίων μὲν παντὶ θεωρῆσαι ῥᾴδιον. οἷον εἰ λαβὼν μέλανα εἶναι τὸν αἰθίοπα, τοὺς ὀδόντας ἔροιτο εἰ λευκός. εἰ οὖν ταύτῃ λευκὸς ὅτι μέλας, καὶ οὐ μέλας, οἴοιτο διειλέχθαι συλλογιστικῶς τελειώσας τὴν ἐρώτησιν. ἐπ' ἐνίων δὲ λανθάνει πολλάκις, ἐφ' ὅσων ὅταν πῇ λέγηται κἂν τὸ ἁπλῶς δόξειεν ἀκολουθεῖν. καὶ ἐν ὅσοις μὴ ῥᾴδιον θεωρῆσαι, πότερον αὐτῶν κυρίως ἀποδοτέον. γίνεται δὲ τὸ τοιοῦτον ἐν ὅσοις ὁμοίως ὑπάρχει τὰ ἀντι

κείμενα· δοκεῖ γὰρ ἢ ἄμφω, ἢ μηδέτερον δοτέον ἁπλῶς εἶναι κα=
τηγορεῖν. οἷον εἰ τὸ μὲν ἥμισυ λευκόν, τὸ δὲ ἥμισυ μέλαν, πότερον λευ
κὸν ἢ μέλαν. Οἱ δὲ παρὰ τὸ μὴ διωρίσθαι τί ἐστι συλλογισμός,
ἢ τί ἔλεγχος· ἀλλὰ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου γίνονται. ἔλεγχος μὲν
γὰρ ἐστιν ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς μὴ ὀνόματος, ἀλλὰ πράγμα=
τος, καὶ ὀνόματος μὴ συνωνύμου, ἀλλὰ τοῦ αὐτοῦ ἐκ τῶν δοθέντων ἐξ
ἀνάγκης, μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ καὶ κατὰ τὸ αὐτὸ, καὶ πρὸς
τὸ αὐτὸ ὡσαύτως, καὶ ἐν τῷ αὐτῷ χρόνῳ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ ψεύ
σασθαι περίτινος. ἔνιοι δὲ ἀπολιπόντες τι τῶν λεχθέντων, φαίνον=
ται ἐλέγχειν. οἷον ὅτι τὸ αὐτὸ διπλάσιον καὶ οὐ διπλάσιον. τὰ γὰρ
δύο τοῦ μὲν ἑνὸς διπλάσια. τῶν δὲ τριῶν οὐ διπλάσια, ἢ εἰ τὸ αὐτὸ
τοῦ αὐτοῦ διπλάσιον καὶ οὐ διπλάσιον. κατὰ μὲν γὰρ τὸ μῆκος, δι=
πλάσιον. κατὰ δὲ τὸ πλάτος, οὐ διπλάσιον, ἢ εἰ τοῦ αὐτοῦ καὶ κατὰ
τὸ αὐτὸ, καὶ ὡσαύτως, ἀλλ' οὐχ ἅμα· διόπερ ἐστι φαινόμενος ἔλεγχος.
ἕλκοι δ' ἄντις τοῦτον καὶ εἰς τοὺς παρὰ τὴν λέξιν. Ο δὲ πα=
ρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν, γίνονται μὲν οὕτως καὶ τοσαυταχῶς, ὁσα=
χῶς ἐνδέχεται τὸ ἐξ ἀρχῆς αἰτεῖσθαι. φαίνονται δὲ ἐλέγχειν, διὰ τὸ
μὴ δύνασθαι συνορᾶν τὸ ταυτὸν καὶ τὸ ἕτερον. Ο δὲ παρὰ τὸ ἑ=
πόμενον ἔλεγχος, διὰ τὸ οἴεσθαι ἀντιστρέφειν τὴν ἀκολούθησιν· ὅταν
γὰρ τουδὶ ὄντος, ἐξ ἀνάγκης τόδε ᾖ, καὶ τοῦδε ὄντος, οἴονται καὶ θά
τερον εἶναι ἐξ ἀνάγκης. ὅθεν καὶ αἱ περὶ τὴν δόξαν ἐκ τῆς αἰσθήσεως
ἀπάται γίνονται. πολλάκις γὰρ τὴν χολὴν μέλι ὑπολαμβάνομεν
εἶναι, διὰ τὸ ἕπεσθαι τὸ ξανθὸν χρῶμα τῷ μέλιτι. καὶ ἐπεὶ συμβαί=
νει τὴν γῆν ὕσαντος γίνεσθαι διάβροχον, κἂν ᾖ διάβροχος, ὑπολαμβά
νομεν ὗσαι. τόδε οὐκ ἀναγκαῖον, ἐν δὲ τοῖς ῥητορικοῖς, αἱ κατὰ τὸ σημεῖ
ον ἀποδείξεις ἐκ τῶν ἑπομένων εἰσί. βουλόμενοι γὰρ δεῖξαι ὅτι μοι
χὸς, τὸ ἑπόμενον, ἔλαβον, ὅτι καλλωπιστὴς, ἢ ὅτι νύκτωρ ὁρᾶται

πλανώ

πλανώμενος. πολλοῖς δὲ ταῦτα μὴ ὑπάρχει. τὸ δὲ κατηγορούμενον οὐχ ὑπάρχει. ὁμοίως δὲ καὶ ἐν τοῖς συλλογιστικοῖς. οἷον ὁ μελίσσου λόγος, ὅτι ἄπειρον τὸ ἄπαν. λαβὼν τὸ μὴ ἄπαν ἀγένητον. ἐκ γὰρ μὴ ὄντος, οὐδὲν ἂν γενέσθαι. τὸ δὲ γενόμενον, ἐξ ἀρχῆς γενέσθαι. εἰ οὖν μὴ γέγονεν, ἀρχὴν οὐκ ἔχει τὸ πᾶν. ὥστε ἄπειρον. οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν. οὐ γὰρ εἰ τὸ γενόμενον ἄπαν ἀρχὴν ἔχει, καὶ εἴτι ἀρχὴν ἔχει, γέγονεν. ὥσπερ οὖν εἰ ὁ πυρέττων θερμός, ἀνάγκη καὶ τὸν θερμὸν πυρέττειν. οἱ δὴ παρὰ τὸ μὴ αἴτιον, ὡς αἴτιον, ὅταν πρὸς ληφθῇ τὸ ἀναίτιον, ὡς παρ' ἐκεῖνο γινομένῳ τῷ ἐλέγχου. συμβαίνει δὲ τὸ τοιοῦτον ἐν τοῖς εἰς τὸ ἀπλῶς ὂν συλλογισμοῖς. ἐν τούτοις γὰρ ἀναγκαῖον ἀναιρεῖν τι τῶν κειμένων. ἐὰν οὖν καταριθμηθῇ ἐν τοῖς ἀναγκαίοις ἐρωτήμασι πρὸ τοῦ συμπεράσματος τὸ συμβαῖνον ἀπλῶς, δόξει παρὰ τοῦτο γίνεσθαι πολλάκις ὁ ἔλεγχος. οἷον ὅτι ψυχὴ καὶ ζωὴ ταυτόν. εἰ γὰρ φθορᾷ γένεσις ἐναντίον, καὶ τῇ τινὶ φθορᾷ ἔστι τις γένεσις. ὁ δὲ θάνατος, φθορά τις καὶ ἐναντίον ζωῇ, ὥστε γένεσις ἡ ζωή, καὶ τὸ ζῆν γίνεσθαι. τοῦτο δὲ ἀπλῶς ἀδύνατον. οὐκ ἄρα ταυτὸν ἡ ψυχὴ καὶ ἡ ζωή. οὐ δεῖ συμλογίσασθαι. συμβαίνει γὰρ κἂν μή τις ταυτὸν φῇ τῇ ψυχῇ τὸ ζῆν, τὸ ἀπλῶς ἀδύνατον. ἀλλὰ μόνον ἐναντίον ζωὴν μὲν θανάτῳ, ὄντι φθορᾷ. φθορᾷ δέ, γένεσιν. ἀσυλλόγιστοι μὲν οὖν ἁπλῶς οὐκ εἰσὶν οἱ τοιοῦτοι λόγοι, πρὸς ἃ τὸ κείμενον, ἀσυλλόγιστοι, καὶ λανθάνει πολλάκις οὐκ ὄντας αὐτοὺς τοὺς ἐρωτῶντας τὸ τοιοῦτον. οἱ μὲν οὖν παρὰ τὸ ἐπόμενον καὶ μὴ αἴτιον λόγοι, τοιοῦτοί εἰσιν. οἱ δὲ παρὰ τὸ τὰ δύο ἐρωτήματα ἓν ποιεῖν, ὅταν λανθάνῃ πλείω ὄντα, καὶ ὡς ἑνὸς ὄντος ἀποδοθῇ, ἀποκρισις μία. ἐπ' ἐνίων μὲν οὖν ῥᾴδιον εἰδέναι ὅτι πλείω. καὶ ὅτι οὐ δυτέον ἀπόκρισιν. οἷον πότερον ἡ γῆ θάλαττά ἐστιν ἢ οὐρανός. ἐπ' ἐνίων δέ, ἧττον. καὶ ὡς ἑνὸς ὄντος, ἢ ὁμολογῆσαι τῷ μὴ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ἢ ἐλέγχεσθαι φαίνονται. οἷον

ἆρα

ἄρα οὗτος καὶ οὗτός ἐστιν ἄνθρωπος, ὥστε ἄντις τύπτῃ τοῦτον καὶ τοῦτον, ἄνθρωπον ἀλλ' οὐκ ἀνθρώπους τυπτήσει, ἢ πάλιν, ὧν τὰ μὲν ἐστιν ἀγαθά. τὰ δὲ οὐκ ἀγαθὰ, πάντα ταῦτα ἀγαθὰ ἢ οὐκ ἀγαθά. ὁπότερον γὰρ ἂν φῇ, ἔστι μὲν ὡς ἔλεγχον, ἢ ψεῦδος φαινόμενον δόξειεν ἂν εἰπεῖν. τὸ γὰρ φᾶναι τῶν μὴ ἀγαθῶν εἶναί τι ἀγαθὸν, ἢ τῶν ἀγαθῶν μὴ ἀγαθὸν, ψεῦδος. ὁτὲ δὲ προσληφθέντων τινῶν, κἂν ἔλεγχος γένοιτο ἀληθινός. οἷον εἴτις δοίη ὁμοίως ἓν καὶ πολλὰ λέγεσθαι, λευκὰ, καὶ γυμνὰ, καὶ τυφλά. εἰ γὰρ τυφλὸν τὸ μὴ ἔχον ὄψιν πεφυκὸς δὲ ἔχειν, καὶ τυφλὰ ἔσται τὰ μὴ ἔχοντα, πεφυκότα δὲ ἔχειν. ὅταν οὖν τὸ μὲν ἔχῃ, τὸ δὲ μὴ ἔχῃ, τὰ ἄμφω ἔσται ἢ ὁρῶντα ἢ τυφλὰ, ὅπερ ἀδύ-
5. νατον. ἢ δὴ οὕτως διαιρετέον τοὺς φαινομένους συλλογισμοὺς καὶ ἐλέγχους, ἢ πάντας ἀνακτέον εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν, ἀρχὴν ταύτην ποιησαμένους. ἔστι γὰρ ἅπαντας ἀναλῦσαι τοὺς λεχθέντας τρόπους, εἰς τὸν τοῦ ἐλέγχου διορισμόν. πρῶτον μὲν, εἰ ἀσυλλόγιστοι. δεῖ γὰρ ἐκ τῶν κειμένων συμβαίνειν τὸ συμπέρασμα. ὥστε λέγειν ἐξ ἐνάγκης, ἀλλὰ μὴ φαίνεσθαι. ἔπειτα καὶ κατὰ τὰ μέρη τοῦ διορισμοῦ. τῶν μὲν γὰρ ἐν τῇ λέξει, οἱ μὲν εἰσι παρὰ τὸ διττόν. οἷον ἥτε ὁμωνυμία καὶ ὁ λόγος. καὶ ἡ ὁμοιοσχημοσύνη, σύνηθες γὰρ, τὸ πάντα ὡς τὸ δέτι σημαίνειν. ἡ δὲ σύνθεσις καὶ ἡ διαίρεσις καὶ ἡ προσῳδία, τὸ μὴ ταυτὸν εἶναι τὸν λόγον ἢ τοὔνομα τὸ διαφέρον. ἔδει δὲ καὶ τοῦτο καθάπερ καὶ τὸ πρᾶγμα ταυτὸν, εἰ μέλλει ἔλεγχος ἢ συλλογισμὸς ἔσεσθαι. οἷον εἰ λώπιον, μὴ ἱμάτιον συλλογίσασθαι, ἀλλὰ λώπιον. ἀληθὲς μὲν γὰρ κἀκεῖνο, ἀλλ' οὐ συλλελόγισται. ἀλλ' ἔτι ἐρωτήματος δεῖ, ὅτι ταυτὸν σημαίνει πρὸς τὸν ζητοῦντα τὸ διατί. Οἱ δὲ παρὰ τὸ συμβεβηκὸς, ὁρισθέντος τοῦ συλλογισμοῦ, φουνεροὶ γίνονται. τὸν αὐτὸν γὰρ ὁρισμὸν δεῖ καὶ τοῦ ἐλέγχου γίνεσθαι, πλὴν προσκεῖσθαι τὴν ἀντίφασιν. ὁ γὰρ ἔλεγχος, συλλογισμὸς ἀντιφά-

σεως

σεως. εἰ οὖν μή ἐστι συλλογισμὸς τοῦ συμβεβηκότος, οὐ γίνεται ἔλεγχος. οὐ γὰρ εἰ τούτων ὄντων, ἀνάγκη τόδε εἶναι. τοῦτο δέ ἐστι λευκὸν, ἀνάγκη λευκὸν εἶναι διὰ τὸν συλλογισμόν. οὐ δ' εἰ τὸ τρίγωνον δυοῖν ὀρθαῖν ἴσας ἔχει. συμβέβηκε δὲ αὐτῷ χρώματι εἶναι, ἢ πρώτῳ ἢ ἀρχῇ, ὅτι σχῆμα ἢ ἀρχὴ, ἢ πρῶτον τοιοῦτόν ἐστιν. οὐ γὰρ ἦ σχῆμα, οὐ δ' ἦ πρῶτον, ἀλλ' ἦ τρίγωνον ἡ ἀπόδειξις. ὁμοίως δὴ καὶ ἐπὶ τῶν ἄλλων, ὥστε εἰ ὁ ἔλεγχος συλλογισμός τις, οὐκ ἂν εἴη ὁ κατὰ συμβεβηκὸς ἔλεγχος. ἀλλὰ παρὰ τοῦτο καὶ οἱ τεχνῖται καὶ ὅλως οἱ ἐπιστήμονες ὑπὸ τῶν ἀνεπιστημόνων ἐλέγχονται. κατὰ συμβεβηκὸς γὰρ ποιοῦνται τοὺς συλλογισμοὺς πρὸς τοὺς εἰδότας. οἱ δ' οὐ δυνάμενοι διαιρεῖν, ἢ ἐρωτώμενοι, διδόασιν, ἢ οὐ διδόντες οἴονται δεδωκέναι. Οἱ δὲ παρὰ τὸ πῇ καὶ ἁπλῶς, ὅτι οὐ κατὰ τοῦ αὐτοῦ ἡ ἀπόφασις καὶ κατάφασις. τοῦ γὰρ πῇ λευκοῦ, τὸ πῇ οὐ λευκόν. τοῦ δ' ἁπλῶς λευκοῦ, τὸ ἁπλῶς οὐ λευκὸν ἀπόφασις. εἰ οὖν δόντος τὸ πῇ εἶναι λευκόν. ὡς ἁπλῶς εἰρημένον λαμβάνει, οὐ ποιεῖ ἔλεγχον. φαίνεται δὲ, διατὴν ἄγνοιαν τοῦ τί ἐστιν ἔλεγχος. Φανερώτατοι δὲ πάντων οἱ πρότερον λεχθέντες παρὰ τὸν τοῦ ἐλέγχου διορισμόν. διὸ καὶ προσηγορεύθησαν οὕτως. παρὰ γὰρ τοῦ λόγου τὴν ἔλλειψιν ἡ φαντασία γίνεται. καὶ διαιρουμένοις, οὕτως κοινὸν ἐπὶ πᾶσι τούτοις θετέον τὴν τοῦ λόγου ἔλλειψιν. Οἵ τε παρὰ τὸ λαμβάνειν τὸ ἐν ἀρχῇ καὶ τὸ ἀναίτιον ὡς αἴτιον τιθέναι δηλοῖ διὰ τοῦ ὁρισμοῦ. δεῖ δὲ τὸ συμπέρασμα τῷ ταῦτα εἶναι συμβαίνειν, ὅπερ οὐκ ἦν ἐν τοῖς ἀναιτίοις. καὶ πάλιν μὴ ἀριθμουμένου τοῦ ἐξ ἀρχῆς. ὅπερ οὐκ ἔχουσιν οἱ παρὰ τὴν αἴτησιν τοῦ ἐν ἀρχῇ.

Οἱ δὲ παρὰ τὸ ἑπόμενον, μέρος εἰσὶ τοῦ συμβεβηκότος. τὸ γὰρ ἑπόμενον συμβέβηκε. διαφέρει δὲ τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν συμβεβηκὸς, ἔστιν ἐφ' ἑνὸς μόνου λαβεῖν οἷον ταυτόν ἐστι τὸ ξανθὸν καὶ τὸ μέλι, καὶ τὸ λευκὸν καὶ κύκνον. τὸ δὲ παρὰ τὸ ἑπόμενον, ἀεὶ

ἐν πλείο

ἐν πλείοσι. τὰ γὰρ ἑνὶ καὐτῷ ταυτὰ, καὶ ἀλλήλοις ἀξιοῦμεν εἶναι ταυτά. δι' ὃ γίνεται ὁ παρὰ τὸ ἑπόμενον ἔλεγχος. ἔστι δ' οὐ πάντως ἀληθὲς, οἷον ἂν ᾖ λευκὸν κατὰ συμβεβηκός. καὶ γὰρ ἡ χιὼν καὶ ὁ κύκνος τῷ λευκῷ ταυτόν. ἢ πάλιν ὡς ἐν τῷ Μελίσσου λόγῳ, τὸ αὐτὸ λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν. ἢ τὸ, ἴσοις γίνεσθαι καὶ ταυτὸ μέγεθος λαμβάνειν. ὅτι γὰρ τὸ γεγονὸς ἔχει ἀρχὴν, καὶ τὸ ἔχον ἀρχὴν, γεγονέναι ἀξιοῖ, ὡς ἄμφω ταυτὰ ὄντα τῷ ἀρχὴν ἔχειν τὸ γεγονὸς καὶ τὸ πεπερασμένον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἴσων γινομένων. εἰ τὰ τὸ αὐτὸ καὶ ἓν μέγεθος λαμβάνοντα ἴσα γίνεται. καὶ τὰ ἴσα γινόμενα ἓν μέγεθος λαμβάνει. ὥστε τὸ ἑπόμενον, λαμβάνει. ἐπὶ οὖν ὁ παρὰ τὸ συμβεβηκὸς ἔλεγχος ἐν τῇ ἀγνοίᾳ τοῦ ἐλέγχου, φανερὸν ὅτι καὶ ὁ παρὰ τὸ ἑπόμενον. ἐπισκεπτέον δὲ τοῦτο καὶ ἄλλως. οἱ δὲ παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν, ἐν τῷ μὴ διαφθροῦν ἡμᾶς ἢ μὴ διαιρεῖν τὸν λόγον τῆς προτάσεως. ἡ γὰρ πρότασίς ἐστιν ἓν καθ' ἑνός. ὁ γὰρ αὐτὸς ὅρος ἑνὸς μόνου, καὶ ἁπλῶς τοῦ πράγματος. οἷον ἀνθρώπου. καὶ ἑνὸς μόνου ἀνθρώπου. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ οὖν μία πρότασις ἡ ἓν καθ' ἑνὸς ἀξιοῦσα, καὶ ἁπλῶς ἔσται πρότασις ἡ τοιαύτη ἐρώτησις. ἐπεὶ δ' ὁ συλλογισμὸς ἐκ προτάσεων. ὁ δὲ ἔλεγχος ἐκ συλλογισμῶν, καὶ ὁ ἔλεγχος ἔσται ἐκ προτάσεων, εἰ οὖν ἡ πρότασις ἓν καθ' ἑνὸς, φανερὸν ὅτι καὶ οὗτος ἐν τῇ τοῦ ἐλέγχου ἀγνοίᾳ. φαίνεται γὰρ εἶναι πρότασις, ἡ οὐκ οὖσα πρότασις. εἰ μὲν οὖν δέδωκεν ἀπόκρισιν ὡς πρὸς μίαν ἐρώτησιν, ἔσται ἔλεγχος. εἰ δὲ μὴ δέδωκεν ἀλλὰ φαίνεται, φαινόμενος ἔλεγχος. ὥστε πάντες οἱ τρόποι πίπτουσιν εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. οἱ μὲν οὖν παρὰ τὴν λέξιν, ὅτι φαινομένη ἀντίφασις. ὅπερ ἦν ἴδιον τοῦ ἐλέγχειν. οἱ δ' ἄλλοι παρὰ τὸν
6. τοῦ συλλογισμοῦ ὅρον. ἡ δ' ἀπάτη γίνεται, τῶν μὲν παρὰ τὴν ὁμωνυμίαν καὶ τὸν λόγον, ἐν τῷ μὴ δύνασθαι διαιρεῖν τὸ πολλαχῶς λεγόμενον.

Ενια γὰρ οὐκ ἔυπορον διαιρεῖν. οἷον τὸ ἓν καὶ τὸ ὂν καὶ τὸ ταυτόν. τῶν δὲ παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν, τῷ μηδὲν οἴεσθαι διαφέρειν συντιθέμενον ἢ διαιρούμενον τὸν λόγον. καθάπερ ἐπὶ τῶν πλείστων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν παρὰ τὴν προσῳδίαν. οὐ γὰρ ἄλλο δοκεῖ σημαίνειν ἀνϊέμενος καὶ ἐπιτεινόμενος ὁ λόγος, ἐπ' οὐδενὸς, ἢ οὐκ ἐπὶ πολλῶν. τῶν δὲ παρὰ τὸ σχῆμα, διὰ τὴν ὁμοιότητα τῆς λέξεως. χαλεπὸν γὰρ διαιρεῖν ποῖα ὡσαύτως, καὶ ποῖα ὡς ἑτέρως λέγεται. σχεδὸν ἢ ὁ θεὸς δυνάμενος ποιεῖν, ἐγγύς ἐστι τοῦ θεωρεῖν τἀληθές. μάλιστα δ' ἐπίσταται συνεπινεύειν, ὅτι πᾶν τὸ κατηγορούμενον τινὸς, ὑπολαμβάνομεν τόδέτι, καὶ ὡς ἓν ὑπακούομεν. τῷ ἢ ἑνὶ καὶ τῇ οὐσίᾳ μάλιστα δοκεῖ παρέπεσθαι τὸ, τόδέτι καὶ τὸ ἕν. διὸ καὶ τῶν παρὰ τὴν λέξιν. οὗτος ὁ τρόπος θετέος. πρῶτον μὲν ὅτι μᾶλλον ἡ ἀπάτη γίνεται μετ' ἀλλήλων σκοπουμένοις, ἢ καθ' ἑαυτούς. ἡ μὲν γὰρ μετ' ἄλλου σκέψις διὰ λόγου. ἡ δὲ καθ' αὑτοὺς οὐχ ἧττον δι' αὐτοῦ τοῦ πράγματος. εἶτα καὶ καθ' αὑτοὺς ἀπατᾶσθαι συμβαίνει, ὅταν ἐπὶ τοῦ λόγου ποιῆται τὴν σκέψιν. ἔτι ἡ μὲν ἀπάτη ἐκ τῆς ὁμοιότητος. ἡ δὲ ὁμοιότης, ἐκ τῆς λέξεως. τῶν δὲ παρὰ τὸ συμβεβηκὸς, διὰ τὸ μὴ δύνασθαι διακρίνειν τὸ ταυτὸν καὶ τὸ ἕτερον. καὶ τὸ ἓν καὶ τὰ πολλά. μὴ δὲ τοῖς ποίοις τῶν κατηγορημάτων πάντα ταῦτα καὶ τῷ πράγματι συμβέβηκον. ὁμοίως δὲ καὶ τῶν παρὰ τὸ ἑπόμενον. μέρος γάρ τι τοῦ συμβεβηκότος τὸ ἑπόμενον. ἔτι δὲ καὶ ἐπὶ πολλῶν φαίνεται καὶ ἀξιοῦται οὕτως, εἰ τόδε ἀπὸ τοῦδε μὴ χωρίζετε, μὴ δ' ἀπὸ θατέρου χωρίζεσθε θάτερον. τῶν δὲ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου καὶ τῶν παρὰ τὸ πῆ καὶ ἁπλῶς, ἐν τῷ παρὰ μικρὸν ἡ ἀπάτη. ὡς δὲ οὐδὲν προσσημαῖνον τὸ τὶ, ἢ πῆ ἢ τὸ ἁπλῶς ἢ πῶς, ἢ τὸ νῦν καθόλου συγχωροῦμεν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐν ἀρχῇ λαμβανόντων. καὶ τῶν ἀναιτίων. καὶ ὅσοι τὰ πλείω ἐρωτήματα ὡς ἓν ποιοῦσιν. ἐν ἅπασι ἢ ἡ ἀπάτη διὰ τὸ παρὰ

μικρόν. δυ γαρ διακριβῶμεν οὔτε τῆς προτάσεως, οὔτε τοῦ συλλο-
7. γισμοῦ τὸν ὅρον, διὰ τὴν ἐιρημένην αἰτίαν. ἐπεὶ δ' ἔχομεν πρὸς ὅσα
γίνονται οἱ φαινόμενοι συλλογισμοὶ, ἔχομεν καὶ πρὸς ὁπόσα οἱ σοφι-
στικοὶ γίνοιντ' ἂν συλλογισμοὶ καὶ ἔλεγχοι. λέγω δὲ σοφιστικὸν ἔλεγ-
χον, καὶ συλλογισμὸν, δυ μόνον τὸν φαινόμενον συλλογισμὸν ἢ ἔλεγ-
χον μὴ ὄντα δὲ, ἀλλὰ καὶ τὸν ὄντα μὴ φαινόμενον δὲ οἰκεῖον τοῦ πρᾶγ-
ματος. εἰσὶ δ' ὅυτοι οἱ μὴ κατὰ τὸ πρᾶγμα ἐλέγχοντες καὶ δει-
κνύντες ἀγνοοῦντας. ὅπερ ἦν τῆς πειραστικῆς. ἔστι δ' ἡ πειραστικὴ, μέ-
ρος τῆς διαλεκτικῆς. αὕτη δὲ διάκειται συλλογίζεσθαι, ψεῦδος διὰ
γνοιαν τοῦ διαλόντος τὸν λόγον. οἱ δὲ σοφιστικοὶ ἔλεγχοι, ἂν καὶ συλ-
λογίζονται πρὸς ἀντίφασιν, ὃν ποιοῦσι δῆλον εἰ ἀγνοεῖ. καὶ γαρ τὸν
εἰδότα ἐμποδίζουσι τούτοις τοῖς λόγοις. ὅτι δὲ ἔχομεν αὐτούς, τῇ
αὐτῇ μεθόδῳ δῆλον. πρὸς ὅσα γαρ φαίνεται τοῖς ἀκούουσιν ὡς ἠρω-
τημένα συλλογίζεσθαι, παρὰ ταῦτα κἂν τῷ ἀποκρινομένῳ δόξειεν. ὥ-
στε ἔσονται συλλογισμοὶ ψευδεῖς διὰ τούτων ἢ πάντων, ἢ τινῶν.
ὃ γαρ μὴ ἐρωτηθεὶς οἴεται διεφθάρθαι, κἂν ἐρωτηθεὶς εἴη. πλὴν
ἐπί γε τινῶν ἅμα συμβαίνει προσερωτᾶν τὸ ζητούμενον, καὶ τὸ ψεῦδος
ἐμφανίζειν. οἷον ἐν τοῖς παρὰ τὴν λέξιν καὶ τὸν σολοικισμόν. εἰ οὕτω
οἱ παραλογισμοὶ τῆς ἀντιφάσεως παρὰ τὸν φαινόμενον ἐλεγχόν εἰ-
σι, δῆλον ὅτι παρὰ τοσαῦτα καὶ τῶν ψευδῶν εἴησαν συλλογισμοὶ,
πρὸς ὅσα καὶ ὁ φαινόμενος ἔλεγχος. ὁ δὲ φαινόμενος παρὰ τὰ μόρια
τοῦ ἀληθινοῦ. ἑκάστου γαρ ἐκλείποντος, φανείη ἂν ἔλεγχος. οἷον ὁ παρὰ
τὸ μὴ συμβαῖνον διὰ τὸν λόγον, ὃ εἷς τὸ ἀδύνατον. καὶ ὁ τὰς δύο ἐρω-
τήσεις μίαν ποιῶν παρὰ τὴν πρότασιν καὶ ἀντὶ τοῦ καθ' αὐτό, ὁ πα-
ρὰ τὸ συμβεβηκός, καὶ τὸ τούτου μόριον, ὁ παρὰ τὸ ἑπόμενον. ἔτι
τὸ μὴ ἐπὶ τοῦ πράγματος, ἀλλ' ἐπὶ τοῦ λόγου συμβαίνειν. εἶτ'
ἀντὶ τοῦ καθόλου τὴν ἀντίφασιν, καὶ κατὰ ταυτό, καὶ πρὸς ταυ-
τό, καὶ

τὸ, καὶ ὡσαύτως. παράτε τὸ ἐπί τι, ἢ παρ' ἕκαστον τούτων, ἁμαρτάνει. ἔτι παρὰ τὸ ἐναριθμουμένου τοῦ ἐν ἀρχῇ, τὸ ἐν ἀρχῇ λαμβάνειν. ὥστε ἔχοιμεν ἂν παρ' ὅσα γίνονται οἱ παραλογισμοί. παρὰ πλείω μὲν γὰρ οὐκ ἂν εἶεν. παρὰ δὲ τὰ εἰρημένα ἔσονται πάντες.

Εστι δὲ ὁ σοφιστικὸς ἔλεγχος, οὐχ ἁπλῶς ἔλεγχος, ἀλλὰ πρός τινα καὶ ὁ συλλογισμὸς ὡσαύτως. ἂν μὲν μὴ λάβῃ, ὅ, τε παρὰ τὸ ὁμώνυμον ἓν σημαίνειν, καὶ ὁ παρὰ τὴν ὁμοιοσχημοσύνην τὸ μόνον τόδε. καὶ οἱ ἄλλοι ὡσαύτως, οὔτε ἔλεγχοι, οὔτε συλλογισμοὶ ἔσονται, οὔθ' ἁπλῶς, οὔτε πρὸς τὸν ἐρωτώμενον. ἐὰν δὲ λάβωσι πρὸς μὲν τὸν ἐρωτώμενον ἔσονται. ἁπλῶς δὲ οὐκ ἔσονται. οὐ γὰρ ἓν σημαῖνον εἰλήφασιν, ἀλλὰ φαινόμενον, καὶ παρὰ τοῦδε. Παρ' ὁπόσα δὲ ἐλέγχονται οἱ ἐλεγχόμενοι, οὐ δεῖ πειρᾶσθαι λαμβάνειν, ἄνευ τῆς τῶν ὄντων ἐπιστήμης ἁπάντων. τοῦτο δ' οὐδεμιᾶς ἐστι τέχνης. ἄπειροι γὰρ εἰσιν αἱ ἐπιστῆμαι. ὥστε δῆλον ὅτι καὶ αἱ ἀποδείξεις. ἔλεγχοι δέ εἰσι καὶ ἀληθεῖς. ὅσα γὰρ ἐστιν ἀποδεῖξαι, ἔστι καὶ ἐλέγξαι τὸν θέμενον τὴν ἀντίφασιν τοῦ ἀληθοῦς. οἷον εἰ σύμμετρον τὴν διάμετρον ἔθηκεν, ἐλέγξειεν ἄντις τῇ ἀποδείξει, ὅτι ἀσύμμετρος. ὥστε πάντων δεήσει ἐπιστήμονα εἶναι. οἱ μὲν γὰρ ἕπονται παρὰ τὰς ἐν γεωμετρίᾳ ἀρχὰς καὶ τὰ τούτων συμπεράσματα. οἱ δὲ παρὰ τὰς ἐν ἰατρικῇ. οἱ δὲ παρὰ τὰς τῶν ἄλλων ἐπιστημῶν. ἀλλὰ μὴν καὶ οἱ ψευδεῖς ἔλεγχοι, ὁμοίως ἂν εἶεν ἐν ἀπείροις. καθ' ἑκάστην γὰρ τέχνην ἔστι ψευδὴς συλλογισμός. οἷον κατὰ γεωμετρίαν ὁ γεωμετρικὸς, καὶ κατὰ ἰατρικὴν, ὁ ἰατρικός. λέγω δὲ τὸ κατὰ τέχνην τὸ κατὰ τὰς ἐκείνης ἀρχάς. δῆλον οὖν ὅτι οὐ πάντων τῶν ἐλέγχων, ἀλλὰ τῶν παρὰ τὴν διαλεκτικὴν λητπτέον τοὺς τόπους. οὗτοι κοινοὶ πρὸς ἅπασαν τέχνην καὶ δύναμιν. καὶ τὸν μὲν καθ' ἑκάστην ἐπιστήμην ἔλεγχον, τοῦ ἐπιστήμονός ἐστι θεωρεῖν, εἴτε μὴ ὢν φαίνεται, εἴτε ἔστι. καὶ διατί. τὸν δὲ ἐκ τῶν κοινῶν καὶ ὑπ' οὐδεμίαν τέχνην

8.

αν τέχνην, τοῦ διαλεκτικοῦ. εἰ δὲ ἔχομεν ἐξ ὧν οἱ ἔνδοξοι συλλογισμοὶ περὶ ὁτιοῦν, ἔχομεν ἐξ ὧν οἱ ἔλεγχοι. ὁ γὰρ ἔλεγχός ἐστιν ἀντιφάσεως συλλογισμός. ὥσπε ἢ εἷς ἢ δύο συλλογισμοὶ ἀντιφάσεως, ἔλεγχός ἐστιν. ἔχομεν ἄρα παρ' ὁπόσα πάντες εἰσὶν οἱ τοιοῦτοι. εἰ δὲ τοῦτ' ἔχομεν, καὶ τὰς λύσεις ἔχομεν. αἱ γὰρ τούτων ἐνστάσεις, λύσεις εἰσίν. ἔχομεν δὲ παρ' ὁπόσα γίνονται, καὶ τοὺς φαινομένους. φαινομένους δὲ οὐχ ὁτωοῦν, ἀλλὰ τοῖς τοιοῖσδε. ἀόριστα γάρ ἐστιν ἐάν τις σκοπῇ παρ' ὁπόσα φαίνονται τοῖς τυχοῦσιν. ὥστε φανερὸν, ὅτι τοῦ διαλεκτικοῦ ἐστι τὸ δύνασθαι λαβεῖν παρ' ὁπόσα γίνεται διὰ τῶν κοινῶν ἢ ὢν ἔλεγχος, ἢ φαινόμενος ἔλεγχος, ἢ διαλεκτικὸς, ἢ φαινόμενος διαλεκτικὸς ἢ πειραστικός. οὐκ ἔστι δὲ διαφορὰ τῶν λόγων ἣν λέγουσί τινες τὸ εἶναι τοὺς μὲν πρὸς τοὔνομα. τοὺς δὲ πρὸς τὴν διάνοιαν. ἄτοπον γὰρ τὸ ὑπολαμβάνειν, ἄλλους μὲν εἶναι πρὸς τοὔνομα λόγους, ἑτέρους δὲ πρὸς τὴν διάνοιαν. ἀλλ' οὐ τοὺς αὐτούς. τί γάρ ἐστι τὸ μὴ πρὸς τὴν διάνοιαν, ἀλλ' ἢ ὅταν μὴ χρῆται τῷ ὀνόματι ὀιόμενος ἐρωτᾶσθαι, ἐφ' ᾧ ὁ ἐρωτώμενος ἔδωκε. τὸ αὐτὸ δὲ τοῦτό ἐστι καὶ πρὸς τοὔνομα. τὸ δὲ πρὸς τὴν διάνοιαν, ὅταν ἐφ' ᾧ ἔδωκεν διανοηθείς. εἰ δέ τις πλείω σημαίοντος τοῦ ὀνόματος ὄιοιτο ἓν σημαίνειν καὶ ὁ ἐρωτῶν καὶ ὁ ἐρωτώμενος, οἷον ἴσως τὸ ὄν, ἢ τὸ ἓν πολλὰ σημαίνει. ἀλλὰ καὶ ὁ ἀποκρινόμενος, καὶ ὁ ἐρωτῶν ζήνων ἓν ὀιόμενος εἶναι ἠρώτησε καὶ ἔστιν ὁ λόγος, ὅτι ἓν πάντα, οὗτος πρὸς τοὔνομά ἐστιν, ἢ πρὸς τὴν διάνοιαν τοῦ ἐρωτωμένου διειλεγμένος εἰ δέ γέ τις πολλὰ οἴεται σημαίνειν, δῆλον ὅτι οὐ πρὸς τὴν διάνοιαν. πρῶτον μὲν γὰρ περὶ τοὺς τοιούτους ἐστὶ λόγους τοὺς πρὸς τοὔνομα, καὶ τὴν διάνοιαν, ὅσοι πλείω σημαίνουσιν. εἶτα περὶ ὁντιναοῦν ἐστιν. οὐ γὰρ ἐν τῷ λόγῳ ἐστὶ τὸ πρὸς τὴν διάνοιαν εἶναι, ἀλλ' ἐν τῷ τὸν ἀποκρινόμενον ἔχειν πῶς πρὸς τὰ δεδομένα. εἶτα πρὸς τοὔνομα ἐνδέχεται

οι φαινόμενοι
φαινομένους δὲ λέγω

9.

πάντας

πάντας αὐτοὺς εἶναι. τὸ γὰρ πρὸς τοῦνομα, τὸ μὴ πρὸς τὴν διά-
νοιαν εἶναί ἐστιν οὗτος. εἰ γὰρ μὴ πάντες, ἔσονταί τινες ἕτεροι.
οἱ οὔτε πρὸς τοῦνομα, οὔτε πρὸς τὴν διάνοιαν. οἱ δέ φασι πάντας.
καὶ διαιροῦνται, ἢ πρὸς τοῦνομα, ἢ πρὸς τὴν διάνοιαν εἶναι
πάντας, ἄλλους δ' οὔ. ἀλλὰ μὴν ὅσοι συλλογισμοί εἰσι παρὰ τὸ
παλαιὸν, τούτων εἰσί τινες οἱ παρὰ τοῦνομα. ἀτόπως μὲν γὰρ
εἴρηται τὸ παρὰ τοῦνομα φάναι πάντας τοὺς παρὰ τὴν λέξιν.
ἀλλ' οὖν εἰσί τινες παραλογισμοὶ, οὐ τῷ τὸν ἀποκρινόμενον, πρὸς
τοῦτον ἔχειν πῶς. ἀλλὰ τῷ τοιόνδε ἐρώτημα τὸν λόγον ἔχειν, ὃ παλαιὸν
ὠ σημαίνει. ὅλως τε ἄζηπον τὸ περὶ ἐλέγχου διαλέγεσθαι, ἀλλὰ μὴ
πρότερον περὶ συλλογισμοῦ. ὁ γὰρ ἔλεγχος, συλλογισμός ἐστιν. ὥ-
στε χρὴ καὶ περὶ συλλογισμοῦ πρότερον, ἢ περὶ φαινομένου ἐλέγχου.
ἔστι γὰρ ὁ ζητούμενος ἔλεγχος, φαινόμενος συλλογισμὸς ἀντιφάσεως.
διὸ ἢ ᾧ τῷ συλλογισμῷ ἐστι τὸ αἴτιον, ἢ ᾧ τῇ ἀντιφάσει. προσκεῖ-
σθαι γὰρ δεῖ τὴν ἀντίφασιν. ὅτε δ' ᾧ ἀμφοῖν, ἂν ᾖ φαινόμενος ἔ-
λεγχος. ἔστι δὲ ὁ μὲν τοῖς πολλοῖς λέγειν, ᾧ τῇ ἀντιφάσει οὐκ ᾧ τῷ
συλλογισμῷ. ὁ δὲ ἃ μὴ ἔχει τις δοίη ἂν ᾧ ἀμφοῖν. ὁ δὲ ὅτι ὁμοί-
ρου ποίησις χῆμα διὰ τοῦ κύκλου, ᾧ τῷ συλλογισμῷ. ὁ δὲ ᾧ μη-
δετέρῳ ἀληθὴς συλλογισμός. ἀλλὰ δὴ ὅθεν ὁ λόγος ἦλθε. πότε-
ρον δι' ᾧ τοῖς μαθήμασι λόγοι, πρὸς τὴν διάνοιάν εἰσιν ἢ οὔ. καὶ
εἴτε δοκεῖ πολλὰ σημαίνειν τὸ τρίγωνον, καὶ ἔδωκε μὴ ὡς τῷδε τὸ
χῆμα ἐφ' οὗ σωεπεράνατο ὅτι δύο ὀρθαί, πότερον πρὸς τὴν διά-
νοιαν οὗτος διείλεκται τὴν ἐκείνου ἢ οὔ. ἔτι εἰ πολλὰ μὲν ση-
μαίνῃ τοῦνομα. ὁ δὲ μὴ νοεῖ, μὴ δὲ οἴεται, πῶς ἔσται, ὁ πρὸς τὴν διά
νοιαν διείλεκται, ἢ πῶς δεῖ ἐρωτᾶν, ἀλλὴν διδόναι διαίρεσιν. εἴγε ἐρω
τήσει τίς εἰ ἔστι στιγῶντα λέγειν, ἢ οὔ. ἢ ἔστι μὲν, ὡς οὔ. ἔστι δ' ὡς ναί.
εἰ δή τις δοίη μηδαμῶς. ὁ δὲ διαλεχθείη, ἆρ' οὐ πρὸς τὴν διάνοι-
αν διείλε

αν διείλεκται. καίτοι οὗτος ὁ λόγος δοκεῖ τῶν παρὰ τοὔνομα εἶναι. οὐκ ἄρα ἐστὶ γένος τι λόγων τὸ πρὸς τὴν διάνοιαν. ἀλλ' οἱ μὲν τῶν πρὸς τοὔνομά εἰσι. καὶ τοιοῦτοι οὐ πάντες, οὐχ ὅτι οἱ ἔλεγχοι ἀλλ' οὐ δ' οἱ φαινόμενοι ἔλεγχοι. εἰσὶ γὰρ καὶ μὴ παρὰ τὴν λέξιν φαινόμενοι ἔλεγχοι. οἷον ὁ παρὰ τὸ συμβεβηκὸς καὶ ἕτεροι. εἰδέτις ἀξιοῖ διαιρεῖν, ὅτι λέγω δὲ σιγῶντα λέγειν τὰ μὲν ὡδί. τὰ δ' ὡδί, ἀλλὰ τοῦτο ἐστὶ πρῶτον ἄτοπον, τὸ ἀξιοῦν. ἐνίοτε γὰρ οὐ δοκεῖ τὸ ἐρωτώμενον πολλαχῶς ἔχειν. ἀδύνατον δὲ διαιρεῖν ὃ μὴ οἴεται. ἔπειτα τὸ διδάσκειν, τὶ ἄλλο ἔσται. φανερὸν γὰρ ποιήσει πῶς ὡς ἔχει, τῷ μήτε ἐπεσκεμμένῳ, μήτε εἰδότι μήτε ὑπολαμβάνοντι, ὅτι ἄλλο ἄλλως λέγεται. Επεὶ καὶ ἐν τοῖς μὴ διπλοῖς τὶ κωλύει τοῦτο ποιεῖν, ὡς ἄρα ἴσαι αἱ μονάδες ταῖς δυσὶν ἐν τοῖς τέσσαρσιν. εἰσὶ δὲ δυάδες αἱ μὲν ὡδὶ ἐνοῦσαι, αἱ δὲ ὡδί. καὶ ἄρα τῶν ἐναντίων μία ἐπιστήμη ἢ οὔ. ἔστι δ' ἐναντία τὰ μὲν γνωστά. τὰ δ' ἄγνωστα. ὥστ' ἔοικεν ἀγνοεῖν ὁ τοῦτο ἀξιῶν, ὅτι ἕτερον τὸ διδάσκειν τοῦ διαλέγεσθαι. καὶ ὅτι δεῖ τὸν μὲν διδάσκοντα μὴ ἐρωτᾶν, ἀλλ' αὐτὸν δῆλα ποιεῖν. τὸν δ'
ΤΟ. ἐρωτᾶν. ἔτι τὸ φᾶναι ἢ ἀποφᾶναι ἀξιοῦντος, οὐ δεικνύντος ἐστίν, ἀλλὰ πεῖραν λαμβάνοντος. ἡ γὰρ πειραστική ἐστι διαλεκτικήτις. διὸ καὶ περὶ πάντων ἐπισκοπεῖ καὶ θεωρεῖ, οὐ τὸν εἰδότα, ἀλλὰ τὸν ἀγνοοῦντα, καὶ προσποιούμενον. Ο μὲν οὖν κατὰ τὸ πρᾶγμα θεωρῶν τὰ κοινὰ, διαλεκτικός ἐστιν. ὁ δὲ τοῦτο φαινομένως ποιῶν, σοφιστικός. καὶ συλλογισμὸς ἐριστικὸς καὶ σοφιστικός ἐστιν. εἷς μὲν ὁ φαινόμενος συλλογισμὸς, περὶ ὧν ἡ διαλεκτικὴ, πειραστική ἐστι, κἂν ἀληθὲς ᾖ τὸ συμπέρασμα. τοῦ γὰρ διατὶ ἀπατητικός ἐστι. καὶ ὅσοι μὴ ὄντες κατὰ τὴν ἑκάστου μέθοδον παραλογισμοὶ, δοκοῦσιν εἶναι κατὰ τὴν τέχνην. τὰ τῶν ψευδογραφήματα, οὐκ ἐριστικά. κατὰ δὲ τὰ ὑπὸ τὴν τέχνην οἱ παραλογισμοί. οὐ δέγε εἴ τί ἐστι ψευδογράφημα, περὶ ἀληθές. οἷον τὸ Ιπ-

ποκράτους

ποκράτους, καὶ ὁ τετραγωνισμὸς ὁ διὰ τῶν μηνίσκων. ἀλλ' ὡς ὁ Βρύσων ἐ-
τετραγώνιζε τὸν κύκλον, εἰ καὶ τετραγωνίζεται ὁ κύκλος, ἀλλ' ὅτι οὐ κα-
τὰ τὸ πρᾶγμα, διὰ τοῦτο σοφιστικός. ὥστε ὅ, τε περὶ τῶνδε φαινόμε-
νος συλλογισμὸς, ἐριστικὸς λόγος. καὶ κατὰ τὸ πρᾶγμα φαινόμενος
καὶ ὁ κατὰ τὸ πρᾶγμα φαινόμενος συλλογισμὸς, κἂν ᾖ συλλογι-
σμὸς, ἐριστικὸς λόγος. φαινόμενος γάρ ἐστι κατὰ τὸ πρᾶγμα. ὥστ' ἀ-
πατητικὸς καὶ ἄδικος. ὥσπερ γὰρ ἡ ἐν ἀγῶνι ἀδικία εἶδός τι ἔχει.
καὶ ἔστιν ἀδικομαχία τὶς, οὕτως ἡ ἐναντιολογία, ἀδικομαχία ἐριστι-
κή ἐστιν. ἐκεῖτε γὰρ οἱ πάντας νικᾶν προαιρούμενοι, πάντων ἅπτον-
ται. καὶ ἐνταῦθα οἱ ἐριστικοί. οἱ μὲν οὖν τῆς νίκης αὐτῆς χάριν τοι
οὗτοι, ἐριστικοὶ ἄνθρωποι καὶ φιλέριδες δοκοῦσιν εἶναι. οἱ δὲ δόξης
χάριν τῆς εἰς χρηματισμὸν, σοφιστικοί. ἡ δὲ σοφιστικὴ, ἔστιν ὥσπερ εἴπο-
μεν, χρηματιστικήτις ἀπὸ σοφίας φαινομένης. διὸ φαινομένης ἀπο-
δείξεως ἐφίεντι. καὶ τῶν λόγων τῶν αὐτῶν μέν εἰσιν οἱ φιλέριδες καὶ σοφι-
σταί, ἀλλ' οὐ τῶν αὐτῶν ἕνεκεν. καὶ λόγος ὁ αὐτὸς μὲν ἔσται σοφιστικὸς, καὶ ἐρι-
στικὸς, ἀλλ' οὐ κατ' αὐτό. ἀλλ' ἡ μὲν νίκης φαινομένης, ἐριστικός. ἡ δὲ σοφί-
ας, σοφιστικός. καὶ δὲ ἡ σοφιστικὴ, ἔστι φαινομένη σοφία τὶς, ἀλλ' οὐκ οὖσα.
Ὁ δὲ ἐριστικὸς, ἐστίπως οὕτως ἔχων πρὸς τὸν διαλεκτικόν, ὡς ὁ ψευδογρά-
φος πρὸς τὸν γεωμετρικόν. ἀλλ' ὁ μὲν οὐκ ἐριστικὸς, ὅτι ἐκ τῶν ἀρχῶν
καὶ τῶν συμπερασμάτων τῶν ὑπὸ τὴν τέχνην ψευδογραφεῖ. ὁ δὲ ὑπὸ
τὴν διαλεκτικὴν, περὶ τὰ ἄλλα ὅτι ἐριστικός ἐστι, δῆλον. οἷον ὁ τε-
τραγωνισμὸς, ὁ μὲν διὰ τῶν μηνίσκων, οὐκ ἐριστικός. ὁ δὲ Βρύσωνος,
ἐριστικός. καὶ τὸν μὲν οὐκ ἔστι μετενεγκεῖν, ἀλλ' ἢ πρὸς γεωμετρίαν μό-
νον, διὰ τὸ ἐκ τῶν ἰδίων εἶναι ἀρχῶν. τὸν δὲ πρὸς πολλοὺς, οἳ μὴ ἴσα-
σι τὸ δυνατὸν ἐν ἑκάστῳ, καὶ τὸ ἀδύνατον, ἁρμόσει γάρ. Ἡ ὡς Ἀντι-
φῶν ἐτετραγώνιζεν, ἢ εἴτις μὴ φαίη βέλτιον εἶναι, ἀπὸ δείπνου περι-
πατεῖν διὰ τὸν Ζήνωνος λόγον, οὐκ ἰατρικός. κοινὸς γάρ. εἰ μὲν οὖν πάν-

τη ὁμοίως

τη ὁμοίως εἶχεν ὁ ἐριστικὸς πρὸς τὸν διαλεκτικὸν τῷ ψευδογράφῳ
II πρὸς τὸν γεωμέτρην, οὐκ ἂν ἦν περὶ ἐκείνων ἐριστικός. νῦν δ' οὐκ ἔστιν
ὁ διαλεκτικὸς περὶ γένος τὶ ὡρισμένον. οὐ δὲ δεικτικὸς οὐδενός.
οὐ δὲ τοιοῦτος οἷος ὁ καθόλου. οὔτε γὰρ ἔστιν ἅπαντα ἐν ἑνίτινι γέ=
νει, οὔτε εἰ εἴη, οἷόν τε ὑπὸ τὰς αὐτὰς ἀρχὰς εἶναι τὰ ὄντα. ὥστε οὐ
δὲ μία τέχνη, τῶν δεικνυουσῶν τινα φύσιν ἐρωτηματική ἐστιν. οὐ
γὰρ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων δοῦναι. συλλογιστικὸς γὰρ οὐ γί
νεται ἐξ ἀμφοῖν. ἡ δὲ διαλεκτικὴ, ἐρωτηματική ἐστιν. εἰ δ' ἐδεί=
κνυεν, εἰ μὴ καὶ πάντα, ἀλλὰ τάγε πρῶτα καὶ τὰς οἰκείας ἀρχὰς
οὐκ ἂν ἠρώτα μὴ διδόντος γὰρ, οὐκ ἂν ἔτι εἶχεν ἐξ ὧν ἔτι διαλέξε=
ται πρὸς τὴν ἔνστασιν. Η δὲ αὐτὴ καὶ πειρασική. οὐ δὲ γὰρ ἡ
πειρασικὴ τοιαύτη ἐστὶν οἵα ἡ γεωμετρία. ἀλλ' ἣν ἂν ἔχοι καὶ μὴ εἰ=
δώς τις. ἔξεστι γὰρ πεῖραν λαβεῖν καὶ περὶ τὸν μὴ εἰδότα τὸ πρᾶγ=
μα τοῦ μὴ εἰδότος εἴπερ καὶ δίδωσιν οὐκ ἐξ ὧν οἶδεν. οὐ δὲ ἐκ τῶν
ἰδίων, ἀλλ' ἐκ τῶν ἑπομένων ὅσα τοιαῦτά ἐστιν. ἃ εἰδότα μὲν, οὐθὲν
κωλύει μὴ εἰδέναι τὴν τέχνην. μὴ εἰδότα δὲ, ἀνάγκη ἀγνοεῖν. ὥ=
στε φανερὸν ὅτι οὐθενὸς ὡρισμένου ἡ πειρασικὴ ἐπιστήμη ἐστί. διὸ
καὶ περὶ πάντων ἐστί. πᾶσαι γὰρ αἱ τέχναι χρῶνται καὶ κοινοῖς τι=
σι. διὸ πάντες καὶ οἱ ἰδιῶται τρόπον τινὰ χρῶνται τῇ διαλεκτικῇ
καὶ πειρασικῇ. πάντες γὰρ μέχρι τινὸς ἐγχειροῦσιν ἀνακρίνειν τοὺς
ἐπαγγελλομένους. ταῦτα δέ ἐστι τὰ κοινά. ταῦτα γὰρ οὐδὲν ἴσασιν αὐ
τοὶ, κἂν δοκῶσι λίαν ἔξω λέγειν. ἐλέγχουσιν οὖν ἅπαντες. ἀτέχνως
γὰρ μετέχουσι τούτου, οὗ ἐντέχνως ἡ διαλεκτική ἐστι. καὶ ὁ τέχ
νῃ συλλογιστικῇ πειρασικὸς, διαλεκτικός. ἐπεὶ δέ ἐστι πολλὰ μὲν ταῦ
τα καὶ κατὰ πάντων οὐ τοιαῦτα δὲ ὥστε φύσιν τινὰ εἶναι καὶ γένος,
ἀλλ' οἷον αἱ ἀποφάσεις τὰ δ' οὐ τοιαῦτα. ἀλλὰ ἴδιά ἐστιν, ἐκ τούτων πε
ρὶ ἁπάντων πεῖραν λαμβάνειν. καὶ εἶναι τέχνην τινά. καὶ μὴ τοιαύτην εἶναι,

εἰ καὶ μὴ

οἷαι

οἷαι αἱ δεικνύουσαι. διόπερ ὁ ἐριστικὸς, οὐκ ἔστιν οὕτως ἔχων πάντη, ὡς ὁ ψευδογράφος. οὐ γὰρ ἐστι παραλογιστικὸς ἐξ ὡρισμένου τινὸς γένους ἀρχῶν, ἀλλὰ περὶ πᾶν γένος ἔσται ἐριστικός. τρόποι μὲν οὖν εἰσιν οὗτοι τῶν σοφιστικῶν ἐλέγχων. Ὅτι δέ ἐστι τοῦ διαλεκτικοῦ τὸ θεωρῆσαι περὶ τούτων καὶ δύνασθαι ταῦτα ποιεῖν, οὐ χαλεπὸν ἰδεῖν. ἡ γὰρ περὶ τὰς προτάσεις μέθοδος, ἅπασαν ἔχει ταύτην τὴν θεωρίαν. καὶ περὶ μὲν τῶν ἐλέγχων εἴρηται τῶν φαινομένων. περὶ δὲ τοῦ ψευδόμενόν τι δεῖξαι. καὶ τὸν λόγον εἰς ἄδοξον ἀγαγεῖν. οὗτος γὰρ ἦν δεύτερον τῆς σοφιστικῆς προαιρέσεως, πρῶτον μὲν ἐκ τοῦ πυνθάνεσθαί πως καὶ διὰ τῆς ἐρωτήσεως συμβαίνει μάλιστα. τὸ γὰρ πρὸς μηθὲν ὁρίσαντα κείμενον ἐρωτᾶν, θηρευτικόν ἐστι τούτων. εἰκῇ γὰρ λέγοντες, ἁμαρτάνουσι μᾶλλον. εἰκῇ δὲ λέγουσιν, ὅταν μηθὲν ᾖ προκείμενον. τό, τε ἐρωτᾶν πολλά. κἂν ὡρισμένον ᾖ πρὸς ὃ διαλέγονται. καὶ τὸ τὰ δοκοῦντα λέγειν ἀξιοῦν, ποιεῖ τινα εὐπορίαν τοῦ εἰς ἄδοξον ἀγαγεῖν ἢ ψεῦδος. ἐάν τε ἐρωτώμενος φῇ ἢ ἀποφῇ τούτων τι, ἄγειν πρὸς ἃ ἐπιχειρήματος εὐπορεῖ. δύναται δὲ νῦν ἧττον κακουργεῖν διὰ τούτων, ἢ πρότερον. ἀπαιτοῦνται γὰρ τί τοῦτο πρὸς τὸ ἐν ἀρχῇ. στοιχεῖον δὲ τοῦ τυχεῖν ἢ ψεύδους τινὸς ἢ ἀδόξου, τὸ μηδεμίαν εὐθὺς ἐρωτᾶν θέσιν, ἀλλὰ φάσκειν ἐρωτᾶν μαθεῖν βουλόμενον. χώραν δὲ ἔγχειρήματος ἡ σκέψις ποιεῖ. Πρὸς δὲ τὸ ψευδόμενον δεῖξαι, ἴδιος τόπος ὁ σοφιστικός. τὸ ἄγειν πρὸς τοιαῦτα, πρὸς ἃ εὐπορεῖ λέγων. ἔσται δὲ καὶ καλῶς καὶ μὴ καλῶς τοῦτο ποιεῖν, καθάπερ ἐλέχθη πρότερον. πάλιν πρὸς τὸ παράδοξα λέγειν, σκοπεῖν ἔκτινος γένους ὁ διαλεγόμενος. εἶτα ἐρωτᾶν ὃ τοῖς πολλοῖς οὗτοι λέγουσι παράδοξον. ἔστι δὲ ἑκάστοις τὶ τοιοῦτον. στοιχεῖον δὲ τούτων, τὸ τὰς ἑκάστων εἰληφέναι θέσεις ἐν ταῖς προτάσεσι. λύσις δὲ καὶ τούτων ἡ προσήκουσα φέρεται, τὸ ἐμφανίζειν, ὅτι οὐ διὰ τὸν λόγον συμβαίνει τὸ ἄδοξον. ἀεὶ δὲ τοῦτο καὶ βούλεται ὁ ἀγωνιζόμενος

T2.

Χόγων

μενος. ἔτι δὲ καὶ ἐκ τῶν βουλήσεων καὶ τῶν φανερῶν δοξῶν. οὐ γὰρ ταυτὰ βούλονταί τε καὶ φασὶν, ἀλλὰ λέγουσι μὲν τοὺς εὐσχημονεστάτους τῶν λόγων. βούλονται δὲ τὰ φαινόμενα λυσιτελῆ. οἷον τε θνᾶναι καλῶς μᾶλλον, ἢ ζῆν ἡδέως φασὶ δεῖν, καὶ πένεσθαι δικαίως μᾶλλον, ἢ πλουτεῖν αἰσχρῶς. βούλονται δὲ τἀναντία. τὸν μὲν οὖν λέγοντα κατὰ τὰς βουλήσεις, εἰς τὰς φαινομένας δόξας ἀκτέον. τὸν δὲ κατὰ ταύτας, εἰς τὰς ἀποκεκρυμμένας. ἀμφοτέρως γὰρ ἀναγκαῖον παράδοξα λέγειν. ἢ γὰρ πρὸς τὰς φανερὰς ἢ πρὸς τὰς ἀφανεῖς δόξας ἐροῦσιν ἐναντία. πλεῖστος δὲ τόπος ἐστὶ τοῦ ποιεῖν παράδοξα λέγειν. ὥσπερ καὶ ὁ Καλλικλῆς ἐν τῷ γοργίᾳ γέγραπται λέγων. καὶ οἱ ἀρχαῖοι δὲ πάντες ᾤοντο συμβαίνειν, παρὰ τὸ κατὰ φύσιν καὶ κατὰ τὸν νόμον. ἐναντία γὰρ εἶναι φύσιν καὶ νόμον, καὶ τὴν δικαιοσύνην κατὰ τὸν νόμον μὲν εἶναι καλὸν, κατὰ φύσιν δὲ οὐ καλόν. δεῖ οὖν πρὸς μὲν τὸν εἰπόντα κατὰ φύσιν, κατὰ νόμον ἀπαντᾶν. πρὸς δὲ τὸν κατὰ νόμον, ἐπὶ τὴν φύσιν ἄγειν. ἀμφοτέρως γὰρ εἶναι παράδοξα λέγειν. ἦν δὲ τὸ μὲν κατὰ φύσιν αὐτοῖς, τὸ ἀληθές· τὸ δὲ κατὰ νόμον. τὸ τοῖς πολλοῖς δοκοῦν. ὥστε δῆλον ὅτι κἀκεῖνοι καθάπερ καὶ οἱ νῦν, ἢ ἐλέγξαι ἢ παράδοξα λέγειν τὸν ἀποκρινόμενον ἐπεχείρουν ποιεῖν.

Ενια δὲ τῶν ἐρωτημάτων, ἔχει τὸ ἀμφοτέρως ἄδοξον εἶναι τὴν ἀπόκρισιν οἷον πότερον τοῖς σοφοῖς ἢ τῷ πατρὶ δεῖ πείθεσθαι, καὶ τὰ συμφέροντα πράττειν, ἢ τὰ δίκαια. καὶ ἀδικεῖσθαι αἱρετώτερον, ἢ ἀδικεῖν. δεῖ δὲ ἄγειν εἰς τὰ τοῖς πολλοῖς καὶ σοφοῖς ἐναντία. ἐὰν μὲν λέγῃ τὶς ὡς οἱ περὶ τοὺς λόγους, εἰς τὰ τοῖς πολλοῖς. ἐὰν δὲ ὡς οἱ πολλοί. ἐπὶ τὰ τοῖς σοφοῖς. φασὶ γὰρ οἱ μὲν ἐξ ἀνάγκης τὸν εὐδαίμονα δίκαιον εἶναι. τοῖς δὲ πολλοῖς ἄδοξον, τὸ, βασιλέα μὴ εὐδαιμονεῖν. ἔστι δὲ τὸ οὕτω τὰ ἄδοξα συνάγειν. τὸ αὐτὸ τῷ εἰς τὴν κατὰ φύσιν καὶ κατὰ τὸν νόμον ὑπεναντίωσιν ἄγειν. ὁ μὲν γὰρ νόμος. δόξα τῶν πολλῶν. οἱ

δὲ σοφοὶ

δὲ σοφοὶ, κατὰ φύσιν καὶ κατὰ ἀλήθειαν λέγουσι, καὶ τὰ μὲν παράδο
ξα ἐκ τούτων δεῖ ζητεῖν τῶν τόπων. Περὶ δὲ τοῦ ποιῆσαι ἀδολεσχεῖν, 13.
ὃ μὲν λέγομεν τὸ ἀδολεσχεῖν, εἰ ῥήκαμεν ἤδη. πάντες δὲ οἱ τοιοῦτοι λό
γοι τοῦτο βούλονται ποιεῖν, εἰ μηδὲν διαφέρει τὸ ὄνομα, ἢ τὸν λόγον εἰ
πεῖν. διπλάσιον δὲ καὶ διπλάσιον ἡμίσεος, ταυτόν. εἰ ἄρα ἐστὶν ἡμί=
σεος διπλάσιον, ἔσται ἡμίσεος ἡμίσεος διπλάσιον. καὶ πάλιν ἂν ἀντὶ
τοῦ διπλάσιον, διπλάσιον ἡμίσεος τεθῇ τρὶς ἔσται εἰρημένον, ἡμίσεος
ἡμίσεος ἡμίσεος διπλάσιον. καὶ εἰ ἆρά γέ ἐστιν ἡ ἐπιθυμία ἡδέος; τοῦ
το δέ ἐστιν ὄρεξις ἡδέος. ἔστιν ἄρα ἡ ἐπιθυμία, ὄρεξις ἡδέος ἡδέος. εἰσὶ
δὲ πάντες οἱ τοιοῦτοι τῶν λόγων ἐν τοῖς πρός τι. ὅσα μὴ μόνον τὰ γέ
νη. ἀλλὰ καὶ αὐτὰ πρός τι λέγονται. καὶ πρὸς τὸ αὐτὸ καὶ ἓν ἀποδίδο
ται. οἷον ἥ τε ὄρεξις τινὸς ὄρεξις, καὶ ἡ ἐπιθυμία τινὸς ἐπιθυμία. καὶ
τὸ διπλάσιον, τινὸς διπλάσιον. καὶ διπλάσιον ἡμίσεος, καὶ ὅσων ἡ
οὐσία οὐκ ὄντων πρός τι ὅλως ὧν εἰσὶν ἕξεις ἢ πάθη, ἤ τι τοιοῦτον, ἐν τῷ
λόγῳ αὐτῶν προσδηλοῦται κατηγορουμένων ἐπὶ τούτοις. οἷον τὸ πε προσδηλοῦται ἐπὶ τούτοις
ριττὸν, ἀριθμὸς μέσον ἔχων. ἔστι δὲ ἀριθμὸς περιττός. ἔστιν ἄρα ἀριθ=
μὸς μέσον ἔχων ἀριθμὸς, καὶ εἰ τὸ σιμὸν κοιλότης ῥινός ἐστιν. ἔστι δὲ
καὶ ἡ ῥὶς σιμή. ἔστιν ἄρα ῥὶς, ῥὶς κοίλη. φαίνονται δὲ ποιεῖν, οὐ ποιοῦντες
ἐνίοτε, διὰ τὸ μὴ προσπαυθάνεσθαι, εἰ σημαίνει τι καθ' αὑτὸ λεχθὲν τὸ δι
πλάσιον, ἢ οὐδὲν, καὶ εἴ τι σημαίνει, πότερον τὸ αὐτὸ ἢ ἕτερον. ἀλλὰ τὸ
συμπέρασμα λέγειν εὐθὺς, ἀλλὰ φαίνεται διὰ τὸ ὄνομα, ταυτὸ εἶναι
τοῦτο καὶ σημαίνειν. Σολοικισμὸς δὲ, οἷον μὲν ἐστιν, εἴρηται πρότε
ρον.* καθὰ Γρωταγόρας ἔλεγεν. εἰ ὁ μῆνις καὶ ὁ πήληξ, ἄῤῥεν ἐστίν. ὁ
μὲν γὰρ λέγων οὐλομένην, σολοικίζει μὲν κατ' ἐκεῖνον, οὐ φαίνεται
δὲ τοῖς ἄλλοις. ὁ δὲ οὐλόμενον, φαίνεται μὲν, ἀλλ' οὐ σολοικίζει. δῆ=
λον οὖν ὅτι καὶ τεχνίτης δύναται τοῦτο ποιεῖν. διὸ πολλοὶ τῶν λόγων τέχνη τις
οὐ συλλογιζόμενοι, σολοικισμὸν φαίνονται συλλογίζεσθαι. καθά-

hec desunt * ἔστι δὲ τοῦτο ποιεῖν, μὴ ποιοῦντα φαίνεσθαι, καὶ ποιοῦντα μὴ δοκεῖν.

περ ἐν τοῖς ἐλέγχοις. εἰσὶ δὲ πάντες σχεδὸν οἱ φαινόμενοι σολοικισμοί, παρὰ τὸ τόδε. καὶ ὅταν ἡ πῶσις μήτε ἄρρεν, μήτε θῆλυ δηλοῖ, ἀλλὰ τὸ μεταξύ. τὸ μὲν γὰρ οὗτος, ἄρρεν σημαίνει· τὸ δὲ αὕτη, θῆλυ. τὸ δὲ τοῦτο, θέλει μὲν τὸ μεταξὺ σημαίνειν. πολλάκις δὲ σημαίνει ἐκάτερον ἐκείνων. οἷον τὴ τοῖδε, Καλλιόπη, ξύλον, Κορίσκος. τοῦ μὲν οὖν ἄρρενος καὶ τοῦ θήλεος διαφέρουσιν αἱ πῶσεις ἅπασαι. τοῦ δὲ μεταξύ, αἱ μὲν, αἱ δὲ οὔ. διὸ θετέον δὴ πολλάκις τοῦτο, συλλογιζόντας ὡς εἰρημένον τοῦτον. ὁμοίως δὲ καὶ ἄλλῳ πῶσιν ἀντ' ἄλλης. ὁ δὲ παραλογισμὸς γίνεται, διὰ τὸ κοινὸν εἶναι τὸ, τόδε πλεόνων πῶσέων. τὸ γὰρ τοῦτο σημαίνει. ὅτὲ μὲν, οὗτος. ὁτὲ δὲ, τοῦτον. δεῖ δὲ ἐναλλὰξ σημαίνειν. μετὰ μὲν τὸ ἐστι, τὸ οὗτος. μετὰ δὲ τὸ εἶναι, τὸ, τοῦτον. οἷον ἔστιν ἱππόνικος, εἶναι ἱππόνικον. καὶ ἐπὶ τῶν θηλέων ὀνομάτων ὡσαύτως. καὶ ἐπὶ τῶν λεγομένων μὲν σκευῶν, ἐχόντων δὲ θηλείας, ἢ ἄρρενος κλῆσιν. ὅσα γὰρ εἰς τὸ ο καὶ τὸ ν τελευτᾷ, ταῦτα μόνα σκεύους ἔχει κλῆσιν. οἷον ξύλον, χοινίον. τὰ δὲ μὴ οὕτως, ἄρρενος, ἢ θήλεος. ὧν ἔνια φέρομεν ἐπὶ τὰ σκεύη. οἷον ἀσκὸς μὲν, ἄρρεν τοὔνομα. κλίνη δὲ, θῆλυ. διόπερ καὶ ἐπὶ τῶν τοιούτων, ὡσαύτως καὶ τὸ ἔστι, καὶ τὸ εἶναι διοίσει. καὶ τρόπον τινὰ ὅμοιός ἐστιν ὁ σολοικισμὸς τοῖς παρὰ τὸ τὰ μὴ ὅμοια, ἤτοι τοῖς παρὰ τὸ σχῆμα ὁμοίως λεγομένοις ἐλέγχοις. ὥσπερ γὰρ ἐκείνοις ἐπὶ τῶν πραγμάτων, τούτοις ἐπὶ τῶν ὀνομάτων συμπίπτει σολοικίζειν. ἄνθρωπος γὰρ καὶ λευκὸν, καὶ πρᾶγμα καὶ ὄνομά ἐστι. φανερὸν οὖν ὅτι τὸν σολοικισμὸν πειρατέον ἐκ τῶν εἰρημένων πῶσέων συλλογίζεσθαι. εἴδη μὲν οὖν ταῦτα τῶν ἀγωνιστικῶν λόγων,
14. καὶ μέρη τῶν εἰδῶν, καὶ τρόποι, οἱ εἰρημένοι· διαφέρει δ' οὐ μικρὸν, ἐὰν ταχθῇ πως τὰ πρὸς τὴν ἐρώτησιν πρὸς τὸ λανθάνειν, ὥσπερ ἐν τοῖς διαλεκτικοῖς. ἐφεξῆς οὖν τοῖς εἰρημένοις, ταῦτα πρῶ-

τον λε

τον λεκτέον. ἔστι δὲ πρὸς τὸ ἐλέγχειν ἓν μὲν, μῆκος· χαλεπὸν γὰρ ἅμα πολλὰ συνορᾶν. εἰς δὲ τὸ μῆκος, τοῖς προειρημένοις στοιχείοις χρηστέον, ἓν δὲ τάχος. ὑστερίζοντες γὰρ ἧττον προορῶσιν. ἔτι δὲ ὀργὴ καὶ φιλονεικία. ταραττόμενοι γὰρ, ἧττον λανθάνουσι φυλάττεσθαι πάντα. στοιχεῖα δὲ τῆς ὀργῆς, τό, τε φανερὸν ποιεῖν ἑαυτὸν βουλόμενον ἀληκεῖν. ἔτι, τὸ ἅμα μὲ τὰ ἐρωτήματα τιθέναι, ἐάν τε πρὸς αὐτὸ πλείους τις ἔχῃ λόγους, ἐάντε καὶ ὅτι οὕτως, καὶ ὅτι οὐχ οὕτως. ἅμα γὰρ συμβαίνει, ἢ πρὸς πλείω, ἢ πρὸς τἀναντία ποιεῖσθαι τὴν φυλακήν, ὅλως τε πάντα τὰ πρὸς τὴν κρύψιν λεχθέντα πρότερον, χρήσιμα καὶ πρὸς τοὺς ἀγωνιστικοὺς λόγους. ἡ γὰρ κρύψις ἐστὶ, τοῦ λαθεῖν χάριν. τὸ δὲ λαθεῖν, τῆς ἀπάτης. Πρὸς δὲ τοὺς ἀναιρεύοντας ἀπ' ἂν οἰηθῶσιν εἶναι πρὸς τὸν λόγον, ἐξ ἀποφάσεως ἐρωτητέον, ὡς τοὐναντίον βουλόμενον, ἢ καὶ ἐξ ἴσου ποιοῦντα τὴν ἐρώτησιν· ἀδήλου γὰρ ὄντος τί βούλεται λαβεῖν, ἧττον λυσκολαίνουσιν. ὅταν δ' ἐπὶ τῶν μερῶν τις διδῷ τὰ καθ' ἕκαστον ἐπάγοντα τὸ καθόλου πολλάκις, οὐκ ἐρωτητέον. ἀλλ' ὡς δεδομένῳ χρητέον. ἔνια τε γὰρ οἴονται καὶ αὐτοὶ δεδωκέναι, καὶ τοῖς ἀκούουσι φαίνονται, διὰ τὴν τῆς ἐπαγωγῆς μνείαν, ὡς οὐκ ἂν ἠρωτημένα μάτην. ἐν ὅσοις τε ὀνόμασι μὴ σημαίνεται τὸ καθόλου, ἀλλὰ τῇ ὁμοιότητι χρητέον πρὸς τὸ συμφέρον. λανθάνει γὰρ ἡ ὁμοιότης πολλάκις πρός τε τὸ λαβεῖν τὴν πρότασιν τοὐναντίον παραβαλόντα, καὶ πάλιν θέσθαι. δίον εἰ δέοι λαβεῖν, ὅτι δεῖ πάντα τῷ πατρὶ πείθεσθαι, πότερον ἅπαντα δεῖ πείθεσθαι τοῖς γονεῦσιν, ἢ πάντ' ἀπειθεῖν. καὶ τὸ πολλάκις πολλὰ πότερον συγχωρητέον, ἢ ὀλίγα. μᾶλλον γὰρ εἴσω ἀνάγκη, πολλὰ δόξειν ἂν εἶναι. παρατιθεμένων γὰρ ἐγγὺς τῶν ἐναντίων, καὶ μείζω, καὶ μεγάλα φαίνεται. καὶ χείρω καὶ βελτίω τοῖς ἀνθρώποις. σφόδρα δὲ καὶ πολλάκις δοκεῖν

δεσθ
κατὰ τὰ ἀκόλουθα ἀναιρεῖν

κις δοκεῖν ποιεῖ ἐλιλέχθαι τὸ μάλιστα σοφιστικὸν συκοφάντημά τῶν ἐρωτώντων, τὸ μηθὲν συλλογισαμένους, μὴ ἐρώτημα τὸ τελευταῖον. ἀλλὰ συμπερασικῶς εἰπεῖν ὡς συλλελογισμένους, οὐκ ἄρα τὸ καὶ τό. Σοφιστικὸν δὲ καὶ τὸ κειμένου παραλόξου, τὸ φαινόμενον ἀξιοῦν ἀποκεῖνεσθαι, προκειμένου τοῦ δοκοῦντος ἐξ ἀρχῆς. καὶ τὰς ἐρώτησιν τῶν τοιούτων οὕτω ποιεῖσθαι. πότερόν σοι δοκεῖ. ἀναγκαῖον γὰρ ἂν ᾖ τὸ ἐρώτημα ἐξ ὧν ὁ συλλογισμὸς ἔλεγχον ἢ παράδοξον γίνεσθαι. λόντος μὲν, ἔλεγχον. μὴ λόντος δὲ, μὴ δὲ δοκεῖν φάσκοντος, ἄλογον. μὴ λόντος δὲ, μὴ δὲ δοκεῖν ὁμολογοῦντος, ἐλεγχοειδές. Ετι καθάπερ ἐν τοῖς ῥητορικοῖς, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως τὰ ἐναντιώματα θεωρητέον, ἢ πρὸς τὰ ὑφ' αὑτῶν λεγόμενα ἢ πρὸς οὓς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν. Ετι πρὸς τοὺς δοκοῦντας τοιούτους, ἢ πρὸς τοὺς ὁμοίους, ἢ πρὸς τοὺς οἰκείους, ἢ πρὸς τοὺς πάντας. ὥσπερ καὶ ἀποκρινόμενοι πολλάκις ὅταν ἐλέγχωνται, ποιοῦσι λιπόν, ἐὰν μέλλῃ συμβαίνειν ἐλέγχεσθαι. καὶ ἐρωτῶντας χρησέον πρὸς τοῦτο πρὸς τοὺς ἐναντιουμένους. ἐὰν ὡσὶ μὲν συμβαίνῃ. ὡσὶ δὲ μὴ, ὅτι οὕτως εἴληφον. οἷον καὶ ὁ Κλεοφῶν ποιεῖ ἐν τῷ μαραθροβόλῳ. Δεῖ δὲ καὶ ἀφισαμένους τὸν λόγον, τὰ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπιτείνειν. καὶ ἀποκρινόμενον ὅταν προαισθάνηται, προενίστασθαι καὶ προαπορεύειν. ἐπιχειρητέον δὲ ἐνίοτε καὶ πρὸς ἄλογον, ἐκεῖνο λαμβάνοντας ἐὰν μὴ πρὸς τὸ προκείμενον ἔχῃ τις ἐπιχειρεῖν, ὅπερ ὁ Λυκόφρων ἐποίησε προβληθέντος λύραν ἐγκωμιάζειν. πρὸς δὲ τοὺς ἀπαιτοῦντας πρόσταξιν ἐπιχειρεῖν. ἐπειδὴ δοκεῖ δεῖν ἀποδιδόναι τὰ αἰτήσαντα. λεχθέντων δ' ἐνίων εὐφυλακτότερον τὸ καθόλου συμβαῖνον ἐν τοῖς ἐλέγχοις λέγειν τὴν ἀντίφασιν ὅ, τι ἔφησαν ἀποφῆσαι. ὅ, τι δ' ἀπέφησε, φῆσαι. ἀλλὰ μὴ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, ἢ οὐχ ὡς ἡ αὐτή. οὐ δεῖ δὲ τὸ συμπέρασμα προτατικῶς ἐρωτᾶν. ἔνια γὰρ οὐ δεῖ ἐρωτητέον

δοκεῖν δὲ

τητέον. ἀλλ' ὡς ὁμολογουμένως χρηστέον. ἐξ ὧν μὲν οὖν αἱ ἐρωτήσεις. καὶ πῶς ἐρωτητέον ἐν ταῖς ἀπαντικαῖς διατριβαῖς εἴρηται. περὶ δὲ ἀποκρίσεως, καὶ πῶς δεῖ λύειν, καὶ τί, καὶ πρὸς τίνα χρῆσιν τῶν λόγων ὁ τοιοῦτος ὠφέλιμος, μετὰ ταῦτα λεκτέον. χρήσιμοι μὲν οὖν εἰσὶ πρὸς φιλοσοφίαν, διὰ δύο. πρῶτον μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ γινόμενοι παρὰ τὸν λέξιν, ἄμεινον ἔχειν ποιοῦσι πρὸς τὸ ποσαχῶς ἔκαστον λέγεται. ἢ ποῖα ὁμοίως. ἢ ποῖα ἕτερος ἐπὶ τῶν πραγμάτων συμβαίνῃ, ἢ ἐπὶ τῶν ὀνομάτων. δεύτερον δ', πρὸς τὰς καθ' ἑαυτὸν ζητήσεις. ὁ μὴ ὑφ' ἑτέρων ῥᾳδίως παραλογιζόμενος. ἢ τὸ μὴ αἰσθανόμενος, κἂν αὐτὸς ὑφ' αὑτοῦ πολλάκις. ζῶν δὲ καὶ τὸ λοιπὸν ἔτι, πρὸς λέξιν, πρὸ πάντα γεγυμνάσθαι δοκεῖν. καὶ μηδενὸς ἀπείρως ἔχειν. τὸ δὲ κοινωνοῦντα λόγων, φέγειν λόγους μὴ θεὶν ἔχοντα διορίζειν περὶ τῆς φαυλότητος αὐτῶν, ὑποψίαν δίδωσι τοῦ δοκεῖν δυσχεραίνειν, οὐ διὰ τἀληθὲς, ἀλλὰ δι' ἀπειρίαν. ἀποκρινομένοις δέ πως ἀπαντητέον πρὸς τοὺς πιθανοὺς λόγους, φανερὸν εἶπερ ὀρθῶς εἰρήκαμεν πρότερον ἐξ ὧν εἰσὶν οἱ παραλογισμοί. καὶ τὰς ἐν τῷ πωθάνεσθαι πλεονεξίας, ἱκανῶς δεδείλωμεν. οὐ ταυτὸν δέ ἐστι λαβόντα τὸν λόγον ἰδεῖν καὶ λῦσαι τὴν μοχθηρίαν. καὶ ἐρωτῶμενον, ἁπαντᾶν δυνάσθαι ταχέως. ὁ γὰρ ἴσμεν πολλάκις, μεταθέμενον ἀγνοοῦμεν. ἔτι δὲ ὥσπερ ἐν τοῖς ἄλλοις, τὸ θᾶττον καὶ βραδύτερον ἐκ τοῦ γεγυμνάσθαι γίνεται μᾶλλον, οὕτω καὶ ἐπὶ τῶν λόγων ἔχει. ὥστε ἂν δῆλον μὲν ἡμῖν ᾖ, ἀμελέτητοι δ' ὦμεν, ὑστερήσομεν τῶν καιρῶν πολλάκις. συμβαίνει δέ ποτε καθάπερ ἐν ταῖς παγκράτιασι. καὶ γὰρ ἐκεῖ ἀναλύσαντες, ἐνίοτε σωθῆναι πάλιν ἀδυνατοῦμεν, οὕτω καὶ ἐν τοῖς ἐλέγχοις. εἰσιόντες μὲν γὰρ ὃ ὁ λόγος συμβαίνῃ, σωθῆναι τὸν λόγον ἀπορθοῦμεν. πρῶτον μὲν δὴ ὥσπερ συλλογίζεσθαι φαμὲν ἐνδέχεσθαι πότε πότερον μᾶλλον ἀληθῶς προαιρεῖσθαι δεῖν, οὕτω καὶ λύτέον ἐνδέχεται ποτὲ μᾶλλον

I. Decimus elenchorum. 1 2

μᾶλλον ἢ κατὰ τἀληθές. ὅλως γὰρ πρὸς τοὺς ἐριστικοὺς μαχητέον, οὐχ ὡς ἐλέγχοντας, ἀλλ' ὡς φαινομένους ἐλέγχειν. οὐ γὰρ φαμὲν συλλογίζεσθαι αὐτούς. ὥστε πρὸς τὸ μὴ δοκεῖν διορθωτέον.

Εἰ γάρ ἐστιν ὁ ἔλεγχος ἀντίφασις μὴ ὁμώνυμος ἕκτινων, οὐδὲν ἂν δέοι διαιρεῖσθαι, πρὸς τὰμφίβολα καὶ τὴν ὁμωνυμίαν. οὐ γὰρ ποιεῖ συλλογισμόν. ἀλλ' οὐδενὸς ἄλλου χάριν προδιαιρετέον, ἀλλ' ἢ ὅτι τὸ συμπέρασμα φαίνεται ἐλεγχομένης. οὐκοῦν ἐλεγχθῆναι, ἀλλὰ τὸ δοκεῖν ἐυλαβητέον. ἐπεὶ τόγε ἐρωτᾶν ἀμφίβολα, καὶ τὰ πρὸς τὴν ὁμωνυμίαν. ὅσαι τε ἄλλαι τοιαῦται παρακρούσεις καὶ τὸν ἀληθινὸν ἔλεγχον ἀφανίζει, καὶ τὸν ἐλεγχόμενον καὶ μὴ ἐλεγχόμενον ἄδηλον ποιεῖ. ἐπεὶ γὰρ ἔξεσιν ἐν τῷ τέλει συμπεραναμένῳ, μὴ ὅπερ ἔφησεν, ἀποφῆσαι λέγειν, ἀλλ' ὁμωνύμως ἢ ἀμφιβόλως, εἰ καὶ ὅτι μάλιστα ἔτυχεν ἐπὶ ταυτὸν φέρων, ἄδηλον εἰ ἐλήλεγκται. ἄδηλον γὰρ εἰ ἀληθῆ λέγει νῦν. εἰ δὲ διελὼν εἴρετο τὸ ὁμώνυμον ἢ τὸ ἀμφίβολον, οὐκ ἂν ἄδηλος εἴη ὁ ἔλεγχος. ὅτ' ἐπιζητοῦσι νῦν μᾶλλον ἧττον, πρότερον δὲ μᾶλλον οἱ ἐριστικοὶ τὸ ναὶ ἢ οὔ. ἀποκρίνεσθαι τὸν ἐρωτώμενον, ἐγίνετ' ἄν. νῦν δὲ διὰ τὸ μὴ καλῶς ἐρωτᾶν τοὺς σωθανομένους ἀνάγκη προσαποκρίνεσθαί τι διορθοῦντα τὴν μοχθηρίαν τῆς ἐρωτήσεως. ἐπεὶ διελομένους γε ἱκανῶς, ἀνάγκη ἢ ναί. ἢ οὐ λέγειν τὸν ἀποκρινόμενον. εἰ δέ τις ὑπολήψεται τὸν κατὰ τὴν ὁμωνυμίαν ἔλεγχον εἶναι, τρόπον τινὰ οὐκ ἔστι διαφυγεῖν τὸ ἐλέγχεσθαι τὸν ἀποκρινόμενον. ἐπὶ γὰρ τῶν ὁρατῶν, ἀναγκαῖον ὃ ἔφησεν ἀποφῆσαι ὄνομα. καὶ ὃ ἀπέφησε, φῆσαι. ὡς γὰρ διορθοῦταί τινες, οὐδὲν ὄφελος. οὐ γὰρ κορίσκον φασὶν εἶναι μουσικὸν καὶ ἄμουσον. ἀλλὰ τοῦτον τὸν κορίσκον, μουσικόν. καὶ τοῦτον τὸν κορίσκον ἄμουσον. ὁ γὰρ αὐτὸς ἔσται λόγος τοῦ, τὸν κορίσκον τῷ, τοῦτον τὸν κορίσκον, ὅπερ ἅμα φήσουσι καὶ ἀποφήσουσιν. ἀλλ'

ἴσως

ἴσως οὐ ταυτὸν σημαίνει. οὐ δὲ γὰρ ἐκεῖ τοὔνομα. ὥστε οὐδὲν τι διαφέρει, εἰ δὲ τὸ μὴ, τὸ ἁπλῶς λέγειν ἀποδώσει. τῷ δὲ, προσθήσει τι τι καὶ ἢ τόνδε, ἄτοπον. οὐδὲν γὰρ μᾶλλον θατέρῳ ὁποτέρῳ γὰρ διαφέρει. οὐ μὴν ἀλλ' ἐπεὶ δῆλός ἐστιν ὁ μὴ διορισάμενος τὴν ἀμφιβολίαν πότερον ἐλήλεγκται, ἢ οὐκ ἐλήλεγκται. δέδοται γὰρ ἐν τοῖς λόγοις τὸ διελεῖν, φανερὸν ὅτι τὸ μὴ διορίσαντα δοῦναι τὴν ἐρώτησιν. ἀλλὰ ἁπλῶς, ἁμάρτημά ἐστιν. ὥστε κἂν ἐι μὴ αὐτὸς, ἀλλ' ὅγε λόγος, ἐλήλεγμένῳ ὅμοιός ἐστι. συμβαίνει μὴν τοι πολλάκις ὁρῶντας τὴν ἀμφιβολίαν, ὀκνεῖν διαιρεῖσθαι διὰ τὴν συνκότητα τῶν τὰ τοιαῦτα προτεινόντων. ὅπως μὴ πρὸς ἅπασαν δυκῶσι διασκολαίνειν. ἔιτ', οὐκ ἂν οἰηθέντων παρὰ δόξαν γενέσθαι τὸν λόγον. πολλάκις δὲ ἀπήντησε παράδοξον. ὥστε ἐπεὶ δέδοται διαιρεῖν. οὐκ ὀκνητέον καθάπερ ἐλέχθη πρότερον. ἐι δὲ τὰ δύο ἐρωτήματα μὴ ἔντις ποιεῖ ἐρώτημα, οὐδ' ἂν ὁ παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν ἐγίνετο παραλογισμός. ἀλλ' ἢ ἔλεγχος, ἢ οὔ. τί γὰρ διαφέρει ἐρωτῆσαι, ἐι Καλλίας μὲν καὶ Θεμιστοκλῆς μουσικοί εἰσιν, ἢ ἀμφοτέροις ἓν ὄνομα ἦν ἑτέροις οὖσιν. ἐι γὰρ πλείω δηλοῖ ἑνός, πλείω ἠρώτησεν. ἐι δ' ὧν μὴ ὀρθὸν πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν ἀξιοῦν λαμβάνειν ἁπλῶς, φανερὸν ὅτι οὐδὲν προσήκει τῶν ὁμωνύμων ἀποκρίνεσθαι ἁπλῶς, οὐδ' ἐι κατὰ πάντων ἀληθὲς, ὥσπερ ἀξιοῦσί τινες. οὐδὲν γὰρ διαφέρει, ἢ εἴρετο, Κορίσκος καὶ Καλλίας, πότερον οἶκοι εἰσὶν ἢ οὐκ οἶκοι. εἴτε παρόντων ἀμφοῖν, εἴτε μὴ παρόντων. ἀμφοτέρως γὰρ, πλείους αἱ προτάσεις. οὐ γὰρ ἐι ἀληθὲς εἰπεῖν, διὰ ταῦτα μία ἡ ἐρώτησις. ἐγχωρεῖ γὰρ καὶ μυρία ἕτερα ἐρωτηθέντα ἐρωτήματα, ἅπαντα ναὶ ἢ οὐ ἀληθὲς εἶναι λέγειν. ἀλλ' ὅμως οὐκ ἀποκριτέον μιᾷ ἀποκρίσει. ἀναιρεῖται γὰρ τὸ διαλέγεσθαι. τοῦτο δ' ὅμοιον ὡς ἐι καὶ τὸ αὐτὸ ὄνομα τεθείη

τοῖς ἑτέροις. εἰ οὖν μὴ δεῖ πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν δι-
δόναι. φανερὸν ὅτι οὐδὲ ἐπὶ τῶν ὡμωνύμων τὸ ναὶ, ἢ οὐ λεκτέον. οὐ
δὲ γὰρ ὁ εἰπὼν ἀποκρίνεται, ἀλλ' ἤρηκεν. ἀλλ' ἀξιοῦνταί πως ἐν τοῖς
διαλεγομένοις, διὰ τὸ λανθάνειν τὸ συμβαῖνον, ὥσπερ οὖν εἴπομεν, ἐ
πειδήπερ οὐδ' ἐλεγχοίτινες ὄντες δοκοῦσιν εἶναι, κατὰ τὸν αὐτὸν τρό
πον, καὶ λύσεις δόξουσιν εἶναι οὐκ οὖσαι λύσεις. ἃς δὴ φαμὲν ἐνίο=
τε μᾶλλον δεῖν φέρειν, ἢ τὰς ἀληθεῖς ἐν τοῖς ἀγωνιστικοῖς λόγοις. καὶ
τῇ πρὸς τὸ διττὸν ἀπαντήσει. ἀποκριτέον δὲ, ἐπὶ μὲν τῶν δοκούν=
των, τὸ ἔσω λέγοντα, καὶ γὰρ οὕτως ἥκιστα γένοιτ' ἂν παρεξέλεγ=
χος, ἂν δέτι παράδοξον ἀναγκάζηται λέγειν, ἐνταῦθα μάλιστα προ
σθετέον τὸ δοκεῖν. οὕτω γὰρ οὔτε ἔλεγχος, οὔτε παράδοξον ἂν γίνε
σθαι δόξειεν. ἐπεὶ δὲ πῶς αἰτεῖται τὸ ἐν ἀρχῇ, δῆλον. οἴονται δὲ
πάντες ἂν ᾖ σύνεγγυς, ἀναιρετέον. καὶ μὴ συγχωρητέον εἶναι ἔνια,
ὡς τὸ ἐν ἀρχῇ αἰτοῦντος. ὅταν δὲ τοιοῦτον ἀξιοῖ τις, ὃ ἀναγκαῖον
μὲν συμβαίνει ἐκ τῆς θέσεως, ᾗ δὲ ψεῦδος ἢ ἄδοξον, ταὐτὸ λεκτέ=
ον. τὰ γὰρ ἐξ ἀνάγκης συμβαίνοντα τῆς αὐτῆς εἶναι θέσεως δοκεῖ.

Ετι ὅταν τὸ καθόλου μὴ ὀνόματι ληφθῇ, ἀλλὰ παραβολῇ, λε=
κτέον ὅτι οὐχ ὡς ἐδόθη. οὐδ' ὡς προὔτεινε λαμβάνει. καὶ γὰρ πα
ρὰ τοῦτο γίνεται πολλάκις ἔλεγχος. ἐξειργόμενον δὲ τούτων ἐπὶ τὸ
μὴ καλῶς δεδεῖχθαι, πορευτέον, ἀπαντῶντα κατὰ τὸν εἰρημένον
διορισμόν. ἐν μὲν οὖν τοῖς κυρίως λεγομένοις ὀνόμασιν, ἀνάγκη
ἀποκρίνεσθαι, ἢ ἁπλῶς, ἢ διαιρούμενον. ἃ δὲ συνυπονοῦντες τί=
θεμεν, οἷον ὅσα μὴ σαφῶς, ἀλλὰ κολοβῶς ἐρωτᾶται, παρὰ τοῦτο
συμβαίνει ὁ συλλογισμός. οἷον ἆρα ὃ ἂν ᾖ ἀθηναίων κτῆμα, ἔστιν
ἀθηναίων; ναί. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ἀλλὰ μὴν ὁ ἄνθρω=
πός ἐστι τῶν ζώων; ναί. κτῆμα ἄρα ὁ ἄνθρωπος τῶν ζώων. τὸν γὰρ
ἄνθρωπον τῶν ζώων εἶναι λέγομεν, ὅτι ζώων ἐστὶ, καὶ Λύσανδρον τῶν

Λακώνων

λακόνων, ὅτι λάκων. δῆλον οὖν ὡς ᾧ ὄνομα ἀσαφὲς τὸ προτεινόμενον, οὐ συγχωρητέον ἁπλῶς. ὅταν δὲ λυσιν ὄντοιν, θατέρου μὴ ὄντος, ἐξ ἀνάγκης θάτερον εἶναι δοκῇ. θατέρου δὲ, τοῦ μὴ ἐξ ἀνάγκης. ἐρωτῶμενον πότερον δεῖ, τὸ ἔλαττον λυσιόναι. χαλεπώτερον γὰρ συλλογίσασθαι ἐκ πλειόνων, ἐὰν δὲ ἐπιχειρῇ ὅτι τῷ μὴ ἐστιν ἐναντίον. τῷ δ' οὐκ ἔστιν, ἂν ὁ λόγος ἀληθὴς, ἐναντίον φᾶναι, ὄνομα δὲ μὴ κεῖσθαι τῷ ἑτέρῳ. ἐπεὶ δ' ἔνια μὴ ὧν λέγουσιν οἱ πολλοὶ τὸν μὴ συγχωροῦντα ψεύδεσθαι ἂν φαῖεν. ἔνια δ' οὔ. οἷον ὅσα ἀμφισβητοῦσι. πότερον γὰρ φθαρτὴ ἢ ἄφθαρτος ἡ ψυχὴ τῶν ζώων, οὐ διώρισται τοῖς πολλοῖς. ᾧ οὖν δῆλον ποτέρως οἴεσθε λέγεσθαι τὸ προτεινόμενον, πότερον ὡς αἱ γνῶμαι. καλοῦσι γὰρ γνώμας, καὶ τὰς ἀληθεῖς δόξας, καὶ τὰς ὅλας ἀποφάσεις ὡς ἡ διάμετρος ἀσύμμετρος. ἔτι οὐ τἀληθὲς ἀμφισβητοῦσι μάλιστα, μεταφέρων ἄντις λαμβάνοι τὰ ὀνόματα περὶ τούτων· διὰ μὲν γὰρ τὸ ἄδηλον εἶναι ποτέρως ἔχει τὰ ἀληθῆ, οὐ δόξει συμβιβάζεσθαι. διὰ δὲ τὸ ἀμφίδοξον, οὐ δόξει ψεύδεσθαι. ἢ δὲ μεταφορὰ ποιήσει τὸν λόγον ἀνεξέλεγκτον. ἔτι ὅσα ἄντις προαιδάνηται τῶν ἐρωτημάτων, προενιστατέον, καὶ προαγορευτέον. οὕτω γὰρ ἂν μάλιστα τὸν πωωθανόμενον κωλύσειεν. ἐπεὶ δ' ἔστιν ἡ μὲν ὀρθὴ λύσις, ἐμφάνισις ψευδοῦς συλλογισμοῦ, παρὰ ποίαν ἐρώτησιν συμβαίνει τὸ ψεῦδος. ὁ δὲ ψευδὴς συλλογισμὸς λέγεται διχῶς. ἢ γὰρ εἰ συλλελόγισται ψευδῶς, ἢ εἰ μὴ ὢν συλλογισμὸς δοκεῖ εἶναι συλλογισμός, εἴη ἂν ἥτε εἰρημένη νῦν λύσις, καὶ ἡ τοῦ φαινομένου συλλογισμοῦ. παρά τι φαίνεται τῶν ἐρωτημάτων διόρθωσις. ὥστε συμβαίνει τῶν λόγων τοὺς μὲν συλλελογισμένους ἀνελόντα. τοὺς δὲ φαινομένους διελόντα, λύειν. πάλιν ἐπεὶ τῶν συλλελογισμένων λόγων, οἱ μὲν, ἀληθές. οἱ δὲ ψευδὲς ἔχουσι τὸ συμπέρασμα. τοὺς μὲν κατὰ τὸ συμπέρασμα ψευδεῖς, διχῶς ἐνδέχεται λύειν. καὶ

ειν. καὶ γὰρ τῷ ἀνελεῖν τι τῶν ἠρωτημένων, καὶ τῷ δεῖξαι τὸ συμπέρασμα ἔχον οὕτως. τοὺς δὲ κατὰ τὰς προτάσεις, τῷ ἀνελεῖν τι μόνον· τὸ γὰρ συμπέρασμα ἀληθές. ὥστε τοῖς βουλομένοις λύειν λόγον. πρῶτον μὲν σκεπτέον εἰ συλλελόγισται ἢ ἀσυλλόγιστος. εἶτα πότερον ἀληθὲς τὸ συμπέρασμα ἢ ψευδές. ὅπως ἢ διαιροῦντες ἢ ἀναιροῦντες λύωμεν· καὶ ἀναιροῦντες, ἢ ὧδε ἢ ὧδε καθάπερ ἐλέχθη πρότερον. Διαφέρει δὲ πλεῖστον ἐρωτώμενόν τε καὶ μὴ, λύειν λόγον, τὸ μὲν γὰρ προϊδεῖν, χαλεπόν. τὸ δὲ κατὰ σχολὴν ἰδεῖν, ῥᾴδιον. τῶν μὲν οὖν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν ἐλέγχων. οἱ μὲν ἔχουσί τι τῶν ἐρωτημάτων πλείω σημαῖνον. οἱ δὲ τὸ συμπέρασμα πολλαχῶς λεγόμενον. οἷον ἐν μὲν τῷ σιγῶντα λέγειν, τὸ συμπέρασμα διττόν. ἐν δὲ τῷ μὴ συνεπίσταθαι τὸν ἐπισάμενον, ὡς ἐπὶ τοῦδε ὁ ἐπισάμενος λέγειν, ἢ πράττειν, καὶ ἐκεῖνο συνεπίσταθαι ὃ λέγει, ἢ πράττει; οὗτος δὲ ἐπίσταται λέγειν ἰαμβεῖα, οὗτος ἄρα συνεπίσταται, καὶ τὰ ἰαμβεῖα, ἓν τῶν ἐρωτημάτων σημαίνει τὸ διττόν. τὸ μὲν ὄν, τὸ δὲ οὐκ ὄν. ὅσοις μὲν οὖν ἐν τῷ τέλει τὸ πλεοναχῶς, ἂν μὴ προσλάβῃ τὴν ἀντίφασιν, οὐ γίνεται ἔλεγχος. οἷον ἐν τῷ τυφλὸν ὁρᾶν. ἄνευ γὰρ ἀντιφάσεως, οὐκ ἦν ἔλεγχος. ὅσοις δὲ ἐν τοῖς ἐρωτήμασιν, οὐκ ἀνάγκη προαποφῆσαι τὸ διττόν. οὐ γὰρ πρὸς τοῦτο, ἀλλὰ διὰ τοῦτο ὁ λόγος. ἐν ἀρχῇ μὲν οὖν τὸ διπλοῦν, καὶ ὄνομα, καὶ λόγον οὕτως ἀποκριτέον. ὅτι ἔστιν ὣς, ναί. ἔστι δ' ὣς, οὔ. καὶ τὰ δέοντα πρακτέον ἐστὶν ἅ. ἔστι δὲ ἃ οὔ. τὰ δὲ δέοντα λέγεται πολλαχῶς. ἐὰν δὲ λάθῃ, ἐπὶ τέλει προστιθέντα τῇ ἐρωτήσει διορθωτέον. ἔστιν ἄρα σιγῶντα λέγειν, οὔ. ἀλλὰ τόνδε σιγῶντα, καὶ ἐν τοῖς ἔχουσι δὲ τὸ πλεοναχῶς ἐν ταῖς προτάσεσιν, ὁμοίως. οὐκ ἄρα συνεπίστανται ὅτι ἐπίστανται; ναί. ἀλλ' οὐχὶ οὕτως ἐπισάμενοι. οὐ γὰρ ταυτόν ἐστιν, ὅτι οὐκ ἔστι συνεπίσταθαι, καὶ ὅ-

τι τοὺς

τι τοὺς ὡλὶ ἐπισταμένους οὐκ ἔστιν. Ολως τε μαχητέον κἂν ἁπλῶς συλλογίζηται, ὅτι οὐχ ὃ ἔφησεν ἀπέφησε πρᾶγμα ἀλλὰ ὄνομα. ὥστε τοῦτο οὐκ ἔλεγχος. φανερὸν δὲ καὶ τοὺς παρὰ τὴν λιαίρεσιν καὶ σώθεσιν ὡς λυτέον. ἐὰν γὰρ διαιρούμενος καὶ συντιθέμενος ὁ λόγος ἕτερον σημαίνῃ. συμπεραινομένου, τοὐναντίον λεκτέον. εἰσὶ δὲ πάντες οἱ τοιοῦτοι λόγοι, παρὰ σώθεσιν, καὶ διαίρεσιν. ἆρ' ᾧ εἶδες σὺ τοῦτον τυπτόμενον, τούτῳ ἐτύπτετο οὗτος; καὶ ᾧ ἐτύπτετο, τοῦτο σὺ εἶδες; ἔχει μὲν οὖν τι καὶ τῶν ἀμφιβόλων ἐρωτημάτων, ἀλλ' ἔστι παρὰ σώθεσιν. οὐ γὰρ ἐστὶ διττὸν τὸ παρὰ τὴν διαίρεσιν. οὐ γὰρ ὁ αὐτὸς λόγος γίνεται διαιρούμενος, εἴπερ μὴ καὶ τὸ ὄρος καὶ ὁ ὅρος τῇ προσῳδίᾳ λεχθὲν ὡλί, ἕτερον σημαίνει. ἀλλ' ἓν μὲν τοῖς γεγραμμένοις ταὐτὸν ὄνομα ὅταν ἐκ τῶν αὐτῶν στοιχείων γεγραμμένον ᾖ, καὶ ὡσαύτως. κἀκεῖ δὴ τὰ παράσημα ποιοῦσι. τὰ δὲ φθεγγόμενα, οὐ ταὐτά. ὥστε οὐ διττὸν τὸ παρὰ τὴν διαίρεσιν. φανερὸν δὲ καὶ ὅτι οὐ πάντες οἱ ἔλεγχοι παρὰ τὸ διττόν, καθάπερ τινές φασι. διαιρετέον οὖν τῷ ἀποκρινομένῳ. οὐ γὰρ ταὐτὸν εἶναι τοῖς ὀφθαλμοῖς τυπτόμενον, καὶ τὸ φάναι ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον. καὶ ὁ εὐθυδήμου λόγος. ἆρα οἶσθας σὺ ναῦν οὖσαν ἐν πειραιεῖ τριήρεις ἐν σικελίᾳ ὤν; καὶ πάλιν ἆρ' ἔστιν ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι; εἶτα δ' ἄντις ἀγαθὸς ὢν σκυτεὺς μοχθηρός. ὥστε σκυτεὺς μοχθηρός. ἆρ' ὧν ἐπίσταμαι σουδαῖα σουδαῖα τὰ μαθήματα; τοῦ δὲ κακοῦ σουδαῖον τὸ μάθημα; σουδαῖον ἄρα μάθημα τὸ κακόν. ἀλλὰ μὴν τὸ κακόν, καὶ μάθημα, καὶ κακόν. ὥστε κακὸν μάθημα τὸ κακόν. ἆρ' ἀληθὲς εἰπεῖν νῦν ὅτι σὺ γέγονας; γέγονας ἄρα νῦν, ἢ ἄλλο σημαίνει διαιρετέον. ἀληθὲς γὰρ εἰπεῖν νῦν, ὅτι γέγονας, ἀλλ' οὐ νῦν, ἆρ' ὡς λάυασον, καὶ ἃ λάυασον, οὕτως καὶ ταῦτα, ποιή

τα, ποιήσαις ἄν. οὐ κιθαρίζων δὲ ἔχεις δύναμιν τοῦ κιθαρίζειν; κιθαρί-
σαις ἂν ἄρα οὐ κιθαρίζων. ἢ οὐ τούτου ἔχει τὴν δύναμιν τοῦ οὐ κιθαρί-
ζων κιθαρίζειν, ἀλλ' ὅτε οὐ ποιεῖ τοῦτο ποιεῖν. λύουσι δὲ τοῦτό τινες καὶ ἄλ-
λως. εἰ γὰρ ἔδωκεν ὡς δύναται ποιεῖν, οὔ φασι συμβαίνει μὴ κιθαρίζον-
τα κιθαρίζειν. οὐ γὰρ πάντως ὡς δύναται ποιεῖν, δεδόσθαι ποιήσειν.
οὐ ταυτὸν δ' εἶναι τὸ ὡς δύναται, πάντως ὡς δύναται ποιεῖν. ἀλλὰ
φανερὸν, ὅτι οὐ καλῶς λύουσι. τῶν γὰρ παρὰ ταυτὸν λόγων ἡ αὐτὴ
λύσις, αὐτὴ δ' οὐχ ἁρμόσει ἐπὶ πάντας. οὐ δὲ πάντως ἐρωτωμένους.
ἀλλ' ἔστι πρὸς τὸν ἐρωτῶντα οὐ πρὸς τὸν λόγον. παρὰ δὲ τὴν προσῳ-
δίαν, λόγοι μὲν οὐκ εἰσὶν, οὔτε τῶν γεγραμμένων, οὔτε τῶν λεγο-
μένων. πλὴν εἴτινες ὀλίγοι γένοιντ' ἄν. οἷον οὗτος ὁ λόγος. ἆρά γέ ἐστι τὸ
οὗ καταλύεις οἰκία; ναί. οὐκοῦν τὸ οὐ καταλύεις τοῦ καταλύεις ἀπό-
φασις. ἔφησας δὲ εἶναι τὸ οὐ καταλύεις οἰκίαν. ἡ οἰκία ἄρα ἀπό-
φασις. ὡς δὴ λυτέον, δῆλον. οὐ γὰρ ταυτὸ σημαίνει ὀξύτερον, τὸ δὲ βρα-
δύτερον ῥηθέν. δῆλον δὲ, καὶ τοῖς παρὰ τὸ ὡσαύτως λέγεσθαι τὰ μὴ
ταυτὰ, πῶς ἀπαντητέον. ἐπείπερ ἔχομεν τὰ γένη τῶν κατηγοριῶν.
ὁ μὲν γὰρ ἔδωκεν ἐρωτηθεὶς μὴ ὑπάρχειν τὶ τῶν ὅσα τί ἐστι σημαί-
νει. ὁ δὲ ἔδειξεν ὑπάρχειν τὶ τῶν πρόστι ἢ ποσῶν, δοκούντων δὲ τί ἐστι
σημαίνειν, διὰ τὴν λέξιν. οἷον ἐν τῷδε τῷ λόγῳ. ἆρ' ἐνδέχεται τὸ αὐτὸ
ἅμα ποιεῖντε καὶ πεποιηκέναι; ἀλλὰ μὲν ὁρᾶν γέ τι καὶ ἑωρακέναι τὸ
αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἐνδέχεται. ἆρά ἐστί τι τῶν πάσχειν, ποιεῖν τί; οὐ
κοῦν τὸ τέμνεται, καίεται, αἰσθάνεται, ὁμοίως λέγετε. καὶ ταῦτα πά-
σχειν τὶ σημαίνει. τὶ δὲ πάλιν τὸ λέγειν, τρέχειν, ὁρᾶν, ὁμοίως ἀλλήλοις
λέγεται; ἀλλὰ μὴν τὸ γ' ὁρᾶν, αἰσθάνεσθαι τί ἐστιν. ὥστε καὶ πάσχειν τὶ,
ἅμα δὲ καὶ ποιεῖν. εἰ δέ τις ἐκεῖ δοὺς μὴ ἐνδέχεσθαι ἅμα τὸ αὐτὸ ποι-
εῖντε καὶ πεποιηκέναι, τὸ ὁρᾶν καὶ ἑωρακέναι φαίη ἐγχωρεῖν, οὔπω
ἐλήλεγκται; εἰ μὴ λέγοι τὸ ὁρᾶν ποιεῖντι, ἀλλὰ πάσχειν. προσδεῖ

γὰρ

Περὶ σοφιστικῶν ἐλέγχων.

γὰρ τούτου τοῦ ἐρωτήματος. ἀλλ' ὑπὸ τοῦ ἀκούοντος ὑπολαμβά-
νεται δεδωκέναι, ὅτε τὸ τέμνειν ποιεῖν τι. καὶ τὸ τετμηκέναι, πε-
ποιηκέναι τὶ ἔδωκε. καὶ ὅσα ἄλλα ὁμοίως λέγεται. τὸ γὰρ λοι-
πὸν αὐτὸς προστίθησιν ὁ ἀκούων, ὡς ὁμοίως λεγόμενον. τὸ δὲ
λέγεται μὲν οὐχ ὁμοίως, φαίνεται δὲ διὰ τὴν λέξιν. τὸ αὐτὸ δὲ
συμβαίνει, ὅπερ ἐν ταῖς ὁμωνυμίαις. οἴεται γὰρ ἐν τοῖς ὁμωνύ-
μοις ὁ ἀγνὼς τῶν λόγων, ὃ ἔφησεν ἀποφῆσαι πρᾶγμα οὐχὶ ὄ-
νομα. τῷ δὲ ἔτι προσδεῖ ἐρωτήματος, εἰ ἐφ' ἓν βλέπων λέγοι τὸ
ὁμώνυμον. οὕτως γὰρ δόντος, ἔσται ἔλεγχος. ὅμοιοι δὲ καὶ οἵδε
οἱ λόγοι τούτοις. εἴτις τὶ ἔχων ὕστερον μὴ ἔχει ἀπέβαλεν; ὁ γὰρ ἕνα
μόνον ἀποβαλὼν ἀστράγαλον, οὐχ ἕξει δέκα ἀστραγάλους. ἢ ὃ μὲν μὴ
ἔχει πρότερον ἔχων ἀποβέβληκεν. ὅσον δὲ μὴ ἔχει ἢ ὅσα, οὐκ ἀνάγκη
τοσαῦτα ἀποβαλεῖν. ἐρωτήσας οὖν ὃ ἔχει, συνάγει ἐπὶ τοῦ ὅσα. τὰ
γὰρ δέκα, ποσά. εἰ οὖν ἤρετο ἐξ ἀρχῆς ὅσα τὶς μὴ ἔχει πρό-
τερον ἔχων, ἆρά γε ἀποβέβληκε τοσαῦτα, οὐδεὶς ἂν ἔδωκεν. ἀλλ'
ἢ τοσαῦτα, ἢ τούτων τί. καὶ ὅτι δοίη ἂν ὃ μὴ ἔχει. οὐ γὰρ ἔχει
μόνον ἕνα ἀστράγαλον. ἢ οὐ δέδωκεν ὃ οὐκ εἶχεν, ἀλλ' ὡς οὐκ εἶχε-
τὸν ἕνα. τὸ γὰρ μόνον, οὐ τόδε σημαίνει. οὐ δὲ τοιόνδε. οὐ δὲ τοσόν-
δέτι. ἀλλ' ὡς ἔχει πρόστι. δῖον ὅτι οὐ μετὰ ἄλλου. ὥσπερ οὖν εἰ ἤρε-
το. ἆρ' ὃ μὴ ἔχει τὶς δοίη ἄν, τις; φάντος δὲ, ἔροιτο, εἰ δοίη ἄν τίς τι τα-
χέως μὴ ἔχων ταχέως; φήσαντος δὲ, συλλογίζοιτο, ὅτι δοίη ἄν τις ὃ
μὴ ἔχει. καὶ φανερὸν ὅτι οὐ συλλελόγισται. τὸ γὰρ ταχέως, οὐ τόδε
διδόναι ἐστίν. ἀλλ' ὧδε διδόναι. ὡς δὲ μὴ ἔχει τις, δοίη ἄν. δῖον ἡδέως
ἔχων, δοίη ἂν λυπηρῶς. ὅμοιοι δὴ καὶ οἵδε πάντες. ἆρ' ἢ μὴ ἔχει χειρὶ τύ-
πτοι ἄν. ἢ ᾧ μὴ ἔχει ὀφθαλμῷ ἴδοι ἄν. οὐ δὲ ἔχει ἕνα μόνον. λύουσι μὲν
οὖν τινες λέγοντες, καὶ ὡς ἔχει ἕνα μόνον καὶ ὀφθαλμὸν καὶ ἄλλο ὁ-
τιοῦν ὃ πλείω ἔχων. οἱ δὲ καὶ ὡς ὃ ἔχει ἔλαβεν. ἐδίδου γὰρ μίαν μό-
νην οὖν

νην οὗτος ψῆφον. καὶ οὗτος ἔχει φασὶ μίαν μόνην παρὰ τούτου ψῆφον. οἱ δὲ εὐθὺς τὴν ἐρώτησιν ἀναιροῦντες. ὅτι ἐνδέχεται ὃ μὴ ἔλαβεν ἔχειν. οἷον οἶνον λαβόντα ἡδὺν διαφθαρέντα ἐν τῇ λήψει, ἔχειν ὀξήν. ἀλλ' ὅπερ ἐλέγχθη καὶ πρότερον. οὗτος πάντες οὐ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς ἄνθρωπον. εἰ γὰρ ἦν αὕτη λύσις, δόντα τὸ ἀντικείμενον, οὐχ οἷόν τε λύειν καθάπερ ἐπὶ τῶν ἄλλων. οἷον εἰ ἔστι μὲν ὅ. ἔστι δὲ ὃ οὔ, ἡ λύσις ἂν ἁπλῶς δῶ λέγεσθαι, συμπεραίνεται. ἐὰν δὲ μὴ συμπεραίνεται, οὐκ ἂν εἴη λύσις. ἐάν τε τοῖς προειρημένοις πάντων διδομένων, οὐ φαμὲν γίνεσθαι συλλογισμόν. ἔτι δὲ καὶ οἵδε εἰσὶ τούτων τῶν λόγων. ἆρα ὃ γέγραπται γέγραφέτις; γέγραπται δὲ νῦν ὅτι σὺ κάθησαι, ψευδὴς ὁ λόγος. ἦν δ' ἀληθὴς ὅτε ἐγράφετο. ἅμα ἄρα ἐγράφετο, ψευδὴς καὶ ἀληθής. τὸ γὰρ ψευδῆ ἢ ἀληθῆ λέγειν λόγον ἢ δόξαν εἶναι, οὐ τόδε, ἀλλὰ τοιόνδε σημαίνει. ὁ γὰρ αὐτὸς λόγος καὶ ἐπὶ τῆς δόξης. καὶ ἆρ' ὃ μανθάνει. ὁ μανθάνων τοιτό ἐστιν ὃ μανθάνει. μανθάνει δέ τις τὸ βραδὺ, ταχύ. οὐ δὴ ὃ μανθάνει, ἀλλ' ὡς μανθάνει εἴρηκε. καὶ ἆρ' ὃ βαδίζει τὶς πατεῖ. βαδίζει δὲ τὴν ἡμέραν ὅλην. ἢ οὐχ ὃ βαδίζει, ἀλλ' ὅτε βαδίζει εἴρηκεν. οὐ δ' ὅταν τὴν κύλικα πίνει, ὃ πίνῃ ἀλλ' ἐξ οὗ. καὶ ἆρα ὅτις οἶδε, οὗτος ἢ εὑρὼν ἢ μαθὼν οἶδεν. ὧν δὲ τὸ μὲν εὗρε τὸ δὲ ἔμαθε, τὰ ἄμφω οὐδέτερα. ἢ ὃ μὲν, οὐχ ἅπαν. ὅδε, ἅπαν. καὶ ὅτι ἐστί τις τρίτος ἄνθρωπος παρ' αὐτὸν καὶ τοὺς καθ' ἕκαστον. τὸ γὰρ ἄνθρωπος καὶ ἅπαν τὸ κοινὸν, οὐ τὸ δέ τι, ἀλλὰ τοιόνδε τι, ἢ πρόστι, ἢ πῶς, ἢ τῶν τοιούτων τὶ σημαίνει. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Κορίσκος καὶ Κορίσκος μουσικὸς, πότερον ταὐτὸν ἢ ἕτερον. τὸ μὲν γὰρ τόδε. οὗτος δὲ τοιόνδε σημαίνει. ὥστε οὐκ ἔστιν αὐτὰ ἐκθέσθαι. οὐ διὰ τὸ ἐκτίθεσθαι δὲ ποιεῖ τὸν τρίτον ἄνθρωπον. ἀλλὰ τὸ ὅπερ τόδε. τὸ δέ τι εἶναι συγχωρεῖν. οὐ γὰρ ἔσται τὸ δέ τι εἶναι ὅπερ Καλλίας καὶ ὅπερ ἄνθρωπός ἐστιν. οὐ δ' εἴ τις τὸ ἐκτιθέμενον

μῶνον μὴ ὅπερ τὸ λέγειν εἶναι λέγοι, ἀλλ' ὅπερ ποιὸν οὐδὲν διοίσει. ἔσται γὰρ παρὰ τὰς πολλοὺς ἕν τι. οἷον ὁ ἄνθρωπος. φανερὸν δὲ ὅτι οὐ δοτέον τὸ λέγειν εἶναι τὸ κοινῇ, κοινῇ κατηγορούμενον ἐπὶ πᾶσιν. ἀλλ' ἤτοι ποσόν, ἢ ποιόν, ἢ πρός τι, ἢ τι τῶν τοιούτων σημαίνει. ὅλως δὲ ὢν τοῖς παρὰ τὴν λέξιν λόγοις, ἀεὶ κατὰ τὸ ἀντικείμενον ἔσται ἡ λύσις, ἢ παρ' ὃ ἔστιν ὁ λόγος. οἷον εἰ παρὰ τὴν σύνθεσιν ὁ λόγος, ἡ λύσις διελόντι. εἰ δὲ παρὰ τὴν διαίρεσιν, συνθέντι. πάλιν εἰ παρὰ προσῳδίαν ὀξεῖαν, ἡ βαρεῖα προσῳδία λύσις. εἰ δὲ παρὰ βαρεῖαν, ἡ ὀξεῖα. εἰ δὲ παρ' ὁμωνυμίαν ἐστί, τὸ ἀντικείμενον ὄνομα εἰπόντα λύειν. οἷον εἰ ἔμψυχον συμβαίνοι λέγειν. ἀποφήσαντα δὲ μὴ εἶναι, δῆλον ὡς ἔστιν ἔμψυχον. εἰ δ' ἄψυχον ἔφησαν. ὁ δὲ τὸ ἔμψυχον συλλογίσατο, λέγειν ὡς ἔστιν ἄψυχον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀμφιβολίας. εἰ δὲ παρ' ὁμοιότητα λέξεως, τὸ ἀντικείμενον ἔσται λύσις. ἆρ' ὃ μὴ ἔχει δύο τις ἄν; ἢ οὐχ ὃ μὴ ἔχει, ἀλλ' ὡς οὐκ ἔχει. οἷον ἕνα μόνον ἀδελφὸν. ἆρα ὃ ἐπίσταται, μαθὼν ἢ εὑρὼν ἐπίσταται; ἀλλ' οὐχ ἃ ἐπίσταται. καὶ εἰ ὁ βαλίζει πατεῖ; ἀλλ' οὐχ ὅτε. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πρὸς δὲ τοὺς παρὰ τὸ συμβεβηκός, μία μὲν ἂν αὐτοῖς λύσις πρὸς ἅπαντας. ἐπεὶ γὰρ ἀδιόρισόν ἐστι τὸ ποτὲ λεκτέον ἐπὶ τοῦ πράγματος, ὅταν ἐπὶ τοῦ συμβεβηκότος ὑπάρχῃ. καὶ ἐπ' ἐνίων μὲν δοκεῖ καὶ φασίν, ἐπ' ἐνίων δὲ οὐ φασὶν ἀναγκαῖον εἶναι. ζητέον δὲ καὶ συμβιβαθέντας ὁμοίως πρὸς ἅπαντας, ὅτι οὐκ ἀναγκαῖον. ἔχειν δὲ δεῖ προφέρειν τὸ οἷον. εἰσὶ δὲ πάντες οἱ τοιοῦδε τῶν λόγων παρὰ τὸ συμβεβηκός. οἷον ἆρ' οἶδας ὃ μέλλω σε ἐρωτᾶν. ἆρ' οἶδας τὸν προσιόντα. ἢν κεκαλυμμένον. ἆρ' ἃ ἀνοσιὰς σόν ἐστιν ἔργον. ἢ σὸς ὁ κύων πατήρ. ἆρα τὰ ὀλιγάκις, ὀλίγα.

φανερὸν γὰρ ἐν ἅπασι τούτοις, ὡς οὐκ ἀνάγκη τὸ κατὰ τοῦ συμβε-
βηκότος, καὶ κατὰ τοῦ πράγματος ἀληθεύεσθαι. μόνοις γὰρ τοῖς κα-
τὰ τὴν οὐσίαν ἀδιαφόροις καὶ ἓν οὖσιν, ἅπαντα ὑπάρχειν. τῷ δὲ
ἀγαθῷ, οὐ ταυτόν ἐστιν ἀγαθῷ τε εἶναι καὶ μέλλοντι ἐρωτᾶσθαι. οὐ
δὲ τῷ προσιόντι, ἢ ἐγκεκαλυμμένῳ, προσιόν τι τὲ εἶναι καὶ Κορί-
σκῳ. ὥστε οὐκ εἰ οἶδα τὸν Κορίσκον. ἀγνοῶ δὲ τὸν προσιόντα, τὸν
αὐτὸν οἶδα καὶ ἀγνοῶ. οὐδ' εἰ τοῦτό ἐστιν ἔργον, ἐμὸν δέ ἐστιν. ἐμόν
ἐστιν ἔργον, ἀλλ' ἢ κτῆμα, ἢ πρᾶγμα, ἢ ἄλλο ὁτιοῦν. τὸν αὐτὸν τρό-
πον καὶ ἐπὶ τῶν ἄλλων. λύουσι δέ τινες διαιροῦντες τὴν ἐρώτη-
σιν. φασὶ γὰρ ἐνδέχεσθαι ταυτὸ πρᾶγμα εἰδέναι καὶ ἀγνοεῖν, ἀλ-
λὰ μὴ κατὰ ταὐτό. τὸν οὖν προσιόντα οὐκ εἰδότες. τὸν δὲ Κορίσκον
εἰδότες, ταὐτὸ μὲν εἰδέναι καὶ ἀγνοεῖν φασιν, ἀλλ' οὐ κατὰ ταὐτό.
καί τοι πρῶτον μὲν, καθάπερ ἤδη εἴπωμεν δεῖ τῶν παρὰ ταὐτὸ λό-
γων τὴν αὐτὴν εἶναι διόρθωσιν. αὕτη δὲ οὐκ ἔσται, ἄντις μὴ ἐπὶ τοῦ
εἰδέναι, ἀλλ' ἐπὶ τοῦ εἶναι ἢ πῶς ἔχειν τὸ αὐτὸ ἀξίωμα λαμβάνῃ.
οἷον εἰ ὅδε ἐστὶ πατὴρ, ἔστι δὲ σός. εἰ γὰρ ἐπ' ἐνίων τοῦτό ἐστιν ἀλη-
θὲς, καὶ ἐνδέχεται ταὐτὸ εἰδέναι καὶ ἀγνοεῖν, ἀλλ' ἐνταῦθα οὐδὲν
κοινωνεῖ τὸ λεχθέν. οὐδὲν δὲ κωλύει τὸν αὐτὸν λόγον πλείους μο-
χθηρίας ἔχειν, ἀλλ' οὐχ ἡ πάσης ἁμαρτίας ἐμφάνισις, λύσις ἐστίν.
ἐγχωρεῖ γὰρ δεῖξαί τινα ὅτι ψεῦδος μὲν συλλελόγισται, παρ' ὃ δὲ,
μὴ δεῖξαι. οἷον τὸν Ζήνωνος λόγον ὅτι οὐκ ἔστι κινηθῆναι. ὥστε καὶ
εἴτις ἐπιχειρεῖ συνάγειν ὡς εἰς ἀδύνατον, ἁμαρτάνει, κἂν μυριά-
κις ᾖ συλλελογισμένον. ἀλλ' οὐκ ἔστιν αὐτὴ λύσις. ἦν γὰρ ἡ λύσις,
ἐμφάνισις ψευδοῦς συλλογισμοῦ παρ' ὃ ψευδής. εἰ οὖν μὴ συλλελό-
γισται, ἢ ἀληθὲς ἢ ψεῦδος ἐπιχειρεῖ συνάγειν, ἡ ἐκείνου δήλωσις, λύ-
σις ἐστίν. ἴσως δὲ καὶ τοῦτο ἐπ' ἐνίων οὐδὲν κωλύει συμβαίνειν. πλὴν

ἐπίγε τοῦ

ἐπί γε τούτων, οὐδὲ τοῦτο δόξειεν ἄν· καὶ γὰρ τὸν Κορίσκον ὅτι Κορί-
σκος, οἶδε. καὶ τὸ προσιὸν, ὅτι προσιὸν, εὐδέχεσθαι τὸ αὐτὸ εἰδέναι
καὶ μή. οἷον ὅτι μὲν λευκὸν, εἰδέναι. ὅτι δὲ μουσικὸν μὴ γνωρίζειν.
οὕτω γὰρ αὐτὸ οἶδε καὶ οὐκ οἶδεν, ἀλλ' οὐ κατὰ ταὐτό. τὸ δὲ προ-
σιὸν καὶ Κορίσκον, καὶ ὅτι προσιὸν, καὶ ὅτι Κορίσκος οἶδεν. ὁμοίως
δὲ ἁμαρτάνουσι καὶ οἱ λύοντες, ὅτι ἅπας ἀριθμὸς, καὶ πολὺς καὶ ὀλί-
γος, ὥσπερ οὓς εἴπομεν. εἰ γὰρ μὴ συμπεραινομένου, τοῦτο παραλι-
πόντες, ἀληθὲς συμπεράνθαι φασί. πάντα γὰρ εἶναι καὶ πολὺν καὶ ὀ-
λίγον, ἁμαρτάνουσιν. ἔνιοι δὲ καὶ τῷ διττῷ λύουσι τοὺς συλλογισμούς.
ὅτι σός ἐστι πατὴρ, ἢ υἱὸς, ἢ δοῦλος. καίτοι φανερὸν ὡς εἰ παρὰ τὸ πολ-
λαχῶς φαίνεται λέγεσθαι ὁ ἔλεγχος, δεῖ τοὔνομα ἢ τὸν λόγον κύριον
εἶναι πλειόνων. τὸ δὲ τόνδε τοῦδε εἶναι τέκνον, οὐδεὶς λέγει κυρίως, εἰ
δεσπότης ἐστὶ τέκνου. ἀλλὰ παρὰ τὸ συμβεβηκὸς ἡ σαύθεσίς ἐστιν. ἆρα
τοῦτο σὸν; ναί. ἔστι δὲ τοῦτο τέκνον. σὸν ἄρα τέκνον. ὅτι συμβέβηκεν εἶναι
καὶ σὸν τέκνον. ἀλλ' οὐ σὸν τέκνον. καὶ τὸ εἶναί τι τῶν κακῶν ἀγαθόν.
ἡ γὰρ φρόνησις ἐπιστήμη ἐστὶν τῶν κακῶν. τὸ δὲ τοῦτο τούτων εἶναι, οὐ λέ-
γεται πολλαχῶς, ἀλλὰ κτῆμα. εἰ δ' ἄρα πολλαχῶς, καὶ δὲ τὸν ἄνθρωπον
τῶν ζώων φαμὲν εἶναι, ἀλλ' οὔτι κτῆμα. καὶ ἐάντι τὰ κακὰ λέγητε ὥς τι-
νος, διὰ τοῦτο τῶν κακῶν ἐστιν. ἀλλ' οὐ τοῦτο τῶν κακῶν. παρὰ τὸ πῆ οὖν
καὶ ἁπλῶς φαίνετε. καίτοι εὐδέχετε ἴσως ἀγαθὸν εἶναί τι τῶν κακῶν,
διττῶς. ἀλλ' οὐκ ἐπὶ τοῦ λόγου τούτου. ἀλλ' εἴ τι δοῦλον εἴη ἀγαθὸν μο-
χθηροῦ μᾶλλον, ἴσως δὲ οὐδ' οὕτως. οὐ γὰρ εἰ ἀγαθὸν καὶ τούτου, ἀγα-
θὸν τούτου ἅμα. ἀλλ' οὐδὲ τὸ τὸν ἄνθρωπον φᾶναι τῶν ζώων εἶναι, οὐ
λέγεται πολλαχῶς. οὐ γὰρ εἴποτέ τι σημαίνομεν ἀφελόντες, τοῦ-
το λέγεται πολλαχῶς. καὶ γὰρ τὸ ἥμισυ εἰπόντες τοῦ ἔπους δόσμοι
ἠλιάδα σημαίνομεν, ὡς τὸ μῆνιν ἄειδε θεά. τοὺς δὲ παρὰ τὸ κυ-

ρίως τόδε, ἢ πῆ, ἢ ποῦ, ἢ πῶς, ἢ πρός τι λέγεσθαι, καὶ μὴ ἁ=
πλῶς, λυτέον σκοποῦντι τὸ συμπέρασμα πρὸς τὴν ἀντίφασιν,
εἰ ἐνδέχεται τούτων τὶ πεπονθέναι. τὰ γὰρ ἐναντία, καὶ τὰ
ἀντικείμενα, καὶ φάσιν, καὶ ἀπόφασιν, ἁπλῶς μὲν ἀδύνατον ὑ
πάρχειν τῷ αὐτῷ. πῆ μὲν τοι ἑκάτερον. ἢ πρός τι, ἢ πῶς, ἢ
τὸ μὲν πῆ, τὸ δ' ἁπλῶς, οὐδὲν κωλύει. ὥστε εἰ τὸ μὲν ἁπλῶς.
τὸ δὲ πῆ, οὕτω ἔλεγχος· τοῦτο δὲ ἐν τῷ συμπεράσματι θεωρη=
τέον πρὸς τὴν ἀντίφασιν. εἰσὶ δὲ πάντες οἱ τοιοῦτοι λόγοι τοῦ=
το ἔχοντες. ἆρ' ἐνδέχεται τὸ μὴ ὂν εἶναι; ἀλλὰ μήν ἐστι γέ τι
μὴ ὄν· ὁμοίως καὶ τὸ ὂν οὐκ ἔσται. οὐ γὰρ ἔσται τὶ τῶν ὄντων. ἆρ'
ἐνδέχεται τὸν αὐτὸν ἅμα πείθεσθαι, καὶ ἀπειθεῖν, ἢ οὔτε τὸ εἶ=
ναί τι καὶ εἶναι ταυτόν. τὸ δὲ μὴ ὄν, οὐκ ἔστι τὶ, καὶ ἁπλῶς ἐ=
στιν, οὔτε εἰ εὐορκεῖ τόδε καὶ πῆ, ἀνάγκη καὶ εὐορκεῖν. καὶ γὰρ ὁ=
μόσας ἐπιορκήσειν, εὐορκεῖ ἐπιορκῶν τοῦτο μόνον. εὐορκεῖ δὲ οὔ.
οὐδὲ ὁ ἀπειθῶν πείθεται, ἀλλά τι πείθεται. ὅμοιος δὲ ὁ λόγος,
καὶ περὶ τοῦ ψεύδεσθαί τι τὸν αὐτὸν ἅμα καὶ ἀληθεύειν. ἀλλὰ
διὰ τὸ μὴ εἶναι εὐθεώρητον πότερον ἄντις ἀποδοίη τὸ ἁπλῶς ἀ
ληθεύειν, ἢ ψεύδεσθαι, δύσκολον φαίνεται. κωλύει δ' αὐτὸν οὐ=
δὲν, ἁπλῶς μὲν εἶναι ψευδῆ. πῆ δὲ ἀληθῆ, ἤ τινος. καὶ εἶναι ἀ=
ληθῆ τινα, ἀληθῆ δὲ μή. ὁμοίως δὲ καὶ ἐπὶ τῶν πρός τι, καὶ πῆ,
καὶ ποτέ. πάντες γὰρ οἱ τοιοῦτοι λόγοι παρὰ τοῦτο συμβαίνου=
σιν, ἆρα ἡ ὑγίεια ἢ ὁ πλοῦτος ἀγαθόν; ἀλλὰ τῷ ἄφρονι, καὶ μὴ ὀρ=
θῶς χρωμένῳ, οὐκ ἀγαθόν. ἀγαθὸν ἄρα καὶ οὐκ ἀγαθόν· ἆρα τὸ ὑ=
γιαίνειν. ἢ δύνασθαι ἐν πόλει ἀγαθόν; ἀλλ' ἔστιν ὅτε καὶ οὐ βέλ=
τιον. ταυτὸν ἄρα τῷ αὐτῷ ἀγαθὸν, καὶ οὐκ ἀγαθὸν, ἢ οὐδὲν κω=
λύει ἁπλῶς ὂν ἀγαθὸν, τῷ δὲ μὴ εἶναι ἀγαθόν, ἆρ' ὃ μὴ βούλοι=

τ' ἂν ὁ φρό

τ' ἂν ὁ φρόνιμος κακόν; ἀποβάλλειν δ' οὐ βούλεται τὸ ἀγαθόν; κακὸν ἄρα τὸ ἀγαθόν. οὐ γὰρ ταυτὸν εἶναι τὸ ἀγαθὸν εἶναι κακόν. καὶ τὸ ἀποβάλλειν τὸ ἀγαθόν. ὁμοίως δὲ καὶ ὁ τοῦ κλέπτου λόγος. οὐ γὰρ εἰ κακόν ἐστιν ὁ κλέπτης, καὶ τὸ λαβεῖν ἐστι κακόν. οὐκοῦν τὸ κακὸν βούλεται, ἀλλὰ τὸ ἀγαθόν· τὸ γὰρ λαβεῖν ἀγαθόν, καὶ ἡ νόσος κακόν ἐστιν, ἀλλ' οὐ τὸ ἀποβαλεῖν τὴν νόσον. ἆρα τὸ δίκαιον τοῦ ἀδίκου, καὶ τοῦ ἀδίκως, τὸ δικαίως αἱρετώτερον; ἀλλὰ ἀποθανεῖν ἀδίκως αἱρετώτερον. ἆρα δίκαιον τὰ αὐτοῦ ἔχειν ἧκιστον; ἃ δ' ἄν τις κρίνοι κατὰ δόξαν τὴν ἑαυτοῦ ἀνὴρ φθονερὸς κύριά ἐστιν ἐκ τοῦ νόμου; τὸ αὐτὸ ἄρα δίκαιον, καὶ οὐ δίκαιον. καὶ πότερον δεῖ κρίνειν τὸν τὰ δίκαια λέγοντα, ἢ τὰ ἄδικα. ἀλλὰ μὴν καὶ τὸν ἀδικούμενον, δίκαιόν ἐστιν ἱκανῶς λέγειν ἃ ἔπαθε· ταῦτα δ' ἦν ἄδικα. οὐ γὰρ εἰ παθεῖν τι ἀδίκως αἱρετόν, τὸ ἀδίκως αἱρετώτερον τοῦ δικαίως. τοδὶ μὲν τοι οὐδὲν κωλύει, ἂν ᾖ κατὰ τὴν δόξαν τοῦ κρίνοντος. οὐ γὰρ εἰ δίκαιον τοδὶ ἢ ὧδί, καὶ ἁπλῶς δίκαιον. ὁμοίως δὲ καὶ ἄδικα ὄντα, οὐδὲν κωλύει ταῦτα λέγειν δίκαιον εἶναι. οὐ γὰρ εἰ λέγειν δίκαιον, ἀνάγκη δίκαια εἶναι. ὥσπερ οὐδ' εἰ ὠφέλιμον λέγειν ὠφέλιμα. ὁμοίως δὲ καὶ ἐστὶ τῶν δικαίων. ὥστε οὐκ εἰ τὰ λεγόμενα ἄδικα, ὁ λέγων ἄδικα, νικᾷ. λέγει γὰρ ἃ λέγειν ἔστι δίκαια. ἁπλῶς δὲ καὶ παθεῖν ἄδικα. τοῖς δὲ παρὰ τὸν ὁρισμὸν γινομένοις τοῦ ἐλέγχου καθάπερ ὑπεγράφη πρότερον, ἀπαντητέον. σκοποῦσι τὸ συμπέρασμα τὸ πρὸς τὴν ἀντίφασιν ὅπως ἔσται τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτό, καὶ πρὸς τὸ αὐτό. καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ἐὰν δὲ ἐν ἀρχῇ προσέρηται, οὐχ ὁμολογητέον. ὡς ἀδιάφατον τὸ αὐτὸ εἶναι διπλάσιον, καὶ οὐ διπλάσιον. ἀλλὰ φατέον, μὴ μὴν τοι ὧδί, ὥσπερ τε ἦν

τε ἢν τὸ ἐλέγχεσθαι ὁμωμολογημένον. εἰσὶ δὲ πάντες οἱ δὲ οἱ λόγοι, παρὰ τὸ τοιόνδε. ἆρα ὁ εἰδὼς ἕκαστον ὅτι ἕκαστον, οἶδε τὸ πρᾶγμα; καὶ ὁ ἀγνοῶν ὁσαύτως; εἰδὼς δέ τις τὸν Κορίσκον ὅτι Κορίσκος, ἀγνοοίη ἂν ὅτι μουσικός; ὥστε τὸ αὐτὸ καὶ ἐπίσταται καὶ ἀγνοεῖ. καὶ πάλιν ἆρα τὸ τετράπηχυ τοῦ τριπήχους μεῖζον. γένοιτο δ' ἂν ἐκ τριπήχους τετράπηχυ κατὰ τὸ μῆκος. τὸ δὲ μεῖζον, ἐλάττονος μεῖζον. αὐτὸ ἄρα αὑτοῦ μεῖζον καὶ ἔλαττον. τοὺς δὲ παρὰ τὸ αἰτεῖσθαι καὶ λαμβάνειν τὸ ἐν ἀρχῇ, πωσθανομένῳ μὲν, ἂν ᾖ δῆλον, οὐ δυτέον. οὐ δ' ἂν ἔνδοξον ᾖ, λέγοντα δὲ τἀληθῆ. ἐὰν δὲ λάθῃ, τὴν ἄγνοιαν διὰ τὴν μοχθηρίαν τῶν τοιούτων λόγων εἰς τὸν ἐρωτῶντα μεταστρεπτέον. ὡς οὐ διειλεγμένου. ὁ γὰρ ἔλεγχος, ἄνω τοῦ ἐξ ἀρχῆς. εἰθ' ὅτι ἐδόξη, οὐχ ὡς τούτῳ χρησομένου. ἀλλ' ὡς πρὸς ἅπαν συλλογιουμένου τὸ φαινόμενον, ἢ ἐστὶ τῶν παρεξελέγχων. καὶ τοὺς διὰ τοῦ παρεπομένου συμβιβάζοντας, ἐπ' αὐτοῦ τοῦ λόγου λεκτέον ἐστίν. ὡς δῆλη τῶν ἑπομένων ἡ ἀκολούθησις. ἢ γὰρ ὡς τῷ ὅλῳ μέρει τὸ καθόλου, οἷον ἀνθρώπῳ ζῷον. ἀξιοῦται γὰρ εἰ τόδε μετὰ τοῦδε, καὶ τόδε εἶναι μετὰ τοῦδε, ἢ κατὰ τὰς ἀντιθέσεις. εἰ γὰρ τόδε τῷδε ἀκολουθεῖ, καὶ τῷ ἀντικειμένῳ τὸ ἀντικείμενον. παρ' ὃ καὶ ὁ τοῦ Μελίσσου λόγος. εἰ γὰρ τὸ γεγονὸς ἔχει ἀρχήν, καὶ τὸ ἀγένητον ἀξιοῖ μὴ ἔχειν, ὥστε εἰ ἀγένητος ὁ οὐρανός, οὐκ ἄπειρος. τοῦτο δ' οὐκ ἔστιν. ἀνάπαλιν γὰρ ἡ ἀκολούθησις ὅσοι τε παρὰ τὸ προστιθέναι τι συλλογίζονται, σκοπεῖν εἰ ἀφαιρουμένου συμβαίνει μηδὲν ἧττον τὸ ἀδιάφθορον. κἄπειτα ἐμφανιστέον καὶ λεκτέον ὡς ἔδωκαν, οὐχ ὡς δοκοῦν, ἀλλ' ὡς πρὸς τὸν λόγον, ᾧ δὲ χρῆται, οὐδὲν πρὸς τὸν λόγον. πρὸς δὲ τοὺς τὰ πλείω ἐρωτήματα ἐν ποιοῦντας, εὐθὺς ἐν ἀρχῇ διοριστέον. ἐρώτησις γὰρ μία πρὸς μίαν ἀπό-

κρισιν.

κρισιν. ὥστε οὔτε πλείω καθ' ἑνὸς, οὔτε ἓν κατὰ πολλῶν. ἀλλ' ἓν καθ' ἑνὸς ἢ φατέον ἢ ἀποφατέον. ὥσπερ δὲ ἐπὶ τῶν ὁμωνύμων ὅτε μὲν ἀμφοῖν. ὅτε δ' οὐδετέρῳ ὑπάρχει. ὥστε τοῖς μὲν τὸ ἁπλοῦν ἐρώτημα ἁπλῶς ἀποκρινομένοις, οὐδὲν συμβαίνει πάσχειν. ὁμοίως δὲ καὶ ἐπὶ τούτων. ὅταν μὲν ᾖ τὰ πλείω τῷ ἑνί. ἢ τὸ ἓν τοῖς πολλοῖς ὑπάρχῃ, τῷ ἁπλῶς δόντι καὶ ἁμαρτόντι ταύτην τὴν ἁμαρτίαν, οὐδὲν ὑπεναντίωμα συμβαίνει. ὅταν δὲ ᾖ τὸ μὲν, τὸ δὲ μὴ, ἢ πλείω κατὰ πλειόνων, καὶ ἔστιν ὡς ἀμφότερα ὑπάρχει ἀμφοτέροις. ἔστι δ' ὡς οὐχὶ ὑπάρχει πάλιν. ὥστε εὐλαβητέον ἐν τοῖσδε τοῖς λόγοις. εἰ τὸ μὲν ἐστιν, ἀγαθὸν, τὸ δὲ κακόν. ὅτι ταῦτα ἀληθὲς εἰπεῖν, ἀγαθὸν καὶ κακόν. καὶ πάλιν μήτε ἀγαθὸν μήτε κακόν. οὐκ ἔστι γὰρ ἑκάτερον ἑκατέρῳ. ὥστε ταὐτὸ ἀγαθὸν καὶ κακόν. καὶ οὔτε ἀγαθὸν, οὔτε κακόν. καὶ εἰ ἕκαστον αὐτὸ αὐτῷ ταυτόν. ἔτι εἰ τὸ μὲν ἀγαθὸν, κακὸν γίνεται. τὸ δὲ κακὸν ἀγαθὸν, δύο γένοιτ' ἄν. δυοῖν τε καὶ ἀνίσων ἑκάτερον αὐτὸ ἑαυτῷ ἴσον. ὥστε ἴσα καὶ ἄνισα τὰ αὐτὰ ἑαυτοῖς. ἐμπίπτουσι μὲν οὖν οὗτοι οἱ λόγοι καὶ εἰς ἄλλας λύσεις. καὶ γὰρ τὸ, ἄμφω καὶ τὸ ἅπαντα πλείω σημαίνει, οὔκουν ταυτόν. πλὴν ὄνομα συμβαίνει φῆσαι καὶ ἀποφῆσαι. τοῦτο δ' οὐκ ἦν ἔλεγχος. ἀλλὰ φανερὸν ὅτι μὴ μιᾶς ἐρωτήσεως τῶν πλειόνων, γινομένων. ἀλλ' ἓν καθ' ἑνὸς φάντος ἢ ἀποφάντος, οὐκ ἔσται τὸ ἀδύνατον. περὶ δὲ τῶν ἀπαγόντων εἰς ταὐτὸ πολλάκις εἰπεῖν, φανερὸν ὡς οὐ δοτέον τῶν πρόστι λεγομένων σημαίει τὶ χωριζομένας καθ' αὑτὰ τὰς κατηγορίας. οἷον τὸ διπλάσιον ἄνευ τοῦ διπλάσιον ἡμίσεος, ὅτι ἓν φαίνεται. καὶ γὰρ τὰ δέκα, ἐν τοῖς ἑνὸς δέουσι δέκα. καὶ τὸ ποιῆσαι, ἐν τῷ μὴ ποιῆσαι. καὶ ὅλως ἐν τῇ ἀποφάσει ἡ φάσις. ἀλλ' ὅμως οὐκ εἴτις λέγοι τόδε μὴ εἶναι λευκὸν, λέγει αὐτὸ λευκὸν εἶναι. τὸ δὲ διπλάσιον, οὐ

σιον, οὐ δὲ σημαίνει οὐδὲν ἴσως, ὥσπερ οὐ δὲ τὸ ἐν τῷ ἡμίσει. εἰ δ' ἄρα καὶ σημαίνει, ἀλλ' οὐ ταὐτὸ, καὶ σωτηριμώτερον. οὐ δ' ἡ ἐπιστήμη ἐν τῷ εἶδει. οἷον εἰ ἔστιν ἰατρικὴ ἐπιστήμη ὅπερ τὸ κοινόν. ἐκεῖνο δ' ἦν ἐπιστήμη ἐπιστητόν. ἐν δὲ τοῖς δὶ ὧν δηλοῦται κατηγορουμένοις, ὄνομα λεκτέον. ὡς οὐ τὸ αὐτὸ χαρὶς καὶ ἐν τῷ λόγῳ δηλούμενον. τὸ γὰρ κοῖλον, κοινῇ μὲν τὸ αὐτὸ δηλοῖ ἐπί τε σιμοῦ καὶ ῥαιβοῦ. προστιθέμενον δὲ, οὐδὲν κωλύει. ἀλλὰ τὸ μὲν τῇ ῥινὶ, τὸ δὲ τῷ σκέλει συμβαίνει. καὶ οὐδὲν διαφέρει ἐπὶ τοῦ, ῥὶς σιμή. ἢ ῥὶς κοίλη. ἔτι οὐ δυτέον τὴν λέξιν κατ' εὐθύ. ψεῦδος γάρ ἐστιν. οὐ γὰρ ἔστι τὸ σιμὸν ῥὶς κοίλη, ἀλλὰ ῥινὸς τόδε ἴδιον πάθος. ὥστε οὐδὲν ἄτοπον εἰ ἡ ῥὶς ἡ σιμὴ, ῥὶς ἐστιν ἔχουσα κοιλότητα ῥινός. περὶ δὲ τῶν σολοικισμῶν, παράτι μὲν φαίνονται συμβαίνειν, εἴπομεν πρότερον. ὥστε λυτέον ἐπ' αὐτῶν τῶν λόγων ἔσται φανερόν. ἄτοπον γὰρ οἱ μὲ ὄνομα βούλονται κατασκολάξειν. ἆρ' ὀλέγεις ἀληθῶς, καὶ ἔστι ὄνομα ἀληθῶς; φὴς δέτι εἶναι λίθον, ἔστιν ἄρα ἡ λίθον. ἢ τὸ λέγειν λίθον οὐκ ἔστι λέγειν ὄ, ἀλλ' ὄν. οὐ δὲ ὄνομα. ἀλλὰ τοῦτον. εἰ δὴ ἐροιτότις, ἆρα ἂν λέγεις ἀληθῶς ἐστι ὄνομα, οὐκ ἂν δοκοίη ἑλληνίζειν. ὥσπερ οὖ δ' εἰ ἔροιτο, ἆρ' ἣν λέγεις εἶναί ἐστιν οὗτος; ξύλον δ' εἶναι οὗτος, ἢ ὅσα μήτε θῆλυ μήτ' ἄῤῥεν σημαίνει, οὐδὲν διαφέρει. διὸ καὶ οὐ γίνεται σολοικισμὸς, εἰ ὃ λέγεις εἶναι, ἔστι τοῦτο. ξύλον δὲ λέγεις εἶναι, ἔστιν ἄρα ξύλον. ὁ δὲ λίθος καὶ τὸ οὗτος, ἄῤῥενος ἔχει κλῆσιν. εἰ δέτις ἔροιτο, ἆρ' οὗτός ἐστιν αὕτη εἶτα πάλιν. τί δὲ οὐχ οὗτός ἐστιν ὁ κορίσκος. εἶτα εἴποι, ἔστιν ἄρα ὄνομα αὕτη οὐ συλλελόγισται ἐν σολοικισμόν. οὐ δ' εἰ τὸ κορίσκος σημαίνει ὅπερ αὕτη. μὴ λίσθωσι δὲ ὁ ἀποκρινόμενος, ἀλλὰ δεῖ τοῦτο προερωτηθῆναι. εἰ δὲ μήτε ἐστὶν, μήτε λίσθωσιν, οὐ συλλελόγισται οὔτε τῷ ὄντι,

οὔτε

οὔτε πρὸς τὴν ἐρωτώμενον. ὁμοίως οὖν κἀκεῖ μὴ τὴν λίθον σημαίνειν οὗτος. εἰ δὲ μήτε ἔστι, μήτε λίθος ἐστί, οὐ λεκτέον τὸ συμπέρασμα. φαίνεται δὲ παρὰ τὸ τὴν ἀνόμοιον πτῶσιν τοῦ ὀνόματος ὁμοίαν φαίνεσθαι. ἆρα ἀληθές ἐστιν εἰπεῖν ὅτι αὕτη ἐστίν, ὅπερ εἶναι φησὶν αὐτήν; εἶναι δὲ φησὶν ἀπορίδα. ἔστιν ἄρα αὕτη ἀπορίδα. ἢ οὐκ ἀνάγκη εἰ μὴ τὸ αὐτὸ ἀπορίδα σημαίνοι, ἀλλὰ ἀπορίσ. τὸ δὲ ἀπορίδα ταύτῃ. οὐ δ' ὃ φησὶν εἶναι τοῦτό ἐστιν οὗτος; φησὶ δὲ εἶναι κλέωνα, ἔστιν ἄρα οὗτος κλέωνα. εἴρηται γὰρ ὃν φημὶ τοῦτον εἶναι, ἔστιν οὗτος, οὐ τοῦτον. οὐ δὲ γὰρ ἐλλινίζει οὕτως τὸ ἐρώτημα λεχθέν. ἆρ' ἐπίστασαι ξύλον; ἔστι δὲ λίθος. ἐπίστασαι ἄρα λίθος. ἢ οὐ ταυτὸν σημαίνει ἐν τῷ, ἆρα ἐπίστασαι ξύλον. καὶ ἐν τῷ, ξύλον δὲ λίθος. ἀλλ' ἐν τῷ πρώτῳ, τοῦτον. ἐν δὲ τῷ ὑστέρῳ, οὗτος. ἆρ' οὖν ἐπισκίμιον ἔχεις, ἐπίστασαι ξύλον; ἐπισκίμιον δὲ ἔχεις λίθου. ἐπίστασαι ἄρα λίθου. ἢ τὸ μὲν τούτου, λίθου λέγεις. τὸ δὲ ξύλον, λίθον. ἐδόκει δὲ οὐ ἐπισκίμιον ἔχεις ἐπίστασαι, οὐ τούτου, ἀλλὰ τοῦτο. ὥστε οὐ λίθου ἀλλὰ λίθον. ὅτι μὲν οἱ τοιοῦτοι τῶν λόγων οὐ συλλογίζονται σολοικισμόν, ἀλλὰ φαίνονται, καὶ πῶς ἀπαντητέον πρὸς αὐτούς, φανερὸν ἐκ τῶν εἰρημένων. δεῖ δὲ καταυεῖν ὅτι πάντων τῶν λόγων, οἱ μὲν εἰσὶ ῥᾴους κατιδεῖν. οἱ δὲ χαλεπώτερον παράτι. καὶ ἔντινι παραλογίζονται τὸν ἀκούοντα, πολλάκις οἱ αὐτοὶ ἐκείνοις ὄντες. τὸν αὐτὸν γὰρ λόγον δεῖ καλεῖν τὸν παρὰ ταὐτὸ λεγόμενον. ὁ αὐτὸς δὲ λόγος τοῖς μὲν παρὰ τὴν λέξιν. τοῖς δὲ παρ' ἕτερον δόξειεν ἂν εἶναι, διὰ τὸ μεταφερόμενον ἔχειν, μὴ ὁμοίως εἶναι δῆλον. ὥσπερ οὖν ἐν τοῖς παρὰ τὴν ὁμωνυμίαν. ὅσπερ δοκεῖ τρόπος σωνηθέστατος εἶναι τῶν παραλογισμῶν, τὰ μὲν καὶ τοῖς τυ

χοῦσίν ἐστι δῆλα. καὶ οἱ λόγοι χειρόν. οἱ γελοῖοι, πάντες εἰσὶ παρὰ τὴν λέξιν. δῖον ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον. καὶ ὅπου σέλεσθε, πρὸς τὴν κεραίαν. καὶ ποτέρα τῶν βοῶν ἔμπροσθεν τέτακται, οὐδετέρα. ἀλλ' ὁπισθεν, ἄμφω. καὶ κακαρὸς ὁ βορέας, οὐ δῆτα. ἀπέκτεινε γὰρ τὸν πτωχὸν καὶ τὸν ὠνούμενον. ἆρ' εὔαρχος; οὐ δῆτα. ἀλλὰ ἀπολωνίδης; τὸν αὐτὸν δὴ τρόπον, καὶ τῶν ἄλλων χειρόν οἱ πολλοῖσι. τὰ δὲ καὶ τοὺς ἐμπειροτάτους φαίνεται λανθάνειν. σημεῖον δὲ τούτου, ὅτι μάχονται πολλάκις περὶ τῶν ὀνομάτων, δῖον πότερον ταυτὸν σημαίνει τὸ ἓν κατὰ πάντων καὶ τὸ ὄν, ἢ ἕτερον. τοῖς μὲν γὰρ δοκεῖ ταυτὸν σημαίνειν τὸ ἓν, καὶ τὸ ἔν. οἱ δὲ τὸν ξενοφάνους καὶ παρμενίδου λύουσι λόγον, παρὰ τὸ πολαχῶς φαίνεσθαι, τὸ ἓν λέγεσθαι καὶ τὸ ὄν. ὁμοίως καὶ παρὰ τὸ συμβεβηκός, καὶ περὶ τῶν ἄλλων ἕκαστον. οἱ μὲν ἔσονται ῥᾴους ἰδεῖν. οἱ δὲ χαλεπότεροι τῶν λόγων. καὶ λαβεῖν ἔντινι γένει. καὶ πότερον ἔλεγχος, ἢ οὐκ ἔλεγχος, οὐ ῥᾴδιον ὁμοίως περὶ πάντων. ἔστι δὲ σφιμὺς λόγος, ὅστις ἀπορεῖν ποιεῖ μάλιστα. λάνει γὰρ ὄντος μάλιστα. ἀπορία δέ ἐστι διῃρημένη. ἡ μὲν ἐν τοῖς συλλελογισμένοις, ὅτι ἂν ἔλοι τὶς τῶν ἐρωτημάτων. ἡ δὲ ἐν τοῖς ἐριστικοῖς, πῶς εἴποι τὶς τὸ προστεθέν. διόπερ ἐν τοῖς συλλογιστικοῖς, οἱ σφιμύτεροι λόγοι, ζητεῖν μᾶλλον ποιοῦσιν. ἔστι δὲ συλλογιστικὸς μὲν λόγος σφιμύτατος, ἂν ἐξ ὅτι μάλιστα δοκούντων ἐνδόξων, ὅ,τι μάλιστα ἔνδοξον ἀναιρῇ τις. εἷς γὰρ ὢν ὁ λόγος, μεταθεμένης τῆς ἀντιφάσεως, ἅπαντας ὁμοίως ἕξει τοὺς συλλογισμούς. ἀεὶ γὰρ ἐξ ἐνδόξων ὁμοίως ἔνδοξον ἀναιρήσει ἢ κατασκευάσει. διόπερ ἀπορεῖν ἀναγκαῖον. μάλιστα μὲν οὖν ὁ τοιοῦτος σφιμύς, ὃ ἐξ ἴσου τὸ συμπέρασμα ποιῶν τοῖς ἐρωτήμασι. δεύτερος δὲ, ὁ ἐξ ἁπάντων ὁμοίων. οὗτος γὰρ ὁμοίως

ποιήσει

ποιήσει ἀπορεῖν, ὁ πότερον τῶν ἐρωτημάτων ἀναιρετέον· τοῦτο δὲ χαλεπόν. ἀναιρετέον μὲν γὰρ, ὅ, τι δὲ ἀναιρετέον, ἄδηλον. τῶν δὲ ἐριστικῶν, δριμύτατος μὲν, ὁ πρῶτος εὐθὺς ἄδηλος πότερον συλλελόγισται, ἢ οὔ. καὶ πότερον παρὰ τὸ ψεῦδος ἢ διαίρεσίν ἐστιν ἡ λύσις. δεύτερος δὲ τῶν ἄλλων, ὁ δῆλος μὲν, ὅτι παρὰ διαίρεσιν ἢ ἀναίρεσίν ἐστι. μὴ φανερὸς δὲ ὢν, διά τινος τῶν ἠρωτημένων ἀναίρεσιν, ἢ διαίρεσιν λυτέος ἐστίν. ἀλλὰ πότερον αὕτη παρὰ τὸ συμπέρασμα, ἢ παρά τι τῶν ἠρωτημένων ἐστίν. ἐνίοτε μὲν οὖν ὁ μὴ συλλογισθεὶς λόγος εὐήθης ἐστίν. ἐὰν ᾖ λίαν ἄδοξα, ἢ ψευδῆ τὰ λήμματα. ἐνίοτε δὲ οὐκ ἄξιος καταφρονεῖσθαι. ὅταν μὲν γὰρ ἐλλείπῃ τὶ τῶν τοιούτων ἐρωτημάτων περὶ οὗ ὁ λόγος καὶ δι' ὃ, καὶ μὴ προσλαβὼν τοῦτο, καὶ συλλογισάμενος, εὐήθης ὁ συλλογισμός. ὅταν δὲ τῶν ἔξωθεν, οὐκ εὐκαταφρόνητος, ἀλλ' ὁ μὲν λόγος, ἐπιεικής. ὁ δὲ ἐρωτῶν, ἠρώτηκεν οὐ καλῶς. ἔστι δὲ ὥσπερ λύειν ὁτὲ μὲν πρὸς τὸν λόγον, ὅτε δὲ πρὸς τὸν ἐρωτῶντα καὶ τὴν ἐρώτησιν. ὁτὲ δὲ πρὸς οὐδέτερον τούτων, ὁμοίως καὶ ἐρωτᾶν ἐστι, καὶ συλλογίζεσθαι, καὶ πρὸς τὴν θέσιν, καὶ πρὸς τὸν ἀποκρινόμενον, καὶ πρὸς τὸν χρόνον, ὅταν ᾖ πλείονος χρόνου δεομένη λύσις, ἢ τοῦ παρόντος καιροῦ τὸ διαλεχθῆναι πρὸς τὴν λύσιν. ἐκ πόσων μὲν οὖν καὶ ἐκ τίνων γίνονται τοῖς διαλεκτικοῖς οἱ παραλογισμοὶ, καὶ πῶς δείξομεν τε ψευδόμενον, καὶ παράδοξα λέγειν ποιήσομεν. ἔτι δ' ἐκ τίνων συμβαίνει ὁ συλλογισμὸς, καὶ πῶς ἐρωτητέον. καὶ τὶς ἡ τάξις τῶν ἐρωτημάτων, ἔτι δὲ πρός τι χρήσιμοι πάντες εἰσὶν οἱ τοιοῦτοι λόγοι, καὶ περὶ ἀποκρίσεως ἁπλῶς τε πάσης. καὶ πῶς λυτέον τοὺς λόγους, καὶ τοὺς συλλογισμοὺς, εἰρήσθω περὶ πάντων ἡμῖν ταῦτα. λοιπὸν δὲ

περὶ τῆς ἐξ ἀρχῆς προθέσεως ἀναμνήσασιν, εἶτα εἰπεῖν τι βραχὺ περὶ αὐτῆς. καὶ τέλος ἐπιδεῖναι τοῖς προειρημένοις. προειλόμεθα δὴ εὑρεῖν τινα μέθοδον συλλογιστικὴν περὶ τοῦ προβλήματος ἐκ τῶν ὑπαρχόντων ὡς ἐνδοξότατα. τοῦτο γὰρ ἔργον ἐστὶ τῆς διαλεκτικῆς καθ' αὑτὴν καὶ τῆς πειραστικῆς. ἐπεὶ δὲ προσκατασκευάζεται πρός αὐτὴν διὰ τὴν τῆς σοφιστικῆς γειτνίασιν, οὐ μόνον διώκται πεῖραν λαβεῖν διαλεκτικῶς, ἀλλὰ καὶ ὡς εἰδώς. διὰ τοῦτο οὐ μόνον τὸ λεχθὲν ἔργον ὑπεθέμεθα τῆς πραγματείας, τὸ λόγον δώσειν λαβεῖν, ἀλλὰ καὶ ὅπως λόγον ὑπάρχοντες φυλάξομεν τὴν θέσιν. τὴν δ' αἰτίαν εἰρήκαμεν τούτου. ἐπεὶ καὶ διὰ τοῦτο Σωκράτης ἠρώτα, ἀλλ' οὐκ ἀπεκρίνετο. ὡμολόγει γὰρ μὴ εἰδέναι. διωρίλωται δ' ἐν τοῖς πρότερον, καὶ περὶ πόσα καὶ ἐκ ποίων, καὶ πόσων τοῦτο ἔσται. καὶ πόθον εὐπορήσομεν τούτων. ἔτι δὲ πῶς ἐρωτητέον, ἢ τακτέον τὴν ἐρώτησιν πᾶσαν. καὶ περί τε ἀποκρίσεων καὶ λύσεων τῶν πρὸς τοὺς συλλογισμούς. διωρίλωται δὲ καὶ περὶ τῶν ἄλλων, ὅσα τῆς αὐτῆς μεθόδου τῶν λόγων ἐστί. πρὸς δὲ τούτοις, περὶ τῶν παραλογισμῶν διειλήλυθαμεν, ὥσπερ εἰρήκαμεν καὶ πρότερον. ὅτι μὲν οὖν ἔχει τέλος ἱκανῶς ἃ προειλόμεθα, φανερόν. λέγω δὲ ὑμᾶς μὴ λελῆσθαι τὸ συμβεβηκὸς περὶ ταύτην τὴν πραγματείαν. τῶν γὰρ εὑρισκόντων ἁπάντων τὰ μὲν παρ' ἑτέρων λιφθέντα πρότερον, πεπονημένα κατὰ μέρος ἐπιδέδωκεν ὑπὸ τῶν παραλαβόντων ὕστερον. τὰ δὲ ἐξ ὑπαρχῆς εὑρισκόμενα, μικρὰν τὴν πρῶτον ἐπίδοσιν λαμβάνει εἰωθέν. χρησιμωτέραν μὲν τοι πολλῷ τῆς ὕστερον ἐκ τούτων αὐξήσεως. μέγιστον γὰρ ἴσως ἀρχὴ πάντων ὥσπερ λέγεται. διὸ καὶ καλεπωτάτην. ὅσῳ γὰρ κράτιστον

τιτον τῇ ἀληθείᾳ, τοσούτῳ μικρότατον τῷ μεγέθει, καλεπώτατόν ἐστιν ὀφθῆναι. ταύτης δὲ εὑρημένης ῥᾴδιον τὸ προσθεῖναι, καὶ συναύξειν τὸ λοιπόν ἐστιν. ὅπερ καὶ περὶ τοὺς πολιτικοὺς λόγους συμβέβηκε. χαλεπὸν δὲ καὶ πρὸς τὰς ἄλλας ἁπάσας τέχνας. οἱ μὲν γὰρ τὰς ἀρχὰς εὑρόντες, παντελῶς ἐσμικρόν τι προήγαγον. οἱ δὲ νῦν εὐδοκιμοῦντες, παραλαβόντες παρὰ πολλῶν. οἷον ἐκ μὲν διδαχῆς τῶν κατὰ μέρος προαγαγόντων, οὕτως ηὐξήθησαν. Τισίας μὲν μετὰ τοὺς πρώτους. Θρασύμαχος δὲ, μετὰ Τισίαν. Θεόδωρος δὲ μετὰ τοῦτον. καὶ πολλοὶ πολλὰ συνηυπόχασι μέρη. διόπερ οὐδὲν θαυμαστὸν, ἔχειν τι πλῆθος τὴν τέχνην. ταύτης δὲ τῆς πραγματείας, οὐ τὸ μὲν ἦν· τὸ δ' οὐκ ἦν προεξειργασμένον. ἀλλ' οὐδὲ παντελῶς ὑπῆρχε. καὶ γὰρ τῶν περὶ τοὺς ἐριστικοὺς λόγους μισθαρνούντων, ὁμοία τις ἦν ἡ παίδευσις τῇ Γοργίου πραγματείᾳ. λόγοις γὰρ οἱ μὲν ῥητορικούς. οἱ δὲ ἐρωτηματικοὺς ἐδίδοσαν ἐκμανθάνειν. εἰς οὓς πολεισάκις εἰώθεισαν ἑκάτεροι τοὺς ἀλλήλων λόγους. διόπερ ταχεῖα μὲν, ἄτεχνος δ' ἦν ἡ διδασκαλία τοῖς μανθάνουσι παρ' αὐτῶν. οὐ γὰρ τέχνην, ἀλλὰ τὰ ἀπὸ τῆς τέχνης διδόντες, παιδεύειν ὑπελάμβανον. ὥσπερ ἄν τις ἐπισήμως φάσκων παραδώσειν ἐπὶ τῷ μὴ δεῖν πονεῖν τοὺς πόδας, εἶτα σκυτοτομεῖν μὲν μὴ διδάξειε. μὴ δ' ὅθεν πορίζεσθαι τὰ τοιαῦτα, δύναται δὲ πολλὰ γένη παντοδαπῶν ὑποδημάτων. οὗτοσὶ γὰρ βεβοήθηκε μὲν πρὸς τὴν χρείαν, τέχνην δὲ οὐ παρέδωκε. καὶ περὶ ῥητορικῶν μὲν ὑπῆρχεν ἴσως πολλὰ καὶ παλαιὰ τὰ λεγόμενα. περὶ δὲ τοῦ συλλογίζεσθαι, παντελῶς οὐδὲν εἴχομεν πρότερον λέγειν ἄλλο, ἀλλ' ἢ τριβὴν ζητοῦντες, πολὺν χρόνον ἐπονοῦμεν. εἰ μὴ φαίνεται θεασαμένοις ὑμῖν

ὑμῖν

νοις ὑμῖν, ὡς μὴ ἐκ τοιούτων τῶν ἐξ ἀρχῆς ὑπαρχόντων ἔχειν ἡ μέθοδος ἱκανῶς παρὰ τὰς ἄλλας πραγματείας τὰς ἐκ παραλόγου συλλογισμούς, λοιπὸν ἂν εἴη πάντων ὑμῶν ἢ τῶν ἀκροωμένων ἔργον, τοῖς μὲν παραλελειμμένοις τῆς μεθόδου, συγγνώμην. τοῖς δ' εὑρημένοις πολλὴν χάριν ἔχειν.

ΤΕΛΟΣ ΤΩΝ ΣΟΦΙΣΤΙΚΩΝ ΕΛΕΓΧΩΝ.

ΤΩ. ΘΕΩ ΔΟΞΑ ΤΕ ΚΑΙ ΧΑΡΙΣ. ΑΜΗΝ.

Pag. 10.



ΗΙΕΡΑ ΑΓΚΥΡΑ

Semper sit tibi nixa mens honesto.



Sacra hæc Ancora non fefellit unquam.

SACRA ANCORA

Ne tempestatum uis auferat, Ancora sacra,
Quo mentem figas, est iacienda tibi.

Εν οἴνῳ ἀλήθεια.

Πολλ ἄκισ ἐν οἴνου κύμασίν τις ναυαγεῖ.

1800

BIBLIOTHÈQUE UNIVERSITAIRE DE TOULOUSE



